IOANNIS ZONARAE

Monachi, qui olim Byzantij Magnus Drungarius excubiarū ſeu Biglæ, & protoſecretarius fuit, compendium Hiſtoriarum, in tres Tomos diſtinctum: quorum

Primus agit de rebus Iudaicis, ab exordio Mundi uſq; ad Hieroſolymitanum excidium.

Secundus, Hiſtoriam Romanam, ab Vrbe condita uſq; ad Conſtantinum Magnum, breuiter complectitur.

Tertius, Imperatorum res geſtas, à Conſtantino Magno uſq; ad obitum Alexij Comneni, tractat.

Opus præclarum, ac diu deſideratum: nunc uerò demum liberalitate magnifici & generoſi uiri D. ANTONII FVGGERI, &c. & labore HIERO[illegible] VVOLFII, Græcè ac Latinè, quinq; codicibus inter ſe collatis, quàm emendatiſſimè fieri potuit, in lucem editum.

Singulis Tomis ſui additi ſunt INDICES, & uariarum lectionum Annotationes.



Cum Cæſ. Maieſt. gratia & priuilegio ad decennium: Chriſtianiſs. uerò Galliarum regis HENRICI ad ſexennium, cuius exemplum etiam propter plagiarios quoſdam adiecimus.

BASILEAE, PER IOANnem Oporinum, 1557.

Προοίμιον.

Εὐστόχως ἄν τις εἴποι, ἐπιτωθάζων μοι, ματαΐζόμενον τὸ ἔργον τὸ πάρεργον. ἔδει γάρ με, ὡς ἀληθῶς πάλαι τῶν πραγμάτων ἀφέμενον, καὶ τυρβάζεσθαι ἀπεχόμενον, καὶ τοῦ μέσου μεταναστεύσαντα, καὶ καθ' ἑαυτὸν ἑλόμενον ζῆν, ἀπαφυγίαν τε ἑαυτοῦ καταψηφισάμενον (ὅτω τὰ καθ' ἡμᾶς οἰκονομήσαντος τοῦ ὑπὲρ ἡμᾶς, ἐπεὶ πολλὰ τὰ δεσμὰ μου διέῤῥηξε, τῶν φιλτάτων στερήσας με, εἰς οἷον ἱκανὸς λόγοις, ἀλγεινῶς μὲν ἐμοί, συμφερόντως δ' ὅμως) μηδὲν ἕτερον μετιέναι, ἢ ὅσα ψυχὴν κατακοσμίζουσι, καὶ καθαίρουσι τῶν ἐντετηκότων αὐτῇ μολυσμάτων διὰ φαυλότητα πράξεων, καὶ ἅττα ἐξιλεώσαιτο τὸ θεῖον, ἐφ' οἷς παρώργισται παρ' ἐμοῦ, παραβεβηκότος τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα, καὶ ζητεῖν ὅπως συγγνώμην ἐπὶ τοῖς πταίσμασιν. Ἐγὼ δ' ἀμελῶς πρὸς τὸ ἔργον ἔχων καὶ πρὸς τὰ καλὰ νωθείας διακείμενος, περὶ τὸ πάρεργον κατέτεινα τὴν σπουδήν. ἀλλ' ἵνα τι καὶ ὑπεραπολογήσωμαι ἐμαυτοῦ, οὐκ οἴκοθεν ὡρμήθην πρὸς τὸ ἐγχείρημα. οὐδ' ὅτε δέ με φίλοι πρὸς τοῦτο παρώθησαν, σχολάζοντα βλέποντες, καὶ χρῆσαι λέγοντες τῇ σχολῇ πρὸς ἔργον κοινωφελές, καὶ ἐμοί γε ἴσως πρὸς τὴν ἐκεῖ ἀνταπόδομα. προσεπῆγον γάρ, ὡς οἱ περὶ τὰς ἱστορίας πονήσαντες, καὶ τὰ πάλαι γενόμενα συγγραψάμενοι, οἱ μὲν διεξοδικώτερον τάς τε ἄλλας πράξεις τῶν παλαιῶν ἀνδρῶν, καὶ τὰ στρατηγήματα συγγεγράφασι, παρατάξεις διηγούμενοι, καὶ συμπλοκὰς στρατευμάτων, καὶ στρατοπεδείας, καὶ χάρακας, καὶ ἄλλα τοιούτοις ἑπόμενα. πρὸς δὲ τοῖς, περιηγήσεις χωρίων καὶ δυσχωρίας ὁδῶν, καὶ ὄρη προσάντη καὶ δύσβατα, καὶ αὐλώνων στενοχωρίας, καὶ πόλεων ὀχυρότητας, καὶ πυργωμάτων ὕψη μετέωρα, καὶ ὡς αὐτὸς φάναι αἰθέρια. οἱ δὲ καὶ πρὸς ἐπίδειξιν συντέθεινται τὰ συγγράμματα, ἐνδεικνύμενοι ὅπως ἔχουν περὶ τὸ γράφειν δυνάμεως, καὶ διὰ τοῦτο δημηγορίας μεταξὺ τιθέασι, καὶ περιαλλαλεκότερον ἢ καὶ ῥητορικώτερον κεχρημένοις τῷ λόγῳ. τινὲς δὲ καὶ εἰς διαλόγους τὸ φιλότιμον ἀπελήγησαν, ὡς εἴ ὁπηνίκα περί τινων ἑτεροδοξούντων καὶ σφαλλομένων περὶ τὰ ὀρθὰ συγγράφονται δόγματα, διαλέξεις ποιεῖσθαι πρὸς ἐκείνους ὡς παρόντας, καὶ διελέγχειν αὐτῶν τὸ κακόδοξον, καὶ ἐκ τῶν ἱερῶν γραφῶν τοὺς ἐλέγχους προσάγειν, ἢ καὶ Ἰουδαίοις ἀντιλέγειν, καὶ ἐθελοκακοῦντας δεικνύειν αὐτούς, εἰ μὴ τὸ καθ' ἡμᾶς μυστήριον δέχοιντο, καὶ ῥήσεσι κεχρῆσθαι προφητικαῖς. καὶ πρὸς Ἕλληνας αὖθις ἀντικαθίστασθαι, καὶ τὸν μῦθον ἐκείνων εἰς μέσον προάγειν, καὶ καταμωκᾶσθαι τῶν μυθευομένων αὐτοῖς, καὶ τὰς αὐτῶν γραφὰς προφέρειν τῆς κακοδοξίας εἰς ἔλεγχον. ἔστι δ' οὗ γνωμολογεῖν τε καὶ ἠθικεύεσθαι. Ταῦτα δ' ἔφασαν τοῖς πλείοσι τῶν ἀναγινωσκόντων τὰ τῶν ἱστοριῶν ἐκείνων συγγράμματα, ἵνα μὴ λέγωμεν πᾶσιν ἴσως, φορτικά τε καὶ παρέλκοντα ἔγνωσται, ὅτι τε σχολῆς εἰσι δεόμενα πλείονος, καὶ ὅτι κἂν ταύτης τύχοιεν τῶν ἐθελόντων τὰς ἱστορίας τινές, μάταιον ἐκείνοις ἐκβαίνει τὸ περὶ ταύτας πόνον, τῶν μακρῶν διηγημάτων

Occupatione suis Annales scribendi institutum defendit, & per collationem cõmendat.

EQuidẽ haud ineptè rideri queã, ut superuacuis in reb. magis, quàm in necessarijs occupatus. Posteaquã enim è medio excessi, uitamque delegi solitariã, perpetuo mihi ipsi uelut exilio indicto (idque illius nutu arcanoque cõsilio factũ, qui supra nos est, ruptis uinculis meis, ereptisque mihi charissimis, cũ dolore quidẽ, utiliter tamẽ) omnino me iãpridẽ, omissis negotijs, urbisque sepudiatis, nihil aliud tractare couenicbat, nisi ea quę animũ excolunt, et à maculis prauarũ actionũ assuetudine impressis purgãt, quæque numẽ infestũ mihi ob eius pręcepta uiolata, & desertã iustitię uiã placare queãt, itaque delictorum ueniã impetrare. Ego uerò (quę mea ad rectè faciendũ socordia est) rebus necessarijs neglectis, in superuacuis elaboro. Tamẽ, ut pro mei defensione aliquid afferã: non meapte autoritate susceptũ hoc opus est, sed hortatu amicorũ: qui cũ me ociũ agere uiderẽt, id aiebãt in negotiũ aliquod esse cõferẽdũ, quod et Rempub. iuuaret, & ipsum quoque diuinum mihi præmiũ cõciliaret. Addebãt, eos qui historijs & rebus olim gestis describendis laborassent, partim cùm alia facta ueterũ, tum strategemata prolixius cõscripsisse, atque acies instructas, exercituum cõflictus, castrametationes, aggeres excitatos, & alia huius generis enarrare: prætereaque loca, & impedita itinera, et montes arduos atque inaccessos, uallιũ item angustias, urbiũ munitiones, & turriũ altitudines immensas, propeque in cœlũ porrectas quasi oculis subijcere: partim scripta sua ad ostentationẽ retulisse, ut suã scribẽdi facultatẽ demonstrarent, eoque cõciones interposuisse, ac digressiones, oratorio planè modo: partim ambitione quadã desinere in Dialogos, ut cum de aliquibus diuersæ opinionis, & à rectis sentẽtijs aberrãtibus scribũt, cum ijs, quasi adessent, disputẽt, & prauas eorũ persuasiones arguant, probationibus è sacra scriptura petitis: aut Iudæos cõfutent, ipsorumque prauitate ac pertinacia fieri contendãt, quo minus religionis nostrę arcana amplectãtur, oraculis Prophetarũ in mediũ adductis. Atque etiã gentilibus sese opponere, eorũque nugas afferre in medium, ac deliramẽtis fabularum subsannatis, scripta ipsorũ erroris coarguẽdi gratia proferre, nec nõ alicubi sentẽtias cõgerere, & de formandis moribus disputare. Hæc aiebãt illi, si nõ omnibus, at plerisque lectoribus molesta et superuacanea uideri, quòd & multũ ocij requirant, & si quib. id suppetat, inanẽ tamẽ laborẽ sumi in euoluẽdis prolixis illis narrationibus

Monastica censura de scriptis historicorũ.

rationibus præliorum & bellorum & ordinationis exercituum, aliarumq́ similium rerum, quæ memoria effluere soleāt. Iam concionibus et disputationibus in historia legendis, nullum fieri operæprecium. Nam quem ex eo capi fructū, si quis sciat, quid uel tribunus plebis apud populum, uel dux apud milites dixerit? quid item Imperator alius legatis Persarū, alius Gallorum aut Scytharum, aut Aegyptiorum forsan, Dacorumue aut Triballorum responderit? quæ uerba alius apud Patres conscriptos, aut populum fecerit? Scripta igitur huiusmodi asserebant latius euagari, et ad ambitionem inclinare. Alios porrò scriptores contrario laborare uitio, qui dum breuitatem affectarēt, rerum necessariarum cognitione fraudarent lectorem: præteritis aliquando, aut saltem breuiter perstrictis, præstantium uirorum reb. gestis, quæ uel diuinis celebrari laudibus mereantur: nec declararent, qui mores, quæ ingenia, quæ consilia illorum fuerint, nec quo pacto quisque Regum sit potitus regno, qui fuerit ante illud partum, quibus ortus maioribus. Addebant, scriptorum illorū quædam nimiū inornata esse dictione, cōpositione aspera, uerbisq́ plebeijs, ac nonnunq̄ barbaris constare: unde fieret, ut homines eruditi ab eorū lectione abhorrerēt. His illi dicendis, & scriptis historicorū ad hunc modum traducendis, sæpe me cohortati sunt, ut libris in manus sumptis, iam ea prætermitterem, quæ ob prolixitatē memoria nō caperet, quàm quæ utilitatis nihil haberēt: & longa narratione in cōpendiū redacta, breuē historiā ederē, quæ facta et res memoratū digniores quàm paucissimis complecteretur, & lectoribus uelut ob oculos poneret. Ac illi quidem huiusmodi laboris capiendi, & talis operis cōscribendi autores mihi fuere. Ego uerò cum & remisso essem animo (dicā enim quod res est) ocioq́ deditus, & rem esse cernerē magnæ occupationis, quęq́ librorum copiā postularet: dubitabam, & ab eo conatu abhorrebam. Verùm illi me uellicare non prius destiterunt, quàm improbitate stimulandi ad suscipiendum opus tandem perpulissent. Nam si aquæ gutta subinde cadendo solidam saxi duritiem cauat: quanto magis oratio crebrò aures feriens, animi torporem, & quietis studium excutit? Deinde in mentem mihi uenit, laborem illum, & historiæ scribendi occupationem, aliquid utilitatis & lucri etiam animo esse allaturam. Nam nequitiæ flatus magis aspirare solent menti quiescenti, malarumq́ cogitationum et rationum aliàs alios excitare fluctus, eamq́ continenter inuadendo demergere, & aut in peccata impellere (si facto minus, at assensu) aut undarum in ea magnam agitationem ac tumultum commouere. Animus autē certis negocijs occupatus, effugere ferè solet multarum cogitationū, prauarūq́ cupiditatū decumanos fluctus. Igitur tum amicorū cohortationibus, tum sordidas aut inanes curas expellendi studio,

Studiorum occupatio trãquilliorem reddit animum.

γμάτων τῶν περὶ τῶν παρατάξεων καὶ πολέμων καὶ τοῦ τῶν στρατιῶν διακόσμου, καὶ τῶν λοιπῶν τῶν ὁμοίων διαφευγόντων τὴν μνήμην. τῶν δέ γε δημηγοριῶν καὶ τῶν διαλέξεων, κἂν εἰς τὸ ἀνόνητον περιϊσταμένων τοῖς ἐθέλουσι τὰ ἱστορούμενα. τίνι γὰρ ἔστι τι λυσιτελὲς, ἔλεγον, ἐκ τοῦ γνῶναι τί μὲν ὁ δημαγωγὸς εἶπε διαλεχθεὶς τῷ δήμῳ; τί δὲ τοῖς στρατιώταις ὁ στρατηγός; ἢ τί τοῖς πρέσβεσιν ὁ αὐτοκράτωρ ἐκεῖνος ἔφη τοῖς ἐκ Περσῶν, ἢ ἄλλος τοῖς ἐκ Κελτῶν ἢ Σκυθῶν, ἢ τοῖς ἐξ Αἰγύπτου τυχὸν, ἢ τοῖς ἐκ Δακῶν τε καὶ Τριβαλλῶν; τί δ᾽ ἕτερος τῇ συγκλήτῳ βουλῇ, ἢ τῷ πλήθει τῷ δημοτικῷ δημηγορῶν προσωμίλησε; τοὺς μὲν οὖν τοιαῦτα ἔλεγον τὰ τῶν ἱστοριῶν ἐκδεδωκέναι συγγράμματα, ὡς πλατυσμένα δηλαδὴ, καὶ πρὸς τὸ φιλοτιμότερον ἀποκλίνοντα· τοὺς δὲ ἀντιθέτως ἐκείνοις διαπταῖσαι περὶ τὴν τῶν ἱστοριῶν συγγραφὴν, βραχυῤῥημοσύνῃ χρησαμένους, κἀντεῦθεν περὶ τὰ καίρια ζημιοῦντας τοὺς περὶ τὰ σφῶν ἐσπουδακότας συγγράμματα, ἔτι καὶ αὐτὰς τὰς κυριωτέρας τῶν πράξεων τῶν ἱστορουμένων παραλελοιπότας ἀνδρῶν, ἐνίας μέντοι καὶ ἐξυμνεῖσθαι δικαίας, βραχέα δέ τινα περὶ ἐκείνων εἰπόντας· καὶ ταῦτα μόνα τὸ ἦθος ἐκείνων ἢ τὴν φύσιν παραδηλοῦντα, καὶ τὴν προαίρεσιν, μηδ᾽ ὅπως τῶν βασιλευσάντων ἕκαστος τῆς βασιλείας ἐκράτησε, μηδ᾽ ὅστις ἦν πρὸ ταύτης, μηδ᾽ ἐκ τίνων ἐγένετο. τινὰ δὲ τῶν συγγραμμάτων τούτων καὶ ἀφελεστέραν ἐκδεδόσθαι προστιθέασι τῇ φράσει, συντεθεῖσθαί τε αὐτὰ τραχύτερον, καὶ ἰδιωτικαῖς λέξεσιν ἐκφέρεσθαι, ἢ καὶ βαρβάροις φωναῖς, ὅθεν γίνεσθαι ἀηδῶς τοὺς λογίους ὁμιλοῦντας πρὸς αὐτὰ διατίθεσθαι. τοιαῦτα λέγοντες, κἀμοὶ τῶν ἱστορικῶν συγγραμμάτων, ὡς ἔφησθα, καθικετευόμενοι, πολλάκις με παρῄνουν τὰς βίβλους ἀνὰ χεῖρας λαβεῖν, καὶ παρέντα τὰ πολλὰ, ὧν τὰ μὲν τῇ μνήμῃ προσιζάνειν διὰ τὸ πλῆθος ἀπεστερήκασι, τὰ δ᾽ ὡς οὐδὲν τελοῦντα ὀνήσιμον, τὰ δέ γε πεπλατυσμένα ἐπιτεμόντα δι᾽ ὀλίγων σύντομον ἱστορίαν ἐκδεδωκέναι, συνοπτικῶς διδάσκουσαν οὕτω ἐπιόντας τὸ σύγγραμμα τὰ καιριώτερα τῶν πεπραγμένων, ἢ καὶ ἄλλως συμβεβηκότων τοῖς περὶ ὧν ἡ συγγραφὴ διαλέγεται. ἐκεῖνοι μὲν οὖν πρὸς τοιοῦτόν με ἠξίουν ἀποδύσασθαι πόνημα, καὶ τοιοῦδε συγγράμματος ἅψασθαι. ἐγὼ δὲ τὸ μὲν ἀνειμένος τὴν γνώμην ὢν (ἐρήσεται γὰρ τἀληθὲς) καὶ ῥαστώνῃ συζῶν, τὸ δὲ καὶ ἀσχολίας συνορῶν τὸ πρᾶγμα δεόμενον, καὶ βίβλων πολλῶν, ὤκνουν καὶ ἀνεδυόμην πρὸς τὴν ἐγχείρησιν. οἱ δέ με οὐ πρότερον ἀνίεσαν, ἕως ποτὲ πρὸς τοὔργον τῇ τῶν συχνῶν συνεχείᾳ διηγέρκασιν. εἰ γὰρ κοιλαίνειν τὸ τῆς πέτρας σκληρὸν καὶ ἀπόκροτον ῥανὶς ὕδατος ἐνδελεχῶς δύναται, μᾶλλον ἂν δυνήσεταί λόγος ἐνδελεχὴς τὰ ὦτα θυροκοπῶν, γνώμης διεγεῖραι ῥαστώνην καὶ ἀνειμένην πρὸς ἀεργίαν. εἶτά μοι καὶ ὡς οὐδὲ πρὸς ψυχὴν ὠφέλειαν ἀκερδὴς ὁ πόνος ἔσται, καὶ ἡ περὶ τὴν συγγραφὴν ἀσχολία, ἐπῆλθε κατὰ νοῦν. ἠρεμοῦντι γὰρ τῷ νοῒ μᾶλλον εἰώθει τῆς πονηρίας ἐμπνεῖν τὰ πνεύματα, ἐνθυμήσεών τε φαύλων καὶ λογισμῶν ἄλλοτε ἄλλων ἐπεγείρειν κλυδώνια, καὶ καταβαπτίζειν αὐτὸν τῇ συνεχείᾳ τῶν προσβολῶν, καὶ ἢ πρὸς ἁμαρτίας ἐξολισθαίνειν ποιεῖν, εἰ καὶ μὴ πράξεσιν, ἀλλά γε συγκαταθέσεσιν, ἢ πως ζάλην οὖν ἐν πολλὴν ἐγκυμαίνειν καὶ τάραχον. ὁ δ᾽ ἔν τισιν ὁ νοῦς ἐνασχολούμενος, διαφεύγειν πέφυκεν ὡς ἐπίπαν τὰς ἐκ τῶν πολλῶν λογισμῶν τρικυμίας, καὶ τῶν πονηρῶν ἐνθυμήσεων. διά τε τὴν οὖν τὴν ἐκ τῶν φίλων παραίνεσιν, καὶ διὰ τὴν τῶν ῥυπαρῶν, ἢ καὶ ματαίων λογισμῶν

ἐκροὴν

ἐκπροσβύειν, τὸ πλεῖον γὰρ ἑαυτὸν ὑπὲρ συνελάσομαι. ὅτω μὲν οὖν μοι ἀπέβαλεν ἐγγίνεται τῷ παρόντι συγγράμματι. ἀλλ᾿ εἰ μὴ ἀπηκριβωμένην τὴν περὶ ἑκάστου τῶν ἀναγραφομένων ἱστορίαν ποιήσωμαι, νέμειν μοι συγγνώμην αἰτῶ τοὺς ἐντευξομένους αὐτῷ. ὅτι γὰρ βίβλων ἴσως μοι ἀπορῆσαι γενήσεται, ὅσαι μοι χρειώδεις ἦσαν πρὸς τὸ σύγγραμμα, διὰ τὸ ἐν τῇ ἐσχατιᾷ ταύτῃ ποιεῖσθαί με νυνὶ τὴν διατριβήν, ὅτι πάντες οἱ συγγραφεῖς τῶν ἱστοριῶν τὰ αὐτὰ περὶ τῶν αὐτῶν συγγεγράφασιν, ἀλλ᾿ ἐν πολλοῖς διαφωνοῦσιν, εἴ γε μὴ ἐν τοῖς πλείοσιν. εἰ δὲ καὶ ἀκριβῶσαι βουλήσομαι περὶ ἑκάστου τῶν ἱστορουμένων, καὶ δηλοῦν, τί μὲν ὁδὶ περὶ τοῦδε λέγει ὁ συγγραφεύς, τί δ᾿ ἕτερος περὶ τοῦ αὐτοῦ, πολύστιχον ἂν καὶ αὐτὸς τὴν περὶ ἑκάστου πραγματείαν ποιήσομαι. διὰ ταῦτά μοι παρεῖναι δέδοκται τὰ ἀφ᾿ οἷς ἀλλήλοις οἱ περὶ τῶν αὐτῶν συγγράψαντες ἐναντιοῦνται, εἰ μή τι τῶν ἄγαν σπουδαίων, καὶ ὃ παραλειπόμενον περὶ τὰ καίρια λυμανεῖται τῇ συγγραφῇ. εἰ δ᾿ ὁ χαρακτὴρ τοῦ λόγου ποικίλλεται, καὶ μὴ δι᾿ ὅλου ὅμοιός ἐστιν ἑαυτῷ, θαυμαζέτω μηδείς, μηδέ τις τὸν λόγον αἰτιάσθω, ἢ τὸν τούτου πατέρα με. ἐκ πολλῶν γὰρ βιβλίων τὰς ἱστορίας ἐρανισάμενος, ἐν γε πολλοῖς ταῖς τῶν συγγραφέων ἐκείνων χρήσομαι ἂν συνθήκαις καὶ φράσεσιν. ἐν οἷς δ᾿ ἂν αὐτὸς παρωδήσω ἢ παρεμφράσω, πρὸς τὸν ἐκείνων χαρακτῆρα τὴν ἰδέαν τοῦ λόγου μου μεθαρμόσομαι, ἵνα μὴ ἀσύμφωνος αὐτῇ ἑαυτῇ δοκῇ ἡ γραφή. ἀλλά μοι πρὸ τῆς ἱστορίας κεφαλαιωδέστερον εἰρήσθω, τίνα τὰ ἱστορηθησόμενα, ἵν᾿ εἰδεῖεν οἱ τῷ συγγράμματι ἐντευξόμενοι, ὡς πολλῶν τε καὶ τούτων ἀναγκαιοτάτων ἱστοριῶν ἐν εἰδήσει γενήσονται. περιέχεται γοῦν τῇ ἐπιτομῇ ἡ ὀκτάτευχος, καὶ ὅσα ἐν ἐκείνῃ ἱστόρηται. καὶ τῶν βασιλειῶν αἱ βίβλοι ταύτῃ συμπεριέχονται, καὶ ἐπ᾿ αὐταῖς τὰ παραλειπόμενα, καὶ ὅσα ὁ Ἑβραῖος Ἰώσηπος ἀρχαιολογῶν, ἢ τῶν παλαιοτέρων τις ἅπερ ἐν ἐπίκαιρα, ἢ παρεκβατικώτερον ἢ καὶ ἀλλοιότερόν τι παρ᾿ ἐκείνους ἱστόρησε. καὶ τὰ τοῦ Ἔσδρα. τά τε τῶν αἰχμαλωσιῶν τῶν Ἑβραίων, ὧν προτέρας μὲν τῶν δέκα φυλῶν ἡ παρὰ τοῦ Ἀσσυρίου Σαλμανασὰρ γέγονε τὴν Σαμάρειαν ἑλόντος πολιορκίᾳ, καὶ τὸ ἔθνος αἰχμαλωτίσαντος, καὶ πέραν Εὐφράτου ἀπαγαγόντος καὶ κατοικίσαντος, εἰς δὲ Σαμάρειαν μεθοικίσαντος ἔθνη τινὰ ἃ Χουθαῖοι ἐπωνομάζοντο. ἥ τε καὶ ἡ παρὰ τοῦ Ναβουχοδονόσορ ἐπιγενομένη τῇ Ἱερουσαλήμ, καὶ ὡς ἔρημος ἡ πόλις ἐγένετο, καὶ ὁ ναὸς ἐνεπέπρηστο, καὶ τὸ ἔθνος ἅπαν ἐξηνδραποδίσθη. καὶ ὡς μετὰ χρόνους ἑβδομήκοντα κατὰ τὰς προρρήσεις τῶν προφητῶν ἐκκεχώρηται τῷ λαῷ ὑπὸ Κύρου τοῦ τὴν τῶν Ἀσσυρίων βασιλείαν καθῃρηκότος ἀνελθεῖν εἰς Ἱερουσαλήμ, καὶ τὴν πόλιν ἀνεγεῖραι, καὶ ἀνακαινίσαι τὸ ἱερόν. τίς τε ἦν ὁ Κῦρος, καὶ ὅπως τὴν τῶν Ἀσσυρίων βασιλείαν κατέλυσε, καὶ τίνες μετ᾿ ἐκεῖνον τῆς βασιλείας ἐκράτησαν. καὶ ὅπως καὶ παρὰ τίνων ἡ τῆς πόλεως ἐκωλύθη οἰκοδομή, καὶ παρὰ τίνος αὖθις ἡ ταύτης διεχωρήθη ἀνέγερσις. καὶ περὶ Δανιὴλ τοῦ προφήτου, καὶ ὅπως ἔκρινε τὰ τοῦ Ναβουχοδονόσορ ἐνύπνια, καὶ τοῦ Βαλτάσαρ τὴν ὅρασιν, ὅτ᾿ εἶδεν ὁ βάρβαρος ἐκεῖνος τῆς χειρὸς τὸν ἀστράγαλον γράφοντα ἐν τῷ τοίχῳ, καὶ περί τινων τοῦ προφήτου ὁράσεων, ἃ πάντα μετὰ συντετμημένης ἱστορεῖται διηγήσεως. καὶ περὶ τῶν τριῶν παίδων, καὶ τῶν εἰς αὐτοὺς ἢ δι᾿ αὐτῶν γεγονότων ὑπὸ θεοῦ θαυμασίων. περί τε τῆς Ἐσθήρ, καὶ ὅπως τὸ τῶν Ἑβραίων γένος πανωλεθρίας αὐτὴ ἐρρύσατο. καὶ περὶ Ἰουδίθ, ἣ τὸν Ὀλοφέρνην κατασοφισαμένη ἀνεῖλε καὶ τὴν αὐτοῦ στρατιὰν παρέδω-

κεν

Κεφαλαιώδης μνεία τῶν ἐμπεριεχομένων τῇ βίβλῳ ἱστοριῶν. ὁ τοῦ α τόμου σκοπός.

studio, ad opus hoc suscipiendum sum adductus. itaque factum est, ut hanc prouinciam acciperem. Quòd si minus exquisitè perfectæ fuerint operis huius singulæ partes, ueniam à lectorib. peto. Fortassis enim in hoc secessu nunc agenti mihi, neque copia librorum ad condendam historiam necessaria suppetet, neque scriptores omnes iisdem de rebus eadem tradiderunt, ut non in pluribus, saltem in multis dissentientes. Quòd si omnia curiosè persequi uoluero, ac recensere, quid alius atque alius eadem de re dixerit: mihi etiam prolixum unaquaque de re nascetur opus. Quapropter contrarias historicorum narrationes pręterire mihi uisum est, nisi quid maximi fuerit momenti: quo prætermisso, ipsa historiæ integritas labascat. Iam dictionem esse uariam, nec per omnia sui similem, nemo miretur, aut culpet orationem, aut me autorem illius. Cum enim historiam è uariis scriptoribus ueluti stipem colligere necesse habeam: in multis, illorum & dictione & compositione utendum erit. sicubi tamen ipse de meo aliquid interiecero ac inseruero: stylus ad illius, quem sequar autorem, formam accommodabitur, ne scriptura à sese dissidere uideatur. Enimuero antequam ipsam rem aggrediar, summatim ea complectenda sunt, quæ tractabuntur, ut norint lectores, quàm multas, easque summè necessarias historias sint cognituri. Cōtinentur igitur hoc compendio, octo primi Bibliorum libri, & quæ in illis narrantur: Regum item libri, & Paralipomena, quæque uel in Iosephi Hebræi Antiquitatibus ioueniuntur, uel ab antiquioribus aut copiosius, aut aliter paulò quàm ab illis factum est, referuntur: & libri Esdræ, & captiuitates Hebręorum, quarum prior X tribuū sub Assyrio Salmanassare contigit, qui Samariam gentemque obsidione cæpit, eamque ultra Euphratem abducta, gentes quasdam Samariam transtulit, qui Chutæi cognominabantur: altera sub Nabuchodonosore, captis Hierosolymis, urbe deserta, & templo incenso, totaque gente in seruitutem abducta: utque post annos LXX, secundum oracula prophetarum, à Cyro, Babylonico regno euerso, populo Hierosolyma redire concessum sit, & urbem instaurare, & renouare templum: quis fuerit Cyrus, ut regnum Assyriorum euerterit, qui post eum id regnū tenuerint, quemadmodum ac à quibus urbis ædificatio prohibita fuerit, à quo rursus eius instauratio concessa. Agetur etiā de Daniele propheta, ut Nabuchodonosoris somnia exposuerit, & Balthasaris uisionem, cum Barbarus ille digitos manus scribentes uidit in pariete, & de quibusdam prophetæ uisionibus: quæ omnia, breui enarratione adiecta recensentur. De tribus item pueris, & miraculis uel in eos, uel per eos diuinitùs editis: de Esthere, ut à gente Hebræorum internecionem auerterit: de Iuditha, quæ Holofernē fraude sustulit, & eius exer-

Prolixa enumeratio partium historiæ.

I. Tomi argumētum.

citum

citum ad interitum dedit: deque Tobia, ut is cæcitate percussus, è paupertate ad extremam egestatem redactus, ob beneficentiam suam Dei prouidentia uisum receperit, opumque affluentiam. Præterea res Alexandri Macedonis hic perstringuntur, cuius mentio facienda fuit cùm ob alia, tum quòd post priorem Darij cladem ad Issum acceptã, Hierosolyma profectus summum pontifici honorem habuit: ut Persarum regnum euersum occuparit, quandiu regnarit, ut imperium ab eius obitu in regna IIII fuerit diuisum: quæ Iudæi ab Antiocho Epiphane uno ex posteritate successorum Alexandri perpessi sint: ut Asamonæi illi restiterint, ac populares suos ab illius tyrannide liberarint, qui illi sint, quomodo & quandiu populo præfuerint: ut post reditum Hierosolyma ab Assyria captiuitate, Iudaica gens non regibus, sed pontificibus paruerit: ut Asamonæorum, quos diximus, posteri, summi sacerdotij honore præditi, ac genti suæ imperantes, diadema etiam assumpserint: ut Pompeius Magnus, Romanorum Imperator, ad componendam Hyrcani & Aristobuli fratrum de regno contentionem accersitus, tum urbem Hierosolymorum ceperit, tum gẽtem Romanis subiecerit: ut deinde Herodes Antipatri filius regno Iudæorum potitus sit, quis ille fuerit, unde oriundus, quantæ clades eius domesticæ, quousque posteri illius regnum tenuerint: quomodo, quaque de causa præsides in Iudæam sint missi: & quæ de seruatore nostro Iesu Christo Iosephus scripserit, deque Ioanne Baptista: qua de causa Iudæi à Romano Imperio desciuerint, ut gens eorum bello à Romanis petita sit: à quo & quomodo Hierosolyma postremùm excisa, nec amplius instaurata sint. Facta autem Romanorum & Romæ mentione, necessarium mihi uisum est de his etiam scribere, & tradere, unde sit populus Romanus, in quos imperium habuerit, qui olim Italiæ regionem coluerint, unde Romulus in lucem prodierit, Romæ conditor: ut interfectus sit Remus frater eius, ac post ille etiam inter mortales esse desierit: ut illa urbs principiò regibus paruerit, quibus sit usa moribus & institutis: ut Tarquinius Superbus regno in tyrannidem mutato pulsus sit, quot & qualia bella Roma ob illius expulsionem sustinuerit, ut res Romana primùm ab optimatibus, pòst etiam à populo administrata fuerit, summa rerum in consules & dictatores, mox etiam in tribunos plebis trãslata: quid olim fuerit consulatus, quid dictatura, quod censorum munus, quantum temporis cuique magistratuũ præfinitum, qualis apud illos triumphus, unde nomen hoc deductum, quæ temporibus consulatuum gesta fuerint (quamuis nõ omnia, ob librorum penuriam quibus illa tradita sunt, persequemur) ut tãdem Romanum Imperium in unius potestatem ceciderit, ut Caius Iulius

Cæsar

II. Tomi argumentum.

κηνῶς ἀπώλεσαν. καὶ περὶ Τωβίτ, καὶ ὅπως ἀορασίᾳ πληγεὶς, καὶ εἰς ἀπορίας ἐσχάτου πενίας συσταλεὶς, αὖθις δι' ἀγαθοεργίαν, θείᾳ προνοίᾳ τετύχηκε τοῦ ὁρᾶν, καὶ πλοῦτον δαψιλῆ ἔλαβεν. ἀλλὰ καὶ τὰ τοῦ Μακεδόνος Ἀλεξάνδρου ἐνταῦθα συντέτμηνται, μνησθέντος τῆς ἱστορίας ἀναγκαίως ἐκείνου, διά τε ἄλλα, καὶ ὅτι τὴν Ἱερουσαλὴμ μετὰ τὴν ἐν Ἰσσῷ τοῦ Δαρείου προτέραν ἧτταν κατείληφε, καὶ τὸν ἀρχιερέα διαφερόντως ἐτίμησε, καὶ ὅπως τὴν Περσῶν κατέλυσε βασιλείαν, καὶ ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ ὅσον ἐβασίλευσε χρόνον, καὶ ὡς εἰς τέσσαρας ἀρχὰς ἐκείνου θανόντος ἡ ἐκείνου βασιλεία μεμέριστο, καὶ οἷα τοῖς Ἰουδαίοις ὑπ' Ἀντιόχου γέγονε τοῦ Ἐπιφανοῦς, τῶν Ἀλεξάνδρου διαδόχων ἑνὸς ἀπογόνου τυγχάνοντος. καὶ ὡς οἱ Ἀσαμωναῖοι τούτῳ ἀντέστησαν, καὶ τῆς αὐτοῦ τυραννίδος τοὺς ὁμογενεῖς ἠλευθέρωσαν. καὶ τίνες ἦσαν, καὶ ὅπως τῶν ὁμοφύλων καὶ ἐπὶ πόσον προέστησαν. καὶ ὡς μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας τῆς ἀπ' Ἀσσυρίων εἰς τὴν Ἱερουσαλὴμ ἐπάνοδον οὐκ ἦν τὸ τῶν Ἰουδαίων ἔθνος βασιλευόμενον, ἀλλ' ὑπὸ τῶν ἀρχιερέων ἀρχόμενον. καὶ ὅτι οἱ τῶν εἰρημένων Ἀσαμωναίων ἀπόγονοι τὴν ἀρχιερατικὴν τιμὴν περικείμενοι, καὶ τὰ τοῦ ἔθνους ἰθύνοντες, καὶ διάδημα ἑαυτοῖς περιέθεντο. καὶ ὅπως Ὑρκανοῦ καὶ Ἀριστοβούλου τῶν ἀδελφῶν διενεχθέντων περὶ τῆς Ἰουδαϊκῆς βασιλείας, ὁ Μάγνος Πομπήϊος στρατηγῶν τότε Ῥωμαίων, διαιτῆσαι μετακληθεὶς τοῖς ὁμαίμοσι, τήν τε πόλιν εἷλε τῶν Ἱεροσολύμων, καὶ τὸ ἔθνος τοῖς Ῥωμαίοις ὑπέταξε. καὶ ὅπως Ἡρώδης Ἀντιπάτρου υἱὸς μετὰ ταῦτα τῆς τῶν Ἰουδαίων βασιλείας ἐκράτησε, καὶ τίς ἦν οὗτος, καὶ ὅθεν κατήγετο, καὶ ὅσα κατ' οἶκον ἐκείνῳ συμβέβηκε, καὶ μέχρι τίνος οἱ ἐκείνου τῆς βασιλείας ἐκράτησαν, καὶ τίνος τρόπου, καὶ διὰ ποῖον ἡγεμόνες ἐκ Ῥώμης εἰς Ἰουδαίαν ἐστέλλοντο, καὶ ὅσα περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Ἰώσηπος συνεγράψατο. ἀλλὰ μέντοι καὶ περὶ τοῦ Βαπτιστοῦ Ἰωάννου, καὶ διὰ τίνας αἰτίας τοῖς Ῥωμαίοις ὑπήκοοι Ἰουδαῖοι ἀπέστησαν, καὶ ὅπως τὸ ἔθνος αὐτῶν ἐπολεμήθη παρὰ Ῥωμαίων, καὶ παρά τινος ἡ Ἱερουσαλήμ. καὶ ὅπως δὴ ἐπεπόρθητο τὴν τελευταίαν, καὶ μὴ σχοῦσαν ἀνάκλησιν πόρθησιν. Ῥωμαίων δὲ καὶ τῆς Ῥώμης μνησθείσης τῆς ἱστορίας, ἀναγκαῖόν μοι νενόμισται καὶ περὶ τούτων συγγράψασθαι, καὶ παραδοῦναι, πόθεν τὸ τῶν Ῥωμαίων ἔθνος, κἂν τίνος ἔσχηκε τὴν ἀρχὴν, καὶ παρὰ τίνων ἡ τῆς Ἰταλίας χώρα πρώην κατῴκιστο· ὅθεν τε προήχθη Ῥωμύλος εἰς φῶς, ὁ τῆς Ῥώμης γενόμενος οἰκιστὴς, καὶ ὅπως ἀνῄρηται Ῥῶμος ὁ ἀδελφὸς αὐτοῦ, ὅτε κἀκεῖνος ἐγένετο ἀφανὴς, καὶ ὅπως πρῶτον ἡ πόλις αὕτη ἐβασιλεύθη, καὶ ἔθεσιν οἵοις καὶ νομίμοις ἐχρήσατο· καὶ ὡς εἰς τυραννίδα τὴν βασιλείαν ὁ Σούπερβος Ταρκύνιος μεταγαγὼν, καθῃρέθη, καὶ ὅσους πολέμους καὶ οἵους ἡ Ῥώμη διὰ τὴν ἐκείνου καθαίρεσιν ἤνεγκε· καὶ ὡς εἰς ἀριστοκρατίαν εἶτα καὶ δημοκρατίαν μετῳκίσθη Ῥωμαίοις τὰ πράγματα, ὑπάτων καὶ δικτατόρων, εἶτα καὶ δημάρχων τὴν τῶν κοινῶν ποιουμένων διοίκησιν. καὶ τίς μὲν ἡ ὑπατεία τὸ παλαιὸν ἦν, τίς δὲ ἡ δικτατορία, τί δ' ἦν τὸ ἔργον τῶν τιμητῶν, καὶ πόσος ὥριστο χρόνος ἑκάστῃ τῶν ἀρχῶν τουτωνί· καὶ οἷος ἐγένετο παρ' ἐκείνοις ὁ θρίαμβος, καὶ ὅθεν παρήχθη τοῦτο τὸ ὄνομα· καὶ ὅσα ἐν τοῖς καιροῖς τῶν ὑπάτων ἐγένοντο, εἰ καὶ μὴ πάντα, σπάνει βίβλων τῶν ταῦτα διηγουμένων. καὶ ὅπως ὕστερον ἐκ τούτων εἰς μοναρχίαν ἡ ἀρχὴ τοῖς Ῥωμαίοις μετέπεσε· καὶ ὡς πρῶτος ταύτῃ, εἰ καὶ μὴ καθαρῶς, ὁ Γάϊος Ἰούλιος

καῖσαρ

ὁ τοῦ β' τόμου σκοπός.

Καῖσαρ μετεποιήσατο. ἔπειτα τοῦ βήματος ἀναιρεθέντος αὐτοῦ παρὰ τῶν τῆς ἐλευθερίας ἀντεχομένων, ὁ Αὔγουστος Ὀκτάβιος Καῖσαρ, ἀδελφιδοῦς ὢν τοῦ ἀνῃρημένου Καίσαρος, καὶ εἰσποιηθεὶς ἐκείνῳ, τοὺς φονεῖς τοῦ θετοῦ μετῆλθε πατρός, ἔχων καὶ τὸν Ἀντώνιον τῆς ὀργῆς αὐτῷ συναιρόμενον. μετέπειτα δὲ κἀκείνῳ διενεχθείς, καὶ νικήσας ναυμαχίᾳ περὶ τὸ Ἄκτιον, ἔπειτα καὶ εἰς Ἀλεξάνδρειαν σὺν τῇ Κλεοπάτρᾳ φυγόντα ὑποκαταλαβών, εἰς τοῦτο περιέστησεν ἀνάγκης τὸν ἄνδρα, ὡς καὶ διαχειρίσασθαι ἑαυτόν. ὅσαι τε φθοραὶ τῶν Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις τούτοις ἐγένοντο, πρότερον μὲν πρὸς Βροῦτον καὶ Κάσσιον καὶ τοὺς ἄλλους ἀναιρέτας τοῦ Καίσαρος, τοῦ Ὀκταβίου καὶ τοῦ Ἀντωνίου ἀντικαθισταμένων, ἔπειτα καὶ πρὸς ἀλλήλους μαχεσαμένων αὐτῶν. καὶ ὡς ἐζωγρήθη μὲν ἡ Κλεοπάτρα ἡ τῆς Αἰγύπτου βασίλισσα, ἥτις τῶν Πτολεμαίων ἀπόγονος, ἀνεῖλε δὲ ἑαυτὴν κἀκείνη, ὡς εἰκάσθη, ἀσπίδος δήγματι. καὶ ὅπως οὕτω μετ᾽ ἐπινικίων λαμπρῶν εἰς τὴν Ῥώμην ἐπανελθὼν ὁ Ὀκτάβιος, τῆς αὐταρχίας ἀντεποιήσατο. καὶ ὡς ἐκεῖθεν εἰς μοναρχίαν τὴν τῶν Ῥωμαίων ἡγεμονίαν μετήνεγκε, καὶ τίνες μετ᾽ αὐτὸν ἐμονάρχησαν, καὶ ὅπως ἕκαστος τῆς ἀρχῆς ἐπέβη, καὶ ὅπως καὶ ἐφ᾽ ὅσον ἦρξε, καὶ οἵῳ τέλει τῆς ζωῆς συνέκυρσε. καὶ τίνες ἐπὶ τούτων, μετὰ τοὺς ἱεροὺς ἀποστόλους, τοὺς θρόνους ἐκόσμησαν τῶν τεσσάρων μεγάλων ἐκκλησιῶν, τῆς Ῥώμης λέγω, καὶ τῆς Ἀλεξανδρείας, Ἀντιοχείας τε καὶ τῆς Ἱερουσαλήμ, καὶ ὅσοι τούτων μαρτυρικοῖς τέλεσι κατηξιώθησαν. ὅπως τε μᾶλλον τῶν ἄλλων κατὰ Χριστιανῶν ἐξελύττησαν Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἑρκούλιος, καὶ ὡς τὴν ἀρχὴν ἀποθέμενοι, ἑτέρους ἀνθ᾽ ἑαυτῶν ἐχειροτόνησαν Καίσαρας. ὧν εἷς Κωνστάντιος ὁ Χλωρὸς ἦν, ὁ τοῦ μεγάλου Κωνσταντίνου πατήρ, τῆς ἀρχῆς τῶν Γαλλιῶν καὶ τῆς Βρεττανίας ἀπονεμηθείσης αὐτῷ. καὶ ὡς θνήσκων ἐκεῖνος τὸν πρωτότοκον υἱὸν ἑαυτοῦ, τὸν ἰσαπόστολον Κωνσταντῖνον, τῆς οἰκείας ἀρχῆς διάδοχον ἐποιήσατο. καὶ ὡς μονάρχης οὗτος κατέστη, τοὺς λοιποὺς καταγωνισάμενος, ὀφθέντος αὐτῷ τοῦ σταυρικοῦ σημείου δι᾽ ἀστέρων ἐν τῷ οὐρανῷ. καὶ ὡς προσεληλύθει Χριστῷ, καὶ τὴν πίστιν ἐπλάτυνε, παῤῥησίαν δοὺς τῷ κηρύγματι, καὶ ὅπως ἐν τῷ Βυζαντίῳ πόλιν ἑαυτῷ ὁμώνυμον ᾠκοδόμησε, νέαν Ῥώμην ὀνομάσας αὐτήν, καὶ τὴν βασιλείαν ἐκ τῆς πρεσβυτέρας Ῥώμης εἰς ταύτην μετήνεγκε. καὶ τίνες μετ᾽ ἐκεῖνον ἐν αὐτῇ ἐβασίλευσαν, καὶ οἷος ἕκαστος ἦν τοὺς τρόπους, ἀλλὰ μὴν καὶ τὸ σέβας, καὶ ἐφ᾽ ὅσον ἐκράτησε τῆς ἀρχῆς, καὶ ὅπως μετήλλαξε τὴν ζωήν. τίνες τε τῆς ἐν Κωνσταντίνου πόλει προέστησαν ἐκκλησίας, καὶ ἐφ᾽ ὅσον ἕκαστος, καὶ τίνες αὐτῶν τοῦ ὀρθοῦ δόγματος ἀντείχοντο, τίνες δὲ γεγόνασιν ἑτερόδοξοι, καὶ ὅπως τὸν τῇδε μετελήλυθεν ἕκαστος, καὶ ἐπὶ τίνων αὐτοκρατόρων καὶ πατριαρχῶν, καὶ κατὰ τίνων αἱ σύνοδοι συγκεκρότηνται. οὕτω τε κατιὼν ὁ λόγος μέχρι τῶν καθ᾽ ἡμᾶς γεγονότων αὐτοκρατόρων, περανεῖ τὴν συγγραφήν, πολλῶν ἐν τῷ μέσῳ καὶ ἀποκρύφων ἄλλων μεμνημένος ἱστοριῶν. ἀρκτέον δέ μοι τῆς συγγραφῆς ἀρχὴν ταύτης ποιουμένῳ τὴν ἄῤῥητον πρώτην ἀρχήν, τὴν τῶν ὅλων αἰτίαν, τὴν ἄναρχόν τε καὶ ἄχρονον, καὶ τῶν ὑπ᾽ ἐκείνης παραχθέντων ἐκ τοῦ μὴ ὄντος εἰς ὑπόστασιν καὶ οὐσίωσιν, τὴν παραγωγὴν καὶ τὴν γένεσιν. ἦν τοίνυν ἀεὶ τὸ θεῖον, ὑπὲρ αἰτίαν πᾶσαν καὶ δύναμιν ἐκλάμπον ἀχρόνως, καὶ τῷ κάλλει τῆς οἰκείας δόξης τε καὶ λαμπρότητος ἀιδίως κινούμενον, καὶ ἀνάρχως

ὁ τοῦ γ τόμου σκοπός.

περὶ θεοῦ.

Cæsar mutationis huius primus autor, etsi non uniuersæ fuerit, ut eo ab his qui libertatem tuebantur, in curia interfecto, Octauius Augustus Cæsar, interfecti Cæsaris ex sorore nepos, ab eóque adoptatus, interfectores patris ultus fuerit, adiutore Antonio: quem deinde, orto dissidio, nauali prælio ad Actium superatum, & fuga Alexandriam cum Cleopatra elapsum nactus, ad manus sibi ipsi afferendas compulerit: quantæ Romanorum in ciuilibus istis bellis strages sint editæ, primùm Octauio & Antonio Cassium & Brutum, cæterósque Cæsaris percussores persequẽtibus, deinde inter sese bellum gerentibus: ut Cleopatra Aegypti regina ex gente Ptolemæorũ, uiua in potestatẽ uictoris uenerit, & seipsam (ut cõiectura fuit) morsu aspidis serpentis sustulerit: ut hoc mõ uictorijs illustris Octauius Romã ingressus, imperiũ uni sibi usurparit, principatu Romanorum planè in monarchiã cõmutato: qui ei successerint in Imperio, ut quisq; Imperiũ susceperit, ut & quãdiu imperarit, quẽ uitæ exitũ habuerit: qui sub his, post sanctos Apostolos quatuor magnarũ Ecclesiarum thronos ornarint, Romanæ inquam, Alexandrinæ, Antiochenæ, & Hierosolymitanæ: qui ex his in martyrum numerum & dignitatem sint recepti: ut Diocletiani & Maximiani Herculij insignis præ cæteris rabies in Christianos extiterit: ut ijdem abdicato Imperio, alios suo loco Cæsares surrogarint, quorum unus fuit Constantinus Chlorus, Magni Constantini pater, cui Galliarum & Britanniæ Imperium fuerat attributum: ut hic moriens primogenitum suum Constãtinum, pietate Apostolis conferẽdum, Imperij successorem designauerit: ut hic unus rerũ sit potitus, subactis cæteris, cum quidẽ signum crucis per stellas in cœlo formatũ ei apparuisset: ut ad Christum se contulerit, fidemq; propagarit, Euãgelij liberè prędicãdi potestate data: ut Byzãtij urbem sibi cognominẽ ædificarit, nouę Romę nomine indito, atq; Imperiũ ex uetere Roma in hãc transtulerit: qui post eũ ibi regnarint, quibus quisq; fuerit moribus, qua pietate, quãdiu tenuerit imperiũ, ut è uita discesserit: qui Constantinopolitanæ Ecclesiæ præfuerint, & quandiu quisque: qui ex illis rectã sentẽtiã tenuerint, qui ab ea ad alias opiniones defecerint, ut quisq; ex hac uita migrarit: sub quibus Imperatoribus & patriarchis, & cum quibus cõcilia fuerint cõgregata. Sicusq; ad nostri tẽporis Imperatores descẽdẽs oratio, cõsummabit historiã, multarũ interim & occultarũ rerũ facta mẽtione. Sumendũ autem mihi est huius operis exordiũ ab ineffabili primo principio, causa rerũ omnium, principij & temporis experte, & ab ijs quę ab illo ex nihilo producta sunt ut essent atq; subsisterẽt, naturãq; & ortum suũ ab illo cõsecuta. Fuit igitur Deus semper, super omnẽ causam & potentiã effulgẽs, sine tempore, cum maiestate suæ gloriæ ac splendoris æternũ moueretur, & sine principio,

III. Tomi argumẽtũ.

Dei descriptio.

neque ex alia quapiam re prius nata ortus, neque postultro ex iis quę non fuerant factus, aut paulatim ad suae gloriae complementum progressus. Sed semper est & permanet, id quod supra naturam solus nouit sacrosanctus ille Spiritus, qui omnes diuinitatis recessus perscrutatur, atque in iis exultans perpetua suauitate una perfruitur.

Creationis ordo. Posteaquam autem ex summa bonitate, & immensa misericordia, & ineffabili benignitate, aspectabilem hunc mundum formare instituisset, atque exinde in medium producere mundum, ut opere secundum, ita gratia primum & admirabilem, ut qui ad Dei sit imaginem conformatus, hominem inquam: uia ad opificium ingressus optimam, omnis ex materia cōcretionis expertes potestates & coelestes centuriones prius cōdidit, solo mentis cōceptu, cogitatione illa dicto citius in opus progressa. Est autem Deus natura nullius egens rei, seipsa contenta ad gloriam & perceptionem: quae nec alienam gloriam desiderat, nec ab alio percipi potest. Nisi quis illud percipi dicat, quod neque natura neque immensitas eius percipi queat. Cum autem Deum dico, patrem dico, & filium, & spiritum sanctum: quae est Deitas, autore magno patre Gregorio theologo. Deus igitur hac natura preditus, primum angelicas potestates creat, ut ministri sint, & celebratores coelestis maiestatis: non quod iis indigeat, sed ne sui duntaxat cōtēplatione moueatur, sed diffundatur & progrediatur bonum & beneficentia latius pateat. Hoc enim summae bonitatis fuit. Deinde mundum etiam hunc aspectabilem, quique constat ex materia, condidit. Ac initio quidem coelum fecit, & terram. Cum autem terra lateret, (nam tenebrae erant, & aqua superficiem eius occupabat) lucem produxit Deus, lucemque ac tenebras separauit: ac illam, diem, has noctem appellauit. eiusque initio, uesperi: primo diei exortui, mane nomen fecit. Sic ex mane & uespere dies unus extitit.

I. Dies. Equidem scio in parua Genesi scriptum, primo die coelestes etiam potestates, ante cetera, ab uniuersitatis Opifice esse conditas. Sed quoniam parua ista Genesis à diuinis patribus non relata est in approbatos Hebraicae sapientiae libros: nihil quod in ea scriptum est, satis firmum iudico, neque isti rationi assentior.

II. Dies. Postea firmamentum cōstituit, & in medio aquarum extendit, ut aliae supra id repositae sint, aliae infra terrae circunfusae. Firmamentum autem appellatum est, eo quod corpus eius sit solidum, nec aquarum instar tenui & rara natura praeditum, è quibus ortum habet, quod idem & coelum nominatur.

III. Dies. Tertio die iussit Deus aquam, quae uniuersam terrae faciem obtegebat, in unum congregari locum, & apparere aridam. Mox quod dictum erat, factum est: profundaeque cauitates dehiscentes, aquas exceperunt. Ac terram nominauit aridam: aquarum colluuiem, maria. Hoc eodem die plantae & semina è terra sunt edita. Oportebat enim terram quae inculta esset, herbis, infinitis germinibus, floribus, omne genus fructibus, & arbo-

μήτ' ἐκ τινος ἄλλου προϋποκειμένου πρότερον ὑποστάματος, μηθ' ὕστερον αὐτομάτως γενόμενον ἐξ οὐκ ὄντων, καὶ ἀσυμπλήρωσιν τῆς ἑαυτοῦ δόξης κατὰ μικρὸν προϊόν, ἀλλ' ὂν ἀεὶ καὶ διαμένον, ὡς ἔγνω μόνον ὑπερφυῶς τὸ τὰ βάθη τῆς θεότητος πάντα διερευνῶν πανάγιον πνεῦμα, καὶ τούτοις συναϊδίως ἐντρυφῶν καὶ συναγαλλόμενον. ἐπεὶ δὲ δι' ἄκραν ἀγαθότητα, καὶ πολὺ ἔλεος, καὶ οἰκτιρμὸν ἄφατον, τὸν ὁρατὸν τουτονὶ κόσμον ἀποτιᾶσαι προείλετο, κἀντεῦθεν ἐς μέσον ἀγαγεῖν τὸν δεύτερον μὲν τῷ ποιήματι, πρῶτον δὲ καὶ ἐξαίσιον τῷ χαρίσματι κόσμον, ὅσῳ καὶ κατ' εἰκόνα θεοῦ πεπλαστούργηται, φημὶ δὴ τὸν ἄνθρωπον, οἷά τινι χρυσέμπορος ἀρίστῃ πρὸς τὴν δημιουργίαν ὁδῷ, τὰς ἀΰλους πρότερον δυνάμεις καὶ οὐρανίους ταξιάρχας ὑφίστησιν ἐννοήσας ἁπαξαπλῶς, τῷ βεβουλῆσθαι θᾶττον ἢ λόγος εἰς ἔργον τῆς ἐνθυμήσεως. θεὸς δ' ἐστὶ μὲν ἀπροσδεὴς φύσις, αὐτὴ ἑαυτῇ αὐτάρκης εἰς δόξαν καὶ εἰς κατάληψιν, οὔτε τῆς παρ' ἑτέρων δεομένη δόξης, οὔθ' ἑτέρῳ καταληπτή· εἰ μή τις φαίη καταληπτὸν εἶναι τὸ ἄπειρον αὐτῆς, καὶ τὸ ἀκατάληπτον. θεὸν δὲ λέγων, πατέρα φημὶ, καὶ υἱόν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἃ ἡ θεότης κατὰ τὸν μέγαν πατέρα τὸν θεολόγον Γρηγόριον. οὕτω δ' ἔχων τὸ εἶναι, πρῶτον μὲν τὰς ἀγγελικὰς οὐρανίους δυνάμεις λειτουργούς τε καὶ ὑμνῳδοὺς τῆς αὐτοῦ λαμπρότητος, οὐχ ὡς τούτων δεόμενον, ἀλλ' ἵνα μὴ τῇ ἑαυτοῦ μόνον θεωρίᾳ κινοῖτο, χυθῆναι δὲ καὶ ὁδεῦσαι τὸ ἀγαθόν, καὶ ἡ εὐεργεσία χωρήσῃ πρὸς πλείονας· τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος. εἶτα καὶ τὸν δὲ τὸν κόσμον ὑφίστησι τὸν ὑλικὸν καὶ ὁρώμενον. καὶ ἐν ἀρχῇ μὲν ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν. (ἡ κοσμογονία.) τῆς δὲ γῆς ἀορασίᾳ καλυπτομένης, ἐπεὶ καὶ σκότος ἦν, καὶ ὕδωρ αὐτῇ ἐπεπόλαζε, τὸ φῶς παρήγαγεν ὁ θεός, καὶ διεχώρισε τὸ φῶς καὶ τὸ σκότος. καὶ τὸ μὲν, ἡμέραν ἐκάλεσε· τὸ δὲ σκότος, νύκτα ὠνόμασεν. ἐκ τῆς ἀρχῆς ἑσπέραν, πρωῒ δὲ τῇ πρώτῃ φαύσει τῆς ἡμέρας ὄνομα ἔθετο· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. (ἡμέρα α.) οἶδα μὲν οὖν ἐν τῇ λεπτῇ γενέσει γεγραμμένον, ὡς ἐν τῇ πρώτῃ ἡμέρᾳ καὶ αἱ οὐράνιαι δυνάμεις πρὸ τῶν ἄλλων ὑπέστησαν παρὰ τοῦ τῶν ὅλων δημιουργοῦ. ἀλλ' ὅτι μὴ ταῖς παρὰ τῶν θείων πατέρων ἐγκεκριμένοις βιβλίοις τῆς ἑβραϊκῆς σοφίας, καὶ ἡ λεπτὴ αὕτη συνηρίθμηται γένεσις, οὐδέν τι τῶν ἐν ἐκείνῃ γεγραμμένων λογίζομαι βέβαιον, οὐδὲ τῷ λόγῳ συντίθεμαι. εἶτα τὸ στερέωμα ἐποίησεν, (ἡμέρα β.) ἐν μέσῳ τῶν ὑδάτων διατάνας αὐτό, ὥστε τὰ μὲν ἄνω αὐτοῦ ἐναπολειφθῆναι, τὰ δὲ κάτω περικεχύσθαι τῇ γῇ. στερέωμα δὲ ἐκλήθη, ὅτι στεγανὸν τὸ σῶμα τούτου, καὶ οὐ λεπτὴν οὐδ' ἀραιὰν τὴν φύσιν ἔχει, κατὰ τὰ ὕδατα, ἐξ ὧν τὴν σύστασιν ἔσχηκεν, ὃ καὶ οὐρανὸς ὠνομάσθη. ταῦτα ἐν τῇ δευτέρᾳ ἡμέρᾳ ἐγένετο. ἐν δὲ τῇ τρίτῃ (ἡμέρα γ.) τὸ ὕδωρ τῆς γῆς ἅπαν καλύπτον τὸ πρόσωπον, ἐκέλευσεν ὁ θεὸς συναχθῆναι, καὶ ὀφθῆναι τὴν ξηράν. καὶ ὁ λόγος, ἔργον ἐγένετο, καὶ κοιλότητες βαθεῖαι γενόμεναι τὰ ὕδατα ἐσδέξαντο. καὶ τὴν μὲν γῆν ξηρὰν κατωνόμασε, θαλάσσας δὲ τὰ τῶν ὑδάτων συστήματα. κατὰ ταύτην δὲ τὴν ἡμέραν φυτά τε γῆθεν ἀνεδόθη, καὶ σπέρματα. ἔδει γὰρ ἄκοσμον οὖσαν τὴν γῆν, κοσμηθῆναι ταῖς πόαις, καὶ τοῖς μυρίοις βλαστήμασι, καὶ τοῖς ἄνθεσι, καὶ τοῖς παντοίοις καρποῖς, καὶ

ἡμέρα δ. καὶ τῶν ἀγάθων ταῖς χάρισιν. ἡ δὲ τετάρτη ἡμέρα τῆς τῶν φωστήρων ἔσχηκε γένεσιν, ἡλίου τε καὶ σελήνης, καὶ τῶν λοιπῶν ἀστέρων. καὶ τούτοις τὸν οὐρανὸν ὁ δημιουργὸς κατηγλάϊσε, καὶ τὸ κατὰ τὴν πρώτην ἡμέραν ὀφθὲν φῶς τοῖς φωστῆρσι τούτοις ἐνέθετο, κινήσεις αὐτοῖς ἀνατολάς τε καὶ δρόμους καὶ καταδύσεις διατυπώσας, ἵνα τε φωτίζοιτο δι' αὐτῶν τὸ περίγειον, καὶ ὁ χρόνος ἀριθμοῖτο ταῖς τούτων περιόδοις, παρέχοιντο δὲ δι' αὐτῶν τοῖς ἀκριβῶς ταῖς αὐτῶν προσέχουσι φάσεσι (καὶ μὴ περιέργως σκοποῦσιν, ἢ ὡς ἂν εἴποι τις ἀκριβούμενος τὸν λόγον, ἀβέλτερον καὶ τῇ κινήσει διὰ τῶν τοιούτων ἀστέρων ἅπαντα δοξάζουσι συμπεριφέρεσθαι τὰ ἡμέτερα) μεγάλην καὶ ἀψευδῆ τὴν ἐκ τούτων ὠφέλειαν. ἡμέρα ε. τῇ πέμπτῃ δ' αὖθις τῶν ἡμερῶν θεοῦ κελεύσαντος, ἀνῆκε τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινά. ὧν τὰ μὲν ἐμφωλεύουσι τοῖς ὕδασι, καὶ τούτοις ἐννήχονται· τὰ πετεινὰ δὲ τὸν ἀέρα τέμνουσιν, ἕρποντα ὥσπερ διὰ τούτου μετάρσια. ἡμέρα ϛ. κατὰ δέ γε τὴν ἕκτην, ψυχὴν ζῶσαν τετράποδα καὶ θηρία καὶ ἑρπετὰ ἐξαγαγεῖν ἡ γῆ προστέτακτο, καὶ κατὰ τὸ θεῖον ἐξήκει τὸ σύμπαντα πρόσταγμα. ψυχῆς δὲ ζώσης ἐξαγωγὴν ἡ γραφὴ παρεισάγει ποιεῖσθαι κελευσθῆναι τὴν γῆν, ἵν' ἐντεῦθεν τὸ τῆς ἀνθρώπου ψυχῆς ἐμφήνῃ πρὸς αὐτὴν τὸ διάφορον. ἡ μὲν γὰρ τῶν ἄλλων ζώων γῆθεν ἐξέφυ κατὰ τὸ κέλευσμα, καὶ γεηρὰ ἔστι, ὅθεν τοιαῦτα λογίζοιτο καὶ φθαρτά· ἐπεὶ καὶ ἀλλαχοῦ φησὶν ἡ γραφή, ψυχὴ παντὸς κτήνους τὸ αἷμα αὐτοῦ. τὸ δ' αἷμα πάντως φθειρόμενον. τὴν δὲ τοῦ ἀνθρώπου ψυχὴν οὐχ ἡ γῆ ἀνῆκεν, ἀλλὰ τὸ θεῖον αὐτὴν τῷ Ἀδὰμ ἐνῆκεν ἐμφύσημα. διὸ καὶ χρῆμά τι θεῖον εἶναι πιστεύεται, καὶ ἀθάνατον. ἡ δ' ἕκτη τῶν ἡμερῶν, καὶ τὸν ἄνθρωπον ἔσχηκε, χερσὶ διαπεπλασμένον θεοῦ. πεποιηκὼς γὰρ ὁ ἀριστοτέχνης τὰ σύμπαντα, καὶ παραγαγὼν τὸν κόσμον ἐν τάξει τε καὶ ῥυθμῷ, διὸ καὶ κόσμος ὠνόμασται, καὶ ὡς ἐν ὑποδοχῇ βασιλέως, ὥσπερ βασίλεια προετοιμάσας, αὐτὸν οὕτω παράγει τὸν ἄνθρωπον οἷά τινα βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, οὐ προστάγματι καὶ τοῦτον ὑποστησάμενος, ἀλλὰ χερσὶν αὐτὸν διαπλάσας, καὶ δημιουργίαν αὐτοῦ οὐχ ὁμοίαν τοῖς ἄλλοις πεποιηκώς, παρηλλαγμένην δὲ καὶ ἀσύγκριτον. τἄλλα μὲν γὰρ πάντα παρήχθησαν ῥήματι· ὁ δὲ καὶ αὐτουργίας ἠξίωται. χοῦν γὰρ λαβὼν ἀπὸ τῆς γῆς ὁ θεός, ἡ βίβλος φησὶ τῆς γενέσεως, τὸν ἄνθρωπον ἔπλασε, καὶ ἐνεφύσησεν αὐτῷ ψυχὴν ζῶσαν, δι' ἣν καὶ κατ' εἰκόνα θεοῦ λέγεται γενέσθαι ὁ ἄνθρωπος. τῶν γὰρ τῇ θείᾳ φύσει οὐσιωδῶς προσόντων τινὰ ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ εἰκονίζονται, οὐ φύσει αὐτῇ ἐνόντα, ἀλλὰ χάριτι. φύσει μὲν γὰρ τὸ θεῖον ἀόρατον καὶ ἀθάνατον, ἀκατάληπτόν τε καὶ ἄφθαρτον. ταῦτα δὲ καὶ τῇ ψυχῇ πρόσεστι κατὰ χάριν, οὐ κατὰ φύσιν. οὔτε γὰρ ἡ φύσις αὐτῆς καὶ ἡ οὐσία καταληπτή, οὔτε μὴν ὁρατή. καὶ ἄφθαρτος δὲ δὴ καὶ ἀθάνατος, καὶ ἕτερα δὲ τῆς θείας φύσεως χαρακτηριστικὰ κατὰ χάριν ἐν τῇ ψυχῇ τεθεώρηνται. Ἀδὰμ δὲ τὸν πλασθέντα ὠνόμασε· σημαίνει δὲ τοῦτο πυῤῥόν, κατὰ τὴν ἑβραΐδα διάλεκτον, ὥς φησιν Ἰώσηπος, ὅτι ἐκ πυῤῥᾶς γῆς διεπέπλαστο. τοιαύτη γὰρ ἡ παρθένος γῆ. οὕτω δ' ἐν ἓξ ἡμέραις τὸν κόσμον παραγαγών, ἐν τῇ ἑβδόμῃ κατέπαυσε. διὸ καὶ τοῖς ἑβραίοις ἡ ἑβδόμη

ἑβδόμη ἡ σάββατον ὀνομάζεται.

& arborum iucūditatibus exornari. Quartus dies luminum ortum habuit, Solis, Lunæ ac reliquorū stellarum. Atq; his Opifex rerum cœlum exornauit: & cōspectam primo die lucem his luminibus imposuit, atque eis motus, exortus, cursus & occasus præformauit, ut terræ ambitus per ea illustraretur, & mensura tēporis è circuitibus eorum peteretur, præberētque ijs qui exortus eorum rectissime obseruarēt (non autem curiosè spectarent, nec ut uerè ac rectè dici queat, ineptè unà cum motu harum stellarum omnia nostra circumferri putarent) magnam minimèque fallacem certitudinem, & utilitatem.

IIII. Dies. Astrorum utilitas.

Die quinto, aquæ reptilia uiuentium animarum & uolucres produxerunt: quorum illa in aquis cum uoluptate innatant, hæ aerem secant, sublimesq; per illum quodammodo repūt.

V. Dies.

Sexto die quadrupedia, feras & reptilia uiuentis animæ, terra edere iussa est: atque omnia ex diuino mandato prodierunt. Viuentis porrò animæ productionem terræ esse imperatam Scriptura dicit, ut ea ratione humani animi discrimen ab illa, declararet. Nam aliarum animantium anima è terra extitit ex mandato: qua de causa rectè terrestris & mortalis habetur, cum alibi etiam Scriptura dicat: Omnis iumenti animam esse sanguinem, qui utique corrumpitur. Hominis autem animam non terra edidit, sed Deus eam Adamo inspirauit. Quamobrem diuinum esse quiddam, & immortale, perhibetur. Sextus dies hominem etiam habuit manu Dei formatum. Nam cum optimus artifex uniuersa iam condidisset, & mundum ordine & ratione effecisset, unde Græco nomine κόσμος dicitur, & tanquam ad regem excipiendum regiam quandam instruxisset: tū demum producit hominem, quasi rerum terrenarum regem supernè gubernandū, eumq; nō item mandato conditū, sed manibus suis formatum, ut peculiare suū opus, nō simile cæteris, sed diuersum & incomparabile. Nam cætera quidē omnia uerbo sunt producta, hunc uerò Deus opera suarū manuū est dignatus. Sumpto enim de terra puluere Deus (inquit liber Originū) hominē formauit, & inspirauit ei animam uiuentem, ob quā etiam ad imaginē Dei homo factus esse dicitur. Nam rerū quarundā, quæ naturæ diuinæ uerè insunt, imagines in hominis animo relucēt, cum quidē in eo insint, nō natura, sed gratia. Deus enim natura est inaspectabilis, & immortalis: idemq; incomprehensibilis, & interitus expers. Eadem hæc animo etiam insunt per gratiam, non per naturam. Neque enim natura eius uel comprehensibilis est, uel aspectabilis, prætereáque ab interitu & morte immunis: atque etiam alia, quibus natura diuina describitur, in animo per gratiam cernuntur.

VI. Dies. Hominis excellētia.

Appellauit autem eum quem finxerat, Adamū, quod (autore Iosepho) lingua Hebraica rufum sonat, quòd è rubra terra formatus esset. Talis enim est pura terra. Sic mundo sex diebus condito, septimo quieuit: eaque de causa Hebræorum lege

Adamus.

dies septimus, quod Sabbatum hinc appellant (sabbathum porrò eorum lingua idem quod requies) feriatus est. Collocauit Deus hominem in paradiso, quem ipse conseuerat. Ibi fuit arbor uitæ, & arbor cognitionis, seu, ut Iosephus ait, sapientiæ: eiq; mandauit, ut reliquis frueretur, arbore cognitionis abstineret. ac mortem soli pœnam interdicti uiolati denunciauit. Irrigatur autem fluuio Paradisus, qui inde egrediens quadrifariam diuiditur. Ac primo fluuio nomen est Phison, quod multitudinem significat: Græcis Ganges est, Indicam regionem perfluens, & omnem terram Euilat circundans. Alteri Geon est nomen, idem ualet quod multum: à Græcis Nilus uocatur. is est, qui totam Aethiopiam ambit. Tertius Tigris nominatur, hoc est sonus. Reliquus Euphrates, hoc est impetus aut motus. atque hi ambo in mare rubrum sese exonerant. Deus porrò animantes omnes ante Adamum statuit, ut is unicuique generi nomen inderet: præterea mulierem condit, costa sumpta ab Adamo dormiente, & eam adducit illi. Is uerò ex se factam agnouit, ac mulierem nominauit. nam Euam Hebræi mulierem uocant, quo illa nomine fuerat appellata.

Paradisus.

Violatio mandati.

Ac utrique uitam in Paradiso beatam agebant, nudi simplicitate, & uita fraudis experte. Hanc inuidet eis serpens, uel draco potius, qui per serpentem intelligitur. Accedit serpens, fit autor mulieri gustandi de arbore sapientiæ (eandem autem tum fuisse uocem, Iosephus tradit, omnium animantium) illa paret, eiusq; delectata, marito etiam persuadet, ut fructus esset particeps. Mox nuditate sua agnita, è ficulnis folijs cingula sibi fecere, seq; à conspectu Dei subducunt Adam & mulier. Cuius rei causam Deo percontante, Adamus nuditatem excusat, & culpã in mulierem transfert. Hæc uerò à serpēte se deceptã queritur. Deus autem serpentē prius execratus, priuatũ pedibus, adēptaq; uoce, & humi uolutari iussum, hostē eorũ declarat, quos decepisset. ac ad mulierē conuersus, marito eam reddit obnoxiã, & partus doloribus mulctat. Deinde uiro etiã pœnã irrogat huiusmodi, ut & in terrã, unde sumptus esset, reuerteretur: & in sudore, pane suo uesceretur, & terra spinas & tribulos ei gigneret. itaque Paradiso eijcit pel-
» liceis indumētis amictos, per quæ crassior caro
» fortassis & mortalis ac refractaria intelligitur.
» Hinc laboriosa nobis & plena dolorũ uita exti-
» tit, et ad uitia propēsio. Iã liberos suscipiũt, quorũ prior Cainus (acquisitionem hoc significat) q̃d hominē acquisissēt: posterior Abelus (luctũ notat uocabulũ: nã propter eum in luctu futuri erãt) appellatus est. Ac Abelus q̃dē erat opilio, uirtutisq; studiosus: Cainus autē terrã colebat, hõ improbissimus. Porrò cũ eis uisũ esset primitias laborũ suorũ offerre Deo, Abelus p̃stãtiora ex primogenitis gregis offert, Caino sine delectu de terræ fructib. offerēte. Cũ aũt Deus Abeli munera, Caini oblatiõe repudiata, acceptasset:

is illum

τῇ ἑβδόμῃ, ἀπράκτος ἐν νενόμισται. ὅθεν καὶ σάββατον κέκληται· τὸ δὲ σάββατον ἡ τῶν ἑβραίων γλῶττα λέγει ἀνάπαυσιν. ἔθετο τὸν ἀδὰμ ὁ θεὸς ἐν τῷ παραδείσῳ, ὃν αὐτὸς κατεφύτευσεν, ἔνθα τὸ ξύλον ἦν τῆς ζωῆς, καὶ τὸ ξύλον τῆς γνώσεως, ἢ, κατὰ τὸν ἰώσηπον, τῆς φρονήσεως. καὶ ἐνετείλατο αὐτῷ, τῶν μὲν λοιπῶν μετέχειν, ἀπέχεσθαι δὲ τοῦ ξύλου τῆς γνώσεως, θάνατον δὲ ποινὴν τὸ τῆς παραβάσεως ἐπιτίμιον. ἄρδεται δὲ ποταμῷ ὁ παράδεισος, καὶ πρόεισιν ἐκεῖθεν ὁ ποταμὸς οὗτος εἰς τέσσαρα μεριζόμενος, καὶ φισὼν μὲν ὀνομάζεται πρῶτος, πληθὺν δὲ τοῦτο δηλοῖ· τοῖς δ' ἕλλησι γάγγης οὗτος ὠνόμασται, τὴν ἰνδικὴν διιὼν χώραν, καὶ πᾶσαν τὴν γῆν κυκλῶν εὐιλάτ. τῷ δὲ δευτέρῳ ποταμῷ γεὼν τοὔνομα· δηλοῖ δὲ τοῦτο πολύ. νεῖλος δ' οὗτος τοῖς ἕλλησι κέκληται. οὗτος ἐστὶν ὁ κυκλῶν πᾶσαν τὴν γῆν αἰθιοπίαν. ὁ δέ γε τρίτος τίγρις ἐπονομάζεται, τοῦτ' ἔστιν ἦχος. ὁ δὲ λοιπὸς εὐφράτης ἐστὶν, ἤτοι φορὰ, ἢ γοῦν κίνησις. καὶ ἄμφω δὲ οὗτοι εἰς τὴν ἐρυθρὰν εἰσβάλλουσι θάλασσαν. παρίστησι δὲ τῷ ἀδὰμ ὁ θεὸς πάντα τὰ ζῶα. ὁ δὲ ἑκάστῳ γένει αὐτῶν ὀνόματα τίθησι. κτίζει τε τὴν γυναῖκα ὁ θεὸς, μίαν τῶν πλευρῶν λαβὼν ὑπνώττοντος τοῦ ἀδὰμ, καὶ προσήγαγεν αὐτὴν αὐτῷ. ὁ δὲ ἐξ ἑαυτοῦ γενομένην ταύτην ἐγνώρισε, καὶ γυναῖκα ὠνόμασε. τοῖς γὰρ ἑβραίοις Εὔα καλεῖται ἡ γυνὴ, κἀκείνη εὔα ὠνόμαστο. ἦν μὲν οὖν ἀμφοῖν ἐν τῷ παραδείσῳ μακαρία διαγωγὴ, γυμνοῖς οὖσι τῇ ἁπλότητι, καὶ ζωῇ τῇ ἀτέχνῳ. φθονοῦνται δὲ παρὰ τοῦ ὄφεως, ἢ μᾶλλον παρὰ τοῦ νοητοῦ δράκοντος. καὶ πρόσεισιν ὁ ὄφις τῇ γυναικὶ, καὶ συμβουλεύει γεύσασθαι τοῦ φυτοῦ τῆς φρονήσεως. ὁμόφωνα δὲ τότε φησὶν ὁ ἰώσηπος τὰ ζῶα ἅπαντα. ἡ δὲ πείθεται, καὶ ἀσμενίσασα τῇ βρώσει, πείθει καὶ τὸν ἄνδρα τοῦ καρποῦ μετασχεῖν. καὶ ἔγνωσαν γυμνοὺς ἑαυτοὺς, καὶ ἐκ φύλλων συκῆς ἐποίησαν ἑαυτοῖς περιζώματα. ἐκρύβησάν τε διὰ τὴν γύμνωσιν ἐκ τοῦ θεοῦ ὁ ἀδάμ τε καὶ ἡ γυνή. καὶ ὁ θεὸς τὴν αἰτίαν ἠρώτα, καὶ ὁ ἀδὰμ τὴν γύμνωσιν προεβάλλετο, καὶ τὸ αἰτίαμα προσῆπτε τῇ γυναικί. ἡ δ' ἐξηπατῆσθαι παρὰ τοῦ ὄφεως ἔλεγεν. ὁ δὲ θεὸς τὸν ὄφιν καταρασάμενος πρότερον, ποδῶν τε αὐτὸν στερήσας, καὶ τὴν φωνὴν ἀφελόμενος, κατὰ τὸν ἰώσηπον, καὶ ἰλυσπᾶσθαι κατὰ γῆς ἐπιτάξας, καὶ πολέμιον ἀποφήνας τὸ σπέρμα τῶν ἀπατηθέντων, πρὸς τὴν γυναῖκα τρέπεται, καὶ τῷ ἀνδρὶ αὐτὴν ὑποχείριον τίθησι, καὶ ταῖς ἐν τῷ τίκτειν ὠδῖσιν ἐπιτιμᾷ. εἶτα καὶ τὸν ἀδὰμ ὑπάγει ἐπιτιμίῳ· τὸ δ' ἦν ἡ πρὸς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, ἐπιστροφὴ, καὶ τὸ ἐν ἱδρῶτι τὸν ἄρτον ἐσθίειν, καὶ τὸ τὴν γῆν ἀκάνθας καὶ τριβόλους ἀνατέλλειν αὐτῷ. καὶ μετοικίζει αὐτοὺς ἐκ τοῦ παραδείσου, δερμάτινα αὐτοῖς περιθεὶς ἐνδύματα, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ ἀντίτυπον. ἐντεῦθεν ἡμῖν ἡ μοχθηρὰ καὶ ἐπώδυνος ζωὴ, καὶ τὸ πρὸς κακίαν εὐόλισθον. γίνονται παῖδες αὐτοῖς, ὧν κάϊν μὲν ὁ πρότερος ἦν, κτῆσιν σημαίνει τὸ ὄνομα, ὅτι ἐκτήσαντο ἄνθρωπον. ἄβελ δὲ ὁ δεύτερος, δηλοῖ δὲ πένθος ἡ κλῆσις, ἔσεσθαι γὰρ αὐτοῖς πένθος ἔμελλε δι' αὐτόν. καὶ ὁ μὲν ἄβελ νομεὺς ἦν ποιμνίων, καὶ ἀρετῆς ἐπιμελής. ὁ δὲ κάϊν ἐγεώργει τὴν γῆν, πονηρότατος ὤν. δόξαν δὲ αὐτοῖς ἀπαρχὰς ἐκ τῶν ἰδίων πόνων προσαγαγεῖν τῷ θεῷ, ὁ μὲν ἄβελ τὰ κρέα τῶν πρωτοτόκων τῶν θρεμμάτων προσενήνοχε, κάϊν δὲ τὰ τυχόντα προσηνέχθη τῶν τῆς γῆς καρπῶν. καὶ προσέσχεν ὁ θεὸς τοῖς τοῦ ἄβελ δώροις, τῇ δὲ τοῦ κάϊν οὐ προσέσχε προσαγωγῇ.

ὁ δὲ

καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν ἐδὲμ κατὰ ἀνατολὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν.

παράβασις τῶν προσταγμάτων.

ὁ δὲ φθονήσας ἐπὶ τῇ προτιμήσει, κτείνει αὐτὸν, καὶ ἐπάρατος γίνεται παρὰ θεῷ, καὶ στένειν καὶ τρέμειν καταδεδίκασται. ἐκβληθεὶς δὲ ἀπὸ προσώπου τοῦ θεοῦ, γῆν ναῒδ ᾤκησεν, ἔνθα καὶ παῖδας ἐγείνατο. οὗτος μέτρα τε καὶ σταθμὰ ἐπινόησε, καὶ πρῶτος ὅρους ἐπέβαλε τῇ γῇ, πονηρίας καθηγητὴς χρηματίσας. καὶ πόλιν εἰς ὄνομα τοῦ πρωτοτόκου υἱοῦ αὐτοῦ ἐνὼχ ᾠκοδόμησεν. υἱὸς δὲ τοῦ ἐνὼχ γαϊδὰδ, υἱὸς δὲ τούτου μαλελεὴλ, τοῦ δὲ μαθουσάλα, οὗ λάμεχ υἱός. οὗτος δύο γυναῖκας ἑαυτῷ συναρμόσας, ἀδὰν καὶ σελλὰν, παῖδας ἐξ ἀμφοῖν ἔσχεν ἑβδομήκοντα καὶ ἑπτά. ὧν ἰωβὴλ μὲν κτήνους τρόφος ἦν, καὶ προβατείαν ἠγάπησεν· ἰουβὰλ δὲ μουσικὴν ἐπενόησε, καὶ κιθάραν ἐμηχανήσατο, καὶ ψαλτήριον. θόβελ δὲ γεγονὼς ἐκ σελλᾶς, σιδηρεὺς ἦν, ἐργάτης σιδήρου τε καὶ χαλκοῦ. τῷ δὲ ἀδὰμ μετὰ θάνατον ἄβελ διακοσίων τριάκοντα γεγονότι ἐτῶν, ἕτερος ἐγεννήθη υἱὸς, ὃν ἐκάλεσε σήθ. τέθνηκε δὲ ὁ ἀδὰμ, ἔτη ζήσας ἐννακόσια καὶ τριάκοντα. σὴθ δὲ γενόμενος ἐτῶν πέντε καὶ διακοσίων, ἐγέννησε τὸν ἐνὼς, ὃς πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ, τόν τε θεὸν προσαγορεῦσαι τὸν κύριον. δώδεκα δὲ καὶ ἐννακόσια ἔτη τὰ πάντα ζήσας σὴθ, καὶ υἱοὺς καὶ θυγατέρας λιπὼν, ἐξέλιπεν· ὃς ἀρετὴν μετῄει, καὶ μιμητὰς τοὺς ἀπογόνους κατέλιπεν, οἳ σοφίαν τὴν περὶ τὰ οὐράνια κατανοήσαντες, καὶ στήλας δύο, τὴν μὲν ἐκ λίθου, τὴν δὲ ἐκ πλίνθου ὀπτῆς πεποιημένας, τὰ εὑρημένα ἐνέγραψαν, ἵνα καὶ τοῖς μετέπειτα σώζωνται. ἔσεσθαι γὰρ ἀφανισμὸν τοῦ παντὸς, ἀδὰμ προειρήκει, ἐκ πυρός τε καὶ ὕδατος. ἐξ ἐνὼς δὲ ἐτέχθη ὁ καϊνὰν, ἄλλοι τε υἱοὶ καὶ θυγατέρες, καὶ ἀπέθανεν ἔτη ζήσας πέντε καὶ ἐννακόσια. ἐκ δὲ καϊνὰν ἐξέφυ μαλελεὴλ καὶ ἕτεροι παῖδες, καὶ τέθνηκε ζήσας ἀριθμὸν ἐτῶν ἐννακοσίων καὶ δέκα. παῖς δὲ μαλελεὴλ ὁ ἰαρὲδ, καὶ ἕτεροι, ὃς κατέλυσε τὴν ζωὴν ἐπ' ἔτεσιν ὀκτακοσίοις καὶ πέντε πρὸς ἐνενήκοντα. ἰαρὲδ δὲ πατὴρ τοῦ ἐνὼχ, καὶ παίδων ἐπὶ τούτῳ ἑτέρων, καὶ τέθνηκε βιώσας ἔτη ἐννακόσια καὶ ἑξήκοντα πρὸς δυσίν. υἱὸς δὲ τοῦ ἐνὼχ μαθουσάλα καὶ ἕτεροι. εὐηρέστησε δὲ ἐνὼχ παρὰ κυρίῳ, καὶ μετετέθη, καὶ οὐχ εὑρίσκετο, ἐτῶν γεγονὼς τριακοσίων ἑξήκοντα καὶ πέντε. παῖς δὲ τοῦ μαθουσάλα λάμεχ, καὶ ἕτεροι, καὶ θνήσκει ζήσας ἔτη ἐννακόσια ἑξήκοντα καὶ ἐννέα. νῶε δ' ἐτέχθη τῷ λάμεχ, καὶ τέθνηκε λάμεχ ἑπτακόσια ζήσας ἔτη, καὶ πεντήκοντα πρὸς τοῖς τρισί. τῷ δὲ νῶε τρεῖς ἐγένοντο παῖδες, σὴμ, χὰμ, ἰάφεθ. ἰδόντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ἔλαβον ἑαυτοῖς γυναῖκας. υἱοὺς δὲ τοῦ θεοῦ φησὶν ἡ γραφὴ τοὺς ἀπογόνους τοῦ σὴθ, ὡς ἀρετὴν μετιόντας, καθὸ καὶ υἱοὺς ὑψίστου τοὺς ἐναρέτους καλεῖ. θυγατέρας δὲ τῶν ἀνθρώπων φησὶ τὰς ἐκ τῶν τοῦ κάϊν ἀπογόνων καταγομένας. ὁ δὲ ἰώσηπος ἀγγέλους λέγει τὰς θυγατέρας τῶν ἀνθρώπων λαβεῖν, οὕτω καλέσας οἶμαι αὐτοὺς, ὡς εὐαρεστοῦντας θεῷ, καὶ τὴν ἐκείνων πολιτείαν ἐπιτηδεύοντας. πληθυνθέντες δὲ οἱ ἄνθρωποι, πρὸς κακίαν ἀπέκλιναν· οἷς καὶ παῖδες ἐγένοντο ὑβρισταὶ, καὶ ἀτάσθαλοι, διὰ τὴν ἐν τῇ δυνάμει πεποίθησιν. οἷς τὸ θεῖον προσώχθισε, καὶ τὸ μακρόβιον ὑπετέμετο, ἑκατὸν καὶ εἴκοσιν ἔτεσι τὴν τῶν ἀνθρώπων περιγράψας ζωήν. νῶε δὲ εὗρε χάριν ἐναντίον τοῦ θεοῦ. διὸ καὶ εἰς θάλασσαν τῆς ἠπείρου μεταβληθείσης δι' ἐπομβρίας πολυημερίου τε καὶ σφοδρᾶς, πᾶν μὲν τὸ ἀνθρώπινον φθείρεται γένος.

νῶε

ὅτι μετετέθη ὁ ἐνώχ.

ὅτι ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ, ὥς φησιν ἡ γραφὴ, τὰς θυγατέρας τῶν ἀνθρώπων, ἔλαβον ἑαυτοῖς γυναῖκας.

[illegible] τοῦ θεοῦ.

Is illum sibi prælatum ægrè ferens, occidit: & diris obligatus à Deo ad gemitum & tremorem condemnatur, & à conspectu Dei eiectus, in terra Naid habitat, ibi'que liberos procreat. Hic mensuras & pondera excogitauit, & primus agros limitibus distinxit, magister scelerum, atque urbem de nomine primogeniti sui Enosi condidit. Enosi filius fuit Gaidad, qui Maleleelem genuit. Maleleel Mathusalem: quo natus Lamechus, è duab. uxoribus filios suscepit LXXVII. Quorum Ioabel armentarius fuit, pastu ouium gaudens. Iubal Musicam excogitauit, & citharam ac psalteriū composuit. Thobel Sela natus, faber fuit, ferro & ære tractando occupatus. Adamo post Abelis interitum annos nato CCXXX, alius natus est filius, quem Sethum appellauit. Obijt Adamus, cum annos uixisset DCCCC & XXX. Sethus annos natus V & CC, genuit Enossum. Hic primus ausus est inuocare nomē Domini Dei, & Deum appellare Dominum. Sethus cum annos DCCCC & XII expleuisset, decessit, filijs & filiabus relictis. Hic uirtutem coluit, idemq; studium posteris suis tradidit, qui doctrinam rerum cœlestium à se inuentam, duabus columnis, alteri lapideæ, alteri ex latere coctili inscripserunt: quòd Adamus prædixerat, uniuersitatem rerum & igni & aqua perituram. Enosso natus est Cainan, alijq; filij & filiæ. Mortuus est, cum uixisset annos V & DCCCC. Cainano orti sunt Meleleel, alijq; liberi. Obijt, cùm uixisset annos noningentos & decem. Meleleelis filius fuit Iared, & alij: uita excessit, anno ætatis octingentesimo nonagesimo quinto. Iared pater Henochi, & præter hunc, aliorum, defunctus est, cum uixisset annos LXII supra DCCCC. Henochi filius fuit Mathusala, & alij. Acceptus autē fuit Henochus Domino, & translatus, nec repertus, annos natus trecētos sexaginta quinq;. Mathusalę filius Lamechus fuit, & alij. moritur anno ætatis DCCCCLXIX. Lamecho natus est Noa. Lamechus uerò mortuus est, expletis annis septingentis quinquaginta tribus. Noæ tres nati sunt filij, Semus, Camus, Iaphetus. Filij porrò Dei, conspectis filiabus hominum, eas uxores duxerunt. Vocat autem Dei filios scriptura, Sethi posteros, ob studium & cultū uirtutis: quo pacto etiam filios altissimi uocat eos, qui sunt uirtute prædití. Hominū uerò filias nominat, oriundas ex Caini posteritate. Iosephus autē ait, angelos accepisse filias hominū, eo sic (opinor) uocatos, quòd placerent Deo, illorumq; uitæ rationem æmularētur. Multiplicati homines, ad improbitatem deflexerunt, ac liberos genuere iniurios, & ex fiducia uirium temerarios: quibus numen offensum, etiam longæuitatem sustulit, uita hominum centum uiginti annis circunscripta. Noa uerò gratiosus fuit apud Deū. itaque continente in mare uehemens & diuturnum commutata, omne humanū genus interit.

Noa

Filij Dei. Filiæ hominum.

Angeli apud Iosephum.

Humanæ uitæ spacium contractū.

Noa solus diuina prouidentia arca lignea conseruatur, quam quadrangulam fabrefecit. longitudine cubitum CCC, latitudine quinquaginta, altitudine XXX. Eã conscendit ipse cum filiis, & mater, uxoresque eorum: ac feminibus uariis impositis, & animalibus cuiusque generis, ad genera eorum conseruanda, binis immundorum, & septenis paribus mundorum. Noa ab Adamo decimus numeratur, annis MMCCXLII elapsis usque ad diluuium. Apertis autem cœli cataractis ad dies XL, totidemque noctes, aqua XV cubitis montiū altissimorum cacumina superauit. Cū pluuia desiisset, & aqua post dies CL minueretur: arca ad quendā Armeniæ montem septimo mense applicuit. Noa uerò coruum per fenestram emisit, qui non reuersus est. Post dies aliquot emisit columbam, ea rediit. Septem diebus elapsis, eadem rursus emissa, festucam oliuæ retulit. Vnde intellexit, aquam defecisse in terra. Itaque Noa & uxor eius, & filii cum suis uxoribus, sunt egressi, & animalia quæ cum eis in arca fuerant, ac sacrificarunt Deo. Locum eum Excensum uocari ab Armeniis, tradit Iosephus, & arcæ reliquias ibi monstrari, ac mentionem facere diluuii & arcæ multos barbaricæ historiæ scriptores: ut Berosum Chaldæum, & Aegyptium Hieronymum, qui Phœnicias antiquitates scripserit, & Mnaseam Damascenum. Deus autem se non amplius talem cladem terræ » immissurum dixit, & uesci iussit animanti» bus (carnem tamen in sanguine animæ uetuit edere) & cæde hominum abstinere. Signum non perituræ aqua terræ, ut in diluuio factum, arcum in nube posuit, itidem per arcum intelligēdo. Noa post diluuiū uixit annos CCCL. moritur natus annos DCCCCL. Iosephus de multitudine annorum illius ætatis hominum sic ait: Nemo hanc uitam, annorumque paucitatem intuens, falsa existimet ea quæ de ueteribus me» morantur. Nam illos, cum Deo chari essent, & » ab ipso Deo orti, ac cibis etiam ad diuturnita» tem aptioribus uterentur: non mirum fuit, tan» tum temporis spacium uiuere. Altera longæ» uitatis causa fuit, utilitas rerum ab eis excogi» tatarum, ut astronomiæ & geometriæ: quæ de» prehendi ab eis certò & explicari haud potuis» sent, ni DC annos uixissent, quanto spacio ma» gnus annus cōpletur. Hæc ille. Noæ uerò filii, Semus, Chamus, Iaphetus, cum sedes suas è montibus in planiciem transtulissent: Noa plantata uinea, epotoque uino inebriatus nudatur. Ibi Chamus nuditate patris uisa, rem uelut per derisum senis fratribus nunciat. Verum illi ueste in tergum reiecta, retrorsum accesserunt, & nuditatem eius auersis oculis contexerunt. Qua de causa Noa discussa ebrietate, illos uotis remuneratur, Chamum detestatur. Campus quem incoluere Noæ filii, Sēnaar uocatur. Quorum cuique multis liberis natis, & in

Diluuiū ab anno Mundi 2242.

Excensus.

Iris.

Lōgeuitatis primorum hominum causæ.

Chamus ob derisum patrem diris obligatur.

νῶε δὲ μόνος σώζεται προμηθείᾳ θεοῦ ξυλίνῃ λάρνακι, ἣν τετράγωνον κατεσκεύασε, μῆκος μὲν ἔχουσαν πηχῶν τριακοσίων, τὸ δὲ πλάτος πεντήκοντα, καὶ τὸ βάθος τριάκοντα. ἐν ᾗ αὐτός τε καὶ οἱ παῖδες σὺν αὐτῷ, ἐμβεβήκεισαν, καὶ ἡ μήτηρ, καὶ αἱ γυναῖκες αὐτῶν, σπέρματά τε παντοῖα ἐνθέμενος, καὶ ζῶα ὁμοίως ἐκ γένους παντὸς, πρὸς διατήρησιν τῶν γενῶν αὐτῶν, ἀνὰ δύο μὲν τῶν μὴ καθαρῶν, ἑπτὰ δὲ ζεύγη ἑκάστου γένους τῶν καθαρῶν. δέκατος δὲ ἦν ὁ νῶε ἐκ τοῦ ἀδὰμ ἀριθμούμενος, καὶ μετὰ χιλιάδας δύο ἐτῶν πρὸς διακοσίοις τεσσαράκοντα καὶ δύο, μέχρι καὶ αὐτοῦ τοῦ κατακλυσμοῦ. ἀνοιχθέντων δὲ τῶν καταρρακτῶν τοῦ οὐρανοῦ ἡμέρας τεσσαράκοντα καὶ νύκτας, τὸ ὕδωρ ὑπὲρ πήχεις πεντεκαίδεκα ὀρῶν ὑψηλοτάτων γέγονε. λήξαντος δὲ λοιπὸν τοῦ ὑετοῦ, καὶ τοῦ ὕδατος ἐλαττουμένου μεθ' ἡμέρας ἑκατὸν καὶ πεντήκοντα, ἡ λάρναξ ὄρει τινὶ τῆς ἀρμενίας προσώκειλε, κατὰ τὸν μῆνα τὸν ἕβδομον. ὅτε καὶ ἀνοίξας ὁ νῶε, μεθίησι κόρακα. ὁ δὲ οὐκ ἐπανῆλθε. καὶ μεθ' ἡμέρας ἀφίησι περιστεράν, ἣ πάλιν ὑπέστρεψεν. ἑπτὰ δὲ διελθουσῶν ἡμερῶν, αὖθις ἀφῆκεν αὐτήν, ἡ δὲ κάρφος ἐλαίας φέρουσα ὑπενόστησε. κἀντεῦθεν ἔγνω, ἐκλελοιπέναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς. καὶ ἐξῆλθον νῶε καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ σὺν ταῖς αὐτῶν γυναιξί, καὶ τὰ ζῶα ὅσα ἦν μετ' αὐτῶν ἐν τῇ κιβωτῷ, καὶ ἔθυσε τῷ θεῷ. ἀποβατήριον δὲ τὸν τόπον καλεῖσθαι τοῖς ἀρμενίοις φησὶν ὁ ἰώσηπος, καὶ λείψανα δείκνυσθαι τῆς λάρνακος ἐκεῖ. μεμνῆσθαι δὲ καὶ τοῦ κατακλυσμοῦ καὶ τῆς κιβωτοῦ λέγει καὶ πολλοὺς τῶν τὰς βαρβαρικὰς ἱστορίας συγγεγραφότων, τὸν χαλδαῖόν τε βηρωσόν, καὶ ἱερώνυμον τὸν αἰγύπτιον, ὃς τὴν ἀρχαιολογίαν τὴν φοινικικὴν συνεγράψατο, καὶ τὸν ἐκ δαμασκοῦ μνασέαν. ὁ δὲ θεὸς μηκέτι ἐπάξειν ἐπηγγείλατο τοιοῦτόν τι πάθος τῇ γῇ. ἐνετείλατο δὲ πρὸς βρῶσιν κεχρῆσθαι τοῖς ζώοις, πλὴν κρέας ἐν αἵματι ψυχῆς μὴ ἐσθίειν, καὶ φόνου ἀνθρώπων ἀπέχεσθαι. σημεῖον δὲ τοῦ μηκέτι κατακλύσαι τὴν γῆν ἐν ὄμβρῳ, τὸ τόξον ἔθετο τὸ ἐν τῇ νεφέλῃ, τὴν ἶριν διὰ τοῦ τόξου δηλῶν. νῶε δὲ μετὰ τὸν κατακλυσμὸν βιώσας ἔτη τριακόσια καὶ πεντήκοντα, θνήσκει, ἐνιαυτῶν γεγονὼς ἐννακοσίων καὶ πεντήκοντα. φησὶ δέ γε περὶ τῆς πολυετίας τῶν ἀνθρώπων ἐκείνων ταῦτα τῷ ἰωσήπῳ· μηδεὶς ἂν πρὸς τὸν νῦν βίον καὶ τὴν βραχύτητα τῶν ἐτῶν, ψευδῆ νομιζέτω τὰ περὶ τῶν παλαιῶν ἱστορούμενα. οἱ μὲν γὰρ θεοφιλεῖς ὄντες, καὶ ὑπ' αὐτοῦ τοῦ θεοῦ γενόμενοι, καὶ διὰ τὸ ταῖς τροφαῖς ἐπιτηδειοτέραις κεχρῆσθαι πρὸς πλείονα χρόνον, εἰκότως ἔζων πλῆθος ἐτῶν τοσοῦτον. ἔπειτα καὶ διὰ τὴν εὐχρηστίαν ὧν ἐπενόουν, ἀστρονομίας τε καὶ γεωμετρίας, ἅπερ οὐκ ἦν ἀσφαλῶς αὐτοῖς κατανοῆσαί τε καὶ εἰπεῖν, μὴ ζήσαντας ἑξακοσίους ἐνιαυτούς. διὰ τοσούτων γὰρ πληροῦται ὁ μέγας ἐνιαυτός. οἱ δὲ τοῦ νῶε παῖδες, σήμ, χὰμ, καὶ ἰάφεθ, ἐκ τῶν ὀρῶν ἐς τὴν πεδιάδα κατῴκησαν. νῶε δὲ φυτεύσας ἀμπελῶνα, ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη. χὰμ δὲ τὴν γύμνωσιν τοῦ πατρὸς ἰδὼν, τοῖς συγγόνοις ἀνήγγειλεν, οἷον ἐπεγγελῶν τῷ πατρί. οἱ δὲ κατανώτου θέμενοι τὸ ἱμάτιον, τὴν πατρικὴν ἐκάλυψαν γύμνωσιν, ὀπισθοφανῶς ἰόντες, καὶ μὴ προσβλέψαντες τῷ πατρί. διὸ καὶ ἀνανήψας ὁ νῶε τοὺς μὲν εὐχαῖς ἠμείψατο, τῷ δὲ χὰμ κατηράσατο. τὸ δὲ πεδίον ὃ κατῴκουν οἱ υἱοὶ νῶε, κέκληται σενναάρ. πολλῶν δὲ γενομένων ἑκάστῳ παίδων, καὶ ὡς

ἴσως ἀντὶ τοῦ διὰ ξυλίνου λάρνακος.

ἴσως ἀντὶ τοῦ ἐν τῷ νέφει μετὰ τὸν κατακλυσμόν.

ὅτι ἄμπελον ἐφύτευσεν ὁ νῶε μετὰ τὸν κατακλυσμόν, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.

καὶ ὡς γενεὰς πολλὰς παρελθόντων, ἐπληθύνθησαν οἱ τούτων ἀπόγονοι. Νεβρὼδ δέ τις ὁ τοῦ Χὰμ υἱωνός, ὃς πρῶτος ὤφθη γίγας ἐπὶ τῆς γῆς, τολμηρὸς καὶ κατὰ χεῖρας γενναιότερος τῶν ἄλλων ὑπάρχων, εἰς τυραννίδα τὰ πράγματα περιίστησι, καὶ πύργον οἰκοδομῆν αὐτοῖς ὑπετίθετο ἐξ ὀπτῆς πλίνθου δεδομημένον. ἀλλ' ὁ θεὸς τὰς τούτων βουλὰς διεσκέδασεν εὐφυῶς, ἀσυνέτους τῶν παρ' ἀλλήλων φωνῶν διὰ τοῦ τῶν γλωσσῶν μερισμοῦ τούτους ἐργασάμενος. τὸ δὲ πεδίον ἐκεῖνο νῦν Βαβυλὼν καλεῖται, διὰ τὴν περὶ διάλεκτον σύγχυσιν. Ἑβραῖοι μὲν γὰρ Βαβὲλ καλοῦσι τὴν σύγχυσιν. σκεδάννυνται δὲ λοιπὸν ὑπὸ τῆς ἀλλογλωσσίας, ὡς πᾶσαν ἤπειρον καὶ νῆσον πληρῶσαι αὐτούς. σκεδασθέντων δὲ τῶν ἐκγόνων τοῦ Νῶε, ἐξ ἐκείνων τὰ ἔθνη συνέστησάν τε καὶ ὠνομάσθησαν. ἑπτὰ γὰρ ὁ Ἰάφεθ υἱοὺς ἐγέννησεν, οἱ ἀπὸ τοῦ Ταύρου καὶ Ἀμάνου τῶν ὀρῶν προελθόντες, ἐπὶ μὲν τῆς Ἀσίας ἄχρι ποταμοῦ Τανάιδος, ἐπὶ δὲ τῆς Εὐρώπης ἕως Γαδείρων, ὧν τοῖς ὀνόμασι καὶ ἔθνη ἐπεκλήθησαν. Γομαρεῖς μὲν ἀπὸ Γόμερ, οἱ νῦν Γαλάται λεγόμενοι. Μαγώγας δὲ ἀπ' αὐτοῦ ὀνομασθέντας ὁ Μαγώγ, Σκύθαι δὲ νῦν καλοῦνται. ἐκ δὲ Ἰωυὰν Ἴωνες καὶ πάντες Ἕλληνες ἐπεκλήθησαν. ἐκ Μαδαὶ δὲ Μαδαῖοι, οἱ Μῆδοι προσαγορεύονται νῦν. Θοβὲλ Θοβήλους ἀπ' αὐτοῦ ἐπωνόμασεν· εἰσὶ δὲ Ἴβηρες. ὁ δέ γε Μοσὸχ τοῦ γένους κατῆρξε τῶν Μοσχηνῶν, Καππαδόκαι νῦν νομίζονται. Θειρὰς δὲ Θείρας ἀπ' αὐτοῦ προσηγόρευσεν, οἱ Θρᾷκες μετωνομάσθησαν ὕστερον. ἐκ δὲ τῶν ἐκγόνων Ἰάφεθ Ἀσχανάξαι μὲν οἱ κληθέντες Ῥηγῖνες, ἐξ Ἀσχανὰξ προήχθησαν· Ῥιφαθαῖοι δὲ (οὕτω πρὶν τοὺς Παφλαγόνας ἐκάλουν) ἐκ Ῥιφὰθ τὸ γένος ἕλκειν πιστεύονται. καὶ Θοργαμαῖοι τὸν Θοργαμᾶν πρόγονον ἑαυτοῖς ἐπιγράφουσιν, οἱ Φρύγες μετεκλήθησαν ὕστερον. Ἐλισὰν δὲ Ἐλισαίων ἀρχηγέτης ἐγένετο, οἳ πρὶν ἦσαν Αἰολεῖς. καὶ Θαρσεὺς τῶν Θαρσέων ἐγένετο πρόγονος· τὸ γὰρ πάλαι Θαρσεῖς ἐκαλοῦντο οἱ Κίλικες. ὅθεν καὶ ἡ τῶν παρ' αὐτοῖς πόλεων ἀξιολογωτέρα Ταρσὸς καλεῖται, τοῦ θῆτα μεταβληθέντος εἰς ταῦ. οὕτως τῷ Ἰωσήπῳ γέγραπται περὶ τῆς Ταρσοῦ. ἕτεροι δὲ τὸν Περσέα φασὶν εἰς τὴν Κιλίκων χώραν ἀφικόμενον, καὶ πόλιν θελήσαντα κτίσαι, καὶ τὸν τόπον τῆς πόλεως τοῖς οἰκοδόμοις δεικνύοντα, τῷ ταρσῷ τοῦ ποδὸς πατάξαι τὴν γῆν, καὶ τοῦθεν ἐπικληθῆναι τὴν πόλιν Ταρσόν. Χέθιμα δὲ τὴν νῆσον συνῴκισεν ὁ Χεθίμ. ἡ Κύπρος αὕτη δὴ παρ' Ἑλλήνων οὕτω κεκλήκασι, διὰ τὴν παρ' αὐτοῖς θεόν. τὴν Ἀφροδίτην γὰρ Κύπριν προσαγορεύουσιν. οἱ δέ γε παῖδες τοῦ Χάμ, τὴν ἀπὸ Συρίας καὶ Ἀμάνου καὶ Λιβάνου τῶν ὀρῶν γῆν κατέσχον, καὶ ὅσα πρὸς θάλασσαν αὐτῆς ἐτέτραπτο μέχρις ὠκεανοῦ, κατειλήφασι. καὶ Χουσαῖοι μὲν ἐκ Χοὺς Χουσαῖοι, Αἰθίοπες οὗτοι εἰσί. Μεσρὲμ δὲ Μεσραίων προπάτωρ ἐγένετο. οὕτω δὲ καλοῦνται Αἰγύπτιοι, καὶ ἡ τῆς Αἰγύπτου χώρα Μεσρὴν ὀνομάζεται. Φοὺτ δὲ τὴν Λιβύην κατῴκισε, καὶ Φούτους τοὺς τῆς χώρας ἐκάλεσε, Φούτην δὲ τὴν χώραν αὐτήν. μετεβλήθη δὲ ἡ κλῆσις αὐτῆς μετέπειτα εἰς Λιβύην ἐκ Λιβύος υἱοῦ Μεσρέμ. Χαναὰν δὲ τὴν κληθεῖσαν ὕστερον Ἰουδαίαν συνῴκισε, Χαναναίαν αὐτὴν προσαγορεύσας, καὶ Χαναναῖοι ἀπ' αὐτοῦ. οἱ δὲ Μεσρὲμ παῖδες τὴν ἀπὸ Γάζης ἕως Αἰγύπτου κατέσχον γῆν. μόνου δὲ Φιλιστιεὶμ τὴν ἐπωνυμίαν διεφύλαξεν ἡ ἐκείνου μερίς, ἣν Παλαιστίνην Ἕλληνες ὀνομάζουσι. Σιδώνιος δὲ παῖς πρωτότοκος Χαναὰν, ἐν Φοινίκῃ πόλιν ἀνῴκισε, Σιδῶνα καλέσας αὐτήν. Ἀμαθὶ δὲ Ἀμάθην ἔκτισε πόλιν, ἣν Μακεδόνες κατῴκισαν, τὴν δὲ πόλιν Πτολε-

ἀπὸ τῶν Νῶε ἀπογόνων διασκεδασθέντων ὑπὸ τῆς ἀλλογλωσσίας, τὰ ἔθνη κατωνομάσθησαν καὶ μετωνομάσθησαν.

διὰ τί Ταρσὸς ὀνομάζεται.

& in familias propagatis: multiplicati sunt eorum posteri. Nemrodus Chami nepos, qui primus in terris gigas uisus est, homo audax, & robore manuū præstans cæteris: tyrannicū imperium instituit, ac eis cōdendæ turris ex coctis lateribus autor fuit. Sed Deus institutum eorum callide elusit, iniecta linguarū diuersitate, ut alij aliorum sermonem non intelligerent. Campus ille nunc Babylon uocatur, ob sermonum confusionem. nam Babel Hebrçis est cōfusio. Ob eam linguarum diuersitatem ita fuere dispersi, ut omnem continentē, omnes insulas complerent. Ex illis Noæ posteris ita dissipatis, gentes conditæ & cognominatæ sunt. Iaphetus quidē VII genuit filios, qui à montibus Tauro & Amano progressi sunt, in Asia usque ad Tanaim fluuium: in Europa, usq; ad Gades, quorum cognomina gentibus sunt indita. Gomares enim à Gomer, nunc Galatæ dicuntur. Magogos suos posteros nominauit Magog, nunc Scythę uocantur. Ab Iouan Iones & omnes Græci cognomen habēt. A' Madai Madæi, hoc est Medi, nunc uocantur. Thobel Thobelos à se cognominauit, Iberes hi sunt. Mosoch autor fuit Meschenorum, qui nunc Cappadoces habentur. Thiras à se nominauit Thiros, qui mutato pòst nomine Thraces dicti sunt. Ab Iapheti porrò posteris hi orti sunt. Alchanaxes, Regenes dicti, ab Aschanaxo: Riphatęi (sic olim Paphlagones uocabant) genus ducere à Riphato credunt. Thorgamæi Thorgamā autorē iactāt, pòst mutato nomine Phryges appellati. Elisan Alisæorū princeps extitit, qui sunt Aeolenses: & Tharseus Tharsensiū. sic enim olim Cilices uocabant: unde præcipua urbs eorū Tarsus dicit, facta unius literæ mutatione. Sic enim Iosephus de Tarsó scribit: Alij dicūt, Perseum in Ciliciā profectum, ac de cōdenda urbe cogitantē, dum fabris locū urbis demonstraret, planta pedis terrā percussisse, atq; inde urbē (ταρσὸς enim plantā Latinis significat) cognominatā. Chetimā insulā Chetim excoluit: hæc Cyprus est, quam Græci à Dea sua Cypride, hoc est Venere denominãt. Chami liberi Syriā & Amanū ac Libanū montes tenuere, & quicquid terræ illius mare spectat, usq; ad Oceanū occuparūt. A Chuso Chusæi sunt orti, hoc est, Aethiopes. Mesrem Mesræorū (sic Aegyptij uocant, & terra Aegypti Mesren) cōditor extitit. Phut Libyam incoluit, & regionis incolas Phutos nominauit, ipsamq; regionē Phutam. Pòst appellatio eius in Libyam est mutata, à Liby filio Mesremi. Chanaā Chananæā, pòst Iudęā uocatā, incoluit, nomine à se indito: populus Chananęi dictus. Mesremi liberi terrā quę est à Gaza Aegyptum usq;, tenuerūt. Verùm solius Philistijm nomen pars illius retinuit, quā Græci Palæstinā dixerūt. Sidonius primogenitus Chanaanis filius, urbē à se in Phœnicia conditā Sidonē appellauit. Amathes urbē Amathā, Macedonibus habitatā, cōdidit: cuius urbis nomē Ptolemæus

Nemrodus

Linguarū confusio.

Noæ posteri terrarū orbem occupant.

Ptolemæus cognomento Epiphanes, in Epiphaniam cōmutauit. Semo Noæ filio v nati filij, sumpto ab Euphrate initio, Asiā usq; ad Indicum Oceanum incoluerunt. Elam Elymæos Persarū maiores reliquit. Asur urbē Ninū condidit, & populū suū Assyrios uocauit. Arphaxad Chaldæorū fuit autor. Arā eos qui post Syri nominati sunt, Aramæos à se uocauit. Lud Ludos dixit, qui post Lydi sunt appellati. Cū autem Arami IIII essent filij, alius Trachonitidem & Damascum condit, quæ inter Palæstinam & Cœlesyriā interiacet: alius Armenios, alius Bactrianos. Arphaxadi filius fuit Cainā, Cainanis Sala, is Eberis pater. Eber Phalecum genuit, ob terræ diuisionē sic appellatum. Nam cum illius temporis homines diuiderentur, etiam terræ facta est partitio. Hebræi autē partitionem Phalec dicunt, quæ gens ab Ebere autore suo nomen habet. Phaleci filius fuit Ragab, Ragab autē pater Seruchi. is Nachorum genuit, Nachorus Tharā, Thara Abrahamum.

Abraamus ob Dei prædicationem exulatū abit.

Gentis porro Hebræorum autor & patriarcha suæ nationis magnus iste Abrahamus extitit, genere Chaldæus, à Noa decimus, annis CCLXXXXII elapsis, ex quo Deus terrā uniuersam undis demerserat. Hic impijs ortus maioribus, primus cognouit Deum unum, rerū uniuersitatis opificē, autore ex operibus deprehenso, cui soli tribuendum honorē asserebat. Qua de re controuersia inter eum & Chaldæos orta, demigrauit illinc, autore quē cognouerat Deo, & Cananæam tenuit. Quam cum fames premeret, abijt in Aegyptū, ibiq; ob sapiētiam admirationi habitus, Arithmeticā & Astronomiam rudibus tum artium illarū Aegyptijs tradidit: quæ quidem à Chaldæis in Aegyptū, atq; inde in Græciam transisse perhibentur.

Chaldæi mathematum autores.

Assyrijs autē Sodomitas aggressis, apud quos Lotus fratris Abrahami filius, & Saræ frater habitabat: ac multis Sodomitarum interfectis, cæterisq; captis, Lotus etiam inter cæteros capitur. Quo Abrahamus intellecto, cum CCCXVIII uernis & III amicis Assyrios persequitur, Lotum ac Sodomitas liberat. Reuertentē ab hostiū persecutione, urbis Solymæ Rex nomine Melchisedecus (qui Græcis regem iustū significat) excipit. Solyma uerò tum dicebatur urbs Hierusalem. Adeò uetusta illa est, atq; omnes antiquitate superat. Deus approbata uirtute Abrahami, remunerationem illi pollicetur. Illo autem dicente, quoduis sibi beneficium insuaue fore, qui hærede careret (nequedū enim germanam sobolem susceperat, Saræ uulua obstructa) Deus etiam filium ei se daturum promittit, à quo magnus populus esset propagandus, stellis numero par: cumq; uni cum suis masculi sexus pudenda circumcidere iussit, ne genus eius cum alijs gentibus confunderetur: itaque circumciduntur. Abrahamo iam centenario nascitur è Sara filius, Dei iussu Isaacus appellatus, quod risum significat: siue quòd

Isaacus.

Sara

πτολεμαῖος ὁ ἐπιφανὴς λεγόμενος, ἐπιφάνειαν μετωνόμασε. σὴμ δὲ τῷ υἱῷ νῶε πέντε τίκτονται παῖδες, οἳ τὴν μέχρις ὠκεανοῦ τοῦ κατ' ἰνδίαν οἰκοῦσιν ἀσίαν, ἀπὸ εὐφράτου ἀρξάμενοι. ἐλὰμ μὲν οὖν ἐλυμαίους περσῶν ὄντας ἀρχηγέτας κατέλιπεν. ἀσοὺρ δὲ νίνον οἰκίζει πόλιν, καὶ τοὺς ὑπ' αὐτὸν ἀσσυρίους ὠνόμασε. καὶ ἀρφαξὰδ χαλδαίων προπάτωρ ἦν. ὁ ἀρὰμ δὲ τοὺς σύρους κληθέντας ὕστερον, ἀραμαίους ἐξ ἑαυτοῦ προσηγόρευσεν. ὁ δὲ λοὺδ λούδους προσηγόρευσεν, οἳ λυδοὶ μετέπειτα προσηρρήθησαν. τῶν δὲ υἱῶν ἀρὰμ τεσσάρων ὄντων, ὁ μὲν τὴν τραχωνῖτιν οἰκίζει, καὶ τὴν δαμασκόν. μέση δ' ἐστὶ παλαιστίνης καὶ κοίλης συρίας. ὁ δὲ ἀρμενίαν, βακτριανοὺς δὲ ὁ ἕτερος. τοῦ ἀρφαξὰδ δὲ υἱὸς καϊνάν, παῖς καϊνὰν ὁ σαλά. οὗτος δὲ πατὴρ ἔβερ. ἔβερ δ' ἐτέκε τὸν φαλὲγ, οὕτω κληθέντα διὰ τὸν τῆς γῆς μερισμόν. ὅτε γὰρ ἡ διαίρεσις γέγονε τῶν τότε ἀνθρώπων, καὶ ὁ τῆς γῆς μερισμὸς τότε ἐπέσχε· φάλεκ γὰρ ἑβραῖοι τὸν μερισμὸν ὀνομάζουσιν. ἑβραίων δὲ τὸ ἔθνος ἐκ τοῦ ἔβερ ἀρχηγέτου ἐκλήθη. τοῦ φαλὲγ δὲ ὁ υἱὸς ὁ ῥαγαύ, ὁ δὲ ῥαγαὺ πατὴρ τοῦ σερούχ. οὗτος δ' ἐτέκε τὸν ναχώρ, ἐκ ναχὼρ δὲ θάῤῥα προῆλθε, θάῤῥα δὲ πατὴρ ἀβραάμ. τοῦ δὲ τῶν ἑβραίων γένους προπάτωρ καὶ πατριάρχης τῶν αὐτοῦ πατριῶν ὁ μέγας οὗτος γέγονεν ἀβραάμ, ὃς χαλδαῖος μὲν ἦν τὸ γένος, δέκατος ἐκ νῶε γενόμενος, διακοσίων ἐτῶν καὶ ἐνενήκοντα πρὸς δυσὶ διεληλυθότων, ἐξ ὅτου τὴν γῆν ἅπασαν ὁ θεὸς ἐπομβρίᾳ κατέκλυσεν. οὗτος προγόνων ὢν ἀσεβῶν, πρῶτος ἔγνω θεὸν ἕνα, τὸν τῶν ὅλων δημιουργόν, ἐκ τῶν ποιημάτων καταλαβὼν τὸν ποιητήν, καὶ τούτῳ μόνῳ τὴν τιμὴν ἀπονέμειν δεῖν ἔλεγε. στασιασάντων δὲ διὰ ταῦτα πρὸς αὐτὸν τῶν χαλδαίων, μετανάστης ἐκεῖθεν, τοῦ γνωσθέντος αὐτῷ κελεύσει θεοῦ, καὶ τὴν χαναναίαν ἔσχηκε γῆν. λιμοῦ δὲ τὴν χαναναίαν πιέζοντος, μετανάστης εἰς αἴγυπτον. καὶ θαυμασθεὶς ἐπὶ συνέσει, τήν τε ἀριθμητικὴν τοῖς αἰγυπτίοις καὶ τὰ περὶ ἀστρονομίας, ἀμαθῶς τούτων ἔχουσι, παραδέδωκεν. ἐκ χαλδαίων γὰρ λέγεται φοιτῆσαι ταῦτα πρὸς αἴγυπτον, κἀκεῖθεν πρὸς ἕλληνας. ἀσσυρίων δ' ἐπελθόντων τοῖς σοδομίταις, οἷς συνῴκει καὶ λώτ, ἀδελφόπαις ὢν ἀβραάμ, τῆς σάῤῥας τε ἀδελφός, καὶ πολλῶν μὲν πεσόντων σοδομιτῶν, αἰχμαλωτισθέντων δὲ τῶν λοιπῶν, καὶ λὼτ τοῖς σοδομίταις συνηχμαλώτευτο. ὃ μαθὼν ἀβραάμ, σὺν τριακοσίοις ὀκτὼ καὶ δέκα οἰκέταις αὐτοῦ, καὶ φίλοις τρισί, κατεδίωξεν ὀπίσω τῶν ἀσσυρίων, καὶ τούς τε σοδομίτας ἔσωσε, καὶ τὸν λώτ. ἐπανιόντι δ' ἐκ τῆς διώξεως, ὁ τῆς σολύμων πόλεως βασιλεὺς αὐτὸν ὑποδέχεται, κεκλημένος μελχισεδέκ. σημαίνει δὲ τοῦτο μεθαρμοζόμενον εἰς τὴν ἑλλήνων διάλεκτον, βασιλεὺς δίκαιος. σόλυμα γὰρ ἦν ὄνομα τότε τῇ πόλει ἱερουσαλήμ· οὕτως ἀρχαία λίαν ἡ πόλις, καὶ χρόνῳ τὰ πρεσβεῖα κληρωσαμένη κατὰ πασῶν. τῆς ἀρετῆς δὲ τὸν ἀβραὰμ ἀποδεξάμενος ὁ θεός, ἀμοιβὴν ὑπὲρ αὐτῆς ἐπηγγέλλετο. τοῦ δὲ φαμένου ἄχαρι εἶναι αὐτῷ δοκεῖν εὐεργέτημα, μὴ ἔχοντι τὸν τοῦτο διαδεξόμενον (ἦν γὰρ ἔτι γονῆς ἀμοιρῶν γνησίας, ὅτι τὴν μήτραν ἡ σάῤῥα πεπήρωτο) ὁ θεὸς καὶ παῖδα δώσειν αὐτῷ καθυπέσχετο, καὶ ἐξ ἐκείνου μέγα προελθεῖν ἔθνος, τοῖς ἄστρασι τὸν ἀριθμὸν ἐξισούμενον. καὶ περιτεμεῖν τὰ αἰδοῖα αὐτὸν καὶ τοὺς ὑπ' αὐτὸν ἐκέλευσεν ἄῤῥενας, ἵν' ᾖ τὸ γένος αὐτοῦ τοῖς ἄλλοις ἔθνεσιν ἀνεπίμικτον, καὶ περιτέτμηνται. γίνεται τοίνυν τῷ ἀβραὰμ παῖς ἑκατὸν γεγονότι ἐνιαυτῶν ἐκ τῆς σάῤῥας, ὃν ὁ θεὸς ἰσαὰκ καλέσαι προσέταξε. δηλοῖ δὲ τὸ ὄνομα γέλωτα, ἢ ὅτι

περὶ τῶν τοῦ ἀρὰμ υἱῶν, καὶ ὧν ᾤκισαν.

περὶ τοῦ ἀβραάμ, ὅτι πρῶτος ἔγνω τὸν θεὸν ποιητὴν τοῦ παντός.

περὶ τῆς τῶν σοδομιτῶν αἰχμαλωσίας, καὶ ὅπως ἐῤῥύσθησαν καὶ ὁ αἰχμαλωτισθεὶς λώτ.

ὅτι τῷ ἀβραὰμ ὁ θεὸς υἱὸν ἐπηγγέλλετο, καὶ τὸ σπέρμα αὐτοῦ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ. καὶ ὅπως περιτέμνεται, καὶ ὅτι τὸ ἰσαὰκ γέλως ἑρμηνεύεται.

μαδίας

οἱ μὲν ἰουδαῖοι τῇ ὀγδόῃ ἡμέρᾳ περιτέμνονται, οἱ δὲ ἄραβες τῷ τρισκαιδεκάτῳ ἔτει.

μονάδι ἅμα τῇ σάῤῥᾳ ἐγένετο, τέξεσθαι αὐτὴν τοῦ θεοῦ χρηματίσαντος, διὰ τὸ μὴ ὑπολαβεῖν δύνασθαι, πρεσβυτέρους ὄντας, ἢ μὴ πρότερον καίπερ τεκεῖν (ἐνενήκοντα γὰρ ἐτῶν τὸν ἰσαὰκ τεκοῦσα ἐτύγχανεν) ἐκ τοῦ γέλωτος ὑποθεῖσα τοῖς γονεῦσι τὸ παιδίον ἐγένετο, θυμηδίας δηλαδὴ καὶ χαρᾶς. τεχθέντα δὲ τὸν παῖδα εὐθὺς, κατὰ τὴν ὀγδόην ἡμέραν ὁ πατὴρ περιτέμνει. ἐξ ἐκείνου καὶ τοῖς ἰουδαίοις γίγνεται τὸ περιτέμνεσθαι. ἄραβες δὲ μετὰ τρισκαίδεκα ἔτη τοὺς παῖδας περιτέμνειν εἰώθασιν, ὅτι καὶ ἰσμαὴλ ὁ κτίστης αὐτῶν ἐν τούτῳ τῷ χρόνῳ περιτέμνεται. τρισκαίδεκα γὰρ ἦν ἐτῶν, ὅτε τῷ ἀβραὰμ ὁ θεὸς ἐπέταξε τὴν περιτομήν. σημαίνει δὲ τὸ ὄνομα τοῦτο θεόκλητον, ὡς τοῦ θεοῦ τῆς ἱκεσίας ἀβραὰμ ἐπακούσαντος, καὶ παῖδα δόντος αὐτῷ. ἐγέννησε δὲ τοῦτον ἐκ παιδίσκης, ἣν ἡ σάῤῥα αὐτῷ συγκατέκλινεν. ἰδίας δὲ ἀμοιροῦσα τότε γονῆς, οἰκεία παιδίσκη, ἄγαρ ὀνομαζομένη, αἰγυπτία τὸ γένος, μιγῆναι τὸν ἄνδρα ἐπέτρεψε, καὶ τεκούσης ἐκείνης τὸν ἰσμαὴλ, ᾠκειώσατο τὸ παιδίον ἡ σάῤῥα. τεκοῦσα δὲ καὶ τὸν ἰσαὰκ, τὴν ἄγαρ σὺν τῷ υἱῷ φυγὴν διὰ ζηλοτυπίαν κατεψηφίσατο. ἀνδρωθέντος δὲ τοῦ ἰσαὰκ, ἢ ἀνδρωθέντος κατὰ τὸν ἑβραῖον ἰώσηπον (εἴκοσι γὰρ καὶ πέντε ἐνιαυτῶν φασὶν ὄντα τὸν ἰσαὰκ τότε) πεῖραν ὁ θεὸς ἐπάγει τῷ ἀβραάμ, καὶ κελεύσας αὐτὸν θῦμα προσαγαγεῖν κελεύει τὸν υἱόν, καὶ εἰς τὸ τῶν ὀρῶν ἀναγαγόντα τὸν μονογενῆ, τὸν ἀγαπητὸν, ὁλοκαυτῶσαι. καὶ οὐκ ἀντεῖπεν ὁ ἀβραάμ, ἀλλὰ τὸν παῖδα παραλαβὼν, καὶ εἰς τὸ ὑποδειχθὲν αὐτῷ ὄρος
» ἀναγαγὼν, τὸν θεῖον αὐτῷ κοινοῦται χρησμόν, καὶ γενναίως
» οἴσειν τὴν καθιέρωσιν παραινεῖ, κελεύοντος τοῦ θεοῦ. ὁ δὲ πείθεται, καὶ ἑκὼν ἑαυτὸν ἐπιδίδωσι πρὸς καθιέρωσιν, μὴ δίκαιον εἶναι φήσας θεοῦ καὶ πατρὸς ἀντιτείνειν θελήματι. ὥστε ταῦτα τὸν ἰώσηπον ἱστόρηται. εἶτα φείσασθαι τοῦ υἱοῦ κελεύεται ἀβραάμ, καὶ κριὸς αὐτομάτως εἰς ὁλοκαύτωσιν ἀντιδίδοται. μετὰ ταῦτα θνήσκει μὲν σάῤῥα, ἐτῶν οὖσα ἑκατὸν εἴκοσι πρὸς ἑπτά. ὁ δὲ ἀβραὰμ ἑτέραν ἠγάγετο, λεγομένην χετούραν, ἐξ ἧς υἱοὶ αὐτῷ φύονται ἕξ. τῷ ἰσαὰκ δὲ περὶ τεσσαρακοστὸν ἔτος γεγονότι, μνηστεύεται ὁ πατὴρ ῥεβέκκαν ἐκ μεσοποταμίας, θυγατέρα βαθουήλ, υἱοῦ ναχώρ, ἀδελφοῦ ἀβραάμ. ἔπειτα τελευτᾷ μὲν ἔτη ζήσας ἑκατὸν ἑβδομήκοντα καὶ πέντε. γήμας δὲ τὴν ῥεβέκκαν ὁ ἰσαὰκ, διδύμους παῖδας ἐκ ταύτης γεννᾷ· ὧν τὸν μὲν πρεσβύτερον καθόλου τοῦ σώματος δασὺν ἐκ φύσεως θριξὶν, ἡσαῦ ἐκάλεσε, διὰ τὴν τρίχωσιν. τὸν νεώτερον δὲ ἐχόμενον τῆς πτέρνης τοῦ ἀδελφοῦ, τῆς μητρικῆς προελθόντος γαστρός, διὸ καὶ ἰακὼβ ὠνομάσθη. πτερνιστὴν δὲ τὸ ὄνομα καθ' ἑβραίους δηλοῖ. γηράσας ἐν τούτοις ὁ ἰσαάκ, καὶ τὰς ὄψεις πεπηρωμένος, καὶ τὸν ἡσαῦ προσκαλεσάμενος (προτετίμητο γὰρ ἐκεῖνος διὰ τὰ πρωτοτόκια) καὶ θηρεῦσαι κελεύει, καὶ ἑτοιμάσαι δεῖπνον αὐτῷ, ἵνα φαγὼν (φησὶν) εὐλογήσω σε πρὸ τοῦ με ἀποθανεῖν. καὶ ἡσαῦ μὲν ἔξεισι πρὸς θήραν. ἡ δὲ ῥεβέκκα φιλοῦσα μᾶλλον τὸν ἰακὼβ, καὶ τοῦτον καλέσασα, εἶπεν ἃ ὁ πατὴρ ἐπέταξε τῷ ἡσαῦ. καὶ ἀπιοῦσαν προσεκελεύσατο πρὸς τὸ ποίμνιον, καὶ δύο κομίσαι ἁπαλοὺς ἐρίφους αὐτῇ, ὡς ἂν ἐκ τούτων ἐδέσματα ἑτοιμάσῃ τῷ γέροντι, οἷα φιλεῖν ἐκεῖνον ἠπίστατο, καὶ φαγὼν εὐλογήσῃ αὐτόν. ὁ δὲ ποιεῖ κατὰ τὰς μητρικὰς ἐντολάς. ἤδη δὲ παρεσκευασμένου τοῦ ἐδέσματος, τοὺς βραχίονας τοῦ παιδὸς περιελίσσει ταῖς τῶν ἐρίφων δοραῖς, καὶ δίδωσι τὸ δεῖπνον ἐπαγαγεῖν τῷ πατρί. ἰσαὰκ δὲ τῇ φωνῇ τὸν ἰακὼβ εἶναι τὸν προσιόντα αἰσθόμενος, ἐγγύτερον προσκαλεῖται αὐτόν, καὶ τῶν χειρῶν ἐπαφᾶται. τοῦ θεοῦ δὲ πάντως τὸν ἡσαῦ εὐλογίας ἀνάξιον κρίναντος, ἔδοξεν ἰσαὰκ τὸν πρωτότοκον αὐτῷ παρεστάναι υἱόν. ἀπάτη τε δὲ

ἔτι δὲ ἰσμαὴλ ἐκ τῆς ἄγαρ.

εἴκοσι καὶ πέντε ἐτῶν ὢν ἰσαὰκ, ἐκελεύσθη ὁλοκαυτωθῆναι ὑπὸ τοῦ πατρὸς αὐτοῦ ἀβραάμ.

τάχα

Sara, dato oraculo de partu suo, riserat: quòd ob effœtã ætatẽ, promissionũ fidẽ habere difficile, neq; ulla spes plus erat (nonagenaria enim Isaacũ peperit:) siue quòd puer, risus occasio fuerit parẽtibus, hoc est, alacritatis & lætitię. Octauo post natiuitatẽ die puer circũciditur: qui mos etiã à Iudæis obseruatur. Arabes uerò anno XIII circũcidere pueros solẽt, quòd Ismael gẽns cõditor circa eã fuerit ætatẽ circũcisus. Nam quo tẽpore circũcisionẽ Abraamo mãdarat Deus, XIII annorũ fuerat. Significat autẽ Ismaelis nomen, diuinitus uocatũ: quippe quòd Deus Abrahamũ supplicis uoti cõpotem reddidisset, dato filio. Genuit autẽ hũc ex ancilla, cum qua cum Sararem habere iusserat. Nam quia tum ex sese nihil párere poterat, à marito petijt, ut cum ancilla domestica, Aegyptia genere, cui nomen Agar erat, concũberet: è qua natũ Ismaelem, pro filio sibi uẽdicauit. Post tamẽ Isaacum genitum, Agarẽ cum filio ex æmulatione relegauit. Cum adoleuisset Isaacus, aut ut Iosephus Hebræus tradit, uir factus esset (nam Isaacum tum quindecim annorum fuisse ait) Deus periculum facit Abrahami, & filium immolare iubet, atq; in monte quodã adolere unigenitum illum & dilectũ. Non refragatur Abrahamus: sed filio assumpto, & in designatũ à Deo montem abducto, communicat oraculum: hortatus, ut quoniam Deus ita iussisset, consecrationem fortiter ferret. Paret ille, & ultro se offert uictimam. Neq; enim æquum esse, Dei & patris uoluntati aduersari. Sic ista Iosephus refert. Deinde filio parcere iubetur Abrahamus, & aries ultrò ad incẽsum substituitur. Post hęc Sara moritur, annos nata CXXVII. Abrahamus aliam uxorem ducit, Cheturam nomine, è qua filij sex ei nascuntur. Isaaco annos circiter XXXX nato, Rebeccã filiam Bathuelis, fratre Abrahami Nachore nati, in Mesopotamia despondet. Deinde moritur, cum uixisset annos CLXXV. Isaacus Rebecca ducta, gemellos ex ea procreat: quorũ natu maior, ob hirtos toto corpore pilos, Esaus uocatus. minor plantã maioris, qui prior ex utero materno exilierat, manu retinet: ob id Iacobus appellatus, quod supplantatorẽ notat. Pòst senio cõfectus Isaacus, atq; orbatus oculis, uocat Esaũ (is enim ob ætatis prerogatiuã preferebatur alteri) uenatũ ablegat, ut cœnã sibi pararet, quò (inquit) ante obitum meũ tibi bene precer. Esaus uenatũ proficiscitur. Rebecca Iacobi amãtior, illi accersito, quid pater Esao iussisset, dicit: mandat, ut è grege duos teneros hœdos afferat, quò ex ijs edulia cõficeret seni, quib. cũ delectari sciebat: ijsq; comesis, ipsi bene precaretur ille. Paret maternis iussis Iacobus. Paratis iam edulijs, brachia filij pellibus hœdorũ inuoluit mater, & cœnã dat, patri offerendã. Isaacus Iacobũ ex uoce agnitum, proximè se accedere iubet, manusq; contrectat. Sed quia Deus Esaum faustis ominibus semel indignum iudicarat, putauit Isaacus primogenitum sibi filium astitisse (pilorum

Circũcisio Iudæorũ & Arabum.

Ismael.

Agar.

Isaacus immolandus.

Esau.

Iacobus.

Rebecca dolus.

Iacobus prosperitatem Esaũ intercipit.

b forsan

forsan asperitate deceptus) ciboque sumpto, bene precatus est Iacobo. Redit & Esaus, oblataque patri cœna, faustam comprecationem postulat. Agnoscit ille imposturã: &, Frater tuus, inquit, illam intercepit. Quo eiulante, & faustam comprecationem flagitante (neque enim unicam duntaxat illi esse) motus precibus Isaacus, bene precari homini instituit ille quidem, sed quia id resonãti in eo spiritui sancto nõ placebat, quòd tali fortuna indignus esset Esaus, Isaaci uox pro fausta precatione in execrationem uertebat. His de causis infensus fratri fit Esaus: qui illius metu perculsus, de cõsilio matris in Mesoporamiã discedit. Inter proficiscendum, ostentum illud scalæ celebratũ in somnis uidet, cuius una pars terræ, altera cœlo inniteretur, & futurarũ cognitione rerum diuinitùs instruitur. Locum oblatæ uisionis Bæthel uocat, quod diuinũ domiciliũ Græcis sonat. Profectus Carram, apud Labanẽ Rebeccæ matris fratrem diuertit: à quo exceptus hospitaliter, curæ gregũ præficitur. Labani porrò duæ erãt filię: natu maiori Liæ, minori Rachelis nomen erat. Iacobus amore iunioris corripitur, quæ sororem forma superabat: & Labanẽ de ea alloquitur. Is desponsurum se illam ei pollicetur, si septẽ sibi annos inseruiat. Annuit amator, tempus elabitur, nuptias apparat socer: sed noctu filiam natu maiorem Iacobo in thalamũ adducit. Qui manè impostura cognita, cum socero de iniuria expostulat. Ille autẽ Rachelẽ etiam ei post alterius septennij seruitutẽ pollicetur. Eam conditionẽ Iacobus amore subactus denuò accipit: & alteris septem annis elapsis, Rachelis etiã matrimonio potitur. Lia iam è Iacobo liberos habebat, Rubenem primogenitũ, quòd ex diuina misericordia is sibi cõtigisset. Aegrè ferebat enim amorem mariti erga sororem: sperabatque se honoratiorẽ fore, si uterum ferret. Secundũ Symeonem appellat, quòd uota ipsius exaudisset Deus. Post hunc Leuis nascitur, qui cõiunctionis confirmationẽ significat. Hunc Iudas sequitur, quod nomen gratiarum actionẽ sonat. Rachel, quia liberos nõ habebat, uerita ne minus gratiosa esset, maritum orat, ut cũ ancilla sua cõgrederetur: ille obtemperat. Ex eoque Iacobi cum Balla (id enim ancillę nomẽ erat) cõgressu, Dan nascitur: diuinum iudiciũ hoc uocabulũ significat. Rursus eadem Nephthalim parit, hoc est astutum: quòd hoc astu fœcũditati sororis se opposuisset. Lia æmulatione incitata, Zelpham ancillã suam & ipsa Iacobo despondet: quæ Gadũ peperit, fortuitus uocari queat. Alium post hunc Aserem parit, quem prosperum interpreteris licet: quòd Lia ob liberorũ multitudinẽ celebris & beata per illũ partũ habenda esset. Cum autẽ Ruben Liæ filius mandragoræ mala attulisset, Rachel partẽ sibi dari petijt, cõcesso Lię nocte illa, quę sibi debebatur, mariti cõcubitu. è quo muliercula Isacharẽ suscipit, quod nomẽ mercede genitũ significat: & alterũ filiũ Zabulonẽ, hoc est, pignus beneuolẽtiæ erga se: ac filiã Dinã. Nascitur & Racheli filius Iosephus: id nomẽ accessionem rei ali-

Iacobi exilium, & scala.

Carra.

Laban.

Lia.

Rachel.

Iacobi progenies.

τάχα δὲ τὸ βαθὺ τῆς τριχός, καὶ φαγὼν εὐλόγησε τὸν ἰακώβ. ἐπανῆλθε δὲ καὶ ἠσαῦ, καὶ εἰσήγαγε δεῖπνον τῷ πατρί, καὶ ᾔτει τὴν εὐλογίαν. ὁ δὲ ἔγνω τὸ σόφισμα, καὶ ἐλθών, ἔφη, ὁ ἀδελφός σου ἔλαβε τὴν εὐλογίαν σου. τοῦ δ᾽ ὀλοφυρομένου καὶ ἀξιοῦντος εὐλογηθῆναι (μηδὲ γὰρ μίαν εἶναι παρ᾽ αὐτῷ εὐλογίαν) παρακληθεὶς ἰσαὰκ ὥρμησε μὲν εὐλογῆσαι. ἐπεὶ δὲ μὴ ὑπὸ φθέγγοντι ἐκείνῳ ἐδόκει θείῳ πνεύματι εὐλογίας τυχεῖν τὸν ἠσαῦ, ἐπεὶ μηδ᾽ ἄξιος ἦν αὐτῆς, εἰς ἀρὰν ἀντ᾽ εὐλογίας ἐτρέπετο τοῦ ἰσαὰκ ἡ φωνή. δυσμενῶς ἔσχε δὲ ταῦτα πρὸς τὸν ἀδελφὸν ὁ ἠσαῦ. ὁ δὲ τὸν ἀδελφὸν δεδιώς, συμβουλῇ τῆς μητρὸς εἰς μεσοποταμίαν ἀπέρχεται. ἀπιὼν δὲ ἀξιοῦται καθ᾽ ὕπνους τοῦ ἀοιδίμου θεάματος τῆς κλίμακος, ἧς τὸ ἄκρον τὸ μὲν τῇ γῇ, τὸ δὲ τῷ οὐρανῷ προσηρήρειστο, καὶ μυεῖται τὰ μέλλοντα ἐκ τοῦ κρείττονος. καὶ τὸν τόπον, ἐν ᾧ τὸ ὅραμα εἶδε, βαιθὴλ προσηγόρευσε· δηλοῖ δὲ θείαν οἰκίαν καθ᾽ ἕλληνας. καταντήσας δὲ εἰς χαῤῥάν, κατάγεται πρὸς λάβαν τὸν τῆς μητρὸς τῆς ῥεβέκκας ὁμαίμονα, καὶ ξενίας παρ᾽ ἐκείνου τετύχηκε, καὶ τὴν ἐπιμέλειαν τῶν ποιμνίων πιστεύεται. δύο δὲ τῷ λάβαν θυγατέρες ἐτύγχανον, ὧν ἡ μὲν πρεσβυτέρα λεία, ἡ δ᾽ ἑτέρα ῥαχὴλ ἐπεκέκλητο. εἰς ἔρωτα οὖν τῆς νεωτέρας ἀφίκετο ἰακὼβ ὡραίας οὔσης τὸ εἶδος παρὰ τὴν ἀδελφήν, καὶ προσάγει λόγους τῷ λάβαν περὶ αὐτῆς. ὁ δ᾽ ὁμολογεῖ κατεγγυῆσαι τῷ ἰακὼβ τὴν ῥαχήλ, εἰ ἑπτὰ ἔτη ἐπ᾽ αὐτῇ δουλεύσει αὐτῷ. κατανεύει πρὸς τοῦτο ὁ ἐραστής, παρέρχεται ὁ καιρός, ἑτοιμάζει τοὺς γάμους ὁ πενθερός. νυκτὸς δὲ τὴν πρεσβυτέραν τῶν θυγατέρων συνευνάζει τῷ ἰακώβ. γνοὺς δὲ μεθ᾽ ἡμέραν, ὡς ἐξηπάτηται, ἀδικίαν ἐνεκάλει τῷ πενθερῷ. ὁ δὲ καὶ τὴν ῥαχὴλ αὐτῷ ἐπηγγέλλετο μετὰ δουλείαν ἑτέρας ἑπταετίας. πείθεται οὖν αὖθις δουλεῦσαι ὁ ἰακώβ, δουλούμενος ἔρωτι, καὶ μεθ᾽ ἑτέραν ἑπταετίαν καὶ τῇ ῥαχὴλ συνευνάζεται. τῇ μὲν οὖν λείᾳ παῖδες ἦσαν ἐξ ἰακώβ. καὶ ῥουβὶμ μὲν καλεῖ τὸν πρωτότοκον, ὅτι κατ᾽ ἔλεον αὐτῇ γένοιτο τοῦ θεοῦ. ἐδυσκόλαινε γὰρ ἐρωμένης τῆς ἀδελφῆς τῷ ἀνδρί, καὶ προσεδόκα μᾶλλον φιλημοτέρα γενήσεσθαι, εἰ χρίοι τῆς γαστρός. τὸν δεύτερον δὲ συμεὼν ὀνομάζει. δηλοῖ δὲ τὸ ἐπήκοον τοῦ θεοῦ γενέσθαι αὐτῇ. καὶ ἐπὶ τούτῳ γεννᾶται λευί, κοινωνίας τοὔνομα σημαῖνον βεβαίωσιν. μεθ᾽ ὃν ἰούδας αὐτῇ ἀποτίκτεται, εὐχαριστίας ἡ κλῆσις δηλωτική. τῇ δὲ ῥαχὴλ παιδίον οὐκ ἦν, καὶ δεδοικυῖα μὴ διὰ ἀτεκνίαν παρευδοκιμηθῇ, δεῖται τοῦ ἀνδρὸς τῇ θεραπαίνῃ αὐτῆς συνελθεῖν. ὁ δὲ καὶ πείθεται, καὶ τῇ βάλλᾳ συνέρχεται, καὶ παιδίον ἐξ ἰακὼβ ἡ βάλλα γεννᾷ, καὶ δὰν ἐκλήθη ὁ παῖς, θεόκριτον ὅπερ εἴποι ἕλλην. κἀκ τοῦ αὐτοῦ αὖθις τίκτεται νεφθαλείμ, εὐμήχανος, οἷον δὲ τὸ αὐτὴν τεχνάσασθαι πρὸς τὴν εὐτεκνίαν τῆς ἀδελφῆς. ζηλοῖ ἐπὶ τούτοις ἡ λεία, καὶ παρακατακλίνει κἀκείνη τῷ ἰακὼβ ζελφὰν τὴν ἰδίαν θεράπαιναν. υἱὸν δὲ καὶ αὐτὴ ἐγέννα τὸν γάδ, τυχαῖον ἄν τις καλέσοι αὐτόν. καὶ ἐπὶ τούτῳ τίκτει καὶ ἕτερον, οὗτος δὲ ἦν ὁ ἀσήρ· λέγοιτο δ᾽ ἂν μακαριστός, ὡς εὐκλεοῦς τῆς λείας διὰ τὴν πολυτεκνίαν καὶ μακαρισμοῦ γενόμενος αἴτιος. τῇ λείᾳ δὲ ῥουβὶμ τοῦ υἱοῦ μανδραγόρου μῆλα κομίσαντος, ᾔτει ῥαχὴλ μεταδοῦναι τούτων αὐτῇ, καὶ ἀμοιβὴν παρεῖχε τῇ ἀδελφῇ τὸ κατ᾽ ἐκείνην τῆς νυκτὸς λέκτρον τοῦ ἰακώβ. ἡ γὰρ νὺξ ἐκείνη τῇ ῥαχὴλ προσεκεκλήρωτο. καὶ συνευνάζεται δὲ τότε τῇ λείᾳ ὁ ἰακώβ, καὶ τίκτει παῖδας ἐπὶ δυσὶ τὸ γόνιμον, τὸν ἰσάχαρ, τὸν ἐκ μισθοῦ δὲ γεγονότα σημαίνει τὸ ὄνομα. καὶ ζαβουλών, δηλοῖ δὲ τὸν ἐνεχυρασμὸν εὐνοίας τῆς πρὸς αὐτήν· καὶ θυγατέρα κληθεῖσαν δίναν. γίνεται δὲ καὶ τῇ ῥαχὴλ υἱὸς ἰωσήφ· τὸ δ᾽ ὄνομα προσθήκην

τινός

ἀποχώρησις ἰακὼβ εἰς μεσοποταμίαν, καὶ περὶ τῆς διαβάσεως αὐτοῦ τῆς κλίμακος καθ᾽ ὕπνους.

Καταντήσας ἰακὼβ πρὸς λάβαν τὸν μητράδελφον, καὶ ἔρως τῆς θυγατρὸς αὐτοῦ.

συνοικήσας ἰακὼβ πρὸς λίαν, καὶ τεκνογονία αὐτῆς.

ἡ δὲ ῥαχὴλ μὴ τίκτουσα τὴν θεραπαιναν τῷ ἰακὼβ δίδωσι συνελθεῖν, καὶ τὰ τεχθέντα ὀνόματα. ζηλώσασα δὲ ἡ λεία, τὴν ἰδίαν θεράπαιναν παρέχει, καὶ τὰ γεννηθέντα.

ὅτε ἡ ῥαχὴλ ἔτεκε τὸν ἰωσήφ.

ἀναχώρησις τοῦ ἰακὼβ ἀπὸ τοῦ λάβαν, καὶ ὁ διωγμὸς τοῦ λάβαν αὐτοῦ ἐφορμῶντος.

τινὸς γενησομένου δηλοῖ. ἔτη μὲν οὖν εἴκοσι ἐπέμεινε τῷ πενθερῷ ἰακώβ. εἶτα ἀποχωρῆσαι θέλων, οὐ συγκεχώρητο. ἔφυγε κρύφα μετὰ τῶν γυναικῶν σὺν ταῖς θεραπαινίσι καὶ τοῖς παισὶν ἀποδιδράσκων, καὶ τὴν κτῆσιν περιαγόμενος, καὶ τῶν βοσκημάτων τὰ ὑπὲρ αὐτοῦ τοῦ ποιμαίνειν μισθὸς προσνενέμητο. ῥαχὴλ δὲ καὶ τὰ εἴδωλα τοῦ πατρὸς ὑπεξεφέρετο, οὐχ ὡς τιμῶσα, ἀλλ' ἵν' ἔχοι ταῦτα καταφυγὴν, εἰ ὑποδιώξας αὐτοὺς ὁ πατὴρ καταλάβοι. τοῦ δὲ λάβαν καθ' ἑβδόμην ἡμέραν καταλαβόντος, κατ' ὄναρ ἐπέταξεν αὐτῷ ὁ θεὸς σπείσασθαι πρὸς ἰακώβ. μεθ' ἡμέραν δὲ λόγοι ἀμφοῖν γίνονται, καὶ τοῦ ἰακὼβ μηδὲν ἀδικεῖν ἀποδείξαντος, περὶ τῶν πατρῴων θεῶν ἐπεγκαλεῖ ὁ λάβαν αὐτῷ. ὁ δὲ μηδὲν περὶ αὐτῶν συνειδὼς, ἐρευνᾶν παραχωρεῖ, καὶ γίνεται ἡ ἔρευνα. ἡ ῥαχὴλ δὲ τὰ εἴδωλα τῇ ἀστράβῃ τῆς φερούσης αὐτὴν καμήλου ἐντίθησι, καὶ αὐτὰ ἐπικάθηται, φάσκουσα τὴν τῶν ἐμμηνίων ῥύσιν αὐτὴν ἐνοχλεῖν. ὁ δὲ λάβαν μὴ ἄν ποτε τὴν θυγατέρα μετὰ τοιούτου πάθους τοῖς θεοῖς αὐτοῦ προσελθεῖν οἰηθεὶς, παρῆλθεν αὐτήν. καὶ ὁ μὲν ἀνέζευξεν. ὁ δὲ ἰακὼβ τὸν ἀδελφὸν δεδιὼς προπέμπει, δηλῶν αὐτῷ τὴν ἐπάνοδον, καὶ δῶρα στέλλει αὐτῷ. νυκτὸς δὲ ἐπιγενομένης, φαντάσματι συντυχὼν διεπάλαιε, καὶ ἔδοξε κρατεῖν. αἰσθόμενος δὲ ἄγγελον εἶναι θεοῦ, εἰπεῖν αὐτῷ παρεκάλει, τίνα μέλλει ἕξειν; ὁ δὲ τὸ κρατῆσαι θείου ἀγγέλου μεγάλων ἀγαθῶν σημεῖον ἀγαθῶν δ' ἀπήλεγχε. καὶ ἰσραὴλ αὐτὸν καλεῖσθαι ἐκέλευσεν. τοῦτο δὲ οἱ μὲν ἄλλοι νοῦς ὁρῶν θεὸν, ἑρμηνεύουσιν. ἰώσηπος δὲ, τὸν ἀντιστάντα θείῳ ἀγγέλῳ, σημαίνειν φησίν. ἰακὼβ δὲ τὸν τόπον καλεῖ φανουήλ, τουτέστι, θεοῦ πρόσωπον. γενομένου δ' ἐν τῇ πάλῃ τῇ πρὸς τὸν ἄγγελον ἀλγήματος αὐτῷ περὶ τὸ νεῦρον τὸ πλατύ, ἐκεῖνός τε τὴν τούτου βρῶσιν ἀπείπατο, καὶ δι' ἐκεῖνον καὶ τὸ ἐκείνου γένος παντὶ ἀπηγόρευται. ἀπαντήσαντος δὲ τοῦ ἀδελφοῦ τοῦ ἡσαῦ, συνέβαλον ἀλλήλοις, καὶ ἠσπάσαντο. εἶτα ὁ μὲν ἡσαῦ ἀπηλλάγη, ἰακὼβ δὲ ἀφίκετο πρὸς τὰ σίκιμα. τῶν δὲ σικιμιτῶν ἑορτὴν ἀγόντων, ἡ θυγάτηρ αὐτοῦ δεῖνα εἰς τὴν πόλιν παρῆλθε, τὰ τῆς ἑορτῆς ἱστοροῦσα. θεασάμενος οὖν αὐτὴν συχὲμ ὁ τοῦ τῆς πόλεως βασιλέως υἱὸς, φθείρει δι' ἁρπαγῆς. ἔπειτα ὁ τούτου πατὴρ ἱκέτευε τὸν ἰακὼβ συζεῦξαι τὴν δεῖναν τῷ συχέμ. ὁ δὲ οὐ κατανεύει. συμεὼν δὲ καὶ λευὶ τῆς κόρης ὁμομήτριοι ἀδελφοὶ, διὰ τὴν ἑορτὴν εὐωχουμένων τῶν ἐν τῇ πόλει, καὶ κραιπαλώντων, νύκτωρ παρελθόντες, πᾶν ἄρσεν ἀναιροῦσι, καὶ τὸν βασιλέα, καὶ τὸν υἱὸν αὐτοῦ. ταῦτά φησιν ὁ ἰώσηπος. πιθανώτερον δὲ περὶ τούτων ἡ βίβλος ἱστορεῖ τῆς γενέσεως. λέγει γὰρ, ὅτι ἐμμὼρ τοῦ πατρὸς συχὲμ ἀξιοῦντος συζευχθῆναι τὴν δεῖναν τῷ υἱῷ αὐτοῦ, συμεὼν καὶ λευὶ εἶπον, ὡς εἰ περιτμηθεῖεν οἱ ἐν τῇ πόλει ἄρρενες πάντες, δώσομεν τὴν ἀδελφὴν ἡμῶν τῷ υἱῷ σου. καὶ ὅτι κατεδέξαντο τὸν λόγον, καὶ περιετμήθησαν ἅπαντες. κατὰ δὲ τὴν ἐκ τῆς περιτομῆς τρίτην ἡμέραν, πονούντων τῶν περιτμηθέντων διακαιομένων, καὶ ὀδυνωμένων διὰ τὴν φλεγμονὴν, ἐπῆλθον αὐτοῖς, καὶ ἀνεῖλον ἅπαντας, ἀγνοοῦντος τοῦ ἰακώβ. ὃν χαλεπαίνοντα διὰ ταῦτα, θαρρεῖν ἐκέλευσεν ὁ θεός. ἐλθὼν δὲ ἐν βαιθὴλ ὁ ἰακὼβ, ὅπου τὸν ὄνειρον ἑωράκει, ἔθυσεν. καὶ προελθὼν, τὴν ῥαχὴλ ἐκ τοκετοῦ θανοῦσαν, ἐν ἐφραθᾷ θάπτει. καὶ τὸ ἐξ αὐτῆς παιδίον βενιαμὶν ἐκάλεσε, διὰ τὴν ἐπ' αὐτῷ γενομένην τῇ μητρὶ ὀδύνην. ἐλθὼν δὲ εἰς χεβρὼν, πόλιν τῶν χαναναίων, κατέλαβε τὸν πατέρα αὐτοῦ ἰσαὰκ ἔτι ζῶντα. ἡ δὲ ῥεβέκκα ἔφθη θανεῖν.

πάλη ἰακὼβ μετὰ τοῦ ἀγγέλου.

ἁρπαγὴ τῆς δείνας, ὑπὸ τοῦ σικίμων βασιλέως υἱοῦ συχέμ, καὶ ἀναίρεσις αὐτῶν, καὶ φθορὰ ὑπὸ τῶν ἀδελφῶν αὐτῆς.

Iacobi fuga ex Mesopotamia, & Labanis persecutio.

rei alicuius futuræ notat. Sic annis uiginti Iacobus soceri opilio fuit: & cum discessurus esset, non situs est. Itaque clam cum uxoribus, ancillis & liberis fugam capit, abductis unà bonis suis, & pecudibus, quas pastionis mercede nactus fuerat. Rachel etiam simulacra patris abstulit: non quòd illa ueneraretur, sed ut ad ea confugere posset, si à patre persequente deprehensa esset. Cum autem Laban eos die septimo consecutus esset, somnio diuinitùs monetur, ut reconcilietur Iacobo. Postridie uerbis utrinque factis, etsi Iacobus demonstrarat, nullam à se ortam fuisse iniuriã, Laban tamen de patrijs dijs eũ accusabat. Qui eius rei nescius, inquisitionem illi permittit. Inquirit ille. Sed Rachel simulacris sellæ cameli, qua uehebatur, subiectis insidens, menstruorum fluxu laborare se ait. Laban, qui filiam ad deos suos eo malo conflictantem, nunquam accessuram, persuasum haberet, ea præterita, domum reuertitur. Iacobus uerò fratrem metuens, suum reditum illi, muneribus præmissis, denunciat. Nocte superueniente, cum spectro sibi decertare, uictoriaq́ue potiri uisus, cum angelum esse Dei animaduertisset, orat, ut sibi diceret, quo fato usurus esset. Ille uictoriam diuini angeli, magnorum bonorum signum habendam esse asserit, & Israelem uocari iubet. Quam uocem alij mentem, quæ Deum uideat, interpretantur. Iosephus, eũ qui diuino angelo restiterit, significare tradit. Iacobus locum illum Phanuel, hoc est, Dei faciem uocat. Et quia in lucta cum angelo, poplitis dolore affectus fuerat, cùm ipse illius esu abstinuit, tum omnis eius posteritas ab eo, ut illicito, abhorret. Frater Esaus obuiam illi progressus, salute dicta acceptaq́ue recedit. Iacobus Sicima peruenit. Sicimitis autem festum celebrantibus, filia eius Dina, spectandæ festiuitatis gratia, urbem ingreditur. Quam conspectam Sychemus regius adolescens rapit, raptam stuprat. Rex adolescentis pater Iacobum orat, ut Dinam Sychemo despõdeat. Re nõ impetrata, Symeon & Leuis uterini puellę fratres, ciuibus ob festiuitatem conuiuantibus atq; inebriatis, urbem noctu ingressi, mares prorsus omnes, ipsumq́ue regem cum filio trucidant. Hæc Iosephus tradit. Sed liber Originum probabilius his de rebus disserit. Cum, inquit, Emmor Sychemi pater Dinam filio uxorẽ peteret, Symeonẽ & Leuim dixisse, si mares urbis omnes circũciderentur, se filio eius sororẽ suã despõsuros. Qua accepta cõditione, circũcisos esse omnes. Ac die inde tertio, cum ex cruciatu ardoris malè haberẽt, ab illis trucidatos, Iacobo ignorãte. Quẽ facinus illud grauiter ferentẽ, bono animo Deus esse iubet. Inde Bethelẽ profectus Iacobus, ubi somnium uiderat, rem diuinã facit. ac progressus, Rachelem ex partu mortuã Ephratę sepelit, puero ob matris ex eo dolorem Beniamine appellato. Chebronem profectus, patrem Isaacum adhuc uiuentẽ inuenit. Sed Rebecca iam

Rachelis furtum, & muliebris calliditas.

Iacobi lucta cum angelo.

Israelis cognomentũ, & claudicatio.

Iacobi & Esai congressus.

Dinæ raptus.

Sicimitarũ interitus.

Rachelis obitus. Beniamin.

Isaaci obitus. obierat. nec multo pôst etiam Isaacus moritur, & unà cum uxore in patrio monumēto sepelitur, expletis uitæ annis supra CLXXXV. *Esai & Iacobi permutatio.* Esaus autem Idumææ imperabat, regioni à se dato nomine. Edom enim uocatus fuerat, quòd aliquando famelicus à uenatu reuersus, cum à fratre petijsset, ut lentem, quam ille sibi coxerat, daret, iureiurando adactus, ætatis prærogatiuam illi concessit. Ex eo cognominatus est Edom, ob rufum admodum lentis colorem. Edom porrò Hebræis rufum significat. Iacobus Iosephum ob & uultus elegantiam, & ingenij dexteritatem, præ cæteris diligebat. *Iosephi gratia apud patrē, & somnia.* Itaque & patria charitas, & somnia quæ uiderat, fratrum inuidiam illi conciliarunt. Somnia huiusmodi fuerunt. Unum:

» Tempore messis cum fratribus metens, manipulos sibi ligare & componere, ac suos immotos stare, quos fraterni accurrentes adorarent. Alterum, à sole & luna ac reliquis stellis adorari sibi uidebatur. Has uisiones fratribus etiam præsentibus patri referens, quid sibi uellent, scire cupiebat. At ille fœlicitatem nato denunciabat: ac fore tempus, quo & à parentibus & à fratribus coleretur, & adoraretur. Hæc fratres ægrè ferre, & toruè adolescentulum intueri. Post hæc, pater Iosephum ad filios, greges Sicimis pascentes, uisum mittit. *Iosephus puteo extractus, in Aegyptum uenditur.* Quo conspecto, ad eum perimendum sunt concitati. Sed Ruben monebat, ne fraterno sanguine manus pollurent, sed in proximum puteum coniectum emori sinerent. Sic leuius fore facinus. Quo consilio adolescentibus probato, puerum sensim in puteum demisit. Iudas uerò Arabicis mercatoribus uisis, autor fit fratribus uendēdi illis Iosephi. Assentiuntur, eumq́ uiginti minis uendunt, annos natum septendecim. Ruben noctu ad puteum accedit, ut Iosephum inde ereptum clam fratribus conseruaret. Quo non inuento, lugens, fratres criminatur: sed re ex illis cognita, lugere desinit. Illi tunica adolescentis hircino sanguine polluta, ad patrem ueniunt, dicentes, se Iosephum nec uidisse, nec quomodo interijsset scire: sed tunicam illam reperisse, cruentatam & laceratam. Iacobus sacco indutus, Iosephum luget. At illum à mercatoribus emit Petephres, homo Aegyptius, Pharaonis regis coquis præfectus, & honorificè tractat. *Iosephus ob adulterij calumniam in carcerem conijcitur.* Herilis autem uxor, & forma & dexteritate eius in amorem illecta, uerbis ad eum de congressu factis, repulsam fert: ac nihilò tamen secius cupiditatis ardore subacta, spe persuadendi deiecta, uim parat. Ut autem adolescens ueste relicta exilit, illa tristis & perturbata sedet: marito que reuerso, Iosephum accusat, demonstrans uestem, quam ille uiolaturus dominam, reliquisset. Petephres *Pincerna & pistoris somnia exposita à Iosepho.* Iosephum in carcerem maleficorum conijci iubet, quò & pincerna Pharaonis per iracundiam coniectus fuerat, & magister pistorum: qui inita cum eo familiaritate, petebant somnia

θάνατος ἰσαάκ. θανεῖν. θνήσκει δὲ μετὰ βραχὺ καὶ ὁ ἰσαάκ, καὶ θάπτεται σὺν τῇ γυναικὶ παρὰ τῷ γονικῷ μνημείῳ, βιώσας ἔτη πέντε καὶ ὀγδοήκοντα πρὸς τοῖς ἑκατόν. ἡσαῦ δὲ ἦρχε τῆς ἰδουμαίας, καλέσας τὴν χώραν ἐφ' ἑαυτοῦ. ἐδὼμ γὰρ ἐκεῖνος ἐκέκλητο, ὅτι ἀπὸ θήρας ποτὲ λιμώττων ἐπανελθών, καὶ τὸν ἀδελφὸν εὑρὼν φακῆν ἡτοιμακότα ἑαυτῷ πρὸς τροφήν, ἠξίου δοῦναι αὐτῷ. ὁ δὲ ἐκδοῦναι αὐτῷ τὰ πρεσβεῖα ἠνάγκασεν ἀντὶ τῆς φακῆς, καὶ παραχωρεῖ τούτου μεθ' ὅρκου διὰ τὸν λιμόν· ὅθεν ἐδὼμ ἐπεκλήθη, διὰ τὴν πυρρότητα τῆς φακῆς. σφόδρα γὰρ ἦν τὴν χροιὰν τοιαύτη. ἐδὼμ δὲ παρ' ἑβραίοις τὸ ἐρυθρὸν ὀνομάζεται. ἰακὼβ δὲ τὸν ἐκ τῆς ῥαχὴλ ἰωσήφ, διά τε τὴν τοῦ προσώπου εὐφυΐαν, καὶ τὴν τῆς ψυχῆς ἀρετήν, πλέον τῶν ἄλλων παίδων ἠγάπα. ἥ τε γοῦν τοῦ πατρὸς στοργή, καὶ οἱ ὄνειροι οὓς ἑωράκει, εἰς φθόνον αὐτοῦ τοὺς ἀδελφοὺς ἐκεκινήκασι. τῶν δὲ ὀνειράτων τὸ μὲν ἦν τοιοῦτον. ἐν ὥρᾳ θέρους ἐδόκει μετὰ τῶν ἀδελφῶν θερίζων, δράγματα δεσμεῖν, καὶ τιθέναι, καὶ τὰ μὲν αὐτοῦ ἀτρεμεῖν, τὰ δὲ τῶν ἀδελφῶν περιτρέχοντα προσκυνεῖν τοῖς αὐτοῦ. τὸ δέ, τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ τοὺς λοιποὺς τῶν ἀστέρων προσκυνεῖν ἐδόκει αὐτῷ. ταύτας τὰς ὄψεις τῷ πατρὶ διηγούμενος, παρόντων καὶ τῶν συγγόνων, τὴν διάλυσιν ἐζήτει μαθεῖν. ὁ δὲ εὐδαιμονίαν κατήγγελε τῷ παιδὶ καὶ καιρὸν ἥξειν, καθ' ὃν ὑπὸ τῶν γονέων καὶ τῶν ἀδελφῶν τιμηθήσεται καὶ προσκυνηθήσεται. ταῦτα τοὺς ἀδελφοὺς ἐλύπησε τοῦ ἰωσήφ, καὶ ὑπεβλέποντο τὸ μειράκιον. νεμόντων δὲ τὰ ποίμνια τῶν παίδων τοῦ ἰακὼβ ἐν σικίμοις, ὁ πατὴρ πέμπει τὸν ἰωσήφ, ἐκείνους ἐπισκεψόμενον. οἱ δὲ τοῦτον ἰδόντες, ὥρμησαν ἀνελεῖν. ῥουβὶμ δὲ συνεβούλευε, μὴ αὐτόχειρας γενέσθαι τοῦ ἀδελφοῦ, ἀλλ' εἰς τὸν παρακείμενον λάκκον ῥίψαι αὐτόν, ἵνα ἐκθάνοι ἐκεῖ, καὶ οὕτω μετριώτερον ἔσοιτο τὸ κακόν. συναινεσάντων δὲ τῷ λόγῳ τῶν νεανίσκων, λαβὼν ὁ ῥουβὶμ τὸ μειράκιον, ἠρέμα καθίμησεν εἰς τὸν λάκκον. ἰούδας δὲ ἐμπόρους ἰδὼν ἄραβας, συνεβούλευσε τοῖς ἀδελφοῖς, τὸν ἰωσὴφ ἀπεμπολῆσαι αὐτοῖς. καὶ δόξαν τοῦτο, τοῖς ἐμπόροις αὐτὸν πιπράσκουσιν εἴκοσι μνῶν, ἔτος ἑπτακαιδέκατον γεγονότα. ῥουβὶμ δὲ νύκτωρ ἐπὶ τὸν λάκκον ἐλθών, ἵν' ἐξενέγκῃ τὸν ἰωσήφ, καὶ σώσῃ τοὺς ἀδελφοὺς λαθών, καὶ μὴ εὑρὼν αὐτόν, πενθῶν ᾐτιᾶτο τοὺς ἀδελφούς. τῶν δὲ τὸ πραχθὲν φρασάντων, παύεται τοῦ πένθους. τὸν δὲ χιτωνίσκον τοῦ μειρακίου αἵματι τράγου μολύναντες, ἧκον πρὸς τὸν πατέρα, καὶ εἶπον, τὸν μὲν ἰωσὴφ μὴ ἰδεῖν, μηδ' ὅπως διέφθαρται γινώσκειν· χιτῶνα δὲ τοῦτον εὑρεῖν, ᾑμαγμένον καὶ διερρωγότα. ἰακὼβ δὲ ἐπὶ τῷ μειρακίῳ πενθῶν ἐκαθέζετο, καὶ σάκκον ἐνδύσας. τὸν ἰωσὴφ δὲ ἐκ τῶν ἐμπόρων ὠνήσατο πετεφρής, ἀνὴρ αἰγύπτιος, ἐπὶ τῶν βασιλέως φαραὼ μαγείρων, καὶ εἶχεν αὐτὸν ἐν τιμῇ. τῆς δὲ τοῦ δεσπότου γυναικὸς διά τε εὐμορφίαν, καὶ τὴν αὐτοῦ δεξιότητα ἐρωτικῶς διατεθείσης, καὶ λόγους περὶ μίξεως προσαγαγούσης, παρῃτήσατο τὴν ἀξίωσιν. ἡ δὲ δεινῶς πολιορκουμένη τῷ ἔρωτι, δευτέραν ἐπῆγε πεῖραν, καὶ τὸ πείθειν ἐκλιποῦσα, βιάζεσθαι ἤθελεν. ὡς δὲ καὶ τὸ ἱμάτιον ὁ νεανίσκος καταλιπὼν ἐξεπήδησε, καθῆστο κατηφής, καὶ συγκεχυμένη. ἐλθόντι δὲ τῷ ἀνδρὶ κατηγόρει τοῦ ἰωσήφ, καὶ τὸ ἱμάτιον ἐπεδείκνυε, ὡς ὅτ' ἐπεχείρει βιάζεσθαι, καταλιπόντος αὐτοῦ. πετεφρὴς δὲ εἰς τὴν τῶν κακούργων εἱρκτὴν ἐμβάλλει τὸν ἰωσήφ, ἐν ᾗ καὶ ὁ οἰνοχόος φαραὼ κατ' ὀργὴν ἐνεκέκλειστο, καὶ ὁ ἀρχισιτοποιός. οἷς συνήθης γενόμενος, ἠξιοῦτο φράσαι αὐτοῖς

τῶν ὀνειρ.

Δήλωσις τῶν ὀνείρων τοῦ οἰνοχόου καὶ τοῦ ἀρχισιτοποιοῦ παρὰ τοῦ ἰωσήφ.

τῶν ἐνυπνίων τὴν δήλωσιν. ὁ μὲν γὰρ οἰνοχόος ἄμπελον ὁρᾶν ἔδοξεν, ἐν ᾗ τρία ἐφύοντο κλήματα, ὧν ἀπῃώρηντο μεγάλοι καὶ πέπειροι βότρυες. τούτους δ' ἐκθλίβειν εἰς φιάλην, καὶ προσάγειν τῷ φαραώ, κἀκεῖνον λαβόντα προσηνῶς. ἀγαθὰ γοῦν σημαίνειν αὐτῷ τὸν ὄνειρον ἐξηγεῖτο ὁ ἰωσήφ. ἐν γὰρ τρισὶν ἡμέραις ταῖς προσηκούσαις εἰς τὸ πρότερον ἀποκατασταθήσεσθαι διακόνημα, καὶ ἠξίου μεμνῆσθαι αὐτοῦ, εὐπραγήσαντα. ὁ δὲ ἀρχισιτοποιὸς τρία κανᾶ ἐδόκει φέρειν ἐπὶ τῆς κεφαλῆς, δύο μὲν ἄρτων πλήρη, τὸ δ' ἕτερον ὄψου καὶ ποικίλων βρωμάτων. τὰ δὲ διαρπαγῆναι ὑπὸ πτηνῶν καθιπταμένων. ἔφη δὲ καὶ τούτῳ ὁ ἰωσήφ, τὰ τρία κανᾶ τριῶν ἡμερῶν εἶναι σημαντικά, καὶ ἐν τῇ τρίτῃ ἡμέρᾳ μέλλειν αὐτὸν κρεμασθέντα, σαρκοφάγοις ἔσεσθαι βορὰν πετεινοῖς. γέγονε δ' ἐπ' ἀμφοῖν, ὡς ἰωσὴφ ἐξηγήσατο.

Ἐνύπνια τοῦ φαραώ.

εἶτα τῷ φαραὼ ὁ θεὸς ὄψεις ἐνυπνίων ὑποτίθησι διττάς, καὶ τὰς διαλύσεις ἀμφοῖν. ὁ δὲ τῶν μὲν ὄψεων ἐμεμνήκει, τῶν δ' ἐξηγήσεων ἐπελέληστο. συγκαλεῖ τοίνυν τοὺς τῶν αἰγυπτίων σοφούς, καὶ ἀπαγγέλλει αὐτοῖς τὰ ἐνύπνια, καὶ τὴν δήλωσιν ἀπαιτεῖ. ἀπορούντων δ' ἐκείνων, ὀργίζεται. ὁ δ' οἰνοχόος, εἰ καὶ μὴ πρότερον, ἀλλὰ τότε πρὸς μνήμην ἥκει τοῦ ἰωσήφ, καὶ διδάσκει περὶ ἐκείνου τὸν φαραώ. ἄγεται τοίνυν αὐτίκα. ὁ δέ φησι· νεανία, φράσαι μοι τὴν κρίσιν τῶν ὀνειράτων, ὧν περ τεθέαμαι. ἔδοξα βόας εὐτραφεῖς ἑπτὰ ἀνιόντας τοῦ ποταμοῦ πρὸς τὸ ἕλος χωρεῖν. ἑτέρους δ' ἑπτὰ ἰσχνοὺς καὶ τεταριχευμένους λιμῷ τῷ ἕλει ἐπελθόντας συναντῆσαι τούτοις, καὶ βρωθῆναι παρὰ τῶν δευτέρων τοὺς πρώτους καὶ πίονας, καὶ μεῖναι τούτους ὁμοίως ἰσχνούς. αὖθις δ' ὁρᾶν στάχυας ἑπτὰ ἐκφύντας ῥίζης μιᾶς θαλεροὺς καὶ κεκλιμένους ὑπὸ βάρους ὑπὸ τοῦ καρποῦ. πλησίον δ' αὐτῶν ἰσαρίθμους ἐδόκουν ὁρᾶν στάχυας ἀδρανεῖς ὑπὸ ἀδρανείας καὶ πρὸς ὅρασιν ἀειδεῖς, οἳ καὶ ἀνήλωσαν τοὺς εὐκάρπους τε καὶ ὡραίους.

Δήλωσις τῶν ἐνυπνίων φαραὼ ὑπὸ τοῦ ἰωσήφ, καὶ διάδοσις ἐξουσίας αὐτῷ φαραὼ πάσης αἰγύπτου.

ὁ δ' ἰωσὴφ· καὶ δισσά, φησίν, ὦ βασιλεῦ, εἰσὶ τὰ ἐνύπνια, ἀλλὰ μίαν ἔχουσι τὴν μελλόντων τὴν δήλωσιν. οἵ τε γὰρ βόες ζῷον ἐπ' ἀρότρῳ πονοῦν ὑπὸ τῶν χειρόνων καταβιβρωσκόμενοι, καὶ οἱ θάλλοντες στάχυες ὑπὸ τῶν ἀδρανῶν δαπανώμενοι, λιμὸν ἐπὶ τοσαῦτα ἔτη τῇ χώρᾳ σου καταγγέλλουσιν ἐν ἰσαρίθμοις ἐνιαυτοῖς εὐθηνήσασι πρότερον τοῖς καρποῖς, ὡς τὴν τούτων εὐφορίαν ἀναλωθῆναι ὑπὸ τῶν ὑστέρων. εἰ δὲ σὺ ταμιεύσαις τὰ τῆς προτέρας εὐδαιμονίας, εἰς τοὺς τῆς ἀφορίας ἐνιαυτούς, δώσεις τοῖς αἰγυπτίοις ἀνεπαίσθητον τὸ δυστύχημα. φαραὼ δὲ τὴν ἰωσὴφ ἐκπλαγεὶς σοφίαν, διά τε τὴν ἐξήγησιν καὶ τὴν συμβουλήν· αὐτὸς ὁ τούτων, ἔφη, εὑρετής τε καὶ σύμβουλος, καὶ οἰκονόμος ἔσῃ τῶν βουλευθέντων. καὶ περιέχει αὐτῷ τὴν ἐξουσίαν αὐτοῦ, ὥστε σφραγῖδι χρῆσθαι τῇ φαραώ, καὶ πορφύραν ἐνδύεσθαι, καὶ ἐλαύνειν ἐφ' ἅρματος. ἦν δὲ τότε τριάκοντα γεγονὼς ἐτῶν ἰωσήφ.

Ψονθομφάνηχ, κρυπτῶν εὑρετής.

προσαγορεύει δὲ αὐτὸν ὁ φαραὼ ψονθομφανήχ. σημαίνει δὲ τὸ ὄνομα, κρυπτῶν εὑρετήν. συζεύγνυσι δὲ αὐτῷ καὶ γυναῖκα ἀσενὲθ καλουμένην, τὴν θυγατέρα τοῦ ἐν ἡλίου πόλει ἱερέων πρωτεύοντος. ἐξ ἧς αὐτῷ γίνονται παῖδες πρὸ τοῦ λιμοῦ, ὧν ὁ πρεσβύτερος μανασσῆς ἐπίκλην. δηλοῖ δέ, ὅτι λήθην εὕρετο τῶν ἀτυχημάτων. ἐφραῒμ δὲ ὁ νεώτερος· ἀποδοθεὶς δὲ ἄρα σημαίνει, διὰ τὸ ἀποδοθῆναι αὐτῷ τὴν τῶν προγόνων ἐλευθερίαν. ἐν τούτῳ ἧκεν ὁ τῆς ἐνδείας καιρός, οὐ μόνον δὲ τῆς αἰγύπτου κατεκράτησεν ὁ λιμός, ἀλλὰ καὶ τῆς χώρας, καθ' ἣν παρῴκει ὁ ἰακώβ.

Ἐπιδημία τῶν ἀδελφῶν ἰωσὴφ διὰ τὸν λιμόν.

πέμπει τοίνυν τοὺς υἱοὺς εἰς αἴγυπτον, σῖτον ὠνησομένους, μόνον παρ' ἑαυτῷ κατασχὼν τὸν βενιαμὶν ὡς νεώτατον. οἱ μὲν οὖν προσῆλθον τῷ ἰωσήφ. ὁ δὲ μὴ γνωσθεὶς ἐπέγνω τοὺς ἀδελφούς, καὶ κατασκόπους ἐλέγχει ἥκειν αὐτούς.

οἱ δὲ

somnia sibi ab eo sua declarari. Pincerna uitem sibi uidere uisus fuerat, unde tres palmites enascerētur, de quib. magnę & maturę uuę dependerēt, quas in phialā exprimeret, eāq; Pharaoni offerret, qui benignè acceptaret. Iosephus bonā somnij esse significationē asserebat. nam intra triduū pristinā ei functionē restitutū iri: petebatq;, ut is, rebus suis secūdis, sui recordaretur. Pistorū aūt magister uisus sibi fuerat tria canistra in capite ferre, duo plena panibus, tertiū obsonio & uarijs cibis refertū, quę à deuolātibus alitib. diriperētur. Dixit aūt huic etiā Iosephus, tria canistra significare triduū, ac die III suspēsum eū carniuoris alitib. fore cibū. Vtriq; accidere quæ Iosephus prædixerat.

Pharaonis somnia.

Post hæc Deus Pharaoni bina uisa in somnis offert, eorūq; enarrationes. At ille uisa quidē meminerat, enarrationum aūt oblitus fuerat. Itaq; sapiētes Aegyptiorū cōuocat, somnia enarrat, interpretationem expetit: quibus hesitātibus irascitur. At pincerna, etsi pridem oblitus, tandē Iosephi redit in memoriā. De eo regē edocet. Adducitū ille statim. Cui rex: Adolescens, inquit, somniorum quę uidi iudiciū mihi declara. Vidi boues VII pingues è flumine ascendētes, se cōferre ad paludē, quibus alij VII occurrerēt tenues & fame confecti: atq; pinguib. illis deuoratis, æquè tenues manerēt. Rursus uidi spicas VII ex uno uegeto calamo enatas, pōdere granorū inclinatas: ac prope illas totidē uidere uidebar spicas tenues, & ob squallorē aspectu fœdas, quæ & ipsæ fœcūdas & pulchras cōsumerent.

Somnia Pharaonis Iosephus exponit, atque annonæ præfectus designatur.

Ad hæc Iosephus: Etsi, ô rex, inquit, somnia bina sunt, eadē tamē est utriusq; in futurū significatio. Nā & boues, animal arando exerceri solitū, à deteriorib. deuorati, & spicę florentes à tenuib. absumptę, tot annorū famem tuę regioni portendūt, cum quidē totidē annis prouētus annonæ uberrimus à posteriorib. sit absumēdus. Tu uerò, si priorē copiam in sterilitatis annos seposueris, sensum istius calamitatis Aegyptijs adimes. Pharao Iosephi sapientia obstupefactus, tum ob somniorū coniecturā, tum propter consiliū: Tu, inquit, ipse, rerū istarū cōiector & suasor, idē etiā consiliorū administrator eris. Itaq; potestatē suā in eū cōfert, ut & sigillo Pharaonis uteretur, & purpuram gestaret, & curru ueheretur. Accidit hoc Iosepho XXX annos nato, quē Pharao Tothomphanichū, hoc est, occultorū interpretē uocabat:

Iosephi coniugium, & liberi.

eiq; uxorē Asenethā nomine, Heliopolitāi pōtificis filiā, despōdet: è qua ante famē liberos suscipit, quorū natu maiorē Manassem ab obliuione uocat, q; calamitatum oblitus esset: minorē Ephraimū, à retributione, q; maiorū suorū libertas sibi restituta esset. Aduētat interea penuriæ tēpus: neq; Aegyptum dūtaxat inuadit fames, sed eam quoq; regionē, in qua Iacobus inquilinū agebat.

Iosephi fratres in Aegyptū profecti, arte tractantur.

Mittit igitur filios in Aegyptū, ad emendū frumentū, solo Beniamine apud se retento, ut natu minimo. Accedunt illi Iosephum: qui non agnitus, agnoscit fratres, & exploratū uenisse illos ait.

Illi

lli & unde uenerint, & se uno patre natos esse, adhuc superstite, ac alium fratrem natu minimum esse apud patrem, dicunt. Iosephus tum demum se fidem illis habiturũ dicit, si fratrem minimum ad se adduxissent. Dat eis frumentũ: argẽtoq; sacco cuiusq; clam imposito, Symeonem reditus illorũ uadẽ retinet. Redeunt ad Iacobum filij, frumentũ afferẽtes, & quid sibi accidisset nunciãtes. Ille retentũ esse Symeonem ægrè fert, Beniaminem in Aegyptũ perduci se passurum negat. Frumẽto autẽ iam cõsumpto, cum eis alia cõditione reuerti in Aegyptũ non liceret, nisi Beniamine etiã adducto, uictus necessitate pater cõcedit: & duplex frumẽti precium, ac Iosepho munera addit. Vt in Aegyptũ uenére, Iosepho munera offerũt: qui Beniamine uiso, miseratione commotus, ad lachrymas dissimulãdas secedit. Deinde fratribus ad cœnam adhibitis, duplis Beniaminẽ portionibus appositis honorat: & quæstorẽ frumentũ illis dare iubet, & preciũ in saccos imponere, & in Beniaminis sarcinã scyphũ argenteũ cõijcere. His factis discedũt fratres, recepto Symeone. Eos abeũtes circumdãt equites, obijciẽtes furtum scyphi: quẽ, inquisitione facta, in Beniaminis sarcina reperiũt. Beniaminẽ equites ad Iosephum abducũt, quẽ fratres scissis uestibus plorantesq; sequebãtur. Iosephus insectatus eos, ut ingratos, missos facit, solius Beniaminis retentione cõtentus: cæteri attoniti astant. Iudas

Iosephus à fratribus agnoscitur.

uerò causam agere exorsus, cum multa ad commiserationem apta dixisset, affectũ Iosephi ita cõmouit, ut nec irã diutius simulare posset, & se fratribus agnoscendũ præberet, & gratiã eis » haberet, ut qui consiliorum Dei de se ex parte » fuissent adiutores. Abite ergo, inquit, & hęc significate patri: ipsoq; & omni eius cognatione assumpta, huc cõmigratote. nam fames adhuc quinquennium duratura est. Hęc locutus, fratres amplexus, muneribus prosequitur. Itaque illi abeũt. Iacobus Iosephi rebus cognitis,

Iacobi descensus in Aegyptum.

statim ad eum properat cum omni sua cognatione, qui omnes LXXV erant. Cum uerò iam prope Aegyptũ uenisset, obuiam ei Iosephus progreditur. At ille præ gaudio penè animo linquitur. Pharao audito Iacobi cũ suis in Aegyptum aduentu, gaudet, eumq; secũ congressum salutat: & quia illius domesticos, opiliones esse cognorat, sedes eis Heliopoli assignat. Fame porrò crescẽte, Iosephus pecunia frumẽtum uendit Aegyptijs: ea exhausta, pecoribus id emunt. Deniq; agris etiã cedũt, ut haberent unde uiuerent. hic Pharaone omnibus copijs potito (agris sacerdotũ exceptis, qui suis possessoribus manebant) ut iam fames remiserat, Iosephus Aegyptios in urbes quosq; suas cõuocat, terram eis donat, & operi intẽtos esse iubet, ut quintas frugũ Pharaoni penderẽt. Iacobus annis XVII in Aegypto trãsactis, ex ualetudine moritũ, cũ prædixisset antè, ut sui posteri in Chananæa habitaturi essent: ac cæteris quidem filijs fausta cõprecatus, & Iosephi laudib. prædicatis, q fraternæ iniuriæ oblitus esset, mãdat

Iacobus posteris suis bene precatur, & uaticinatur.

filijs,

οἱ δὲ ὅθεν τε ἥκοιεν ἔλεγον, καὶ ὡς φύντες ἐκ πατρὸς ἔτι ζῶντος, καὶ ὡς ἕτερος νεώτερος ἀδελφὸς εἴη παρὰ τῷ πατρί. πληροφορίαν δὲ ἔλεγεν ἰωσὴφ δοῦναι αὐτῷ ἀληθείας, εἰ τὸν νεώτερον ἀδελφὸν κομίσωσι πρὸς αὐτόν. δίδωσιν οὖν σῖτον αὐτοῖς, καὶ τὸ ἀργύριον τῷ ἑκάστου σάκκῳ ἐντεθειμένον λάθρα· κατέσχε δὲ τὸν συμεών, ἕως ἐπανέλθωσιν ὅμηρον. ἐπανῆλθον πρὸς τὸν ἰακὼβ οἱ υἱοί, τὸν σῖτον κομίζοντες, καὶ τὰ συμβάντα ἀπαγγέλλοντες, καὶ λύπη αὐτὸν ἐπὶ τῷ συμεὼν ἐπιεικῶς κατέσχηκε, δοῦναί τε τὸν βενιαμὶν ἀπαχθῆναι εἰς αἴγυπτον οὐ κατεδέχετο. ἤδη δὲ τοῦ σίτου δαπανηθέντος, ἐπεὶ μὴ ἄλλως ἐξῆν αὐτοῖς εἰς αἴγυπτον ἀπελθεῖν, εἰ μὴ καὶ τὸν βενιαμὶν συναπάγοιντο, ὑπ᾽ ἀνάγκης δίδωσιν αὐτὸν ὁ πατήρ, καὶ τὴν τοῦ σίτου τιμὴν διπλασίονα, καὶ τῷ ἰωσὴφ δωρεάς. ὡς δ᾽ ἦλθον εἰς αἴγυπτον, προσήγαγον τὰ δῶρα αὐτῷ. ὁ δὲ τὸν βενιαμὶν ἰδών, καὶ συμπαθῶς κινηθείς, ἵνα μὴ δακρύων καταφανὴς γένοιτο, μετέστη. εἶτα ἐπὶ δεῖπνον παραλαμβάνει τοὺς ἀδελφούς, καὶ διπλασίοσι μοίραις ἐδεξιοῦτο τὸν βενιαμίν, καὶ τὸν τοῦ σίτου ταμίαν δοῦναι σῖτον αὐτοῖς ἐκέλευε, καὶ τὴν τιμὴν ἐκθεῖναι τοῖς σάκκοις, εἰς δὲ τὸ τοῦ βενιαμὶν φορτίον καὶ σκύφον ἀργυροῦν ἐμβαλεῖν. τούτων δὲ γεγονότων, ἀπῄεσαν οἱ ἀδελφοί, λαβόντες καὶ τὸν συμεών. περικυκλοῦσι δὲ ἀπιόντας αὐτοὺς ἱππεῖς, ἐπεγκαλοῦντες τὴν τοῦ σκύφου κλοπήν, καὶ ἐρευνῶντες εὗρον τὸν σκύφον παρὰ τῷ φορτίῳ βενιαμίν. οἱ μὲν οὖν ἱππεῖς ἦγον πρὸς τὸν ἰωσὴφ τὸν βενιαμίν. οἱ δὲ ἀδελφοὶ αὐτοῦ, τὰς στολὰς διαρρήξαντες, ἔκλαιον καὶ συνείποντο. ἰωσὴφ δὲ τούτους ὀνειδίσας ὡς ἀχαρίστους, ἀπολύεσθαι μὲν τοὺς λοιπούς, μόνῃ δὲ ἠρκεῖτο τῇ τοῦ βενιαμὶν κατοχῇ, τοὺς δὲ ἀπορία συνεῖχεν. ἰούδας δὲ διαλεχθείς, καὶ πολλὰ πρὸς ἔλεον δημηγορίας ἐπαγαγών, εἰς ἔλεγχον ἤγαγε τὸ πάθος τοῦ ἰωσήφ. ὁ δὲ μηκέτι δυνάμενος ὑποκρίνεσθαι τὴν ὀργήν, γνωρίζει τοῖς ἀδελφοῖς ἑαυτόν, καὶ χάριν αὐτοῖς ὁμολογεῖ, ὡς συναιτίοις γενομένοις τῶν τοῦ θεοῦ βεβουλευμένων περὶ αὐτοῦ. ἄπιτε οὖν, φησί, καὶ ταῦτα δηλώσατε τῷ πατρί, αὐτόν τε καὶ πᾶσαν τὴν συγγένειαν ἀναλαβόντες ἐνταῦθα μετοικίζεσθε. ἔτι γὰρ ἐπὶ πενταετίαν ἔσται λιμός. ταῦτα εἰπών, περιβάλλει τοὺς ἀδελφούς, καὶ δωρεαῖς δεξιοῦται. καὶ οἱ μὲν ἀπῆλθον. ὁ δὲ ἰακὼβ μαθὼν τὰ περὶ ἰωσήφ, ὥρμησεν εὐθὺς πρὸς αὐτόν, πᾶσαν τὴν συγγένειαν αὐτοῦ ἐπαγόμενος. ἦσαν δὲ ἑβδομήκοντα πέντε. ἤδη δὲ τῇ αἰγύπτῳ πλησίον ὄντι αὐτῷ προσυπαντᾷ ἰωσήφ. ὁ δὲ ὑπὸ χαρᾶς μικροῦ δεῖν ἐξέλιπε. παραγεγονότα δὲ τὸν ἰακὼβ καὶ τοὺς μετ᾽ αὐτοῦ εἰς αἴγυπτον ἀκούσας ὁ φαραώ, χαίρων ἦν, καὶ παραγενόμενον τὸν ἰακὼβ πρὸς αὐτόν, ἠσπάσατο. καὶ μαθὼν ποιμένας εἶναι τοὺς μετ᾽ αὐτοῦ, συνεχώρησεν αὐτοῖς τὴν ἐν ἡλίου πόλει κατοίκησιν. τοῦ δὲ λιμοῦ ἐπιτεινομένου, χρημάτων τοῖς αἰγυπτίοις ἀπεδίδου τὸν σῖτον ὁ ἰωσήφ. τούτων δ᾽ ἐπιλειπόντων, τῶν βοσκημάτων ὠνοῦντο αὐτόν, εἶτα καὶ τῆς γῆς παρεχώρουν, ἵνα τρέφοιντο. οὕτω δὲ τοῦ φαραὼ πάσης περιουσίας κυρίου γενομένου, πλὴν τῶν ἱερέων (τούτοις γὰρ ἔμενεν ἡ χώρα αὐτῶν) ὡς ἤδη ἐλώφησεν ὁ λιμός, συλλέγων τοὺς αἰγυπτίους ὁ ἰωσήφ, ἕκαστον εἰς τὴν πόλιν αὐτοῦ, τήν τε γῆν αὐτοῖς ἐχαρίζετο, καὶ ἐργάζεσθαι ἐκέλευε, τὴν πέμπτην τῶν καρπῶν τελοῦντας τῷ φαραώ. ἰακὼβ δὲ ἑπτακαίδεκα ἔτη ἐν αἰγύπτῳ διαγαγών, νοσήσας ἐξέλιπε, προειπὼν ὡς μέλλοιεν οἱ ἐκ τῶν γονέων αὐτοῦ τὴν χαναναίαν οἰκεῖν. καὶ τοῖς μὲν ἄλλοις τὴν φωνὴν ἀγαθῶν ἐπευξάμενος, τὸν ἰωσὴφ δ᾽ ἐγκώμιον διεξελθὼν, ὅτι μὴ μνησικακήσειε τοῖς ἀδελφοῖς, προσέταξε

ἀναγνωρισμὸς ἰωσὴφ καὶ τῶν ἀδελφῶν.

κάθοδος τοῦ ἰσραὴλ πρὸς αἴγυπτον πανοικεί.

τοῖς

τοῖς υἱοῖς, ἵνα τοὺς παῖδας τοῦ Ἰωσὴφ Ἐφραῒμ καὶ Μανασσῆ συγκαταλέξωσιν ἑαυτοῖς, συνδιαιρούμενοι ταύτης τὴν Χαναναίαν. εὐλογηθῆναι δὲ τοὺς υἱοὺς αὐτοῦ Ἰωσὴφ προσαγαγὼν τῷ Ἰακώβ, τὸν μὲν πρεσβύτερον παρὰ τὴν δεξιὰν ἔστησε χεῖρα· τὸν δὲ νεώτερον, κατὰ τὴν λαιάν. ὁ δὲ τὰς χεῖρας ἐναλλὰξ ταῖς τῶν παίδων κεφαλαῖς ἐπιθέμενος, τῇ μὲν δεξιᾷ τῷ νεωτέρῳ ἐπεφώνει, τῷ δὲ πρεσβυτέρῳ δὲ τῇ εὐωνύμῳ. καὶ τοῦ Ἰωσὴφ μὴ οὕτω γενέσθαι τὴν ἐπίθεσιν ποιήσασθαι τῶν χειρῶν φήσαντος τῷ πατρί, ἐκεῖνος ἀλλοιῶσαι τὸν τῶν χειρῶν οὐκ ἐπείσθη σχηματισμόν. οὐ γὰρ ὡς ὑπέλαβεν Ἰωσὴφ οὐκ ᾔδει ὃ ἐποίει, ὑπὸ βάρους τοῦ γήρως βλαβεὶς τὴν διάνοιαν, ἀλλ' ὡς προφήτης τὰ μέλλοντα ᾐνίττετο, καὶ τὸν σωτήριον ἐτύπου σταυρόν, καὶ τὸν νέον λαὸν τὸν ἐξ ἐθνῶν δηλαδὴ δεξιὸν λογισθήσεσθαι ὑπὸ θεοῦ, καὶ τοῦ πρεσβυτέρου προτιμηθήσεσθαι, φημὶ δὴ τοῦ ἰουδαϊκοῦ. τελευτᾷ δὲ Ἰακὼβ βιώσας ἔτη τριῶν δέοντα ἑκατὸν καὶ πεντήκοντα. Ἰωσὴφ δὲ τοῦ Φαραὼ συγχωρήσαντος, ἄπεισιν εἰς Χεβρῶνα, καὶ θάπτει τὸν πατέρα πολυτελῶς. τῶν δὲ ἀδελφῶν δεδιότων συνυποστρέφειν αὐτῷ, ἵνα μὴ μνησικακήσας ἀντεκδικήσῃ αὐτοῖς, πείθει μηδὲν ὑφορᾶσθαι. τελευτᾷ δὲ καὶ αὐτός, ἔτη βιώσας ἑκατὸν δέκα, ἐντειλάμενος, ὅτε μεταναστεύσουσι τῆς Αἰγύπτου οἱ ἐκ τοῦ γένους αὐτοῦ, ἐκκομίσαι καὶ τὰ ὀστᾶ αὐτοῦ, καὶ εἰς τὴν Χαναναίαν ἀπαγαγεῖν. Αἰγύπτιοι δὲ ἀκμάζοντας τοὺς Ἰσραηλίτας ὁρῶντες, καὶ τοῦ Ἰωσὴφ ἐπιλελησμένοι, ταλαιπωρίας ποικίλας κατ' αὐτῶν ἐπενόουν. τόν τε γὰρ ποταμὸν εἰς διώρυχας πλείστας κατατεμεῖν αὐτοῖς ἐπέταξαν, καὶ οἰκοδομῆσαι τείχη ταῖς πόλεσι, καὶ χώματα ἐγεῖραι, ἵνα δι' αὐτῶν ὁ ποταμὸς λιμνάζειν ἀνείργοιτο, καὶ ἀνεγεῖραι πυραμίδας, καὶ τούτοις τοὺς Ἑβραίους ἐξέτρυχον. χρόνον μὲν οὖν συχνὸν ἐπ' αὐταῖς διήνυσαν ταῖς κακώσεσιν. εἶτα τῶν ἱερογραμματέων τις ἀγγέλλει τῷ Φαραώ, τεχθήσεσθαι τινὰ κατ' ἐκεῖνον τὸν καιρὸν τοῖς Ἰσραηλίταις, ὃς τραφεὶς ταπεινώσει μὲν τοὺς Αἰγυπτίους, αὐξήσει δὲ τοὺς ὁμογενεῖς. δείσας οὖν ὁ Φαραώ, κελεύει πᾶν ἄρσεν γεννώμενον τοῖς Ἑβραίοις, ῥιπτοῦντας εἰς τὸν ποταμόν, διαφθείρειν· τοὺς δὲ μὴ οὕτω ποιοῦντας τῶν παίδων τοκέας, πανοικὶ ἀναιρεῖσθαι. καὶ τοὺς τοκετοὺς δὲ τῶν Ἑβραίων γυναικῶν, τὰς αἰγυπτίας μαίας παραφυλάττειν. καὶ οἱ μὲν ἦσαν ἐν τούτοις. ἀνὴρ δέ τις τῶν εὖ γεγονότων πρὸς τοῦτο τὰ διέκειτο χαλεπῶς. ἐκυοφόρει γὰρ ἡ τούτου γυνή, καὶ ἱκέτευε τοῦ θεοῦ. μὴ ἀπογινώσκειν δὲ καθ' ὕπνους προσέταξεν αὐτῷ ὁ θεός· ὅ, τε γὰρ παῖς, ὃν δέδιασιν Αἰγύπτιοι, σὸς γενήσεται, καὶ σωθήσεται, καὶ τραφήσεται, λαθὼν τοὺς ἐπιβουλεύοντας, καὶ λύσει μὲν τῆς παρ' Αἰγυπτίοις δουλείας τοὺς ὁμοφύλους, μνήμης δὲ αἰωνίας τεύξεται. ὁ δὲ ἀδελφὸς αὐτοῦ ἱερατεύσει μοι σὺν τοῖς ἐκγόνοις διαπαντός. τίκτει τοίνυν αὐτῷ ἡ γυνὴ παιδίον ἄρρεν, λαθοῦσα τοὺς φύλακας, καὶ τρέφεται παρὰ τῶν τεκόντων τὸ βρέφος μῆνας τρεῖς. δεδιότες δέ, ἐπὶ τῷ θεῷ τὴν αὐτοῦ σωτηρίαν ἀνατίθενται, καὶ πλέγμα τι μηχανησάμενοι, ἀσφάλτῳ τε περιχρίσαντες, ἐντιθέασι τὸ βρέφος, καὶ ἀφιᾶσι κατὰ τοῦ ποταμοῦ. ἡ δὲ τοῦ παιδίου ἀδελφὴ Μαριάμμη, ἐσκόπει τὸ γενησόμενον. παίζουσα δὲ παρὰ ταῖς ὄχθαις τοῦ ποταμοῦ Θέρμουθις ἡ θυγάτηρ Φαραώ, ὁρᾷ τὸ πλέγμα, καὶ κελεύσασα κομισθῆναι τοῦτο, ἰδοῦσα δὲ τὸ παιδίον, ἠγάπησέ τε αὐτὸ καὶ διὰ κάλλος, καὶ διὰ μέγεθος. καὶ προσάγονται γυναῖκες αἰγύπτιαι θηλάσουσαι αὐτό. τὸ δὲ θηλὴν αὐτῆς οὐ προσίετο.

ἡ δὲ

Marg.: ἐναλλαγὴ τῶν χειρῶν. — τελευτὴ ἰακώβ. — τελευτὴ ἰωσήφ. — ὅτι κακοῦσιν οἱ αἰγύπτιοι τοὺς ἰσραηλίτας. — περὶ τῆς γεννήσεως μωϋσέως. — ὅτι ἡ φαραὼ θυγάτηρ τὸν μωϋσῆν ἀνελομένη ἔτρεφεν.

filijs, ut Iosephi liberos Ephraimum & Manassem, in suum numerum referrent, & in Chananææ terræ portionem admitterent. Iosephus filijs suis ad Iacobũ adductis, ut eis bene precaretur, maiorem ad dextram statuit, iuniorẽ ad læuam. At ille manibus decussatim puerorũ capitibus impositis, dextram iuniori admouet, sinistram maiori. Ob quod factum à Iosepho reprehensus, collocationẽ manuum mutare noluit. Neq; enim (ut Iosephus putabat) per errorem ita fecerat, hebescẽte ob senium ingenio: sed uatis instar futuros euentus per ambages denũciabat, & salutarẽ crucem informabat: ac recentem populũ, è gentibus conflatũ scilicet, dextrum à Deo iudicatum iri significabat: antiquiori, Iudaico nimirũ, præferendũ. Obijt Iacobus annos natus CL, tribus demptis. Iosephus permissu Pharaonis Chebronem proficiscitur, patremq; magno sumptu sepelit: & fratribus dubitãtibus an cum eo reuerterẽtur (uerebantur enim, ne ueterem iniuriã ulcisceretur) serupulum illum eximit. Et ipse etiã moritur, expletis annis centũ & decem: cum mandasset, ut populares sui ex Aegypto remigraturi, sua etiam ossa in Chananæam terram secum asportarent. Aegyptij, quia florere uidebãt Israelitas, obliti Iosephi, uarias in eos ærũnas excogitant. Nam & Nilum in plurimas fossas deriuare iusserunt, & urbes circundare mœnibus, & aggeres excitare, per quos Nili exundationes coercerentur, & pyramides extruere. Huiusmodi igitur rebus Hebræos excruciabant. Ac longo illi tempore istas ærumnas tolerarant, cum quidam ex sacerdotibus Pharaonĩ nunciat, fore ut circa id tempus quidã Israelitis nasceretur, qui si adoleuisset, & Aegyptios depressurus, & populares suos euecturus esset. Qua se perterritus Pharao, omnes masculos qui Hebræis nascerẽtur, in flumẽ proiectos necari iubet. quod quicunq; parentũ negligerent, cum omni familia perituros: & partus Hebræarũ mulierum ab Aegyptijs obstetricibus obseruari iubet. Ac illi quidẽ in his erant. Quidam autẽ uir nobilis ob edictum istud angebatur (nam uxor eius ferebat uterum) ac precatus Deum, in somnis monetur, ne desperet. Nam & puer (inquit Deus) quem dixerũt Aegyptij, tuus erit, & manebit incolumis, & ignorantibus insidiatoribus educabitur: ac popularibus suis ex Aegyptiaca seruitute ereptus, æterna memoria celebrabitur. Frater item eius cum suis posteris sacerdos meus semper erit. Vxor clam custodibus puerum marem ei parit, quem tres menses parentes alunt. Sed metu tandem subacti, salutem eius Deo committunt: ac in fiscellam bitumine illitam impositum infantem, in fluuium demittunt: Mariamme pueri sorore obseruante, quid de eo futurum esset. Interea Thermuthis filia Pharaonis ad ripam lusitans, fiscellam uidet, tolli iubet, puerum' que uisum ob pulchritudinem & magnitudinem diligit. Adducuntur Aegyptiæ mulieres, lactaturæ puerum; at ille mammam Aegyptiam auersatur.

Marg.: Permutatio manuũ. — Iacobi & Iosephi obitus. — Israelitarum ærumnæ apud Aegyptios. — Oraculum. — Mosis natiuitas, & educatio. — Thermuthis Pharaonis filia Mosem educandum curat.

Tum Mariamme, quasi fortuitò interuenisset: Regina, inquit, si Hebræa mulier uocetur, fortassis admittet mammam infans. Illa uocari iubet: adducitur pueri mater, cui Thermuthis alimoniam eius mercede locat, nomine ex euētu indito. nam aquā Mos uocant Aegyptij: Hyses, eos qui ex aqua eripiūtur. Ambobus igitur his uerbis cōpositis, ad infantis nomen illa usa est. Moses ab Abrahamo septimus numeratur. Nam Amarami filius fuit, Caathus Amarami pater, ille Leuis, Leuis Iacobi, Iacobus Isaaci filius, patre nati Abraamo. Mosem tres annos natum & staturę proceritas, & formę elegātia, beneficio quodā numinis decōrabāt: ingeniū porrò supra captū ætatis in eo elucebat. Thermuthis itaq; orba liberis, eum adoptat, ad patrem affert. Is puerum cōplectitur, & diadema per blanditias ei imponit: quod puer, ut fert illius ętatis simplicitas, humi abijcit, pedibus insistens. Quo is sacerdos, qui ex gente Hebręorum oriturū esse dixerat, qui Aegypti regnum depressurus esset, cōspecto, exclamās: Hic, inquit, ille puer est: hoc interfecto, Aegyptios metu libera. Sed Thermuthis puero erepto anteuertit, & Pharaonē Deus segniorē ad cędem reddiderat. Aetate progressus Moses, qua uirtute esset, tali occasione Aegyptijs innotuit. Aethiopes Aegypto finitimi regionem populantur. Aegyptij bello contra eos moto, & succumbūt, & contēptui sunt hostibus, ita ut uniuersam Aegyptū incursarēt. Pharao ex oraculo Mosem iam uirū factū, à filia ducē petit. concedit illa: sed iureiurādo patrē adigit, ne quid illi noceat. Moses belli summa sibi credita, nō solita uia exercitū ducit cōtra hostes, sed per loca ob uenenatarū bestiarum multitudinē inuia, ibiq; prudentiā suam demonstrat. Nam fiscellis ibides (quarū multas, easq; cicures Aegyptus alit) inclusas, cōtra Aethiopes portat (sunt autem ibides serpētibus infestæ) quibus propugnatricib. cōtra uenenatas bestias usus, & Aethiopes nec opinantes aggressus, uincit, ac urbes eorū capit: qui in urbē Aethiopiæ regiam Sabā (pòst à Cābyse ex nomine sororis Meroe dicta est) cōpulsi, obsidētur, etsi urbs illa haberet inexpugnabilis. Verùm Tharbe principis Aethiopum filia, capta amore Mosis, internuncios ad eum mittit de cōiugio. Ille annuit, si urbem sibi traderet. Fit hoc dicto citius. Moses nuptias celebrat, Aegyptios reducit domū. At illi & oderāt illū, quāq; cōseruati, & Pharaonē cōtra eū instigabāt. Qui & sacerdotibus obtēperans, & cęde Aegyptij, qui Hebræū flagellarat, irritatus (ut in libro Originū cōtinetur, etsi Iosephus hoc præterijt) uitæ Moysis insidiat. Tamē ille, quamuis uiæ custodirētur, clam per desertū aufugit in urbē Madiā, ac sacerdotis eius loci hospitio utitur: qui nomine duplici pręditus, & Raguel & Iothor uocabatur. Is filiam suā Sephorā Mosi uxorē despōdet, & curā gregum mādat. Cum autē ad Synęū montē pasceret, cernit miraculū illud rubi: qui cum arderet, non cre-

Moses Pharaonis diadema proculcat pedibus.

Mosis bellum Aethiopicum.

Mosis fuga in Madiā.

Rubi ardentis miraculum.

ἡ δὲ Μαριάμμη ὡς τύχῃ παρατυγχάνουσα, Βασίλισσα, εἶπεν, εἰ Ἑβραῒς κληθείη γυνή, ἴσως προσήσεται θηλὴν τὸ βρέφος ὑπογυίως. ἡ δέ, κάλεσον, ἔφη, καὶ προσάγεται ἡ μήτηρ. καὶ ἡ Θέρμουθις τὴν τοῦ παιδὸς τροφὴν ἔμμισθον αὐτῇ ἀνατίθησι, καὶ ἐκ τοῦ συμβεβηκότος ὀνομάζει αὐτό. τὸ γὰρ ὕδωρ μῶϋ καλοῦσιν Αἰγύπτιοι, ὑσῆς δὲ τοὺς ἐξ ὕδατος σωζομένους. ἄμφω γοῦν συμβαλοῦσα τὰ ῥήματα, εἰς κλῆσιν αὐτοῖς τοῦ βρέφους ἐχρήσατο. ἦν δὲ ἐξ Ἀβραὰμ ἕβδομος Μωϋσῆς. Ἀμαρὰμ μὲν γὰρ αὐτὸς ἦν παῖς, Καὰθ δὲ τοῦ Ἀμαρὰμ ὁ πατήρ. οὗτος δὲ τοῦ Λευΐ, καὶ τοῦ Ἰακὼβ ὁ Λευΐ. Ἰακὼβ δὲ ἐτύγχανε τοῦ Ἰσαάκ, Ἰσαὰκ δ' ἐξ Ἀβραάμ. τριετεῖ δὲ τῷ παιδὶ γεγονότι, τό τε τῆς ἡλικίας ἀνάστημα, καὶ τὸ τῆς μορφῆς ἀστεῖον ἐκ θεοῦ ῥοπῆς ἐπικρεπὲς χάριτος. ἡ δὲ σύνεσις πολὺ κρείττων τῆς ἡλικίας ἐφύετο. ἡ Θέρμουθις οὖν γονίας ἀμοιροῦσα γονῆς, υἱοθετεῖται αὐτόν, καὶ κομίζει πρὸς τὸν πατέρα. ὁ δὲ τὸν παῖδα προσφιλῶς ἐδέξατο, καὶ περιτίθησιν αὐτῷ κατὰ φιλοφροσύνην τὸ διάδημα. καὶ ὁ παῖς αὐτό, κατὰ νηπιότητα δῆθεν, ῥίπτει κατὰ γῆς, καὶ ἐπιβαίνει τοῖς ποσίν. ὅπερ ὁ ἱερογραμματεὺς θεασάμενος, ὃς ἐκ τῶν Ἑβραίων γεννηθῆναί τινα, τὴν τῶν Αἰγυπτίων ἀρχὴν ταπεινώσοντα προεῖπεν, ἀνακραγών, οὗτος, εἶπεν, ἐκεῖνος ὁ παῖς, ὃν ἀνελὼν τοῖς Αἰγυπτίοις τὸ δέος περιελεῖς. ἔφθη δὲ αὐτὸν ἡ Θέρμουθις ἐξαρπάσασα, καὶ τὸν Φαραὼ δὲ νωθρὸν πρὸς τὸν φόνον ἐδεδώκει ὁ θεός. ἐλθὼν δὲ εἰς ἡλικίαν ὁ Μωϋσῆς, ἐκ τοιαύτης λαβῆς οἷος τὴν ἀρετὴν ἦν, φανερὸς τοῖς Αἰγυπτίοις ἐγένετο. πρόσοικοι ὄντες τῇ Αἰγύπτῳ Αἰθίοπες, ἐσίνοντο τὴν χώραν αὐτῶν. οἱ δὲ Αἰγύπτιοι στρατεύουσιν ἐπ' αὐτούς, καὶ ἡττῶνται. Αἰθίοπες δὲ καταφρονήσαντες αὐτῶν, τὴν ἅπασαν κατέτρεχον Αἴγυπτον. κατὰ δὲ θεῖον χρησμόν, αἰτεῖ τὴν θυγατέρα τὸν Μωϋσῆν Φαραὼ ἤδη ἀνδρωθέντα, κατ' Αἰθιόπων στρατηγὸν αὐτῷ γενησόμενον. ἡ δὲ δίδωσιν, ὁρκώσασα τὸν πατέρα, μηδέν τι διαθεῖναι αὐτὸν κακόν. Μωϋσῆς δὲ τὸν πόλεμον πιστευθείς, οὐ διὰ συνήθους ὁδοῦ ἄγει ἐπὶ τοὺς πολεμίους τὴν στρατιάν, ἀλλὰ δι' ἀστιβάτου ἐκ πλήθους ἑρπετῶν ἰοβόλων. φύλαξ δὲ τὴν σύνεσιν αὐτοῦ ἐπεδείξατο. πλέγματα γὰρ ποιήσας καὶ ταῦτα πληρώσας ἴβεων (πολλὰς δὲ ταύτας τρέφει καὶ χειροήθεις ἡ Αἴγυπτος) κατὰ τὴν ὁδὸν ἐκείνην ἐκόμιζεν. αἱ δὲ ἴβεις τοῖς ἰοβόλοις τούτοις πολέμιαι. καὶ ταύταις προηγουμέναις τῆς στρατιᾶς προμάχοις κατὰ τῶν ἰοβόλων ἐχρήσατο, καὶ μηδὲ προγνοῦσιν ἔπεισι τοῖς Αἰθίοψι. καὶ τούτους νικᾷ, καὶ πόλεις αὐτῶν αἱρεῖ. οἱ δὲ συνελασθέντες εἰς Σαβὰν πόλιν βασίλειον οὖσαν Αἰθιοπίας, ἣν ὕστερον Καμβύσης Μερόην ὠνόμασε διὰ τὴν ὁμώνυμον ἀδελφήν, ἐπολιορκοῦντο. ἦν δὲ ἡ πόλις δυσπολιόρκητος. Θάρβις δὲ τοῦ Αἰθιόπων κρατοῦντος θυγάτηρ εἰς ἔρωτα ἁλοῦσα Μωϋσέως, καὶ διαπέμπεται πρὸς αὐτὸν περὶ γάμου. ὁ δὲ κατήνεσεν, εἰ παραδοίη τὴν πόλιν αὐτῷ. φθάνει τὸ ἔργον τοὺς λόγους, καὶ Μωϋσῆς τελεῖ τοὺς γάμους, καὶ τοὺς Αἰγυπτίους ἐπανάγει εἰς τὴν ἑαυτῶν. οἱ δ' ἐμίσουν αὐτὸν καὶ σωζόμενοι, καὶ ἠρέθιζον τὸν Φαραὼ κατ' αὐτοῦ. ὁ δὲ καὶ τοῖς ἱερογραμματεῦσι πειθόμενος, καὶ διὰ τὸν φόνον τοῦ Αἰγυπτίου, τοῦ τὸν Ἑβραῖον μαστίζοντος, ὡς τῇ Βίβλῳ περιείληπται τῆς γενέσεως (ἃ καὶ σιωπῇ παραδέδραμεν ὁ Ἰώσηππος) ἐπίβουλος τῇ ἀναιρέσει τοῦ Μωϋσέως. ὁ δὲ καὶ τῶν ὁδῶν φυλαττομένων λαθὼν ὑπεξῆλθε διὰ τῆς ἐρήμου, καὶ εἰς πόλιν ἀπῆρε Μαδιάμ, καὶ ξενίζεται παρὰ τῷ τῆς πόλεως ἱερεῖ, ὃς διώνυμος ὤν, Ῥαγουὴλ ἐκαλεῖτο καὶ Ἰοθόρ. ὁ δὲ τὴν θυγατέρα αὐτοῦ Σεπφώραν τῷ Μωϋσῇ πρὸς γάμον ἐκδίδωσι, καὶ ποιμαίνειν ἐπέτρεψε τὰ ἑαυτοῦ βοσκήματα. νέμων δ' ἐπὶ τὸ Σίναιον ὄρος ὁ Μωϋσῆς, τὸ περὶ τὴν βάτον ἐξαίσιον ὁρᾷ τέρας, ἣν ἔφλεγε πῦρ, οὐ μέντοι

οὐ μέντοι κατεκαίετο. ὅτε καὶ φωνῆς ἐκεῖθεν ἤκουσε, μὴ προβαίνειν ἐπιτάττον, ὡς θείου τοῦ τόπου τυγχάνοντος, καὶ τὰ ἐσόμενα προηγόρευε, καὶ ἀπιέναι αὐτῷ εἰς Αἴγυπτον ἐκέλευε, τοὺς ὁμογενεῖς τῆς ἐκεῖ κακώσεως ἀπαλλάξοντι, καὶ ἐξάξοντι αὐτοὺς τῆς Αἰγύπτου, θυσίας τε εἰς ἐκεῖνον τὸν τόπον ποιεῖν ἐντέλλεται. ταῦτα ἐκ τοῦ πυρὸς θεοκλυτεῖται ὁ Μωϋσῆς. ὁ δὲ ἠπόρει πῶς ἢ τοὺς οἰκείους πείσειεν, ἢ βιάσαιτο Φαραὼ ἐπιτρέψαι τὴν ἔξοδον. καὶ ὁ θεὸς ῥᾷστα ταῦτα θήσειν ἐπαγγελλόμενος αὐτῷ, καὶ εἰς πίστιν τὴν βακτηρίαν εἰς τὴν γῆν ἀφεῖναι κελεύεται, καὶ ἀφεθεὶς δράκων ἐγένετο. εἶτ' ἀναλαβομένου, πάλιν βάκτρον ἦν. καὶ καθεῖναι τὴν δεξιὰν εἰς τὸν κόλπον προσταχθεὶς, λευκὴν ὁμοίαν τιτάνῳ τὴν χρόαν ἐξενήνοχεν, εἶτα εἰς τὸ πρότερον αὖθις ἀποκατέστη. καὶ τοῦ πλησίον ὕδατος λαβὼν κελευσθεὶς, καὶ καταχέας τῇ γῇ, ὁρᾷ τὸ χυθὲν αἱματῶδες. θαρρῶν οὖν ἤδη τοῖς παρακελευσθεῖσι, καὶ μηκέτι μέλλων, παραλαβὼν τὴν γυναῖκα, καὶ τοὺς παῖδας τοὺς ἐξ αὐτῆς, Γηρσὼμ, ὃ σημαίνει ὅτι εἰς τὴν ξένην, καὶ Ἐλεάζαρ, δηλοῖ δὲ ὡς συμμάχῳ χρήσασθαι τῷ πατρῴῳ θεῷ, ὥρμησεν εἰς Αἴγυπτον. πλησιάσαντι δὲ ὁ ἀδελφὸς ὑπήντησεν Ἀαρών. παραγίνονται οὖν ἄμφω πρὸς Φαραὼ, καὶ τὰ ἐκ θεοῦ προστεταγμένα εἰπόντες, ἀξιοῦσι μὴ ἀντιπράττειν τῇ θείᾳ βουλῇ. χλευάζοντος δ' ἐκείνου, ἔργῳ τὰ σημεῖα ἐδείκνυον, καὶ ἡ ῥάβδος ὄφις ῥιφεῖσα ἐγένετο. τὸ δ' αὐτὸ καὶ τῶν Αἰγυπτίων ἐπαοιδῶν ποιούντων, καὶ τὰς σφετέρας βακτηρίας μεταβαλόντων εἰς δράκοντας, Μωσῆς τὴν βακτηρίαν αὖθις ῥιπτεῖ ἐπὶ γῆς, καὶ εἰς ὄφιν μεταβληθεῖσα, τὰς τῶν Αἰγυπτίων βακτηρίας, αἳ δράκοντες ἐδόκουν, κατέπιεν. εἶτα εἰς τὸ ἴδιον σχῆμα μεταπεσοῦσαν αὐτὴν κομίζεται. σκληρυνομένου δὲ Φαραὼ, εἰς αἷμα τὰ ὕδατα μεταβέβληνται. εἶτα βάτραχοι πᾶσαν τὴν γῆν Αἰγύπτου ἐκάλυψαν. ἐπὶ τούτοις σκνῖπες ἐκ τῆς γῆς ἀνέδυσαν. τὰ μὲν οὖν ἄλλα τεράστια καὶ οἱ ἐπαοιδοὶ Φαραὼ ἐδόκουν ποιεῖν, σκνῖπας δὲ φαντάσαι οὐκ ἠδυνήθησαν. ὅπερ οὖν πρὸς Φαραὼ, ὅτι δάκτυλος θεοῦ τοῦτ' ἔστιν. ὁ δὲ ἔτι αὐθάδης ἦν, καὶ ἐγένετο κυνόμυια, καὶ μετὰ ταῦτα φθορὰ τῶν κτηνῶν. εἶτα τοῦ Μωϋσέως καμιναίαν αἰθάλην τὸν ἀέρα κατασκεδάσαντος, ἕλκη καὶ φλυκτίδες τοῖς κτήνεσι καὶ τοῖς ἀνθρώποις ἀνέζεσαν, καὶ αὖθις χάλαζα ὕσθη, καὶ μετ' αὐτὴν ἐπῆλθεν ἀκρὶς, καὶ ἐπὶ ταύταις σκότος τοὺς Αἰγυπτίους ἐπὶ τρεῖς ἡμέρας ἐκάλυψε. τελευταῖον δὲ ἐπὶ πᾶσι τούτοις ἡ τῶν πρωτοτόκων ἀπώλεια. σκληρυνομένου γὰρ Φαραὼ, ἐκέλευσεν ὁ θεὸς Μωϋσῇ θυσίαν παρασκευάσαι εἰς τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς, ὃς παρὰ μὲν Ἑβραίοις Νισὰν καλεῖται, παρ' Αἰγυπτίοις δὲ Φαρμουθὶ, παρὰ Μακεδόσι δὲ Ξανθικὸς, καὶ παρ' Ἕλλησιν Ἀπρίλλιος. ἐνστάσης δὲ τῆς τεσσαρεσκαιδεκάτης, ἅπαντες ἔθυον, καὶ τῷ τοῦ θύματος αἵματι τὰς φλιὰς τῶν οἰκιῶν ἔχριον, καὶ δειπνήσαντες, τῶν κρεῶν τὰ περιλειφθέντα ἔκαυσαν. ὅθεν ἔκτοτε ἑορτὴν ἄγουσιν Ἑβραῖοι κατὰ τὸν καιρὸν τοῦτον, καὶ θύουσι, πάσχα τὴν ἑορτὴν καλοῦντες. τὸ δὲ πάσχα ἄλλοι μὲν διάβασιν σημαίνειν φασίν. Ἰώσηπος δὲ ὑπερβασίαν, ὅτι κατ' ἐκείνην τὴν νύκτα, τοὺς Ἑβραίους ὁ θεὸς ὑπερβὰς, Αἰγυπτίοις ἐνέσκηψε τὴν τῶν πρωτοτόκων φθοράν. ὅθεν συνελθόντες Αἰγύπτιοι ἐδέοντο τοῦ Φαραὼ, ἀπολῦσαι τοὺς Ἑβραίους. ὁ δὲ ἀπιέναι προσέταξεν. οἱ δὲ ἐξῄεσαν. ἦν δὲ τὸ τῶν μετανισταμένων πλῆθος τὸ στρατεύσιμον ἡλικίαν ἔχον μόνον, μυριάδες ἑξήκοντα. ἐξῆλθον δὲ μηνὸς Ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ κατὰ σελήνην, μετὰ ἔτη τετρα-

κόσια

non cremabatur. Deinde uocē etiam inde audit, quæ progredi uetaret: quòd locus ille diuinus esset, & futura prędiceret: & abire in Aegyptum iuberet, ut populares suos ex illis ærumnis eriperet: quos cū eduxisset ex Aegypto, sacra in loco illo faceret. Hæc Mosi diuinitùs è flamma significātur. Cæterùm is dubitabat, quo pacto uel popularibus suis persuaderet, uel à Pharaone extorqueret exitū: cum Deus ea se facillima redditurū pollicetur. in cuius rei fidē, baculum humi projceret: quo facto, is serpens extitit: receptus, in baculū redit. Manū itē in sinum abdere iussus, ptulit instar calcis candidā: quæ mox & ipsa pristinū colorem recipit. Rursus è propinquo petitā aquā effundere iussus, cruentam uidet. His portentis cōfirmatus, rem citra cunctationē iubet aggredi. Assumptis igitur uxore, & ex ea susceptis liberis, Gersone, quod nomē significat aduentū in peregrinā terrā: & Eleazaro (à diuino auxilio sumpta est appellatio) in Aegyptū proficiscitur. Ad limites progresso, frater Aaron occurrit. Ambo Pharaonē adeūt, & Dei mādatis expositis monent, ne diuino cōsilio aduersetur. Illo uerba eorum deridente, miracula edūt. Baculus proiectus fit serpens. Quod incātatoribus Aegyptiorū imitatis, uersis illorū etiā baculis in serpentes, rursus Moses suū baculū humi projcit: qui in serpentem mutatus, baculos Aegyptiorū, qui serpentium speciē habebāt, deuorat. Deinde in suam formā reuersum recipit. Pharaone uerò se obfirmāte, aquæ in cruorē mutātur, deinde ranæ omnem terrā Aegypti occupāt, postea pediculi è terra scaturiūt. Ac cætera quidē miracula etiā Pharaonis prestigiatores uidebātur imitari. pediculorū autem spectrū quia effingere non poterant, Pharaoni dicebāt, illum digitū Dei esse. Verùm cum is nihil cederet, ingruerūt muscæ, & perierunt pecudes. Deinde cum Moses fuligine caminorū aerem oppleuisset, ulcera & pustulæ tam in hominibus quàm pecudibus efferbuerūt. Rursus grādo depluit, quā secutæ sunt locustæ, post quas tenebræ Aegyptios tres dies operuerunt. Deniq; post hæc omnia primogenitorū cōsecutus est interitus. Nā cū occalluisset Pharao, iussit Deus Mosem sacrificiū in diē mēsis XIIII apparare, qui mensis ab Hebræis Nisan, ab Aegyptijs Pharmuthi, apud Macedones Xanthicus appellatur, Latine Aprilis dicitur. Quæ dies XIIII cū adesset, sacrificāt omnes, & uictimarū sanguine limina ædiū inungūt: cœnaq; peracta, reliquias comburūt. unde ex illo tēpore festū Hebręi celebrāt circa id tēpus, & sacrificāt: quod festū Pascha uocāt. id alij transitū interpretātur: Iosephus præteritionem, q; Deus nocte illa Hebręis præteritis, Aegyptios interitu primogenitorū afflixerit. Qua de causa cōgressi Aegyptij Pharaonē orant, ut dimittat Hebræos. Iubet ille. Discedūt Hebręi: quorum fuere (militaris duntaxat ætatis) sexcenta millia. Egressi sunt mense Xanthico, die XV, oriente Luna, annis quadrin-

gentis

Moses miraculis confirmatus, Pharaonē adit.

Mosis miracula apud Pharaonem.

Pascha.

Hebræorū exitus ex Aegypto.

gentis & triginta pòst, quàm Abrahamus in Chananæam peruenerat, post Iacobi in Aegyptum migrationem annis ducentis & quindecim, Mose tum annos LXXX nato, quem Aaron triennio superabat: auehentes etiā ossa Iosephi secū, quemadmodū ille mandarat. Sic illi proficiscebātur. At Aegyptij acti pœnitentia, correptis armis eos persequebantur, curribus DC, equitibus quinquagies mille, & ducentis millibus peditum. Hebræi in angustias redacti æstuare, uix à lapidatione Mosis sibi tēperare: ille hortari, ut se sequerentur, ad mare ducere. Ibi in littore stans, Deo inuocato, baculo mare percutit. Illud dissiluditur, ut nuda Hebræis tellus appareret: festinăter itaq; transeunt. Quod

Aegyptiorum in mari rubro interitus.

uidentes Aegyptij, equite in fronte collocato, persequūtur. Iam autē Hebræis in oppositum littus citra noxam egressis, Aegyptios aqua à Mose uirga percussa, ut in suum locū regrederetur, fluctibus coeuntibus, mare obruit. Itaq; Aegyptij uniuersi in undis perierunt. Hebræi uero laudibus Deum læti cōcelebrāt. Moses etiam canticū Deo facit uersibus senarijs, Iosepho autore. Arma Aegyptiorū cum corporib. eorum à uento in littus eiecta capiūt, sibiq; accōmodant. Moses eos in montē Sinam ducit, ad exoluenda uota Deo ob salutē adeptam, ut in mandatis acceperat. Dum eò ducūtur, & cibariorum penuria, & aquæ inopia laborāt. Sic

Merranius puteus dulcescit.

affecti in locū perueniūt, ubi puteus erat, cuius aqua ob amaritiē potari non poterat (quem locum liber Exitus Mæra nominat, Iosephus ab Hebræis Mar uocatū fuisse tradit: sic enim amarum dici lingua eorum) & cōtra ducem fremunt. Is Deum cōprecatus prius, ligno quodā in puteum cōiecto, aquam dulcem reddit. Iosephus nō credere uidetur, aquæ saporē miraculo mutatū, sed naturaliter id accidisse. Ait enim Mosem ligno in aquā cōiecto, exhauriri aquā iussisse: ac dum illi intenti essent operi, aquam continentibus ictibus exercitatam & expurgatam, potabilē tandem esse factam. Cibariorum item penuriæ occurrit, numine inuocato, per

Coturnices.

coturnices, quarum ingēs multitudo in castra Hebræorum delata & capta, famem sedat. Deinde Mannam pluit eis Deus, dulcedine melli parem, magnitudine grano coriandri similem.

Manna.

Est autē Manna ab eis appellata, cum dubitarent, quid rei esset. Man enim lingua illa interrogationis quoq; nota est. sic Iosephus hæc tradit. Iussus autē erat quilibet assaronē (mēsuræ id genus est) ex eo colligere: quo si quis plus collegisset, postridie nō erat esui, & uermib. &
„ amaritudine corruptū. Id eo cōsilio factum, ne
„ ubi robusti multū coaceruassēt, infirmi egerēt.
Hoc uictu annos XL sunt usi, donec è deserto excesserūt.

Raphidimum sitim petra leuat.

Denuò in locū aquarū expertē progressi, nomine Raphidim, siti contra Mosem extimulantur. Is precatus Deū, iubetur baculo percutere petrā: quo facto, aquæ limpidissimæ copia erūpit. Inde Amalechitæ, finitimis etiam in auxiliū euocatis, cōtra Hebræos procedūt.

Moses

κόσια τριάκοντα τοῦ τὸν ἀβραὰμ εἰς χαναναίαν ἐλθεῖν. ἐκ δὲ τῆς ἰακὼβ εἰς αἴγυπτον παροικίας μετὰ διακοσίους καὶ πεντεκαίδεκα. ἦν δὲ μωϋσῆ τότε ζωῆς ἔτος ὀγδοηκοστὸν, ἀαρὼν δὲ τρισὶν ὑπερῆγε. συνεπεκομίσθη δὲ καὶ τὰ ὀστᾶ τοῦ ἰωσὴφ, πληρουμένης τῆς ἐντολῆς τοῦ ἀνδρός. οἱ μὲν οὖν ἐξῄεσαν. αἰγύπτιοι δὲ μετεμέλοντο, καὶ λαβόντες ὅπλα ἐδίωκον. ἑξακόσια δ᾽ ἦσαν αὐτοῖς ἅρματα, ἱππεῖς τε πεντακισμύριοι, καὶ μυριάδες εἴκοσι ὁπλιτῶν. ἑβραίους δὲ εἰς ἀπόγνωσιν ἦγον ἐν στενῷ γεγονότα τὰ πράγματα, καὶ λίθοις βάλλειν τὸν μωϋσῆν ἔμελλον. ὁ δὲ παρεκάλει αὐτῷ ἕπεσθαι. καὶ ἦγεν αὐτοὺς ἐπὶ θάλασσαν, καὶ στὰς παρ᾽ αὐτῇ, καὶ τὸν θεὸν ἐπιβοησάμενος, τύπτει τῇ βακτηρίᾳ τὴν θάλασσαν. ἡ δὲ ἀνεκόπη, καὶ γυμνὴν ἀφῆκε τοῖς ἑβραίοις τὴν γῆν. κἀκεῖνοι διέβαινον ἀσφαλῶς. ὁρῶντες δὲ ταῦτα αἰγύπτιοι, καὶ αὐτοὶ προτάξαντες τὴν ἵππον, ἐδίωκον. ἤδη δ᾽ ἐπὶ τὴν ἀντιπέραν γῆν τῶν ἑβραίων διασωθέντων, ἐπιχεῖται τοῖς αἰγυπτίοις ἡ θάλασσα, τοῦ μωϋσέως τῇ ῥάβδῳ ἐπιρραπίσαντος αὖθις τὸ ὕδωρ πατάξαντος, καὶ τὰ τούτου φυσήσαντος κύματα. ἀπώλοντο οὖν οἱ αἰγύπτιοι ἐν τοῖς ὕδασι ξύμπαντες. καὶ οἱ μὲν ἑβραῖοι ἐν ὕμνοις ἦσαν, καὶ ἔχαιρον. μωϋσῆ δὲ ᾠδὰ πεποίηται πρὸς θεὸν ἐν ἑξαμέτρῳ τόνῳ συντεθειμένη, ὥς φησιν ὁ ἰώσηπος. τὰ δ᾽ ὅπλα τῶν αἰγυπτίων σὺν τοῖς σώμασιν αὐτῶν ἐκβρασθέντα τῆς θαλάσσης ὑπὸ τοῦ πνεύματος, λαβόντες ἑβραῖοι, τούτοις ὡπλίσθησαν. καὶ ἦγεν αὐτοὺς ὁ μωϋσῆς εἰς τὸ ὄρος σινᾶ, θύσων ἐκεῖ τὰ σῶστρα, ὡς αὐτῷ ἐνετέταλτο. ἀγομένους δὲ ἐκεῖ ἡ τῶν τροφῶν ἐλύπει σπάνις, καὶ ἡ τοῦ ὕδατος ἔνδεια. καὶ οὕτως ἔχοντες εἰς τόπον ἀφικνοῦνται, ἐν ᾧ φρέαρ ἦν, οὗ τὸ ὕδωρ διὰ πικρίαν ἄποτον. καὶ τὸ ὄνομα τοῦ τόπου ἡ μὲν τῆς ἐξόδου βίβλος μερρᾶν ὀνομάζει, ὁ δὲ ἰώσηπος μὰρ αὐτὸν κληθῆναι παρὰ τῶν ἑβραίων συγγράφεται, μὰρ τὸ πικρὸν λέγων τοὺς ἑβραίους καλεῖν. καὶ τοῦ δημαγωγοῦ κατεγόγγυζον. ὁ δὲ τοῦ θεοῦ πρότερον δεηθεὶς, ξύλον λαβὼν, εἰς τὸ φρέαρ ἐνέβαλε, καὶ τὸ ὕδωρ ἐγλύκανεν. ὁ δὲ ἰώσηπος ἔοικε μὴ πιστεύειν ὡς θαύματι τῷ γλυκανθῆναι τοῦ ὕδατος, ἀλλὰ φυσικῶς αὐτὸ γλυκανθῆναι δοξάζειν. λέγει γὰρ, ὅτι τὸ ξύλον ὁ μωϋσῆς εἰς τὸ ὕδωρ βαλὼν, ἐξαντλεῖν τὸ φρέαρ ἐκέλευε, καὶ οἱ μὲν ἐπόνουν, τὸ δὲ ὑπὸ τῶν συνεχῶν πληγῶν γεγυμνασμένον, καὶ κεκαθαρμένον, ἤδη πότιμον ἦν. τὴν δὲ τῶν τροφῶν ἔνδειαν ἰᾶται, τοῦ θεοῦ δεηθεὶς διὰ ὀρτύγων. ἐφίπταται γὰρ τῇ τῶν ἑβραίων παρεμβολῇ πλῆθος ὀρτύγων, οὓς συλλαβόντες ἤσθιον, καὶ ἐπὶ τούτοις τὸ μάννα ὕει αὐτοῖς ὁ θεὸς, μέλιτι μὲν τὴν ἡδονὴν ἐμφερὲς, τὸ δὲ μέγεθος κοριάνδρου σπέρματι ὅμοιον. μάννα δὲ παρ᾽ ἐκείνων ἐκλήθη, ὡς ἐρωτώντων τί ἂν εἴη αὐτό. τὸ γὰρ μὰν καὶ ἐπερώτησιν δηλοῖ, κατὰ τὴν ἐκείνων διάλεκτον. οὕτω καὶ ταῦτα ἰώσηπος. ἐνετέταλτο δὲ ἀσσαρῶνα ἐκ τούτου ἕκαστον συλλέγειν (ὁ δὲ ἀσσαρὼν μέτρον ἐστὶν) εἰ δέ τις πλέον συνέλεξεν, τὴν αὔριον ἄβρωτον ἦν, ὑπό τε σκωλήκων καὶ πικρίας διεφθαρμένον. τοῦτο δὲ ᾠκονόμητο, ἵνα μὴ τῶν
„ ἐρρωμένων πολὺ συναγόντων, ὑπολείπῃ τοῖς ἀσθενέσι. „
τῇ δὲ τροφῇ ταύτῃ τεσσαράκοντα ἐχρήσαντο ἔτεσιν, ἐφ᾽ ὅσον ἦσαν ἐν τῇ ἐρήμῳ. αὖθις οὖν εἰς ἄνυδρον ἦλθον τόπον, καλούμενον ῥαφιδὶν, καὶ διψῶντες κατὰ μωϋσέως ἐκινοῦντο. ὁ δὲ τῷ θεῷ δεηθεὶς, κελευσθεὶς τῇ ῥάβδῳ τὴν πέτραν πλῆξαι, καὶ πλήξας, ὡς αὐτίκα ὕδωρ ἐξεβλύσθη πολύ τε καὶ διαυγέστατον. οἱ δὲ ἀμαληκῖται κατὰ τῶν ἑβραίων ἐχώρουν, σὺν πλησιοίκοις συμμάχους προσκαλεσάμενοι.

μωϋσῆς

ἔξοδος ἑβραίων ἐκ τῆς αἰγύπτου ὑπὸ μωϋσέως.

πλῆθος τῶν διωκόντων τοὺς ἰουδαίους ἐκ τῆς αἰγύπτου.

ὅπως διῆλθον διὰ τῆς θαλάσσης μέσης, καὶ ἀπώλοντο οἱ αἰγύπτιοι.

ὅτι ὕμνον ᾠδὴν μωϋσῆ. καὶ τὰ ὅπλα τῶν αἰγυπτίων ἐκρατήσαντο ἰουδαῖοι.

ὅτι μὰρ καὶ μερρὰν ὁ τὸ ὕδωρ τὸ πικρὸν ἔχων τόπος ἐκλήθη.

ὅπως διὰ ξύλου ἐγλυκάνθη τὸ ὕδωρ, καὶ ὅπως τὸ θαῦμα ἰώσηπος ἑρμηνεύει.

περὶ τῶν ὀρτύγων, καὶ τοῦ μάννα.

ὅτι τὸ μὰν ἐπερώτησιν δηλοῖ.

ὅτι ὁ ἀσσαρὼν μέτρον ἐστίν.

ὅτι ἡ πέτρα παρὰ μωϋσέως ὕδωρ ἔβλυσεν.

Μωϋσῆς δὲ τὸ μάχιμον τοῦ λαοῦ τῶν ἄλλων ἀποδιαλών, καὶ Ἰησοῦν τὸν τοῦ Ναυῆ ἐπιστάτας αὐτοῖς, μέρος δέ τι τῆς στρατιᾶς καταλιπὼν εἰς τὴν τοῦ ὕδατος φυλακήν, αὐτὸς μὲν ἀνεχώρει πρὸς τὸ ὄρος. Ἰησοῦ δὲ ἐντέταλτο παρασκευάσαι θεῷ, καὶ τὸ στράτευμα κατὰ τῶν ἐναντίων ἐξάγειν. ἤδη οὖν ὁ πόλεμος συνερρήγνυτο· καὶ μέχρι μὲν ὁ Μωϋσῆς τὰς χεῖρας εἶχεν ὑψοῦ, τοὺς Ἀμαληκίτας οἱ Ἑβραῖοι κακῶς διετίθεντο. ὁσάκις δὲ τὰς χεῖρας καθίει ὁ Μωϋσῆς, τῇ ἀνατάσει ταύτῃ πονούμενος, καταπονεῖσθαι τοὺς Ἑβραίους συνέβαινεν. ἐκέλευσεν οὖν τὸν ἀδελφὸν Ἀαρών, καὶ Ὢρ τὸν ἄνδρα τῆς ἀδελφῆς Μαριάμ, στάντας ἀνέχειν τὰς χεῖρας αὐτοῦ ἐντείλατο, καὶ οὕτω τοὺς Ἀμαληκίτας νικῶντες Ἑβραῖοι, πάντας ἂν ἀπώλεσαν αὖ, εἰ μὴ νὺξ ἐπέσχεν αὐτούς, Ἑβραίων δὲ τέθνηκεν οὐδὲ εἷς. ἐκεῖθεν ἀπάραντες εἰς τὸ πρόσω, καὶ ἐν τριμηνίῳ μετὰ τὴν ἐξ Αἰγύπτου ἐξέλευσιν, ἧκον ἐπὶ τὸ ὄρος Σινᾶ. καὶ θύει Μωϋσῆς ἐκεῖ τῷ θεῷ, ὅπου καὶ Ῥαγουὴλ ὁ πενθερὸς αὐτοῦ ἐπῆλθε πρὸς αὐτόν. θεασάμενος δὲ τὸν γαμβρὸν ἐν ὄχλῳ πραγμάτων ὄντα, πάντων ἐπ' αὐτὸν βαδιζόντων, συνεβούλευε τὴν μὲν τῶν δικῶν ζήτησιν ἑτέροις ἐπιτρέπειν, αὐτὸν δὲ τῶν μειζόνων φροντίζειν πραγμάτων, καὶ τῆς τοῦ λαοῦ σωτηρίας· καὶ κατὰ μυρίους ἄρχοντας ἀποδεικνύειν, εἶτα κατὰ χιλίους, καὶ κατὰ πεντακοσίους ἑτέρους ἐφιστᾶν, καὶ ἐπὶ τούτοις ἑκατοντάρχους καὶ πεντηκοντάρχους ποιεῖν, καὶ ἐν τριάκοντα, καὶ εἴκοσι, καὶ δέκα ἐφιστᾶν τοὺς διακοσμήσοντας. ταῦτα τοῦ Ῥαγουὴλ συμβουλεύσαντος, Μωϋσῆς κατὰ τὴν ἐκείνου ὑποθήκην ποιεῖ. εἶτα πλησίον μετασκηνῶσαι τοῦ ὄρους Σινᾶ τῷ λαῷ ἐντειλάμενος, αὐτὸς εἰς τὸ ὄρος ἀνῄει, καὶ ὁ λαὸς μετεσκήνωσεν, ἁγνεύων τήν τε ἄλλην ἁγνείαν, καὶ ἀπὸ γυναικὸς συνουσίας τριῶν ἡμερῶν. κατὰ δέ γε τὴν τρίτην ἧκεν νεφέλη περικύκλου τὸ τῶν Ἑβραίων στρατόπεδον, ἀστραπαί τε ἦσαν φοβεραί, καὶ πνευμάτων σφοδρότης, ἃ τοὺς Ἑβραίους ἐδείμαινε ταῖς σκηναῖς προσμένοντας. ἀναφαίνεται δὲ ὁ Μωϋσῆς ἔμπλεως θάρσους, καὶ ὀφθεὶς ἀπαλλάττει τοῦ δέους αὐτούς, καὶ μηνύσας φησὶν ἃ ὁ θεὸς ἐντέταλται, καὶ ὅσα φυλάξουσι νόμιμα, καὶ προσάγει τὸν λαὸν ἅμα γυναιξὶ καὶ τέκνοις, ὡς ἀκούσαιεν τοῦ θεοῦ. καὶ ἤκουον φωνῆς ὑψόθεν γινομένης. εἶτ' αὖθις ἄνεισιν εἰς τὸ ὄρος. καὶ χρονίσαντος ἐκεῖ, ὁ λαὸς ἀθροισθεὶς πρὸς Ἀαρών, λέγων, ποίησον ἡμῖν θεούς, ὁ γὰρ Μωϋσῆς οὐκ οἴδαμεν τί γέγονεν. Ἀαρὼν δὲ βιαζόμενος, προσενεγκεῖν αὐτῷ ἐπέταξεν ἕκαστον τὰ ἐνώτια τὰ χρυσᾶ, καὶ τὸν κόσμον ὃν αἱ γυναῖκες, καὶ αἱ θυγατέρες αὐτῶν περιέκειντο. οἱ δὲ προσήγαγον, καὶ ἐξ αὐτῶν μόσχον ἐποίησαν χωνευτόν, καὶ ἔθυσαν αὐτῷ. Μωϋσῆς δὲ καταβαίνων ἐκ τοῦ ὄρους, καὶ τὰς δύο πλάκας τοῦ μαρτυρίου ἐν ταῖς χερσὶ φέρων, λιθίνους, καταγεγραμμένας ἐπ' ἀμφοτέρων τῶν μερῶν, ὡς ἤγγισε τῇ παρεμβολῇ, ὁρᾷ τὸν μόσχον, καὶ ὀργισθεὶς τὰς πλάκας συνέτριψε, καὶ λαβὼν τὸν μόσχον κατέκαυσε, καὶ ἐλέπτυνε, καὶ βαλὼν εἰς ὕδωρ ἐπότισε τὸν λαόν. καὶ ἐντέταλτο τοῖς υἱοῖς Λευΐ, καὶ διῆλθον διὰ τῆς παρεμβολῆς, καὶ ἀπέκτειναν πολλούς, ὡς εἰς τρισχιλίους τῶν πεσόντων ἀριθμηθῆναι. ὑπέστρεψε δὲ Μωϋσῆς πρὸς τὸ ὄρος, λέγων· Κύριε, ἡμάρτηκεν ὁ λαός σου, καὶ νῦν εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου. καὶ εἶπεν αὐτῷ Κύριος· κατάβηθι, ὁδήγησον τὸν λαὸν εἰς τὸν τόπον, ὃν εἶπόν σοι. καὶ ἐνεφάνισε Κύριος τῷ Μωϋσῇ αἰτήσαντι ἰδεῖν αὐτόν, τὰ ὀπίσθια αὐτοῦ. καὶ κατέβη πρὸς τὸν λαὸν αὖθις, δύο πλάκας ἐπιφερόμενος, αἷς δέκα λόγους γεγραμμένους εἶχεν, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ δεδοξασμένη, καὶ οὐκ

Ὅτε ὁ Μωϋσῆς ἀνετείνετο τὰς χεῖρας ἐνίκων οἱ Ἑβραῖοι ... τῶν χειρῶν ... τὰς χεῖρας τῶν ἀδελφῶν.

Ὅτι μετὰ τρίμηνον ἐξ Αἰγύπτου ἦλθον εἰς Σινᾶ ὄρος ... δικῶν.

Συμβουλὴ τοῦ πενθεροῦ Μωϋσεῖ, ... τὸν λαόν.

Κατὰ τὸ ὄρος Σινᾶ ... νομοθεσία.

Ἐν χρόνῳ τοῦ Μωϋσέως ἐν τῷ ὄρει ὁ λαὸς ἐγένετο ... μόσχον χρυσοῦν.

Ὅτε ὁ Μωϋσῆς συνέτριψε τὰς πλάκας, ... τὸν μόσχον, ... τὸν λαόν.

Αὖθις Μωϋσῆς ... ὁ λαὸς ... τῶν νόμων.

Moses bellicosis à reliqua turba segregatis, & Iesu Nauis filio duce creato, ac parte exercitus ad aquarum custodiam relicta, ipse montem conscendit: Iesuque mandat, ut Deo fretus, contra hostes educat copias. Conserta iam pugna, quoad Mōses manus sursum tenebat, Hebræi Amalechitas malè tractabant: cum remisisset, extensione illa fatigatus, iidem succumbebant. Itaque Aaroni fratri, & Ori Mariammes marito mandas, ut utrinque astanses, manus sibi fulcirēt. Sic Hebræi uictores, Amalechitas internecione deleuissent, nisi nox prælium diremisset, nullo è suis cæso. Ex eo loco progressi, trimestri post exitū ex Aegypto spacio, ad Sinam montem perueniunt. Ibi Moses rem diuinam facit: & à Raguele socero aditur, qui cum generum negocijs obrutum uideret, omnibus eum adeuntibus, suadet, ut istis dicundi prouinciam alijs mandet: ipse maiorum rerum cura suscepta, saluti populi consulat: & præfectos designet, qui decies millenis, qui millenis, qui quingenis, centenis, quinquagenis, tricenis item, uicenis, & denis præsint. Raguelis monitis paret Moses: populum prope montem Sinam castra locare iubet: ipse montem ascēdit. Populus iussa exequitur, cùm alijs rebus immundis, tum congressu mulierum triduum abstinēs. Die tertio nubes Hebræorum castra circundat, cum fulguribus terribilibus, & impetu uentorum: quibus Hebræi perterriti, intra tabernacula se cōtinens. Deinde Moses procedit, fiducia plenus, suoque conspectu popularibus metū adimit: quæ mādarit Deus exponit, & quæ eis instituta sint tenenda: producit populum cum uxoribus & liberis ad audiendum Deum. Audiunt illi uocem ex alto demissam. Ille rursus montem conscendit: in quo cum diutius moraretur, populus ad Aaronem cōfluens, Facito, inquit, nobis Deos. nam quid Mosi acciderit, ignoramus. Aaron ui subactus, aureas inaures, & mundum muliebrem uxorum & filiarum eos afferre iubet. Afferunt illa, & uitulum aureum inde conflant, eique immolant. Moses de monte descendens, & duas testimonij tabulas manibus ferens, lapideas, utrinque scriptas: ut castris appropinquans, uitulum uidet, iratus tabulas confringit, uitulum comminutum comburit, scobe in aquam conjecta porat populum. Leuitis mandas, ut per castra grassentur: à quibus tribus circiter millibus hominum occisis, in montem reuertitur; dicens: Domine, populus peccauit. quod pec-
" catum si eis condonas, bene est: sin minus, me
" quoque è libro tuo deleto. Iubet Deus Mosem
" descendere, ac populum in locum designatum perducere: eique conspectum eius petenti, posteriora sua conspicienda præbet. Sic rursus ad populum ille descendit, duas tabulas afferens, quibus decem illi sermones inscripti erant. Cæterùm facies eius ita fulgebat, ut eam

Amalechitæ Mose manus sustinente profligantur.

Raguelis consilio creãdis magistratibus.

Legislatio in monte Sina.

Aaron uitulum aureū conflat.

Mosis iracundia ob uitulum.

Promulgatio legis Mosaicæ.

ut eam populus intueri nequiret: eaque de causa uelat eam, atque ita cum eis colloquens, mandata Dei de sacrificijs, de lustrationibus, de animalibus mundis & immundis, quorum his abstinerent, illis alerentur, de coitu illicito, de matrimonijs sacerdotum & pontificum, de sabbatho, de anno septimo & quinquagesimo, quem Iubilaeum uocant, exponit. Iubet porrò Deus tabernaculum fieri, in quod descenderet, quodque cum eis discedentibus transferretur: dimensiones & figurā eius Mosi demonstrat, secundum quas id fabricandū esset. Populus ijs rebus laetus, aurum, argentū gemmas, aes, ligna, pilos caprinos, pelles arietum, linum & lanas confert. Operi tabernaculi conficiendi praeficitur Beseleel, Mariae sororis Mosis filius, & Eliphatus. *Tabernaculum & arca foederis.* Tabernaculum iam confectum Moses erigit. Arcam etiam fabrefecit è lignis non putrescentibus, circumcirca inauratam: in eaque duas tabulas, quibus Decalogus continebatur, cond.t. *Decalogus.* Cuius primum praeceptum, Vnū esse Deum affirmat, eumque solum colendum. Alterum, Nullius animantis imaginem faciendam & adorandā esse. Tertium, Per Dei nomen ob nullam rem inanem esse iurandum. Quartum, Diem septimum obseruandum, atque in illo omni opere abstinendum. Quintum, Parentes honorandos. Sextum, Caede abstinendum. Septimum, Non adulterandum. Octauum, Non furandum. Nonum, Non dicendum esse falsum testimonium. Decimum, Nihil alienum concupiscendum esse. Arcam hanc in adyta collocant, in aede mensam statuunt, & in ea panes non fermentatos duodecim: candelabrum item aureum, & aram suffitoriam intrinsecus ligneam, foris auro incrustatam. Ante tabernaculum aram posuit ligneam, laminis ferreis circumtectam, in qua phialae & crateres cum acerris collocabantur: aliaque uasa, quae ad sacrificia parata erant, ex auro omnia. Parantur & sacerdotibus ac pontifici etiam stolae. Pontificem autem Aaronem renunciarat Deus. Tum Moses populo conuocato: Viri, inquit, opus absolutum est, sacrificādi autem honore Aaronem dignatur Deus. Deinde conferre singulos iubet sicli semissem, ad tabernaculi ministeria sustentanda. Est autem siclus, Hebraici nomismatis genus, quod quatuor drachmas Atticas ualet. Numerus eorum qui conferebant, fuit sexcentorum, quinque millium, quingentorum & quinquaginta: cum ex ingenuis ij duntaxat conferrēt, qui uigesimum annum excessissent, usque ad quinquagesimum. Confectum est tabernaculum mēsibus septem. Ostendit autem Deus descensu in tabernaculum suo, id opus ex animi sui sententia confectum esse. Praesentiam porrò suam ita declarauit. Vapor soli tabernaculo incumbebat, neque densus & inuolutus, ac nubibus similis, neque omnino tenuis & rarus, ut penetraret uisus, sed suauis inde ros destillabat. Moses diebus septem in tabernaculo sub dio sacrificat. Octauo, festum indicit populo, & sacris operari iubet. At illi certare inter sese liberalitate. Victimis iam arae impositis, ignis sponte sua ortus, omnia quae in illa erant, consumit. Pòst, quatuor filiorum Aaronis natu grandiores,

καὶ οὐκ ἠδύνατο ἀτενίσαι αὐτῷ ὁ λαός, καὶ περιετίθετο κάλυμμα περὶ τὴν ὄψιν αὐτοῦ, καὶ οὕτως ὡμίλει αὐτοῖς. καὶ ἀπήγγελλεν αὐτοῖς ἃ ἐνετείλατο ὁ θεὸς περί τε θυσιῶν καὶ καθαρσίων, καὶ ζώων ἀκαθάρτων τε καὶ καθαρῶν, ὧν τῶν μὲν ἀπέχεσθαι, τοῖς δὲ τρέφεσθαι, περί τε μίξεων ἀθέσμων, καὶ τίνας οἱ ἱερεῖς εἰς γάμον ἄγωνται, καὶ οἵας οἱ ἀρχιερεῖς, καὶ περὶ σαββάτου, καὶ τοῦ ἑβδόμου ἐνιαυτοῦ, καὶ τοῦ πεντηκοστοῦ, ὃν ἰωβηλαῖον καλοῦσι. καὶ σκηνὴν ἐπέταξεν ὁ θεὸς γενέσθαι, εἰς ἣν ἂν κατάγοιτο, συμπαρομαρτοῦσαν αὐτοῖς μεταβαίνουσι· καὶ μέτρα τῆς σκηνῆς ἔδειξεν αὐτῷ, καὶ σχῆμα καθ' ὃ αὖ κατασκευασθείη. ὁ δὲ λαὸς χαίροντες ἐπὶ τούτοις, προσῆγον χρυσόν τε καὶ ἄργυρον, καὶ λίθους τιμίους, καὶ χαλκόν, καὶ ξύλα, καὶ τρίχας αἰγείας, καὶ δέρματα κριῶν, καὶ λίνον, καὶ ἔρια. ἀρχιτέκτονες δὲ ἐφίστανται τῆς σκηνῆς, ὅ τε τῆς ἀδελφῆς αὐτοῦ τῆς Μαριὰμ υἱὸς Βεσελεήλ, καὶ ὁ Ἐλιφάτης. ἤδη δὲ τῆς σκηνῆς ἐργασθείσης ἀνέστησε ταύτην ὁ Μωϋσῆς. ἀνέστη καὶ ἡ κιβωτὸς ἐκ ξύλων ἀσήπτων, ἃ πανταχόθεν χρυσίῳ περιεκεκάλυπτο, ἐν ᾗ τὰς δύο πλάκας ἐνέθετο, αἳ τοὺς δέκα λόγους εἶχον ἐγγεγραμμένους. ὧν ὁ μὲν πρῶτος, ἕνα θεὸν εἶναί φησι, καὶ τοῦτον μόνον σέβεσθαι δεῖν. ὁ δεύτερος δέ, μηδενὸς εἰκόνα ζώου ποιεῖν, μηδὲ προσκυνεῖν. ὁ τρίτος, ἐπὶ μηδενὶ ματαίῳ τὸν θεὸν ὀμνύναι. ὁ τέταρτος, τὴν ἑβδομάδα παρατηρεῖν, ἀναπαυομένους ἐξ ἔργου παντός. ὁ πέμπτος, γονεῖς τιμᾶν. ὁ ἕκτος, φόνου ἀπέχεσθαι. ὁ ἕβδομος, μὴ μοιχεύειν. ὁ ὄγδοος, μὴ κλέπτειν. ὁ ἔνατος, μὴ ψευδομαρτυρεῖν. ὁ δέκατος, μηδενὸς ἀλλοτρίου ἐπιθυμεῖν. ταύτην οὖν τὴν κιβωτὸν εἰσάγουσιν εἰς τὸ ἄδυτον. ἐν δὲ τῷ ναῷ τιθέασι τράπεζαν, καὶ ἐπὶ ταύτης ἄρτους ἀζύμους δώδεκα, καὶ λυχνίαν χρυσῆν, καὶ θυμιατήριον ξύλινον ἔνδοθεν, ἔξωθεν δὲ χρυσίῳ περικεκαλυμμένον. καὶ πρὸ τῆς σκηνῆς βωμὸν ἱδρύσατο ξύλινον, χαλκαῖς λεπίσι περιεληλαμένον, ἐν ᾧ ἔκειντο φιάλαι καὶ κρατῆρες σὺν θυΐσκοις ἐπίθετα, καὶ ἄλλα σκεύη, ἃ πρὸς ἱερουργίαν ἡτοίμαστο, χρυσᾶ πάντα. γίνονται δὲ καὶ τοῖς ἱερεῦσι στολαί, ἀλλὰ μέντοι καὶ τῷ ἀρχιερεῖ. ἀρχιερέα δὲ ὁ θεὸς τὸν Ἀαρὼν ἐψηφίσατο. συναθροίσας τὸ πλῆθος ὁ Μωϋσῆς, ἄνδρες, ἔφη, τὸ μὲν ἔργον τετέλεσται, τῆς δὲ ἱερατείας τιμῆς ὁ θεὸς τὸν Ἀαρὼν ἀξιοῖ. προσέταξε δὲ Μωϋσῆς εἰσφέρειν ἕκαστον σίκλου τὸ ἥμισυ, εἰς τὰς περὶ τὴν σκηνὴν χρείας εἰς ἀνάλωμα. ὁ δὲ σίκλος Ἑβραίων ἐστὶ νόμισμα, Ἀττικὰς δὲ χωρῶν δραχμὰς τέσσαρας. τὸ δὲ πλῆθος τῶν εἰσφερόντων ἦν μυριάδες ἑξήκοντα καὶ πεντακισχίλιοι πεντακόσιοι πεντήκοντα. τὴν δὲ εἰσφορὰν ἐποιοῦντο τῶν ἐλευθέρων οἱ τὸν εἰκοστὸν ὑπερβεβηκότες ἐνιαυτόν, ἄχρι πεντηκοστοῦ. ἐπεὶ δὲ ἡ σκηνὴ μησὶν ἑπτὰ κατεσκευάσθη, ἐπὶ γνώμῃ αὐτοῦ τὸ ἔργον γεγενημένον, ἐπιφοιτήσας ἐν τῇ σκηνῇ. ἔτυχε δὲ τὴν παρουσίαν ἐδήλωσεν. ἀχλὺς γὰρ τὴν σκηνὴν μόνην ἐπέσχεν, οὔτε βαθεῖα καὶ συμπεπιλημένη, καὶ νέφεσιν ἐμφερής, οὔτε πάνυ λεπτή τε καὶ ἀραιά, ὡς δι' αὐτῆς διικνεῖσθαι τὴν ὅρασιν. ἡδεῖα δὲ ἀπ' αὐτῆς ἐρρεῖ δρόσος. Μωϋσῆς δὲ ἔθυσεν ἐν τῷ τῆς σκηνῆς αἰθρίῳ ἐφ' ἡμέρας ἑπτά, τῇ δὲ ὀγδόῃ ἑορτὴν ἐκήρυξε τῷ λαῷ, καὶ θύειν ἐπέταξεν. οἱ δὲ ἀλλήλοις ἡμιλλῶντο. ἐπιτεθειμένων δὲ τῶν ἱερείων τῷ βωμῷ, πῦρ ἀνήφθη αὐτόματον, καὶ πάντα τὰ ἐπὶ τοῦ βωμοῦ ἐδαπάνησεν. οἱ δὲ πρεσβύτεροι τῶν τεσσάρων υἱῶν Ἀαρών,

περὶ δὲ ἧς ἐπιτάγη γενέσθαι σκηνῆς, καὶ περὶ τῆς προσαγωγῆς τοῦ λαοῦ, ἐν ἀρχῇ.

ὅτι ἀρχιτέκτονες τῆς σκηνῆς Βεσελεὴλ καὶ Ἐλιφάτης. περὶ δὲ κιβωτοῦ, ἐν ᾗ αἱ δύο πλάκες, καὶ τίνες οἱ δέκα λόγοι, οἱ ἐν αὐταῖς.

περὶ δὲ ἐν τῷ ναῷ κατασκευῆς, καὶ τῶν ἀδύτων.

ὅτι ἀρχιερεὺς Ἀαρὼν ἐψηφίσθη.

ὅτι σίκλος Ἑβραίων νόμισμα.

ὅτι τὴν εἰσφορὰν ἐποιοῦντο οἱ Ἑβραῖοι.

Nadabus Ναδὰβ

ναδὰβ καὶ ἀβιοὺ, παρὰ τὰ διατεταγμένα θύσαντες, κατεκαύθησαν τά τε στέρνα καὶ τὰ πρόσωπα, πυρὸς ἐξαφθέντος αὐτομάτως, καὶ φλέξαντος αὐτούς· ὧν τὰ σώματα ἔξω τῆς παρεμβολῆς κομισθέντα, ἐτάφησαν. τὴν δὲ φυλὴν τοῦ λευὶ τῶν ἄλλων διακρίνας ἥγνισε, καὶ παρέδωκεν αὐτοῖς τὴν σκηνὴν, καὶ τὰ σκεύη τὰ ἱερὰ, ἵνα ὡς ὑπουργῶσι τοῖς ἱερεῦσιν, ὑπηρετῶσιν αὐτοί. μετὰ ταῦτα ἀριθμῆσαι δεῖν ἔγνω τὸν λαόν, καὶ εὑρέθησαν τῶν ὁπλοφορεῖν δυναμένων μυριάδες ἑξήκοντα, καὶ τρισχίλιοι, πρὸς ἑξακοσίοις καὶ πεντήκοντα. οὗτοι δ᾽ ἦσαν οἱ τὸν εἰκοστὸν ὑπερβάντες χρόνον, καὶ ἄχρι τοῦ πεντηκοστοῦ ἐφθακότες. ἀντὶ δὲ τῆς λευιτικῆς φυλῆς εἰς φυλάρχας κατέλεξαν τοὺς παῖδας τοῦ ἰωσὴφ τὸν μανασσῆν καὶ τὸν ἐφραίμ, κατὰ τὴν διαταγὴν τοῦ προπάτορος ἰακώβ. οἱ δέ γε λευῖται δισμύριοι καὶ τρισχίλιοι ἀριθμηθέντες εὑρέθησαν, πρὸς ὀκτακοσίοις καὶ ὀγδοήκοντα. εἶτα στασιάζει τὸ πλῆθος τὸν μωϋσῆν αἰτιώμενον, ὅτι γῆς ἀγαθῆς αὐτοὺς ἀποστήσας, ἐν ἐρήμῳ πλανᾶσθαι πεποίηκεν. ἀναγαγὼν δὲ αὐτοὺς ἐκεῖθεν εἰς τὴν καλουμένην φάραγγα, πλησίον οὖσαν τῆς χαναναίων γῆς, ἐξ ἑκάστης φυλῆς ἕνα λαβὼν, κατασκοπήσοντας ἔσταλε τήν τε δύναμιν τῶν χαναναίων, καὶ τῆς γῆς τὴν ποιότητα· οἱ δὲ τεσσαράκοντα ἡμέραις διελθόντες τὴν γῆν, ὑπέστρεψαν, καὶ καρποὺς ἐκ τῆς γῆς ἐκείνης κομίζοντες, καὶ τὴν μὲν χώραν ἐπῄνουν ὡς ἀγαθὴν, τὸ δὲ πλῆθος ἐφόβουν ὡς οὔσης ἀπόρου τῆς αὐτῆς κατασχέσεως, διά τε ποταμῶν μέγεθος, καὶ ὀρῶν δυσχωρίας, καὶ πόλεων ὀχυρότητας. τὸ δὲ πλῆθος πάλιν δι᾽ ὀργῆς εἶχε τὸν μωϋσῆν, καὶ ἐβουλεύοντο καταλεῦσαι αὐτόν τε καὶ τὸν ἀαρὼν, καὶ ὑποστρέψαι εἰς αἴγυπτον. μόνοι δὲ τῶν κατασκόπων ἰησοῦς ὁ τοῦ ναυῆ, καὶ χαλὲβ, παρεθάρρυνον τὸν λαὸν, μηδὲν δυσχερὲς ἀπαντήσειν αὐτοῖς ἀπισχυριζόμενοι. μωσῆς δὲ καὶ ἀαρὼν ἱκέτευον τὸν θεὸν, ὅπως τῆς ἀπονοίας παύσῃ τὸ πλῆθος. παρῆν δὲ ἡ νεφέλη ἐν τῇ σκηνῇ, καὶ ἐσήμαινε τὴν ἐπιφάνειαν τοῦ θεοῦ. καὶ μωσῆς θαρσήσας, διελέχθη τῷ πλήθει, ὀργισθῆναι εἰπὼν τὸν θεὸν, μὴ ἐξολεῖν μέντοι πάντας, μηδὲ τὸ γένος ἐξαφανίσειν, τὴν δὲ χαναναίαν μὴ παρέξειν αὐτοῖς, ἔσεσθαι δ᾽ ἐν τῇ ἐρήμῳ ἐπ᾽ ἔτη τεσσαράκοντα, παισὶ δὲ τοῖς ἐξ αὐτῶν παρέξειν τὴν γῆν. ταῦτα τοῦ μωσέως εἰπόντος, ἐν λύπῃ τὸ πλῆθος ἐγένετο. εἶτα συμμῖξαι τοῖς χαναναίοις ἤθελον, καίτοι ταῦτα κωλύοντος τοῦ θεοῦ, καὶ προσβαλόντες ἡττήθησαν. καὶ οἱ μὲν ἔπεσον, οἱ δὲ εἰς τὴν παρεμβολὴν συμπεφεύγασι. στάσις δὲ τὸ πλῆθος κατέλαβεν ἐξ αἰτίας τοιαύτης. κορὲ τῆς λευιτικῆς τυγχάνων φυλῆς, καὶ γένει καὶ πλούτῳ περιφανέστατος, καὶ ὁμιλεῖν πιθανώτατος, φθόνον ἔσχε πρὸς μωϋσῆν, καὶ τοῦ ἀνδρὸς κατεβόα ὡς τυραννίδι χρωμένου. τίνι γὰρ λόγῳ, ἔλεγεν, ἀαρὼν καὶ τοῖς αὐτοῦ υἱοῖς τὴν ἱερωσύνην προσνένεμεν; εἰ μὲν ὡς ἐκ τῆς λευιτικῆς φυλῆς, ἐγὼ ταύτης τυχεῖν δικαιότερος, γένος μὲν ὁμοίως ἔχων, πλούτῳ δὲ καὶ ἡλικίᾳ διάφορος. εἰ δ᾽ ἑτέρᾳ φυλῇ προσκληρωθῆναι δέον αὐτὴν, προτιμηθήσεται ἡ τοῦ ῥουβὶμ διὰ πρεσβυγένειαν, καὶ λήψονται ταύτην δαθάν τε καὶ ἀβιρών. ταῦτα ἐκεῖνος μὲν κακοήθως ἔλεγεν. εἶχε δ᾽ αὐτῷ συντεταγμένους ἄνδρας τῶν πρώτων διακοσίους καὶ πεντήκοντα, ἠγέρθη δὲ καὶ τὸ πλῆθος. ὁ δὲ μωσῆς εἰς μέσον στὰς, ἐγὼ μὲν ὦ κορὲ, σὺ, καὶ τῶν σοὶ συντεταγμένων ἕκαστος, τιμῆς ἄξιοι δοκεῖτε. ὁ δὲ θεὸς τὴν ἱερωσύνην τῷ ἀαρὼν

ἐψηφίσ

Nadabus & Abius sacris non ritè factis, pectora & facies, igni ultrò exorto, adusti: cadauera eorũ extra castra elata; & sepulta. Dehinc Moses tribum Leuiticam ab alijs secretam, lustrat: eisq́ tabernaculum & sacra uasa tradit, ut sacerdotibus ad præscriptum eorum ministrarent. His peractis, numerare populum instituit: inuentiq́ sunt, qui arma ferre possent, sexcenties mille, ter mille sexcenti & quinquaginta ex ijs qui annum uigesimum excesserant, & quinquagesimum attigerant. Pro tribu autem Leuitica Iosephi filios Ephraimum & Manassem tribunis substituit, secundum mandatum progenitoris Iacobi. Leuitarum porrò numerus inuentus est trium & uiginti millium, octingentorũ & octoginta. Post hæc populus seditionẽ Mosi mouet, conquerens, se è bona terra in desertis oberrare coactos ab eo. Itaque ex eo loco in terram eos ducit, quæ Vallis dicebatur, Chananææ terræ propinquã: & singulos ex qualibet tribu delectos, mittit exploratum uires Chananæorum, & agri qualitatem. Hi XL diebus regione peragrata, reuertũtur, fructus etiam ex ea secum afferentes: ac terræ quidem bonitatẽ laudant, sed populo metum iniiciunt, quasi obtineri nequeat, tùm ob fluminũ magnitudinẽ, tum ob ardua iuga montiũ, tum ob urbes munitissimas. Hoc nuncio rursus irritantur animi popularium contra Mosem, adeò ut de eo & Aarone lapidibus obruẽdo, deq́ reditu in Aegyptum cogitarent. Verùm Iesus Nauis filius & Calebus, soli explorato rũ confirmãt populũ, nullas difficultates pertimescendas esse asseuerantes. Moses quoq́ & Aaron deprecantur Deum, ut desperationem illam uulgi sedaret. Iam nubes in tabernaculo aderat, Dei præsentiã declarãs, cum Moses animo resumpto, populũ alloquitur, ac Deum iratum esse ait, non tamen perditurum omnes, neq́ totam gentem deleturũ: sed nec Chananæam terram traditurũ ipsis, quibus per annos XL commorandum esset in deserto, sed liberis eorum. His à Mose dictis, mœrere populus. Deinde Chananæos inuadere uelle, quamuis uetante Deo. factaq́ impressione uincũtur, alijs cęsis, alijs in castra trepidè se recipientibus. Inde orta est populi seditio, huiusmodi ex causa. Coras Leuiticæ tribus homo, genere & opibus maximè cõspicuus, auræ popularis captandæ insignis artifex, inuidet Mosi, & contra eum uociferatur, ut tyrannum. Nam qua, inquit, ratione Aaroni, eiusq́ filijs sacerdotiũ attribuit? si ob tribũ Leuiticã, ego sum illo honore dignior: quippe & genere illi par, & opibus ac ætate superior. sin alteri tribui debetur id munus, Rubenia ob ætatis prærogatiuam primas feret, ac Dathan & Abiron illo potientur. Hęc malitiosè dicebat ille, cum & uiros principes CCL instructos haberet, & plebs concitata esset. At Moses in medium progressus: Ego, inquit, Cora & te, & eorũ qui à te stant, quemlibet honore dignos iudico. Verùm Deus Aaroni

Nadabi & Abij interitus.

Leuitæ sacris ministerijs destinantur.

Numerus Israelitici populi.

Exploratores in Chananæã mittuntur.

Chalebus. Iesus.

Israelitæ XL. annis in deserto exulant.

Corana seditio.

facer-

» ſacerdotiū aſsignauit: idemq́ nunc denuò de-
» clarabit, à quo ſacra ſibi uelit fieri. Manè igitur
» qui de ſacerdotio contenditis, prodite, thuribu
» lo quiſq; domo ſecum allato, & igne, ſuffituq́:
» Vna uobiſcum etiam Aaron prodeat. Tum uo
» bis in populi conſpectu odoramenta incenden
» tibus, cuius uictimam ſuauiorē iudicarit Deus,
» is uobis pontifex erit. Collaudat hæc populus, poſtridie in concionem frequentes conueniūt. Moſes Abironem & Dathanem acceſsi iubet. Non parent illi, minas inſuper contra Moſem adijciētes. Tum ille primoribus ſe ſequi iuſsis, ad tabernaculū illorum abit: prope quod cum ueniſſet, manibus in cœlū ſublatis, magna uo-
» ce exclamat: Quoniā Domine doli mali ſuſpe
» ctus habeor, tu ipſe uenito iudex, ac demōſtra,
» nihil fortuitò geri, ſed tua prouidentia guberna
» ri omnia: quòd ſi tuo iuſſu pontificatum Aaro-
» ni dedi, tellus cui Dathan & Abiron cum ſua
» progenie inſiſtunt, dehiſcat. Sin uera ſunt quæ
» contra me dicūt, quæ eis ſum imprecatus, ea in
» caput meum redundent. Hæc ubi lachrymans
» dixiſſet, tellus uehementer cōcuſſa, cum ingen-
» ti fragore iuxta illorum tabernaculū dehiſcens,
» cum & ipſos & eorum omnia deglutiſſet, iterū
» expletus eſt hiatus. His factis, populus ſtupet. Moſes eos qui ſacerdotium ſibi uendicabant, uocat. Conueniunt uiri illuſtres CCL. Aaron & Cora ante tabernaculum cum acerris ſuis ea quæ ipſi attulerant, ſuffiūt. Tum ingens flamma emicat, qualis uidelicet iubente Deo incenderatur, qua illi CCL unà cum Cora ita conflagrarunt, ut nec cadauera eorum reperirentur. Solus Aaron incolumis inuenitur. Moſes thurſbula illorū uirorū circa æneam aram reponi iubet, in rei geſtæ monimentū ad poſteros. ac denuò habita concione, edicit tribunis, ut nomina tribuū baculis inſcripta afferant. Nam illius fore ſacerdotium, in cuius baculo ſignū edidiſſet Deus. Afferunt igitur tum alij ſuos baculos, tum Aaron quoq; ſuum, Leuita inſcripto. Eos in tabernaculo Dei repoſuit Moſes, poſtridie protulit: ac cæteri quidem, quales fuerant, tales manſerant: Aaronis autem & ramos & fructus germinarat. q̃s fructus Leuiticus liber, nuces: Ioſephus amygdalas fuiſſe dicit. obſtupuerūt igitur omnes, Aarone ter diuinitus electo. Iam quia Leuitica trib. bellorū & expeditionū immunis erat, ne ob rerū neceſſariarū penuriā, ſacrorū curā abijceret. iubet Moſes Hebræis, ut Chananæa terra parta, oppida XLVIII Leuitis aſsignarēt, & agros ante ea et decimas annuarū frugū, tùm ipſis, tùm ſacerdotib. penderēt: aliaq; plurima eis à populo tribuēda cōſtituit, quæ qui ſingula tim ſcire deſiderat, in libro qui Leuiticus inſcribitur, inueniet. His rebus ordinatis, Moſes cū exercitu ad Idumæā accedit, tranſitū petēs. At rex illius terræ cum armatis copijs occurrit. Moſes itaq; per deſertū pergit, monitus à Deo, ne pugnā auſpicaret. Eo tempore etiā Mariame moritur, Moſis ſoror, quadrageſimo anno poſt exitum ex Aegypto. Populo igitur ductu Moſis

Abironi & Dathan dehiſcit tellus

Coras cum CCL uiris conflagrat.

Leuitarum reditus.

Moſes Idumæos reformidat.

ἐψηφίσατο, καὶ νῦν αὐτὸς αὖθις κρινεῖ ὃν ἱερᾶσθαι βού- «
λεται. ἴτωσαν οὖν, ὅσοι τῆς ἱερωσύνης ἀντιποιεῖσθε, παρέ- «
τι, ἕκαστος κομίζων θυμιατήριον οἴκοθεν, καὶ πῦρ καὶ «
θυμίαμα. σὺν ὑμῖν δ' ὁμοίως ἡξέτω καὶ ἀαρών. καὶ θυ- «
μιώντων ὑμῶν ἐνώπιον τοῦ λαοῦ, οὗπερ ἂν τὴν θυσίαν «
ἀσμένως κρινεῖ ὁ θεός, οὗτος ἔσται ὑμῖν ἱερεύς. ἐπήνεσε ταῦ- «
τα τὸ πλῆθος, καὶ τῇ ὑστεραίᾳ συνῆλθον εἰς ἐκκλησίαν. μωσῆς δὲ πέμψας πρὸς ἀβειρὼν καὶ δαθὰν, ἐκέλευσε ἥκειν. οἱ δὲ μὴ πεισθέντες, καὶ κατὰ μωσέως ἀπείλησαν. μωσῆς δὲ ἀκολουθεῖν αὐτῷ σὺν τοῖς βουλευταῖς κελεύσας, ἀπῄει πρὸς τὰς ἐκείνων σκηνὰς, καὶ πλησίον γενόμενος, τὰς χεῖρας ἀνέσχεν εἰς οὐρανὸν, καὶ μέγα ἐβόησεν· ἐπεὶ «
κακουργεῖν ὑπονοοῦμαι, δέσποτα, αὐτὸς ἐλθὲ δικα- «
στὴς, καὶ παράστησον, ὅτι οὐδὲν αὐτομάτως, ἀλλὰ πάν- «
τα σῇ διοικεῖται προνοίᾳ. καὶ εἰ σοῦ κελεύσαντος δέ- «
δωκα τὴν ἱερωσύνην τῷ ἀαρὼν, χανοῦσα περὶ δαθάν τε «
καὶ ἀβειρὼν καὶ τὴν αὐτῶν γενεὰν ἐφ' ἣν ἑστήκασι γῆ. εἰ «
δὲ ἀληθεύουσι κατ' ἐμοῦ, οἷς ἐπηρασάμην αὐτοῖς, ἐγὼ περιπέσοιμι. ταῦτα εἰπὼν δακρύων, καὶ σείεται μὲν ἐξαίφνης ἡ γῆ. σκληρὸν δὲ ῥαγεῖσα ἦχον, συνιζάνει περὶ τὰς ἐκείνων σκηνὰς, καὶ αὐτούς τε καὶ τὰ αὐτῶν εἰς τὸ χάσμα κατήνεγκε, καὶ οὕτως αὖθις συνῆλθε τὸ διεστώς. ἐπὶ τούτοις ἔφριξε μὲν ὁ λαός, μωσῆς δὲ καλεῖ τοὺς περὶ ἱερωσύνης ἁμιλλωμένους. καὶ συνελθόντες πεντήκοντα καὶ διακόσιοι ἄνδρες τῶν ἐπισήμων, καὶ ἀαρὼν καὶ κορὲ πρὸ τῆς σκηνῆς ἐπὶ τοῖς θυμιατηρίοις καθήγιζον ἃ ἐκόμιζον. ἐξέλαμψε δὲ πῦρ πολὺ, οἷον ἂν θεοῦ κελεύσαντος ἀναφθείη, ὑφ' οὗ οἵ τε διακόσιοι καὶ πεντήκοντα, καὶ κορὲ διεφθάρησαν, ὡς μηδὲ τὰ σώματα αὐτῶν εὑρεθῆναι· μόνος δὲ ἀαρὼν εὑρέθη ἀλώβητος. μωσῆς δὲ τὰ θυμιατήρια τῶν ἀνδρῶν ἐκείνων περὶ τὸν χάλκεον ἐκέλευσε καταθεῖναι βωμὸν, εἰς ὑπόμνησιν ὦσι τῶν γεγονότων καὶ τοῖς μετέπειτα. ἐκκλησιάσας δὲ πάλιν προεῖπε τοῖς φυλάρχοις ἥκειν, τὰ τῶν φυλῶν ὀνόματα βακτηρίαις ἐπιγεγραμμένα κομίζοντες, ἐκείνῳ τῆς ἱερωσύνης ἐσομένης, οὗπερ ἂν τῇ βακτηρίᾳ σημεῖον γένηται ἐκ θεοῦ. κομίζουσιν οὖν, οἵ τε ἄλλοι καὶ ἀαρὼν, ἐπιγράψας τῇ βακτηρίᾳ λευΐτην, ἃς ἐν τῇ σκηνῇ τοῦ θεοῦ κατέθετο μωϋσῆς, τῇ δ' ὑστεραίᾳ προεκόμισεν ταύτας. καὶ αἱ μὲν ἄλλαι, οἷαι περ ἐτύγχανον, ἦσαν, ἡ δὲ ἀαρὼν ἐβλάστησε κλάδους τε καὶ καρπούς. τὸν δὲ καρπὸν ἡ μὲν τοῦ λευϊτικοῦ βίβλος κάρυα λέγει, ἀμύγδαλα δὲ ὁ ἰώσηπος. ἐξεπλάγησαν οὖν πάντες, τρὶς τὸν ἀαρὼν χειροτονήσαντος τοῦ θεοῦ. ἐπεὶ δὲ πολέμων καὶ στρατείας ἡ τῶν λευϊτῶν ἀφεῖτο φυλὴ, ἵνα μὴ διὰ χρείαν τῶν ἀναγκαίων ἀμελοῖεν τῆς λατουργίας τοῦ ἱεροῦ, ἐκέλευσε μωϋσῆς τὴν χαναναίαν κτησαμένους τοὺς ἑβραίους, ὀκτὼ καὶ τεσσαράκοντα πόλεις κατανεῖμαι τοῖς λευΐταις, καὶ γῆν πρὸ αὐτῶν, καὶ δεκάτην τῶν ἐπετείων καρπῶν αὐτοῖς τε καὶ τοῖς ἱερεῦσι τελεῖν, καὶ ἄλλα δὲ πλεῖστα τούτοις χορηγεῖν τὸν λαὸν διετάξατο, ὧν τὸ καθ' ἕκαστον ὁ ζητῶν, τὴν τοῦ λευϊτικοῦ βίβλον ἀναπτύξας εὑρήσει. ταῦτα δὲ διατάξας μωσῆς, ἐπὶ τὴν ἰδουμαίαν ἦλθε μετὰ τῆς στρατιᾶς, καὶ ἠξίου παρελθεῖν δι' αὐτῆς. τῆς χώρας δ' ὁ βασιλεὺς, μετὰ στρατιᾶς ἐνόπλου προϋπήντησε τῷ μωϋσῇ. καὶ ὃς διὰ τῆς ἐρήμου ἐχώρει, μὴ ἄρχειν μάχης συμβουλεύσαντος τοῦ θεοῦ. τότε καὶ μαριάμμη τέθνηκε, τοῦ μωσέως ἡ σύγγονος, μετὰ τεσσαρακοστὸν ἔτος τῆς ἐξ αἰγύπτου ἐξόδου. τὸν δὲ λαὸν ἐπ' ἐρη-

ὅπως δαθὰν καὶ ἀβειρὼν ὑπὸ γῆς κατεχώσθησαν.

ὑπὸ θεοῦ διακαίονται οἱ περὶ ἱερωσύνης ἁμιλλώμενοι.

περὶ τῶν βακτηριῶν τῶν φυλάρχων, τὰ τῶν φυλῶν ὀνόματα, ὧν ἡ ἀαρὼν ἐβλάστησε ῥάβδος.

ὅπως ἡ τῶν λευιτῶν φυλὴ στρατειῶν ἀφείθη, καὶ ἵνα προσόδους ἔχῃ.

ὅπως τέθνηκε μαριάμμη ἡ τοῦ μωσέως ἀδελφὴ, μὴ ἰδοῦσα τὴν γῆν τῆς ἐπαγγελίας.

per de-

ἡ ἀαρὼν ὁμοῦ τελευτὴ καὶ ἐλεαζάρου ἀρχιερωσύνη.

διὰ τῆς ἐρήμου, καὶ τῆς ἀραβίας, ἔνθα καὶ ἀαρὼν τελευτήσειν εἰς ὄρος ἀναβὰς ὑψηλὸν καὶ, τὴν ἀρχιερατικὴν στολὴν παραδοὺς τῷ υἱῷ ἐλεαζάρ, τοῦ πλήθους ὁρῶντος, ἔτη βιοὺς ἑκατὸν πρὸς εἴκοσι καὶ τρισίν. ἐλθὼν δὲ μωσῆς ἐπὶ τὴν μωαβιτῶν καὶ ἀμοῤῥαίων χώραν, τῷ στρατῷ δίοδον ᾔτει. σηὼν δὲ τῆς χώρας ὁ βασιλεὺς διαβαίνειν τοὺς ἑβραίους ἐκώλυε, καὶ τοῦ θεοῦ νίκην σημάναντος διὰ μωϋσῆ, τὰς πανοπλίας ἀναλαβόντες οἱ ἑβραῖοι, πρὸς μάχην ἐχώρουν. τρέπονται δ᾽ αὐτίκα οἱ ἀμοῤῥαῖοι, καὶ ἅπαντες διεφθάρησαν. πέπτωκε δὲ καὶ σηὼν ὁ αὐτῶν βασιλεύς, καὶ τὰς πόλεις εἷλον, καὶ τὴν γῆν ἐκείνων περιέλαβον. ἐπιτίθεται δὲ τοῖς ἰσραηλίταις, καὶ ὢγ ὁ τῆς γαλααδίτιδος καὶ τῆς γαυλανίτιδος βασιλεύς, σύμμαχος ἐλθὼν τῷ σηὼν ἤδη ἑαλωκότι. αὐτός τε οὖν θνήσκει κατὰ τὴν μάχην, καὶ ὁ στρατὸς αὐτοῦ διαφθείρεται, καὶ αἱ πόλεις ἑάλωσαν, καὶ οἱ ἐνοικοῦντες ἀπώλοντο. ἐκεῖθεν δὲ μωϋσῆς τὴν δύναμιν κατὰ τὸ μέγα πεδίον ἄγει, καὶ στρατοπεδεύει ἱεριχοῦντος ἐγγύτατα. πόλις δ᾽ ἦν εὐδαίμων αὕτη, φοινικάς τε φέρουσα, καὶ βάλσαμον νεμομένη. βαλὰκ δὲ ὁ τῶν μωαβιτῶν βασιλεύς, μετακαλεῖται τὸν μάντιν βαλαάμ, ὅπως ἐπ᾽ ὀλέθρῳ τῶν ἰσραηλιτῶν ἀρὰς ποιήσῃ παραγενόμενος. καὶ ὁ μὲν ἀπῄει. κατὰ δὲ τὴν ὁδὸν ἀγγέλου θείου προσβαλόντος αὐτῷ, ἡ ὄνος, ᾗ ὁ βαλαὰμ ἐπωχεῖτο, συναισθομένη τοῦ θείου πνεύματος, οὐ προὔβαινεν, οὐδὲ ταῖς πληγαῖς ἐνεδίδου· φωνήσασα δ᾽ ἀνθρωπίνως κατὰ θείαν βούλησιν, ᾐτιᾶτο τὸν δεσπότην πληγὰς αὐτῇ ἐπιφέροντα, καὶ μὴ συνιέντα, ὅτι ἐκ θεοῦ εἰς ἃ σπεύδει ὑπουργεῖν εἴργεται. παραστησαμένου δ᾽ αὐτὸν διὰ τὴν ἀνθρωπίνην φωνήν, ἐπιφανεὶς ὁ ἄγγελος, αὐτὸς ἔφη τὴν ὁδὸν ἔλεγε κωλύειν ἐπὶ ζημίᾳ. βουλόμενον δ᾽ ἀναστρέφειν, χωρεῖν προσωτέρω παρώρμησεν, καὶ ὅ,τι ἂν ἐκ θεοῦ ἐμπνευσθείη, τοῦτο λέγειν. καὶ ὁ μὲν ἧκε πρὸς τὸν βαλάκ. καὶ εἰς ὄρος ἀχθείς, ἑπτά τε ταύρους ὁλοκαυτώσας, καὶ τοσούτους κριούς, ὡς εἶδε τροπὴν σημαινομένην, οὐ μόνον οὐ κατηύξατο τῶν ἑβραίων, ἀλλ᾽ ἐπιθειάσας αὐτούς τε καὶ τὸ γένος ἅπαν αὐτῶν εὐλόγησε, καὶ ἐξύμνησε. τοῦ δὲ βαλὰκ δυσχεραίνοντος ἐπὶ τούτοις, ἔφη ὁ βαλαάμ· οὐκ ἐφ᾽ ἡμῖν περὶ τῶν τοιούτων σιγᾶν ἢ λέγειν ἐστὶν ὦ βασιλεῦ, ἀλλ᾽ ὅταν ἡμᾶς τὸ τοῦ θεοῦ λάβῃ πνεῦμα, ἃς ἐκεῖνο βούλεται φωνὰς ἀφίησι δι᾽ ἡμῶν. ἐμοὶ δὲ χαρίζεσθαι βουλομένῳ σοι, βωμὸν αὖθις ἑτοιμαστέον, καὶ θύματα. θύει τοίνυν καὶ πάλιν, καὶ πεσὼν ἐπὶ στόμα, προέλεγεν ὅσα τε βασιλεῦσιν ἔσται πάθη, καὶ ὅσα ταῖς πόλεσι. βαλὰκ δ᾽ ἀτίμως ἀποπέμπει τὸν βαλαάμ, εἶτα τὰς παρθένους ἐπιπέμπει τοῖς ἰσραηλίταις, κατὰ συμβουλὴν βαλαάμ, αἷς οἱ τῶν ἑβραίων παῖδες ἁλίσκονται, καὶ ταύταις συνῆσαν, ὡς διὰ παντὸς ἤδη τοῦ στρατοῦ τὴν παρανομίαν χωρεῖν, ἔρωτι τῶν μαδιανιτῶν γυναικῶν, θεοῖς αὐτῶν τῶν ἑβραίων θυόντων, καὶ ἀσυνήθων γινομένων τροφῶν. μωσῆς δὲ εἰς ἐκκλησίαν ἀγαγὼν τὸν λαόν, οὐκ ἄξια δρᾶν ἑαυτῶν, οὐδὲ τῶν πατέρων τοὺς νέους ἔλεγε. καὶ ἐπειρᾶτο τούτους ἐπανορθοῦν. ζαμβρὴς δὲ φύλαρχος ὢν φυλῆς τῆς συμεωνίτιδος, καὶ μαδιανίτιδι συνοικῶν, καὶ περιμανῶς ἐκείνης ἐρῶν, μωσεῖ κατηναισχύντει, καὶ μὴ ἄν ποτε τὴν γυναῖκα καταλιπεῖν διωμόσατο. ὁ φινεὴς δὲ τοῦ ἀρχιερέως ὢν παῖς ἐλεάζαρ, περιαλγήσας, οὐκ ἀνῆκε παίων τῇ ῥομφαίᾳ τὴν μαδιανῖτιν καὶ τὸν ζαμβρῆν, ἕως καὶ ἄμφω ἀπέκτεινεν. ὃν καὶ ἄλλοι νέοι, οἷς ἀρετῆς ἔμελε,

ὅπως οἱ ἑβραῖοι κατὰ ἀμοῤῥαίων ἐμαχέσαντο, καὶ ἀνῄρησαν τὸν αὐτῶν βασιλέα σηὼν καὶ ὤγ.

περὶ στρατοπέδων πρὸ ἱεριχοῦντος.

περὶ βαλαὰμ καὶ ὅτι κατὰ τῶν ἰσραηλιτῶν αἰτοῦμενος ἀγγέλου.

ὅτι βαλαὰμ μάχην οὐ κατηράσατο, ἀλλὰ καὶ εὐλόγησε τοὺς ἑβραίους ἐν θεῷ.

ὅτι κατὰ συμβουλὴν βαλαὰμ παρθένους ἀπέστειλε τοῖς ἰσραηλίταις, καὶ παρανομεῖν.

ὅτι ὁ φινεὴς τὸν ζαμβρὴν καὶ τὴν μαδιανῖτιν ἀνεῖλε.

per desertum & Arabiam proficiscente, Aaron etiam obit, alto monte conscenso, & pontificalibus uestibus Eleazaro filio traditis in populi conspectu, anno ætatis CXXIII. Moses ad Moabitarum & Amorręorum regionem progressus, petebat ut traducere liceret exercitum. Sed loci illius rex Seon transitu populum prohibebat. Cum autem Mosi oraculum consulenti, uictoriæ signa dedisset Deus, Hebræi armis sumptis, in prælium uadunt. Statim in fugam uertuntur Amorræi, & omnes intereunt, rege etiam occiso, & captis urbibus, ac prouincia occupata. Ogus item Galaditicæ & Gaulanitidis rex, qui Seoni iam interfecto suppetias ueniebat, Israelitas aggreditur. Sed & ipse in prælio cadit, & exercitus eius deletur, captis urbibus, & incolis interfectis. Inde Moses copias in magnam planiciem ducit, & castra contra Hierichuntem locat, urbem beatam, ac palmarum & balsami feracem. Balacus autem rex Balaamum uatem accersit, ut Israelitas diris deuoueret. Sed iter ingresso, diuinus genius occurrit. quo asina, cui Balaamus insidebat, animaduerso, non progrediebatur, neque cedebat uerberibus: sed Dei nutu uoce humana edita, "expostulabat cum domino, à quo uapulabat, "quòd non intelligeret, diuinitus ea prohiberi, "ad quæ properaret. Voce illa perterrito etiam angelus apparet, ac se ait iumento iter intercludere. Reuerti uolentem, ut pergat hortatur, & quicquid ei diuinitus inspiretur, dicat. Ac uenit ille quidem ad Balacum, & in montem perductus, VII tauris totidemque arietibus immolatis, cum stragem significari uideret, non modò mala non imprecatus est Israelitis, sed & ipsos & omne genus eorum faustis ominibus & diuinis laudibus prosecutus. ac grauiter illa fe"renti Balaco, Non penes nos, inquit, est, ô rex, "ista uel loqui uel tacere: sed cum diuinus spiri"tus nos occuparit, quas ipse uult, per nos uoces "edit. Sed quia tibi gratum facere cupio, denuò instruenda erit ara & uictimæ. Rursus igitur sacrificat, & in faciē prolapsus, clades regibus & urbibus imminentes uaticinatur. Qua de causa Balacus eum sine honore dimittit. Idemque pòst de Balaami consilio, uirgines in Israelitarū castra mittit, à quibus Hebræi ad coitū alliciebantur, ut id facinus totum exercitū peruagaretur, amore Madianiticarū mulierū, dijs earum Hebręis sacrificantib. & cibos insolitos cōcedentibus. Moses populo ad concionē uocato, dicebat, adolescentes neque sē neque patrib. suis digna "facere, eosque corrigere satagebat. Cæterum Za"mbres Symeoniæ tribus princeps, qui Madianiticā mulierē sibi nuptā insano amore deperibat, impudenter sese Mosi opposuit, neque unque desertum iureiurando affirmauit. Phinees autem pontificis Eleazari filius doloris acerbitate uictus, non prius & Madianitidem & Zambrem gladio uerberare destitit, quàm utrunque occidisset. Hunc alij iuuenes studiosi uirtutis

Amorræorum cædes.

Seon.

Ogus.

Balacus.

Balaamus.

Madianiticæ mulieres seducunt Hebræos.

Madianitarum cædes.

imitati, perimebant adolescentes qui contra leges patrias alienigenis mulieribus se contaminarant. Ita uiri XIIII millibus haud pauciores perierunt. Ea re Moses irritatus, contra Madianitas exercitum mittit, Phineæ mandato imperio. Prælio commisso, reges eorum cadunt numero V. & multitudo ingens. Hebræi regionem eorum diripiunt, ciuibus una cum uxoribus occisis, solis uirginibus parcentes, quæ fuere ad XXXII millia, quas Moses sacerdotib. Leuitis & populo distribuit: et quia iam senio confectus erat, successorem sibi designat Iesum Nauis filium. Cum tribus Gadis, Rubenis, & Manasseæ semissis Mosem orarent, ut Amorræorum terram ipsis attribueret: atque ille ignauiam eis opprobraret, ut qui belli Cananæi societatem cum popularibus detrectarent: illi se defendentes, aliã afferebant causam, quod pecora, quorum copijs abundarent, in ea regione relicturi essent, apta rei pecuariæ, ut ipsi popularium certamina expeditius adiutarent. Collaudauit ea Moses, atque ijs conditionibus Amoritidem cis Moses attribuit. Cum autem quidã Manasseæ tribus, solis relictis filiabus, decessisset, interrogatus, cuius esset illius portio? respondit, si quibus tribulium nupsissent uirgines, ut unà cum portione ad illos transferẽt: sin aliquibus alterius tribus desponderentur, portionem in patria tribu relinquerent. Sic cuiusque bona in sua tribu esse retinenda cõstituit. Iam autẽ XL annis (demptis XXX diebus) elapsis, ex quo Israelitæ Aegypto excesserant, Moses annos CXX natus, populo sibi mortẽ instare denunciat, multis præceptis datis, legibus item & Reip. forma descriptis, & mandata contra Amalechitas expeditione, ac iureiurando exacto de seruandis legibus, nec non Imperatore ad Cananæos bello petendos incitato: Ecce, inquit, ego ad maiores nostros abeo. Nam hunc mihi diem migrationis ad illos Deus præfiniuit. His auditis, populus in lachrymas & fletum erupit inconsolabilem, ac tantum, ut affectus ille Mosi etiã uel inuito lachrymas excuteret. Abeuntẽ eum in locum, ubi inter mortales esse desineret, prosequebãtur omnes plangẽtes. At ille, manu cæteros ulterius progredi uetans: Senatorib. tantũ & pontifice Eleazaro & Imperatore Iesu comitantib. donec uenit ad montem Naban & cacumen Phasenę, quod est in conspectu Hierichuntis, unde ei Dominus terra, cuius hæreditatem adituri essent Israelitæ, monstrata dixit: Oculis tuis istam intuere, sed ingressurus non es. Ad mõtem hunc progressus, qui quidem altus est, Senatu dimisso, Eleazarum solum & Iesum secum adducit: atque cum eis collocutus, densaque nube circumdatus, euanuit. Scribitur autem in sacris libris ideò mortuus, ne ob excellentem uirtutem, audaciores aliqui Deum esse factum perhiberent. Summa ætatis eius fuere anni centum & uiginti: quorum trientem, uno men se

Amorræorum terrã occupãt tribus Gadis, Rubena, et Manassæ semissis.

Hereditas in eadẽ tribu manet.

Mosis obitus.

Iesus successor Mosis.

ἤμελλε, μεμφόμενοι, ἀνῄρουν τῶν νέων τοὺς ἐπὶ μίξιν ἀλλοφύλοις παρανομήσαντας. ἀπώλλυντο οὖν ἄνδρες οὐκ ἐλάττους μυρίων καὶ τετρακισχιλίων. ἐν τούτῳ παροξυνθεὶς Μωϋσῆς κατὰ τῶν Μαδιανιτῶν ἐξέπεμψε στρατιάν, στρατηγὸν αὐτῆς ἀποδείξας τὸν Φινεές. καὶ μάχης γενομένης, οἵ τε βασιλεῖς αὐτῶν πεπτώκασιν, ὄντες πέντε, καὶ πλῆθος ἄλλο πολύ. οἱ δὲ Ἑβραῖοι τὴν χώραν αὐτῶν διηρπάκασι, καὶ τοὺς οἰκήτορας σὺν γυναιξὶ διαφθείραντες, μόνας τὰς παρθένους κατέλιπον, εἰς τρισμυρίας καὶ δισχιλίας ἀριθμουμένας, ἃς τοῖς ἱερεῦσί τε καὶ Λευΐταις καὶ τῷ λαῷ διένειμε Μωϋσῆς. γηραιὸς δὲ τυγχάνων, διάδοχον ἑαυτοῦ κατέστησε τὸν τοῦ Ναυῆ Ἰησοῦν, κελεύσαντος τοῦ θεοῦ. αἱ φυλαὶ δὲ Γάδ τε καὶ Ῥουβίμ, καὶ τῆς τοῦ Μανασσῆ ἡ ἡμίσεια, ἐδέοντο Μωσέως, τὴν τῶν Ἀμορραίων γῆν προσκληρῶσαι αὐτοῖς. ὁ δὲ δειλοὺς αὐτοὺς ἀπεκάλει, καὶ μὴ θέλοντας τῆς πρὸς Χαναναίους μάχης κοινωνῆσαι τοῖς ὁμοφύλοις. ἀπελογοῦντο δ' ἐκεῖνοι μὴ διὰ τοῦτ' εἶν, ἀλλὰ πλήθει βοσκημάτων κεχρημένους, βούλεσθαι ταῦτα παρὰ τῇ χώρᾳ καταλιπεῖν, ἀγαθῇ τυγχανούσῃ πρὸς τετραπόδων τροφήν, ἵν' ἔχοιεν αὐτοὶ πρὸς τοὺς ἀγῶνας τοῖς ὁμογενέσι συνεκστρατεύοντες εὔζωνοι. ἐπῄνεσε ταῦτα Μωϋσῆς, καὶ τὴν Ἀμορραίων αὐτοῖς προσεκλήρωσεν ἐπὶ ταῖς αὐταῖς συνθήκαις. τεθνηκότος δέ τινος ἐκ τῆς Μανασσῆ φυλῆς ἐπὶ θυγατράσι μόναις, ἐρωτηθεὶς Μωϋσῆς, τίνος ὁ ἐκείνου κλῆρος ἔσοιτο; ἀπεκρίνατο, εἰ μὲν τισὶ τῶν φυλετῶν συνοικήσουσιν αἱ παρθένοι, μετὰ τοῦ κλήρου πρὸς ἐκείνους χωρεῖτωσαν. εἰ δὲ μνηστευθεῖεν τισὶν ἐξ ἑτέρας φυλῆς, τὸν κλῆρον ἐᾶν ἐν τῇ πατρῴᾳ φυλῇ, καὶ οὕτω μένειν ἑκάστου κλῆρον ἐν ταῖς φυλαῖς διετάξατο. ἤδη δὲ τεσσαράκοντα διεληλυθότων ἐτῶν, ἐξ ὅτου τῆς Αἰγύπτου οἱ Ἰσραηλῖται ἐξεληλύθασι, τριάκοντα ἐνδεουσῶν ἡμερῶν, ἀθροίσας τὸν λαὸν Μωϋσῆς, ἑκατὸν εἴκοσιν ἐν ἑαυτοῦ γεγονὼς, τὸ οἰκεῖον αὐτοῖς κατήγγελλε τέλος· καὶ πολλὰ παραινέσας, καὶ νόμους δοὺς ἐν βίβλοις, καὶ τῆς σφετέρας πολιτείας διάταξιν, καὶ στρατεῦσαι κατὰ τῶν Ἀμαληκιτῶν ἐντειλάμενος, περί τε τῆς φυλακῆς τῶν νόμων ὅρκον ἀπαιτήσας αὐτούς, καὶ τὸν δημαγωγὸν Ἰησοῦν παραθήξας ἐπὶ τοὺς Χαναναίους στρατεῦσαι· ἰδού, φησίν, πρὸς τοὺς ἡμετέρους ἄπειμι προγόνους. τὴν δέ μοι γὰρ τὴν ἡμέραν τῆς πρὸς ἐκείνους ἀφίξεως ὥρισεν ὁ θεός. τὸ δὲ πλῆθος ἐδάκρυε, καὶ ἦν ὁ θρῆνος αὐτῶν ἀπαράκλητος, καὶ τοιοῦτος, ὡς καὶ αὐτὸν Μωϋσῆν ἐκνικηθῆναι τῷ πάθει, καὶ προαγαγεῖν δάκρυα. πορευομένῳ δ' ὅπου ἔμελλεν ἀφανὴς ἔσεσθαι, εἵποντο πάντες κοπτόμενοι. ὁ δὲ τοὺς μὲν πόρρω, τῇ χειρὶ κατασείων, μένειν ἐκέλευε, μόνη δ' ἡ γερουσία προέπεμπεν αὐτόν, καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρ, καὶ ὁ στρατηγὸς Ἰησοῦς, ἕως ἐπὶ τὸ ὄρος Ναβαῦ, ἐπὶ κορυφὴν Φασγά, ὅ ἐστι κατὰ πρόσωπον Ἱεριχώ· ἔδειξεν αὐτῷ κύριος τὴν γῆν, ἣν ἔμελλον κληρονομῆσαι οἱ υἱοὶ Ἰσραήλ, εἰπὼν αὐτῷ, ἰδὲ ταύτην τοῖς ὀφθαλμοῖς σου, εἰς αὐτὴν δ' οὐκ εἰσελεύσῃ. ἐπεὶ δὲ τὸ ὄρος ἀνῆλθεν, ὑψηλὸν τυγχάνον, τὴν μὲν γερουσίαν ἀπέπεμψε, τὸν δ' Ἐλεάζαρ καὶ Ἰησοῦν ἠσπάζετο, καὶ προσομιλῶν αὐτοῖς, νέφους ἄφνω περιλαβόντος αὐτόν, ἐγένετο ἀφανής. γέγραφε δ' αὐτὸν ἐν ταῖς ἱεραῖς βίβλοις τεθνεῶτα, ἵνα μὴ δι' ὑπερβολὴν τῆς περὶ αὐτὸν ἀρετῆς τολμήσωσί τινες εἰπεῖν ὡς ἀποτεθέωται. ἐβίωσε δὲ τὴν ὅλην ζωὴν ἐνιαυτοὺς ἑκατὸν εἴκοσι, ὧν ἦρξε τὸ τρίτον μέρος, ἑνὸς λείποντος

ὅτι Μαδιανιτῶν ἡ ἀναίρεσις πάντων αὐτῶν γυναικῶν παρθένων.

ὅτι γηράσας Μωσῆς Ἰησοῦν κατέλιπεν.

ὅτι τὴν Ἀμορραίων γῆν Γὰδ καὶ Ῥουβὶμ καὶ [illegible] μανασσῆ [illegible], διετάξατο, ἵνα ἕκαστος τῆς οἰκείας φυλῆς μόνον ἔχοι τὸν κλῆρον. αἱ δὲ τῆς φυλῆς [illegible] τὸν κλῆρον τηρεῖν.

[illegible] ἀφανὴς γέγονε, [illegible] ἐνιαυτῶν [illegible] ἦρξε τὸ τρίτον τούτων.

ποντος μηνός, καὶ ἐπένθησαν αὐτὸν ἐφ' ἡμέρας τριάκοντα. ταῦτα μὲν φησὶν ὁ Ἰώσηπος. ἡ δὲ τοῦ Δευτερονομίου βίβλος, πρὸς τῷ τέλει οὕτω πως ἔχει πρὸς ῥῆμα· καὶ ἐτελεύτησε Μωϋσῆς, οἰκέτης Κυρίου, καὶ οὐκ οἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ, ἕως τῆς ἡμέρας ταύτης. ἤδη δὲ τοῦ πένθους λελωφηκότος, πέμπει κατασκόπους εἰς Ἱεριχοῦντα ὁ Ἰησοῦς. μετακαλεσάμενος δὲ τοὺς φυλάρχους τῆς τοῦ Ῥουβὴμ φυλῆς, καὶ τῆς Γὰδ, καὶ τῆς Μανασσῆ, ὑπομιμνήσκων αὐτοὺς τῶν πρὸς Μωϋσῆν συνθηκῶν. τῶν δὲ ὑπομενόντων πεντάκις μυρίους ὁπλίτας, ἐπὶ τὸν Ἰορδάνην προῄει. οἱ δὲ πεμφθέντες κατάσκοποι, εἰς Ἱεριχὼ παραγενόμενοι, τὴν πόλιν ἅπασαν κατενόησαν. γνωσθέντες δὲ, τῷ βασιλεῖ τῆς χώρας μηνύονται. ὁ δ' εὐθὺς αὐτοὺς συλληφθῆναι ἐκέλευσεν. ὡς δ' ἔγνω τὴν ἔφοδον τῶν ζητούντων τοὺς ἄνδρας ἡ γυνὴ, παρ' ᾗ προσπεφεύγασι, Ῥαὰβ καλουμένη, τοὺς μὲν κατέκρυψε, λίνου αὐτοῖς ἀγκαλίδας ἐπιθεμένη· τοῖς δὲ ζητοῦσιν ἔλεγεν, ὡς οἱ ἀγνῶτες ἄνδρες ἐκεῖνοι, πρὶν δῦναι τὸν ἥλιον, παρ' αὐτῇ δειπνήσαντες, ἀπηλλάγησαν. οἱ δ' οὕτως αὐτοὺς ἀπελθούσης τῆς γυναικὸς, ὥρμησαν ἄλλος ἀλλαχοῦ, τοὺς ἄνδρας διώκοντες. ἡ δὲ Ῥαὰβ χωρεῖν ἐκέλευεν ἐπὶ τὰ οἰκεῖα τοὺς ἄνδρας, καὶ μεμνῆσθαι αὐτῆς, καὶ ἀμοιβὴν ἐκτῖσαι, τῆς Χαναναίων χώρας ἐπικρατήσαντας. οἱ δὲ καὶ χάριν ἔχειν ὡμολόγουν, καὶ ἡνίκα ἂν ἡ πόλις ἁλίσκηται, τὴν κτῆσιν τε καὶ τοὺς οἰκείους εἰς τὸ κατάγειον ἐγκαθεῖρξαι, αὐτῇ ἐνετείλαντο, ἀποκρεμάσαι δὲ καὶ φοινικίδα πρὸ τῶν θυρῶν, ἵν' ἂν γνώριμος ἡ οἰκία, καὶ διαφυλαχθῇ. καὶ οἱ μὲν πρὸς τοὺς οἰκείους ἐσώθησαν, καὶ ἃ ἔπραξαν ἐδήλουν. τοῦ Ἰορδάνου δὲ πολλοῦ ῥέοντος, οὕτω τοὺς Ἑβραίους ὁ Ἰησοῦς ἐπ' αὐτοῦ διεβίβασε. προῄεσαν μὲν οἱ ἱερεῖς, τὴν κιβωτὸν αἴροντες. εἶτα οἱ Λευῖται, κομίζοντες τὴν σκηνήν. εἵποντο δὲ τούτοις ὁ λαός. ὡς δὲ τοῖς ἱερεῦσι πρώτοις ἐμβᾶσιν, ἀνεκόπη τὸ ῥεῦμα τοῦ ποταμοῦ, πάντες θαρροῦντες ἐπεραιοῦντο. ἔστησαν δ' ἐν μέσῳ οἱ ἱερεῖς, ἕως οὗ διαβαίη τὸ πλῆθος, εἶτα κἀκεῖνοι ἐξέβησαν, εἰς ἐλεύθερον ἀφέντες τὸ ῥεῦμα χωρεῖν, καὶ πρὸ δέκα σταδίων τῆς Ἱεριχοῦντος στρατοπεδεύονται. βωμὸν δ' ἐκ τῶν λίθων ὁ Ἰησοῦς ἱδρυσάμενος, οὓς ἕκαστος τῶν φυλάρχων κατ' ἐντολὴν αὐτοῦ ἐκ τοῦ βυθοῦ τοῦ Ἰορδάνου ἀνείλετο, ἔθυεν ἐπ' αὐτοῦ, καὶ τὴν ἑορτὴν τοῦ πάσχα ἑώρταζε. τότε δ' αὐτοὺς καὶ τὸ μάννα ἐπιλελοίπει, χρωμένους αὐτῷ ἐπὶ τεσσαράκοντα ἔτη. ἤδη γὰρ εὐπόρουν ἐκ τῆς χώρας πάντων, ὧν ἐδέοντο. τῇ δὲ πρώτῃ τῆς ἑορτῆς ἡμέρᾳ, τῇ πολιορκίᾳ τῆς Ἱεριχοῦντος ὁ Ἰησοῦς ἐπεχείρησεν, οὕτω ταύτην διατιθέμενος. τὴν κιβωτὸν οἱ ἱερεῖς φέροντες, περιῄεσαν τὸ τεῖχος, ἑπτὰ σαλπίζοντες κέρασι. καὶ ἡ γερουσία παρείπετο, εἶθ' ὑπενόστουν εἰς τὸ στρατόπεδον. καὶ τοῦτο ἐπὶ ἓξ ἐποίουν ἡμέρας. τῇ δ' ἑβδόμῃ τὰ αὐτὰ ποιησάντων, καὶ περιελθόντων ἑπτάκις, τὸ τεῖχος κατέπεσε, καὶ ὁ λαὸς εἰσελθὼν, πάντας ἔκτειναν, καὶ τὴν πόλιν ἐνέπρησαν. τὴν δὲ Ῥαὰβ μόνην σὺν τοῖς οἰκείοις ἔσωσαν οἱ κατάσκοποι, φοινικίδα πρὸ τῆς οἰκίας ἀποκρεμασάσης. ὁ Ἰησοῦς ἀγροὺς αὐτῇ ἐδωρήσατο, καὶ ἦγε διὰ τιμῆς. κατὰ δὲ τῶν ἐγείρειν αὖθις βουληθησομένων τὴν πόλιν, ἀρὰς ἔθετο, στερηθῆναι μὲν τοῦ πρώτου παιδὸς, τὸν θεμελίους βαλλόμενον, τὸν τελειώσαντα δὲ ζημιωθῆναι τὸν νεώτατον· πολὺ δὲ πλῆθος

περὶ τῶν εἰς ἱεριχοῦντα κατασκόπων.

[illegible]

[illegible]

[illegible]

se minus, in Imperio fuit. Defunctum luxerunt dies triginta. Et hæc Iosephus tradit. Sed Deuteronomij liber sic ad uerbum habet: Et obijt Moses, famulus Domini, neque in hunc diem quisquam obitum eius nouit. Sopito iam luctu, Iesus exploratores Hierichuntem mittit, & Gadiæ, Rubeniæ, ac Manasseæ tribus principes accersitos, pacti cum Mose initi admonet: qui cum quinquaginta millibus armatorum eum ad Iordanem sequuntur. Cæterùm exploratores Hierichuntem missi, urbe tota perlustrata, cogniti & regi indicati, statim comprehendi iubentur. Ea re mulier nomine Raab, ad quam confugerant, intellecta, homines occultat sub lini fasciculis, & inquisitoribus dicit ignotos illos ignotos, ante Solis occasum, apud se cœnatos discessisse. Illi sic à muliere elusi, alius aliò dilabuntur, persecuturi eos. Tum Raab domum se recipere iubet uiros, beneficij sui memores, ac terra Chananæa potitos, referre gratiam. Illi & gratias agunt, cam'que ubi urbs capta esset, ut res suas & necessarios in diuersorio concluderet, suspenso pro foribus purpuræ panno, monent, quo nosceretur domus, & conseruaretur. itaq; ad suos incolumes reuersi, quid gessissent, renunciant. Cum autem Iordanis intumuisset, sic Iesus Hebræos per eum traduxit. Præcedebant sacerdotes, Arcam ferentes. Deinde Leuitæ, tabernaculum gestantes. hos populus sequebatur. Vt autem sacerdotibus primis ingressis, impetus fluminis statim interrumpitur, omnes audacter traiecere, stantibus in medio sacerdotibus, donec populus transisset: ac tum demum ipsi etiam sunt egressi, cursu fluminis in integrum restituto. Iordane superato, castra decem stadijs ab Hierichunte locant. Iesus in ara ex lapidibus, quos ipsius iussu quilibet tribunus ex alueo Iordanis sustulerat, immolat, & festum Paschatis celebrat. eodem'que tempore Manna eos defecit, quo per annos quadraginta fuerant usi. Iam enim ex agris omnia quibus opus erat, suppetebant. Obsidionem Hierichuntis Iesus primo die festiuitatis est auspicatus, re sic instructa. Sacerdotes arcam gestantes mœnia circumibant, septem cornua inflantes: senatus ponè sequebatur, post in castra redibant. id'que sex diebus cum fecissent, ac die septimo repetijssent, & septies circumissent, murus concidit. populus ingressus, omnes occidit, & urbem incendit. Solam Raabem cum suis, signo illo pro foribus conspecto, exploratores conseruarunt: Iesus etiam agro donauit, & honorificè tractauit. Si qui uerò urbem instauraturi essent, eos diris huiusmodi est detestatus, ut qui fundamenta iaceret, primogenitum amitteret: qui perficeret, natu minimum filium. Magna auri &

Hierichuntis exploratio, obsidio, excidium.

Iordanis transitus.

& argenti copia ex manubijs urbis coacta, Deo uniuersa consecratur, primitiæ rei bene gestæ: ac omnibus interdicitur, ne quid inde sibi usurpent. Sed Achor quidam Iudaicæ tribus, textum quoddam ex auro, & auri massam, quę siclos ducentos pendebat, nactus, retinet, ac in tabernaculo suo defodit. Pòst orto bello, in fugam uertuntur Hebræi, triginta sex ex eis interfectis. Eam cladem populus ægerrimè tulit. Iesus in faciem prolapsus, deprecatur Deum: & oraculo edoctus, sacrilegium esse factum, iudicium sorti committit. quæ cum in Achorem incidisset, fatetur ille facinus, res surreptas profert, ipse cum suis lapidatur, Iesus Naim obsidione capit. Cæterùm Gabaonitæ, eorum'que finitimi, cum ad Chananæos pertinerent, ueriti ne itidem ut Hierichuntij & Naitæ tractarentur, legatos ad Iesum mittunt, se longissimè inde habitare dicentes, neque genere cum Chananæis coniunctos, fœdus inire cum Israelitis, & iungere amicitiam cupere. Iesus postulatis eorum annuit. Pòst, ubi eos Chananææ gentis esse intellexit: cum eis ob dolum expostulat. Illi necessitatem excusant, atque excidij metum. Tum Iesus, ne datam fidem uiolaret, publicos seruos eos facit. Sic Iosephus. Sed liber Iesu ait, eos lixas & calones totius synagogæ & diuini altaris esse factos. Gabaonitas a rege Hierosolymorum ob fœdus 'cum Israelitis initum, bello petitos, Iesus defendit, hostes in fugam uertit, fugientes persequitur: quo prælio & grando solito maior, & fulmina cœlitùs in hostes irruerunt: & dies facta longior, cursum Solis ad Iesu preces sistente Deo, ne superuentu noctis hostes elaberentur. Reges etiam in quodam specu delitescentes, deprehensi, occiduntur omnes. His rebus gestis, Iesus in Cananææ montana regreditur, ibi'que magna cæde edita: & opima præda parta, in Galgalia castra sese recipit: quibus ex eo nomen erat factum, quòd Israelitæ se & seruitute Aegyptiaca & ærumnis deserti liberatos esse cognoscerent. nam Galgala Hebræis libertatem significat. Cum autem Chananæi Libanum montem accolentes, & qui in campestribus habitabant, Palæstinis in auxilium ascitis, bellum eis inferrent, atque in exercitu haberent armatorum trecenta millia, equitum decem millia, & millia curruum triginta, Deo uictoriam Israelitis pollicito, prælium atrox committitur: quo hostes uniuersi, paucis exceptis, perierunt, regibus etiam cæsis. Annus tum quintus exierat, neque Cananæorum quisquam erat reliquus; cum Iesus tabernaculum in oppido Selomo collocat, donec templum ædificandi daretur occasio. ac populi uniuersi concilio indicto, captas urbes enumerat, cæsosque hostium exercitus, & ut XXX eorum reges interfecti essent.

Achoris sacrilegium punitur.

Gabaonitarum astutia & pœna.

Hierosolymitarũ cædes, & Solis miraculum.

Galgalis castra.

Vrbes

ἐκ τῆς πόλεως ἀθροίζεται ἀργύρου τε καὶ χρυσοῦ, καὶ ἅπαν ἀνετέθη τῷ θεῷ, ὡς τῶν κατωρθωμένων ἐσόμενον ἀπαρχή. ἀπείρητο γὰρ πᾶσιν, ἐκ τούτου τι σφετερίσασθαι. ἄχαρ δέ τις ἐκ τῆς ἰουδα φυλῆς, ὑφάσματι χρυσοϋφεῖ περιτυχὼν, καὶ μάζῃ χρυσοῦ ἑλκούσῃ σίκλους διακοσίους, ἐσφετερίσατο ταῦτα, κατορύξας ἐν τῇ σκηνῇ. μετὰ ταῦτα πολέμου συστάντος τρέπονται οἱ ἑβραῖοι, καὶ πίπτουσιν αὐτῶν ἄνδρες ἓξ καὶ τριάκοντα. ἐφ᾽ ᾧ σφόδρα τὸ πλῆθος ἐλύπησε. καὶ ἰησοῦς ἐπὶ στόμα πεσὼν ἐδεῖτο τοῦ θεοῦ. χρηματισθεὶς δὲ κλοπὴν γενέσθαι τῶν καθιερωθέντων χρημάτων, κλήρῳ τὴν κρίσιν ἐπιτρέπει. ἐπὶ δὲ τὸν ἄχαρ τοῦ κλήρου πεσόντος, ὁμολογεῖ τὴν κλοπὴν ἐκεῖνος, καὶ παράγει τὰ φώρια. καὶ ὁ μὲν λίθοις ἀναιρεῖται, σὺν τοῖς αὐτοῦ· ἰησοῦς δὲ πολιορκεῖ τὴν ναὶν, καὶ ταύτην αἱρεῖ. γαβαωνῖται δὲ καὶ οἱ ἐκείνοις περίοικοι, χαναναίοις προσήκοντες, φοβηθέντες ὡς τοῖς ἱεριχουντίοις καὶ τοῖς περὶ ναὶν τὰ ὅμοια πείσονται, πρεσβείαν ἀποστέλλουσι πρὸς τὸν ἰησοῦν, πορρωτάτω λέγοντες κατοικεῖν, μηδὲ γένους κοινωνεῖν χαναναίοις, καὶ σπονδὰς πρὸς αὐτοὺς θέσθαι ζητοῦντες τοὺς ἰσραηλίτας, καὶ συνθήκας φιλίας. ἰησοῦς οὖν φιλίαν πρὸς αὐτοὺς ἐποιήσατο. γνοὺς δὲ ὕστερα τούτους τοῦ γένους ὄντας τῶν χαναναίων, τῆς ἀπάτης αὐτοῖς ἐνεκάλει. οἱ δὲ ἐξ ἀνάγκης ἔφασαν τοῦτο πρᾶξαι, δεδιότες τὸν ὄλεθρον. καὶ ἰησοῦς, ἵνα μὴ παραβαίη τὸν ὅρκον, δημοσίους αὐτοὺς ἀποδείκνυσιν. οὕτως ἰώσηπος. ἡ δὲ βίβλος τοῦ ἰησοῦ περιέχει, ὅτι κατέστησεν αὐτοὺς ξυλοκόπους καὶ ὑδροφόρους πάσῃ τῇ συναγωγῇ, καὶ τῷ θυσιαστηρίῳ τοῦ θεοῦ. ἐπιθεμένου δὲ τοῖς γαβαωνίταις τοῦ βασιλέως τῶν ἱεροσολύμων, διὰ τὰς πρὸς ἑβραίους σπονδὰς, ὁ ἰησοῦς αὐτοῖς συμμαχεῖ, καὶ τρέπεται τοὺς ἐναντίους, καὶ τραπέντας ἐδίωκεν. ὅτε καὶ οὐρανόθεν χάλαζά τε τῆς συνήθους μείζων, καὶ κεραυνοὶ τοῖς πολεμίοις ἐπέπιπτον· καὶ ἡ ἡμέρα ηὔξετο, τὸν δρόμον τοῦ ἡλίου στήσαντος τοῦ θεοῦ, ἐν τῇ δεήσει τοῦ ἰησοῦ, ἵνα μὴ, νυκτὸς ἐπελθούσης, διαφύγωσιν οἱ πολέμιοι. καταλαμβάνονται δὲ καὶ οἱ βασιλεῖς ἔν τινι σπηλαίῳ κρυπτόμενοι, καὶ κτείνονται πάντες. ἰησοῦς δὲ ἐπάνεισι πάλιν τῆς χαναναίας ἐπὶ τὴν ὀρεινὴν, καὶ πολὺν φόνον τῶν ἐν αὐτῇ ἐργασάμενος, καὶ λείαν λαβὼν, εἰς τὸ ἐν γαλγάλοις ἦλθε στρατόπεδον. ἐκλήθη δὲ ὁ τόπος τοῦ στρατοπέδου γάλγαλα, ὡς ἤδη ἑαυτοὺς ἐλευθέρους τῶν αἰγυπτίων καὶ τῆς κατὰ τὴν ἔρημον ταλαιπωρίας γνόντων τῶν ἰσραηλιτῶν. γάλγαλα γὰρ τὴν ἐλευθερίαν ἑβραῖοι καλοῦσι. στρατεύουσι δὲ ἐπ᾽ αὐτοὺς οἱ περὶ λίβανον χαναναῖοι, καὶ οἱ ἐν τοῖς πεδινοῖς παλαιστινοῖς συμμαχούμενοι. ἦν δὲ ὁ στρατὸς ἐκείνων ὁπλιτῶν μυριάδες τριάκοντα, μύριοι δὲ ἱππεῖς, καὶ τρισμύρια ἅρματα. νίκην δὲ τοῦ θεοῦ ἐπαγγειλαμένου, καρτερὰ μάχη γίνεται, ὡς πᾶν τὸ στράτευμα τῶν ἐχθρῶν, πλὴν ὀλίγων, διαφθαρῆναι, σὺν βασιλεῦσι δὲ πᾶσιν. ἔτος δὲ πέμπτον ἤδη παρεληλύθει, καὶ χαναναίων οὐκέτι οὐδεὶς ὑπολέλειπτο. ἰησοῦς δὲ ἱστᾷ τὴν σκηνὴν κατὰ πόλιν σιλὼμ, ἕως οἰκοδομῆσαι αὐτοῖς ναὸν γένηται. συναγαγὼν δὲ τὸν λαὸν εἰς σιλὼμ, τὰς ἑαλωκυίας τῶν πόλεων ἀπηρίθμει, καὶ ὅσοι τῶν ἐναντίων διεφθάρησαν στρατιαὶ, καὶ ὡς τριάκοντα βασιλεῖς αὐτῶν ἀπεκτάνθησαν.

περὶ τῶν ἱερωθέντων χρημάτων, ἃ ἀνετέθησαν τῷ θεῷ, καὶ περὶ τοῦ ἀποκρύψαντος τὸ χρυσίον, [illegible]

ὅπως ἰουδαίους γαβαωνῖται [illegible] ἀπάτῃ [illegible]

ὅτι [illegible] ξυλοκόπους καὶ ὑδροφόρους [illegible]

ὅπως τὸν βασιλέα ἱεροσολύμων [illegible] ἰησοῦς, συμμαχῶν γαβαωνίταις, [illegible]

ὅτι γάλγαλα τὴν ἐλευθερίαν οἱ ἑβραῖοι καλοῦσιν.

περὶ δὲ σκηνῆς [illegible] ἰησοῦς εἰς σιλώμ.

τὰς

τὰς δὲ ὑπολειφθείσας ἔτι πόλεις πολυχρονίου δεῖσθαι πολιορκίας διὰ τὸ ὀχυρώτατα ἔλεγε, καὶ ἄξιον οὖν ἐκ τῆς περαίας τοῦ ἰορδάνου συνεξορμήσαντας αὐτοῖς, ἐκλύειν ἤδη πρὸς τὰ οἰκεῖα. καὶ προσκαλεσάμενος τοὺς ἐκ τῶν δύο φυλῶν, καὶ τῆς ἡμισείας, πεντακισμυρίους ὄντας, πρὸς τὰς κληρουχίας αὐτῶν ἐπέτρεψεν ἀπελθεῖν. οἱ δὲ διαβάντες τὸν ἰορδάνην, βωμὸν ἐπὶ τῇ ὄχθῃ ἱδρύοντο. ὃ θόρυβον τῷ πλήθει τῶν ἰσραηλιτῶν ἐνεποίησε. πέμπουσιν οὖν ἐπ' αὐτοὺς δέκα τῶν ἐντίμων, καὶ φινεές, αἰτιώμενοι περὶ τοῦ βωμοῦ. οἱ δὲ μὴ κατὰ νεωτερισμὸν ἀναστῆσαι τὸν βωμὸν ἔλεγον, ἀλλ' εἰς τεκμήριον τοῖς ἑξῆς τῆς πρὸς ὑμᾶς οἰκειότητος. ἕνα γὰρ θεὸν γινώσκειν, τὸν σύμπασι τοῖς ἑβραίοις κοινόν. ταῦτα ἀκούσας, φινεὲς καὶ οἱ σὺν αὐτῷ πρὸς τὸν ἰησοῦν ὑπεστρέψαντο. ἰησοῦς δὲ κληρωσάμενος τῷ πλήθει τὰς χώρας, ἐν σικίμοις διῆγεν. ὑπέργηρως δὲ γεγονώς, καὶ θνήσκειν ἤδη μέλλων, παραίνεσιν ἐποιήσατο πρὸς τὸ πλῆθος, καὶ ἐτελεύτησε, βιοὺς ἔτη ἑκατὸν δέκα, ὧν σὺν μωσῇ διέτριψε τεσσαράκοντα, μετὰ δὲ τὴν ἐκείνου τελευτὴν στρατηγῶν πέντε καὶ εἴκοσι. θνήσκει δὲ καὶ ὁ ἀρχιερεὺς ἐλεάζαρ, φινεὲς τῷ υἱῷ τὴν ἀρχιερωσύνην λιπών. μετὰ δὲ ταῦτα, χαναναῖοι ἐλπίσαντες περιγενέσθαι τοῦ τῶν ἑβραίων γένους, λιπόντος ἰησοῦ, κατ' αὐτῶν ἐπεστράτευσαν, τῷ βασιλεῖ ἀδωνιβεζὲκ τὴν ἡγεμονίαν πιστεύσαντες. δηλοῖ δὲ τὸ ὄνομα, κύριος βεζέκ. ἀδωνὶ γὰρ ἑβραϊστὶ κύριος λέγεται. συμμίξασαι δὲ τοῖς χαναναίοις αἱ δύο φυλαί, ἡ τοῦ ἰούδα καὶ ἡ τοῦ συμεών, τρέπονται αὐτούς, καὶ τὸν ἀδωνιβεζὲκ αἱροῦσι, καὶ ἀκρωτηριάζουσιν. εἷλον δὲ καὶ πόλεις πολλάς, καὶ τῶν ἱεροσολύμων τὴν κάτω πόλιν, καὶ τοὺς ἐνοικοῦντας ἀπέκτειναν. τῆς δ' ἄνω δυσχερὴς ἦν ἡ πολιορκία, φύσει τε τοῦ χωρίου, καὶ τειχῶν ὀχυρότητι. ἑλόντες δὲ καὶ τὴν χεβρών, ἅπαντας διεχειρίσαντο, καὶ ἔδωκαν αὐτὴν τῷ χαλὲβ εἰς κλῆρον, καθὼς μωυσῆς ἐνετείλατο. καὶ τοῖς τοῦ ἰοθὸρ ἐκγόνοις, ἀγχιστεῦσιν οὖσι μωσέως, γῆν προσεκλήρωσαν, ὅτι τὴν πατρίδα καταλιπόντες, συνείποντο ἐν τῇ ἐρήμῳ τῷ τῶν ἑβραίων λαῷ. αἱ δὲ τοῦ ἰούδα καὶ συμεὼν φυλαὶ μεγάλως εὐδαιμονήσασαι, τὰ ὅπλα κατέθεντο. τὰ βαίθηλα δέ γε πολιορκοῦσα ἡ φυλὴ τοῦ ἐφραΐμ, οὐδὲν ἤνυε. συλλαβόντες δέ τινα τῶν τῆς πόλεως, πίστεις παρέσχον αὐτῷ, παραδόντα τὴν πατρίδα σώσειν καὶ αὐτὸν καὶ τοὺς συγγενεῖς. καὶ ὁ μὲν οὕτως προδούς, σώζεται μετὰ τῶν οἰκείων. οἱ δὲ, κτείναντες τοὺς οἰκοῦντας, ἔσχον τὴν πόλιν. βενιαμῖται δὲ τῆς ἱεροσολύμων πόλεως λαχούσης αὐτοῖς, φόρους τοῖς χαναναίοις ἐπέθεντο, ζῆν συγχωρήσαντες παρὰ τὴν θείαν διαταγήν. ὁμοίως τε ἐποίησαν καὶ αἱ ἄλλαι φυλαί. ἤδη δ' εὐθηνουμένους τοὺς τοῦ ἰσραὴλ διέφθειρεν ἡ τρυφή, καὶ τοὺς θείους νόμους παρέβαινον, καὶ πρὸς τὸ πονεῖν διέκειντο ἀργῶς, καὶ ἡ ἀριστοκρατία ὑπέλιπε, καὶ ἡ γερουσία οὐκ ἀπεδείκνυτο. ὅθεν στάσις αὐτοὺς κατελάμβανε δεινή, ἐξ αἰτίας τοιαύτης. ἀνὴρ λευΐτης τὴν σύζυγον ἐπαγόμενος, ἐκ βηθλεὲμ οὖσαν, οἴκαδε ἀπῄει. ἤδη δ' ὀψίας οὔσης, ὑπεξενοῦται παρά τινι πρεσβύτῃ ἐν γαβαὼ πόλει, φυλῆς τῆς βενιαμίτιδος. νεανίαι δὲ γαβαωνῖταί τινες, τὸ γύναιον θεασάμενοι, ἧκον ἀπαιτοῦντες αὐτό. τοῦ δὲ πρεσβύτου μὴ διδόντος, ἀποκτενεῖν ἠπείλουν. ὁ δὲ τὴν ἑαυτοῦ θυγατέρα αὐτοῖς παρεχώρει, ἵνα μὴ τὸ βίαιον ὑποσταῖεν οἱ ὑπεξενωθέντες αὐτῷ. ἁρπάσαντες δ' ἐκεῖνοι τὸ γύναιον, ἀπηλλάγησαν, καὶ δι' ὅλης τῆς νυκτὸς ἐμφορηθέντες αὐτῆς, ἀφῆκαν ἀρχομένης ἡμέρας. [illegible] τοῦ γινομένου.

[illegible]

Vrbes autem quæ supereſſent, munitiſsimas diuturnam poſtulare obſidionem aſſerebat, & transiordaninorum auxilia iam domum remittenda cenſebat. Duabus igitur tribubus & ſemiſsi, quarum uiri erant quinquagies mille, ad ſua redeundi poteſtatem facit. Illi Iordane ſuperato, aram in ripa conſtituunt. Qua de cauſa tumultu inter Iſraelitas excitato, decem honoratos uiros unà cum Phinee legatos mittũt, de ara extructa expoſtulantes. Illi non rerum nouandarum ſtudio ſe aram feciſſe reſpondent, ſed ut monimento eſſet poſteris neceſsitudinis eius, quæ ſibi cum illis intercederet. Vnũ enim ſeſe Deum agnoſcere, omnibus Hebræis communem. His auditis, Phinees cũ ſuis ad Ieſum reuertitur. Is prouincia ſorte inter populum diſtributa, Sicimis degebat ac ſenio confectus, & iamiam moriturus, populo officij admonito, obit, cum annos uixiſſet c & x, quorũ cum Moſe uerſatus fuerat quadraginta, & poſt eius obitum exercitum duxerat v & xx. Moritur & Eleazarus pontifex, filio Phinei ſacerdotio relicto. Poſt obitũ Ieſu Cananæi, gentis Hebreæ ſuperandæ ſpe concepta, bellum faciunt, Adonibezeco imperatore creato, quod nomen Hebræis Bezeci dominũ ſonat. Cum his duæ tribus, Iudaica & Symeonia, congreſſæ, in fugam uertunt hoſtes, Adonibezecum captum mutilant. Multa item oppida cæpere, & inferiorem Hieroſolymorum urbem, habitatorib. occiſis. Verùm ſuperioris difficilis erat obſidio, tam ſitu quàm mœnibus permunitæ. Chebronem etiam captã, ciuibus interfectis, Calebo in ſortem dederũt, ut mandarat Moſes. Iothoris quoque poſteris, Moſis affinibus, agros aſsignarũt, quòd is patria relicta, populum Hebręorum in deſerto ſecutus eſſet. At Iudaica & Symeonia tribus, magnam adeptæ fœlicitatem, arma poſuerunt. Ephraimitæ uerò Bethelis obſidione fruſtra tentata, cum ciuem eius urbis cæpiſſent, incolumitatem illi & cognatis eius promittũt, ſi urbem proderet. Is, urbe prodita, cõſeruatur: illi ciuib. occiſis urbem occupant. Beniamitæ, quibus Hieroſolymorum urbs obuenerat, tributo impoſito, incolis contra diuinum mandatum pepercerunt. Idem etiam aliæ tribus ſunt imitatæ. Iſraelitas rebus ſecũdis iam florentes, luxuria corrupit, ut & diuinas leges uiolarent, & ad laborẽ ſegnes eſſent. Deſierat etiã optimatium magiſtratus, neq; amplius ſenatus legebatur. Itaq; atrox ſeditio inter eos oritur, tali de cauſa. Leuita quidã coniugẽ Bethleemiticam domum abducturus, apud ſenem quendam Gabaone, Beniamiticæ tribus oppido, ueſperi diuertitur. Ibi quidam adoleſcentes Gabaonitæ, cum muliereulã uidiſſent, adſunt, eam flagitantes. Seni recuſanti, necem minitantur. Ille filiam ſuam eis potius offert, modò hoſpites à ui & iniuria tueatur. Verùm illi non niſi rapta muliercula diſcedunt, eamq; per totam noctem pro libidine ſua ſubagitatam, diluculo dimittunt.

Ara trans Iordanem.

Cananæi Adonibezeco duce rebellãtes, cladibus afficiuntur.

Beniamiticum bellum ob ſtupratam Leuitæ uxorem.

θάνατος Ἀὼδ.

γοῦν τοῦ. ὁ δὲ Ἀώδ, ὁ τοῦ πλήθους ἀρχὴν ἐγκεχειρισμένος, ὃς ἐπ' ἔτεσιν ὀγδοήκοντα τοῦ λαοῦ ἡγησάμενος, τὸν βίον κατέλυσε. μετὰ δὲ τοῦτον Σαμεγὰρ υἱὸς Ἀνὰχ ἄρξας, ἐν τῷ πρώτῳ τῆς ἀρχῆς ἐνιαυτῷ τετελεύτηκε, πατάξας τῶν ἀλλοφύλων πολλούς. τοῦ δὲ λαοῦ τῶν Ἑβραίων αὖθις παραβαίνοντος νόμους, ὀργίζεται ὁ θεός· καὶ Σισάρας, ὁ τοῦ Ἰαβὶν βασιλέως τῶν Χαναναίων ἀρχιστράτηγος, ἐπελθὼν αὐτοῖς, ἐκάκωσέ τε σφόδρα, καὶ φόροις ὑπέβαλε, καὶ εἶχον οὕτως ἐπ' ἐνιαυτοὺς εἴκοσι. Δεββώρα δέ τις προφῆτις (δηλοῖ δὲ τὸ ὄνομα μέλισσαν) ὑπὲρ τοῦ λαοῦ ἱκέτευσε τὸν θεόν. καὶ ὁ θεὸς ἐπένευσε, καὶ στρατηγὸν αἱρεῖσθαι κελεύει Βαράκ, ἀστραπὴν δὲ τοῦτο σημαίνει κατὰ τὴν Ἑβραίων διάλεκτον· ἦν δ' ἐκ τῆς Νεφθαλεὶμ φυλῆς ὁ ἀνήρ. καὶ ἡ Δεββώρα τὸν Βαρὰκ προετρέψατο κατὰ τῶν πολεμίων ἰέναι μετὰ τῶν μυρίων, οὕτω κελεύοντος τοῦ θεοῦ. ὁ δὲ κἀκείνην ᾔτει συστρατηγεῖν. πείθεται ἡ γυνή, καὶ μάχης σὺν τοῖς μυρίοις συρραγείσης αὐτοῖς πρὸς τὸν Σισάραν, ὄμβρος καταχεῖται πολύς, καὶ χάλαζα καταρρήγνυται. ταῦτα δὲ κατὰ πρόσωπον τῶν πολεμίων ὑπὸ τοῦ ἀνέμου ἐλαυνόμενα, καὶ τὰς ὄψεις ἐπισκοτοῦντα αὐτῶν, καὶ τούτους ἐκκλῖναι εἰς φυγήν. φεύγων δὲ καὶ Σισάρας, πρός τινα γυναῖκα κατέφυγε, κατακρύψαι αὐτὸν ἀξιῶν. Ἰαὴλ ὠνόμαστο ἡ γυνή. ἡ δὲ δέχεται αὐτόν, καὶ δίδωσι γάλα πιεῖν, καὶ ὃς πιὼν ὑπνώσσειν. κοιμωμένου δ' αὐτοῦ ἡ Ἰαήλ, ἧλον διὰ τῶν κροτάφων αὐτοῦ ἐλάσασα, τῷ ἐδάφει προσεπατταλευσε, καὶ τοῖς περὶ τὸν Βαρὰκ νεκρὸν τὸν πολέμιον δείκνυσι. στρατεύσας δὲ καὶ ἐπὶ Ἰαβὶν βασιλέα Χαναναίων ὁ Βαράκ, αὐτόν τε ἔκτανε, καὶ τὴν πόλιν κατέσκαψε. καὶ στρατηγήσας ἐπ' ἔτη τεσσαράκοντα, τελευτᾷ, καὶ Δεββώρα κατὰ τὸν αὐτὸν θανοῦσα καιρόν. ἔπειτα Μαδιανῖται σὺν Ἀμαληκίταις καὶ Ἄραψι, μάχῃ τοὺς Ἰσραηλίτας ἐτρέψαντο. καὶ ἐπὶ ἔτη ἑπτὰ ἐπιτιθεμένων αὐτοῖς, λιμὸς ἦν, καὶ σπάνις τῶν ἀναγκαίων, καὶ ἐδέοντο τοῦ θεοῦ. Γεδεὼν δὲ φυλῆς ὢν Μανασσῆ, δράγματα σταχύων εἰς τὴν ληνὸν ἔκοπτε κρύφα, καὶ ὁρᾷ τινα ἐν εἴδει νεανίσκου παρεστῶτα αὐτῷ, καὶ καλοῦντα αὐτὸν φίλον τῷ θεῷ καὶ εὐδαίμονα. ὁ δὲ εἰρωνευόμενος, τεκμήριον ἔλεγεν εἶναι αὐτῷ τῆς εὐδαιμονίας, τὸ κεχρῆσθαι τῇ ληνῷ ἀντὶ ἅλωνος. καὶ ὁ νεανίας θαρρεῖν τε παρεκελεύετο αὐτῷ, καὶ προσεκαλεῖτο ὑπὲρ ἐλευθερίας τῶν φυλετῶν. Γεδεὼν δὲ ἱκέτευσε τὸν φανέντα, μὴ μεταναστῆναι ἐκεῖθεν. καὶ εἰσελθὼν ἐκόμισε θυσίαν. καὶ ὁ ἄγγελος θεῖναι αὐτὴν παρὰ τὴν πέτραν ἐκέλευσε. καὶ τῇ ῥάβδῳ ψαύσας τῆς πέτρας, πῦρ ἀνῆψεν αὐτόματον, καὶ τὴν θυσίαν κατέκαυσεν. εἶτα ᾔτησε τὸν θεὸν Γεδεὼν ἐπὶ τὸν πόκον γενέσθαι δρόσον, καὶ ἐγένετο. καὶ αὖθις δρόσον ᾔτησεν ἐπὶ πᾶσαν τὴν γῆν γενέσθαι, τὸν πόκον δὲ ξηρασίαν· καὶ γέγονεν οὕτως. πείθεται οὖν ὁ Γεδεών, καὶ σὺν μυρίοις κατὰ τῶν ἐναντίων ὁπλίζεται. εἶτα ἐντολῇ τοῦ θεοῦ ἄγει πάντας κατὰ μεσημβρίαν ἐπὶ τὸν ποταμόν. καὶ τοὺς μὲν λάψαντας ἐν τῷ πίνειν, καὶ μετὰ σπουδῆς ὡς περιφερεῖς πιόντας (τριακόσιοι δ' ἦσαν οὗτοι) ἔχων μεθ' ἑαυτοῦ, ἄπεισι πρὸς τὸν πόλεμον. τοὺς δὲ λοιποὺς καταλέλοιπεν. νυκτὸς δ' ἕνα τῶν στρατιωτῶν παραλαβόμενος, εἰσῆλθεν εἰς τὸ τῶν ἐναντίων στρατόπεδον. καὶ ἀκούει ἑνός τινος τῶν πολεμίων τῷ συσκηνοῦντι διηγουμένου, ὡς ἴδοι ἐν ὀνείρῳ καθ' ὕπνους μᾶζαν κριθίνην διὰ τοῦ στρατοπέδου κυλιομένην, ἣ τὴν τοῦ βασιλέως σκηνὴν κατέβαλε, καὶ τὰς τοῦ στρατεύματος· ὁ δέ, τοῦ στρατοῦ ὄλεθρον τὸ ἐνύπνιον ἔκρινεν, ἀπεικάζων μάζῃ κριθίνῃ τὸν Γεδεών, καὶ τοὺς σὺν αὐτῷ, διὰ τὴν ὀλιγότητα καὶ τὸ ἀσθενές. τούτων ἀκούσας ὁ Γεδεών, ἀναθαρρεῖ. καὶ ὑποστρέψας, ἐν τοῖς ὅπλοις εἶναι τοῖς ἑαυτοῦ ἐνετείλατο. καὶ

περὶ Δεββώρας τῆς προφήτιδος καὶ Βαράκ, καὶ τῆς ἀναιρέσεως τοῦ Σισάρα στρατηγοῦ.

θάνατος Δεββώρας καὶ Βαράκ.

περὶ Γεδεών.

περὶ δὲ πόκου καὶ δρόσου.

περὶ τῶν ἐν τῷ πίνειν λαψάντων.

περὶ δὲ τοῦ ὀνείρου.

ἀς

tur. Aoth suffragio populi princeps creatus, cū annos LXXX præfuisset, moritˀ. Post hunc Megar Dinachi filius, multis barbarorū cæsis, anno primo imperij decedit. Israelitis autem ob uiolatas diuinas leges irato numine, Sisaras Iabis Chananæorum dictator eos aggressus, grauiter afflixit, & tributarios effecit, in quo statu annos uiginti permanserunt. Tum Debora fatidica mulier (apē Latinis sonat) exorato Deo, Baracum uirū ex Nephthalia tribu, illius iussu imperatorem creat. Fulgur Hebræis id nomen significat. hortatur, ut X millibus uirorū, quemadmodum Deus iusserit, assumptis, hostes inuadat: ipsa, petēte illo, unà proficiscitur, imperij particeps. Prælio cum decem illis millibus aduersus Sisaram commisso, magnus imber delabitur, & grando erūpit, quæ à uento in hostium faciem acta, aspectū illis eripiunt: itaq; in fugam inclinant, in qua Sisaras etiam ad mulierē quandam Iaelem nomine confugit, ut ab ea occultaretur. Illa excipit hominem, & lac bibendum præbet: quo epoto Iael sopitum aggressa, caput eius clauis humi affigit, & Baraco mortuū hostem ostendit. qui armis cōtra Iabim Cananæorum regem conuersis, & ipsum occidit, & urbem solo æquat. Moritur, cum annos XXX imperasset: Debora etiam circa idem tempus defuncta. Post, Madianitæ cū Arabibus & Amalechitis Israelitas prælio fundunt, fugantq́; quorum incursionibus per septem annos fatigati, ac ad egestatem & famem redacti, diuinam opem implorant. Erat tum quidam tribus Manasseæ uir Gedeon, qui manipulos spicarum in torculari secans, quendam adolescētis habitu sibi assistentē uidet, à quo cum, ut Deo charus & beatus prædicaretur, ille irridens: Hoc scilicet, inquit, signum est beatitatis meæ, quòd torculari pro area utor. Adolescens cum bono animo esse iubet, ac properè uindicandæ popularium libertatis curam suscipere. Gedeon eum qui apparuerat, orat ne discederet, ac ingressus uictimam affert. eam angelus iuxta rupē poni iubet: quam cū baculo tetigisset, ignis ultrò exortus, uictimam combussit. Deinde petit à Deo Gedeō, ut ros in uellus descēdat, & descendit. Rursus petit, ut rore tellus madescat, uellus siccum maneat: itaq; factū est. Paret itaq; Gedeō, & decem millia uirorū cōtra hostes armat, eosq; iussu Dei sub meridiē ad flumen ducit: & qui lambendo, ac festinanter circumagendo se, biberant (hi trecenti erant) eos, relictis cæteris, contra hostem ducit. Noctu, uno milite secum assumpto, castra hostium ingressus, audit quendam suo contubernali narrantem, se uidisse in somnis panem hordeaceum, qui per castra uolutaretur, & regis atque exercitus tabernacula deijceret. Alter somniū id, exercitus interitum portendere conijcit: Gedeonē cum suis ob paucitatem & imbecillitatem pani hordeaceo comparans. His Gedeon auditis, animū recipit. & in castra reuersus, suos in armis esse, exercituq́;

Megar 3. iudex.

Sisaras Iabis dictator

Debora.

Baracum.

Iael.

Gedeonis uocatio, prodigia, delectus, stratagema, somnium et interitus Madianitarum.

in

in III centurias diuiso, amphoram uacuam singulos cum face ardente & arietino cornu ferre iubet. Circa uigiliā noctis quartam educit eos contra hostes: quib. cum appropinquassent, & cornibus cecinerūt, & amphoras confregerūt, & clamore sublato cum facibus irruerunt. Hęc horrorem hostibus incussere: & dum alij ab hoste cæduntur, alij, & quidem longe plures, quippe noctu, à suis trucidātur, ferè omnes sunt deleti, cum duobus regib. Orebo & Zebo. Reliquiæ ducum atque exercitus fugientes, à Gedeonijs comprehensi, omnes ceciderūt. Tenuit imperium Gedeon annos quadraginta, & senex obijt, filijs legitimis è pluribus uxoribus septuaginta relictis, & uno è concubina Abimelecho: qui fratribus omnibus, uno Ioathane fuga elapso, trucidatis, tyrannidem occupauit.

Abimelechus tyrannus & fratricida.

Sicimitæ mota seditione, Abimelechum urbe pellunt. Is unius eius opera adiutus, urbem dolo captam, omnibus puberibus occisis, solo æquat. Aliā item urbem Thebas, primo impetu capit. Multitudo urbana in unam turrem, in urbe media sitam, ægre cōfugit. cuius portis Abimelechum imminentem, mulier cula molæ fragmine in caput deiecto, occidit. Hebræorū principatus Iairo ex Manassea tribu post hunc creditur, quo ille annos XXII & uiginti functus obit.

Iairus 6. iudex.

Tum Ammanitæ cum Palæstinis regionē diripiunt. Cum autem Ammanitæ Galaditicā uastarent, incolæ Iephthā ducem eligunt: qui cum hostibus congressurus, uouet, si uictoria potiretur, quicquid redeunti sibi primū m occurrisset, id se immolaturum esse. Commisso prælio uincit. Reuertenti unica filiola occurrit, uirgo adhuc. Suspirat ille: sed ne fidem falleret, immolat puellam, & eremat. Cum autem Ephraimitę illi irascerentur, quòd ad Ammanitici belli societatem nō accersiti essent, neq; ullam eius excusationem acciperent: pugna inita multos eorum cædit, & sex annos principatu administrato moritur.

Iephtha 7. iudex.

Ei succedit Amesas ex tribu Iudaica, qui VII annis administrato imperio decedit.

Amesas.

Post illum Labdon ex tribu Ephraimitica dux creatus, moritur senex, octauo magistratus anno.

Labdon.

Deinde Palæstini subactos Israelitas per annos quadraginta tributarios habuerūt. quo tempore natus Sampson (Robur hoc nomen significat) illos infestauit, cuius quidem ortus huiusmodi extitit. Manoes Danitæ tribus uir mulierem sterilem in matrimonio cum haberet, utrerque sobolem orat Deum. Semel mulieri solitario dolescens magnus & pulcher apparet, partum filij nuncians: eiq; mandat, ne uinum aut quicquam quod inebriaret, biberet, néue comā tonderet pueri. eum enim Nazaræum, hoc est, sanctum fore Domino, & Israelem per eum è potestate alienigenarum eripiendum esse. Mulier domum reuerso marito hæc nunciat. Tum ille, ut idem sibi quoq; appareret, orat Deū. Angelus absente Manoe denuò redit ad mulierē.

Sampsonis natiuitas, coniugium, res gestae, interitus.

Angelus.

ὡς τριακοσίους εἰς τρεῖς τὴν στρατιὰν διελὼν, ἀμφορέα κενὸν κομίζειν ἕκαστον καὶ λαμπάδα ἐμβαλεῖν καὶ κριοῦ κέρας ἐκέλευσε. κατὰ τετάρτην τε φυλακὴν τῆς νυκτὸς, ἐξῆγεν αὐτοὺς κατὰ τῶν ἐναντίων. καὶ ἤδη πλησίον ὄντες αὐτῶν, ἐσάλπισαν μὲν τοῖς κέρασι, τοὺς δὲ ἀμφορέας κατέαξαν, καὶ μετὰ τῶν λαμπάδων ὥρμησαν ἀλαλάξαντες. ταῦτα δὲ τοῖς πολεμίοις ἐποίησε φόβον. καὶ οἱ μὲν ὑπὸ τῶν ἐναντίων ἀνῃροῦντο, οἱ δέ γε πλείους ὑπ᾽ ἀλλήλων, ὡς νυκτὸς, διεφθάρησαν. καὶ σχεδὸν ἅπαντες ἥλωσαν, καὶ δύο τῶν βασιλέων αὐτῶν Ὠρὴβ τε καὶ Ζήβ. οἱ δὲ περιλειφθέντες τῶν ἡγεμόνων καὶ τοῦ στρατεύματος φεύγοντες, καταλαμβάνονται παρὰ Γεδεὼν καὶ τῶν μετ᾽ αὐτοῦ, καὶ πεπτώκασιν ἅπαντες. ἔσχε δὲ τὴν ἀρχὴν Γεδεὼν ἐν τεσσαράκοντα ἔτεσι, καὶ ἐτελεύτησε γηραιὸς, καταλιπὼν ἐκ διαφόρων γυναικῶν γνησίους υἱοὺς ἑβδομήκοντα, ἕνα δὲ ἐκ παλλακῆς Ἀβιμέλεχ καλούμενον. ὃς τοὺς ἀδελφοὺς κτείνας ἅπαντας, αὐτοῦ ἑνὸς Ἰωαθάνου φυγόντος, ἐτυράννησεν. ὁ δὲ λαὸς ἐπαναστάντες κατὰ τοῦ Ἀβιμέλεχ, ἐξελαύνουσιν αὐτὸν τῆς πόλεως τῶν Σικίμων. ὁ δὲ, συνεργούμενος ὑφ᾽ ἑνὸς τῶν Σικιμιτῶν, δόλῳ τὴν πόλιν αἱρεῖ, καὶ τοὺς Σικιμίτας ἡβηδὸν ἀναιρεῖ, τὴν πόλιν δὲ κατέσκαψεν. ἐλαύνει δ᾽ ἐπὶ Θήβας ἑτέραν πόλιν, καὶ εἷλεν αὐτὴν ἐξ ἐπιδρομῆς. τὸ δὲ πλῆθος εἰς ἕνα πύργον μόγις συνέδραμεν, ὄντα ἐν μέσῳ τῆς πόλεως. πλησιάζοντα δὲ ταῖς πύλαις τούτου τὸν Ἀβιμέλεχ, θραύσματι μύλου γύναιον ἄνωθεν κατὰ τῆς κεφαλῆς ἔβαλε καὶ ἀπέκτεινε. τὴν δὲ τῶν Ἑβραίων ἡγεμονίαν Ἰαεὶρ ἐμπεπίστευτο, ἐκ τῆς Μανασσῆ τυγχάνων φυλῆς. δύο δὲ καὶ εἴκοσι ἔτη ἐν αὐτοῖς ἰθύνας τὴν ἀρχὴν, ἐτελεύτησεν. Ἀμμανῖται δὲ σὺν Παλαιστινοῖς εἰσέπεσον τὴν χώραν διαρπάζοντες. λῃζομένων δὲ τὴν Γαλααδίτιν τῶν Ἀμμανιτῶν, ἡγεμόνα τὸν Ἰεφθάε οἱ ἐπιχώριοι εἵλοντο. ὃς συμμίξαι μέλλων τοῖς πολεμίοις, εὐχὴν ἐποιήσατο, εἰ νικήσειεν, πᾶν ὃ πρῶτον αὐτῷ συναντήσει ἐπανιόντι, τοῦτο ἱερουργήσειν. καὶ συμβαλὼν νικᾷ. ἀναστρέφοντι δ᾽ ὑπήντησεν αὐτῷ τὸ θυγάτριον μονογενὲς ὂν αὐτῷ, καὶ ἐπὶ τῇ θ[illegible]μενον. ὁ δ᾽ ᾤμωξεν. ἵνα δὲ μὴ ψεύσηται τὴν ὑπόσχεσιν, ἔθυσε τὴν παῖδα, καὶ ὁλοκαύτωσε. τῶν δὲ τῆς Ἐφραῒμ φυλῆς ὀργιζομένων αὐτῷ, ὅτι μὴ συμπαρέλαβεν αὐτοὺς εἰς τὸν κατὰ τῶν Ἀμμανιτῶν πόλεμον, ἐπεὶ μὴ ἔπειθεν αὐτοὺς παραιτούμενος, πολλοὺς ἀνεῖλε μαχεσαμένους αὐτῷ. ἓξ δὲ τὴν ἡγεμονίαν ἀνύσας ἐνιαυτοὺς, κατέλυσε τὴν ζωήν. παραλαμβάνει δὲ τὴν ἀρχὴν Ἀμεσὰ, ἐκ τῆς Ἰούδα τυγχάνων φυλῆς, καὶ ἐπὶ χρόνον ἑπτὰ ἔτη κρίνας τὸν Ἰσραὴλ τετελεύτηκε. καὶ μετ᾽ ἐκεῖνον Λαβδὼν τῆς Ἐφραῒμ ἐπιλαβὼν φυλῆς, ἡγεμὼν ἀπεδείχθη. καὶ τέθνηκε γηραιὸς, ἄρξας ἔτη ὀκτώ. εἶτα Παλαιστινοὶ ἐκράτησαν τῶν Ἰσραηλιτῶν, καὶ ὑποφόρους ἔσχον αὐτοὺς, ἐπ᾽ ἐνιαυτοὺς τεσσαράκοντα. τότε δὲ γεννηθεὶς ὁ Σαμψὼν (ἰσχυρὸς δὲ ἡ κλῆσις σημαντική) τοῖς Παλαιστινοῖς ἐπετίθετο. ἡ δ᾽ εἰς τὸν βίον αὐτοῦ πρόοδος, τοιαύτη ἐγένετο. Μανωὲ τῆς φυλῆς ὑπάρχων τοῦ Δὰν, συνῴκει γυναικὶ στειρευούσῃ, καὶ ᾔτει τὸν θεὸν παῖδα δοθῆναι αὐτοῖς. ὤφθη γοῦν ποτε μόνῃ οὔσῃ τῇ γυναικὶ, νεανίας μέγας τε καὶ καλὸς, τόκον παιδὸς αὐτῇ εὐαγγελιζόμενος, καὶ μὴ πιεῖν οἶνον ἢ μέθυσμα αὐτῇ ἐντέλλεται, μὴ δὲ τὴν κόμην ἀποξύσαι τοῦ παιδός. ναζωραῖον δὲ ἔλεγε γὰρ ἔσεσθαι τῷ κυρίῳ τὸν παῖδα, ἅγιον δηλαδὴ, καὶ τὸν Ἰσραὴλ σωθήσεσθαι δι᾽ αὐτοῦ ἐκ τῆς τῶν ἀλλοφύλων χειρός. ἡ δὲ, τῷ ἀνδρὶ κατήγγειλε ταῦτα. καὶ ὃς ὀφθῆναι καὶ αὐτῷ τὸν φανέντα τῇ γυναικὶ, ἐδεῖτο τοῦ θεοῦ. αὖθις οὖν ἧκε πρὸς τὴν γυναῖκα ὁ ἄγγελος. ἀπῆν δὲ αὐτῆς ὁ Μανωέ.

ὅτι τὴν [illegible] νίκη γεδεών.

ὅτι γηραιὸς ὁ γεδεὼν τελευτήσας [illegible] υἱοὺς ἐκ διαφόρων γυναικῶν ἑβδομήκοντα, καὶ ἐκ παλλακῆς [illegible].

ὅτι γύναιον ἄνωθεν λαβὸν ἀπέκτεινε τὸν ἀβιμέλεχ.

ὅτι ἰεφθάε ὑπέσχετο θύσειν τὸ πρῶτον συναντῆσαν, εἰ νικήσειε· καὶ ἔθυσε τὴν θυγατέρα.

ὅτι σαμψὼν ἰσχυρὸς σημαίνει.

ὅπως ἐγεννήθη σαμψών.

ὅτι ναζιραῖος ὁ ἡγιασμένος θεῷ.

καὶ ἡ

καὶ ἡ γυνὴ προσμεῖναι αὐτὸν ἠξίωσε τὴν τοῦ ἀνδρὸς παρουσίαν. ἐλθὼν δὲ Μανωὴ ἐρωτᾷ τὸν ἄγγελον, τί ἂν τοῦ παιδὸς γεννηθέντος ποιήσειαν· ὁ δ' οἶνον ἔφη οὐ πίεται, οὐδὲ μέθυσμα, καὶ ἀκάθαρτον οὐ φάγεται, καὶ τὴν κόμην οὐ ξυρηθήσεται. καὶ ὁ Μανωὴ τὸ ὄνομα τοῦ ὁμιλοῦντος αὐτῷ ἐζήτει μαθεῖν. ὁ δὲ θαυμαστὸν εἶναι τοῦτο εἰπὼν, ἀπεσιώπησεν αὐτό. ὁ Μανωὴ δὲ ἔριφον φέρει καὶ ἔθυσε, καὶ ἄρτους προσήνεγκεν. ὁ δὲ θεῖναι τὰ κρέα καὶ τοὺς ἄρτους ἐπὶ τὴν πέτραν προσέταξεν. τεθέντων δὲ, τῇ ῥάβδῳ αὐτοῦ ἥψατο τούτων. καὶ πῦρ ἐξαφθὲν ἐκεῖθεν, κατέκαυσεν αὐτά, καὶ εἰς τὸν οὐρανὸν διὰ τῆς φλογὸς ἀνῄει ὁ ἄγγελος, ὁρώντων τοῦ Μανωὴ καὶ τῆς αὐτοῦ γυναικός. τίκτεται οὖν αὐτοῖς μετὰ ταῦτα ὁ παῖς, καὶ Σαμψὼν ὀνομάζεται. ἡδρύνετό τε καὶ πνεῦμα κυρίου συνεπορεύετο αὐτῷ. ἰδὼν δ' ἐν Θαμνᾷ πόλει τῶν Παλαιστινῶν κόρην τῶν ἀλλοφύλων, ἐρᾷ τῆς παιδός. παραιτουμένων δὲ τῶν γονέων αὐτοῦ τὸν γάμον τῆς ἀλλοφύλου, ἐκνικᾷ γῆμαι αὐτήν. συχνάζων δὲ πρὸς τοὺς τῆς κόρης γονεῖς, συναντᾷ λέοντι. καὶ μή τι φέρων εἰς ἄμυναν, ταῖς χερσὶ τὸ θηρίον συνέτριψε. καὶ ἐκκλίνας τῆς ὁδοῦ, ἔρριψε πρὸς τὸ ὑλῶδες αὐτό. καὶ μεθ' ἡμέρας αὖθις πρὸς τὴν μνηστὴν πορευόμενος, σμῆνος μελισσῶν ἐν τῷ στόματι συνηγμένον τοῦ λέοντος εὕρηκε. καὶ λαβὼν ἐκεῖθεν μέλιτος κηρίον ἔφαγε, καὶ τῷ πατρὶ καὶ τῇ μητρὶ ἀπεκόμισεν. ἀπελθὼν δ' εἰς τοὺς ἀλλοφύλους, πρόβλημα τοῖς αὐτῷ συνεστιωμένοις ἐν τοῖς γάμοις τριάκοντα νεανίσκοις προτίθησι. καὶ εἰ εὕροιεν ἐφ' ἡμέρας ἑπτὰ τὴν λύσιν, δώσειν συνέθετο σινδόνα καὶ στολὴν ἑκάστῳ αὐτῶν. εἰ δὲ μὴ λῦσαι δυνηθεῖεν τὸ πρόβλημα, αὐτῷ δοῦναι παρ' ἑκάστου στολὴν καὶ ὀθόνην ἐπέτρεψε. συνθεμένων δὲ καὶ τῶν νεανίσκων, προβάλλεται τὸ αἴνιγμα, εἰπών, ἐξ ἐσθίοντος ἐξῆλθε βρῶσις, καὶ ἐξ ἰσχυροῦ γλυκύ. οἱ δὲ, μὴ δυνάμενοι νοῆσαι τὸ πρόβλημα, τὴν κόρην ἱκέτευσαν μαθεῖν παρὰ τοῦ ἀνδρός, καὶ ἀπαγγεῖλαι αὐτοῖς. ὁ Σαμψὼν δὲ παρακαλοῦσαν αὐτὸν τὴν κόρην εἰπεῖν αὐτῇ τὸ τοῦ προβλήματος νόημα, τὸ μὲν πρῶτον ἀντεῖχε. δακρυούσης δ' ἐκείνης, ἐξεῖπε τὸ πᾶν. ἡ δὲ τοῖς νεανίσκοις ἀπήγγειλε. καὶ κατὰ ἑβδόμην ἡμέραν ἀποκρίνονται τῷ Σαμψών· τί γλυκύτερον μέλιτος, ἢ τί λέοντος ἰσχυρότερον; ὀργισθεὶς οὖν ὁ Σαμψών, καὶ τοῖς μὲν νεανίσκοις δέδωκεν ἃ ὑπέσχετο, τοῦ δὲ γάμου ἀπέστη. καὶ ἐκδίδωσιν ἑτέρῳ τὸ γύναιον ὁ πατήρ. παροξυνθεὶς δὲ ὁ Σαμψὼν διὰ τοῦτο, καὶ συλλαβὼν τριακοσίας ἀλώπεκας, λαμπάδας ἡμμένας ταῖς οὐραῖς ἐκείνων προσέδησε, καὶ ταῖς τῶν Παλαιστινῶν ἐπαφῆκεν ἀρούραις, θέρους ἐνεστηκότος. καὶ οὕτω τὰ σφῶν κατέκαυσε λήια, καὶ τὰς ἀμπέλους. Παλαιστινοὶ δ' αἰτίαν τούτων τὴν γενομένην αὐτοῦ γυναῖκα καὶ τοὺς αὐτῇ προσήκοντας ἐνέπρησαν καὶ κατέκαυσαν. Σαμψὼν δὲ πολλοὺς ἀποκτείνας τῶν ἀλλοφύλων, ἐν πέτρᾳ ἐκάθισεν. οἱ δὲ κατὰ τῶν Ἰσραηλιτῶν ἐξεστράτευσαν, λέγοντες εἰ βούλεσθε ἀναίτιοι εἶναι, δότε ἡμῖν τὸν Σαμψὼν ὑποχείριον. καὶ ἀνῆλθον ἐπὶ τὴν πέτραν ὁπλῖται τρισχίλιοι. καταβὰς δὲ ὁ Σαμψὼν, ἑκὼν τοῖς φυλέταις παρέδωκεν ἑαυτόν. κἀκεῖνοι δεδεμένον παρέδωκαν τοῖς Παλαιστινοῖς. ὁ δὲ διαρρήξας τὰ δεσμά, καὶ ὄνου σιαγόνα ἐκεῖ που ἐρριμμένην ἁρπάσας, χιλίους τῶν ἀλλοφύλων ἀπέκτεινεν ἐν αὐτῇ. τοὺς δ' ἄλλους ἐτρέψατο, ὅθεν Σιαγὼν ἐξ ἐκείνου ὁ τόπος ἐκλήθη. ἐπεὶ δ' ἐδίψησεν ὡς ἐκλείπειν ἐκ τοῦ δίψους, καὶ ἔκλαυσε δεόμενος τοῦ θεοῦ. ὁ δὲ θεὸς πηγὴν ὕδατος ἀνῆκεν ἐκ τοῦ ῥήγματος, ὃ τὴν σιαγόνα ῥίψας κατὰ γῆς πεποίηκεν ὁ Σαμψών. καὶ ἀπῆλθεν εἰς Γάζαν. φρουροῦσι δὲ αὐτὸν οἱ Γαζαῖοι. καὶ ἵνα μὴ λάθῃ αὐτοὺς ἐξιών, τὰς πύλας τῆς πόλεως ἔκλεισαν. ὁ δὲ περὶ μέσας νύκτας ἀναστάς, τάς τε πύλας καὶ τὰς φλιὰς αὐτῶν καὶ τὰς παραστάδας ἐπωμισάμενος, εἰς τὴν τοῦ ὄρους ἀνήνεγκε κορυφήν, κἀκεῖσε

[Greek marginal notes:] ὅτι ὁ πατὴρ Σαμψὼν Μανωὴ ἰδεῖν μαθεῖν τὸ τοῦ προσομιλοῦντος ἀγγέλου τὸ ὄνομα. ὁ δὲ θαυμαστὸν ἔφη εἶναι, καὶ ἀπεσιώπησεν. — ὅτι θεῖον πῦρ κατανάλωσε τὴν θυσίαν Μανωή. — ὅπως ἠράσθη ὁ Σαμψὼν γυναικὸς ἀλλοφύλου, καὶ ὅπως ἀνεῖλε τὸν λέοντα, καὶ δορίσας ... σμῆνος μελισσῶν ... τὸ πρόβλημα ... καὶ ὅπως ... τῇ γυναικὶ ... — ὅτι διὰ τὸ τὴν γυναῖκα ἑτέρῳ συζευχθῆναι, ὠργίσθη ὁ Σαμψών, καὶ λαβὼν ἀλώπεκας τριακοσίας, λαμπάδας ἐμβαλὼν ταῖς οὐραῖς αὐτῶν προσέδησε, καὶ ... τὰ τῶν Παλαιστινῶν κατέκαυσε λήια. οἱ δὲ κατέκαυσαν τὴν γυναῖκα. — ὅτι ἐκδοθεὶς ὑπὸ τῶν ὁμοφύλων τοῖς ἀλλοφύλοις ... ὁ Σαμψὼν, ὁ δὲ διὰ σιαγόνος ὄνου ἀνεῖλε χιλίους. ὅθεν καὶ σιαγὼν ὁ τόπος ἐκλήθη. — ὅτι ἀπὸ τῆς σιαγόνος ἔπιεν ὁ Σαμψών. — ὅτι τὰς πύλας σὺν ταῖς παραστάσιν ἐπωμίσατο Σαμψών.

illa orat, ut mariti aduentū expectet. Reuersus Manoes, rogat, nato puero quid faciendū esset? At ille: Vinū, inquit, nō bibet, neq; aliud quicq̃ quod inebriet, neq; ulla re immūda uescetur, neque comā radet. Tum Manoes nomen eius qui cum colloquebatur, sciscitans, nō aliud responsum accipit, nisi id esse admirabile: & hœdū immolat, ac panes affert. Ille carnes & panes in petra collocari iubet. quo facto, baculo quē gerebat, ferit: Ignis inde ortus illa consumit. in eaq; flāma, uidēte Manoe & uxore, angelus in cœlū ascendit. Post hęc nascitur Sāpson, grādescit, ac spiritus Domini fertur super eo. Cum aūt Thamnæ (Palæstinorū id oppidū est) puellā uidisset, amore captus, etsi parentib. alienigenæ coniugiū recusantib. tamen improbitate orandi impetrat. Dū aūt puellæ parentes frequēter adit, in leonem incidit: & quia nō alia ad defensionē arma suppetebant, manib. belluā conficit, & à uia deflectens, in saltū abijcit. Post dies aliquot iterum ad sponsam proficiscens, examē apū in ore leonis reperit, & ipse de fauo comedit, & patri ac matri affert. Reuersus ad alienigenas, XXX adolescentibus inter nuptiales epulas quæstionē proponit, cuius solutionē intra dies VII si inuenissent, cuiq; sindonē & stolam daturū pollicetur. sin minus, tantundē à singulis illorum stipulatur. Assensis adolescētibus, quęstionē proponit, hoc modo: De comedente exijt cibus, & de forti dulcedo. Illi quæstionē non intelligentes, puellā orant, ut eam ex marito cognitā sibi renūciaret. Orat illa, Sampson refragatur initiò: tandem uictus spōsæ lachrymis, rem aperit. illa prodit adolescentib. qui die VII Samsoni dicūt: Quid est melle dulcius? quid leone fortius? Sampson igitur iratus, adolescētibus quidē dat quę promiserat, sed nuptā abdicat. quam à patre alteri desponsam ægrè ferēs, trecentas uulpes capit, eas facibus ardentib. caudis illarū alligatis, in Palæstinorū arua immittit, segetem iam ferè adultam & uineas incendit. pro quo facto Palęstini uxorē dudum eius, cum cognatis in ignem coniectam, concremarūt. Sampson uerò multis alienigenarū interfectis, in rupe cōsedit. Illi expeditione suscepta, Israelitis edicunt, si insontes haberi uelint, ut Sampsonē dedāt. Accessere ad rupem armati ter mille. Sampson descendit, ultrò se popularib. offert, qui eum Palæstinis uinctū tradūt. At ille abruptis uinculis, & asini maxilla temerè illic iacente arrepta, mille alienigenas ea perimit, reliquos fugat. Vnde locus ille Maxilla dicitur. Cum autem pręsiti deficiens, Deum cum ploratu obtestaretur, aqua è fissura terræ, quam proiecta maxilla fecerat, scaturijt. Potu refectus Gazam adit, ubi cum Gazæi portis clausis cauere uellent, ne elaberetur, ille sub mediam noctē surgit, portam, limina & postes in humeris sublata, & in mōtis perlata uerticem

[Latin marginal notes:] Victima. — Sampsonis coniugium. — Leo & fauus. — Quæstio Sampsonis. — CCC uulpes in Palæstinorū segetem immissæ. — Asini maxilla pro gladio, & fonte. — Gazæ porta.

κατὰ

Dalida Sampsonem tondet & prodit.

deponit. Post hæc Samson Palæstinam meretriculam deperit, nomine Dalidã. cum ea proceres alienigenarũ agunt, multa polliciti, si tantarum uirium causam è Sampsone cognitam sibi renũciasset. Illa multifariam aggressa uirum, ut id eliceret, à Sampsone aliud atque aliud dicente, cum rei periculum faceret, eluditur. Sed cum illa instaret, oraretque uehementius, arcanum tandem prodit: se Dei iussu comã alere, qui interdixerit, ne eam radat, in eaque repositum esse robur suum. Mulier dormienti comã radit, imbecillem hostibus tradit, illi oculos ei effodiũt. Ita ille prius formidabilis, ludibrio habetur. Progressu temporis coma illi renascitur, uiresque redeunt. Cum autem Palæstini potarẽt, eorumque proceres & magnates conuiuarentur in domo quæ colũnis fulciebatur: etiam Sampson à puero ad illudendum adducitur. Ad illam domum multitudo uirorum & mulierum circiter trium milliũ confluit, ut ludibria Sampsonis spectet. Qui cum dicterijs incesseretur, & alapis cæderetur, puerũ ducem iubet se ad columnas adducere, ut defessus, inquit, eis innitar & quiescam. Tum duabus columnis conuulsis, ædificiũ deiecit, cuius ruina & ipse & omnes qui in eo erant, sunt oppressi. Et hunc exitum ille habuit, cũ Israelitico populo per annos XX ius dixisset.

Sãpson cæcatus, diu ludibrio habetur, unà cum inimicis perit.

Elius pontifex.

Post Sãpsonẽ nõ amplius iudices populo præfuerũt, sed Elius põtifex: sub quo fame ingrauescẽte, uir quidã Bethleemiticus, Abimelechus nomine, cũ uxore & duob. filijs in Moabitidẽ trãsmigrat. Ibi filijs Moabiticas uxores despõdet, & intra X annos unà cũ filijs moritur, relicta uidua uxore Noemide, duabusque nurib. Orpha & Rutha. Noemis patriã repetit. ac Orpha nuruum altera monitu socrus apud Moabitas manet, Rutha cũ Noemide proficiscitur. Bethleemæ Boozus Abimelechi cognatus eas hospitio excipit. Ibi mulier à ciuib. suo cõpellata nomine: Ne me, inquit, Noemin, sed Marã appellatæ (significat aũt Noemis felicitatẽ, Mara dolorẽ & acerbitatem) nam cũ plena discesserim, uacua sum reuersa. Tẽpore messis Rutha de socrus sententia ad spicilegiũ in Boozi agrũ egreditur. Ille agnita puella, permittit, ut quod posset, meteret, & auferret, ac prandiũ ei præberi iubet a uillico. Illa de cibo etiam quẽ acceperat, aliquid socrui cõseruat, & uesperi hordeũ quod collegerat, domũ ferens, ut à Boozo tractata esset, refert, ac cũ Boozi ancillis denuò egredit. Ibi Noemis consiliũ despondendæ Boozo Ruthæ capit, ac nurũ ablegat, monitã, ut ad pedes Boozi in area dormientis procumbens, somnum caperet. obtemperat illa. Quod Boozus cum sub mediam noctem sensisset, quæ esset rogat. re cognita, tum quidem quiescit: manè autem excitatam Rutham ad socrum ire iubet. Ipse, inquit, interrogabo eum, qui est tibi sanguine propior. qui si te ducere uoluerit, ad illũ te conferes. sin recusarit, legitima mihi cõiunx eris. Abit mulier, Noemidi exponit omnia.

Abimelechus.

Noemis.

Rutha.

Boozus.

Rutha Boozo nubit.

Boo-

κατέθετο. ἐρασθεὶς δ' ἑταίρας παλαιστινῆς Δαλιδᾶς καλουμένης, συνῆν αὐτῇ. ᾧ οἱ προέχοντες τῶν ἀλλοφύλων, πολλὰ τῇ γυναικὶ ἐπηγγείλαντο, εἰ μάθοι παρὰ τοῦ Σαμψὼν, τί τὸ αἴτιον αὐτῷ τῆς δυνάμεως, καὶ ἀπαγγείλοι αὐτοῖς. ἡ δὲ ποικίλως μετῄει τὸν ἄνδρα, ζητοῦσα γνῶναι, ὅθεν αὐτῷ ἡ τοσαύτη ἰσχύς. ἐκεῖνος δὲ ἄλλοτε ἄλλας πλαττόμενος αἰτίας τῇ γυναικὶ ἔλεγε. καὶ ἡ γυνὴ παρερχομένη τὸν λόγον, ἀπέτας αὐτοῦ ἐξελέγχειν. ἐγκειμένης δὲ καὶ δεομένης θερμότερον, τὸ κρύφιον αὐτῇ ἀνεκάλυψε· κατ' ἐντολὴν εἰπὼν τοῦ θεοῦ τὴν κόμην τρέφειν, ἐντεταλμένος μὴ κείρειν αὐτήν· καὶ ἐν ταύτῃ περιεῖναι αὐτῷ τὴν ἰσχύν. κείρει τὴν κόμην κοιμωμένου αὐτοῦ ἡ γυνὴ, καὶ παραδίδωσι τοῖς ἐναντίοις αὐτὸν ἀσθενῆ. ἐκκόπτουσιν ἐκεῖνοι τὰ ὄμματα τοῦ ἀνδρὸς, καὶ ὁ πρὶν φοβερὸς, εἰς παίγνιον κατέστη αὐτοῖς. προϊόντος δὲ τοῦ καιροῦ, ηὔξετο αὖθις ἡ κόμη αὐτῷ, καὶ ἡ ἰσχὺς ἐπανήρχετο. πότον δὲ τοῖς παλαιστινοῖς ὄντος, καὶ τῶν ἀρχόντων καὶ μεγιστάνων εὐωχουμένων ὁμοῦ ἐν οἴκῳ κίοσιν ἀνεχομένῳ, ἤχθη καὶ ὁ Σαμψὼν παιχθησόμενος, καὶ παιδάριον ἐχειραγώγει αὐτόν. συνήχθη δὲ παρὰ τὸν οἶκον πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν ὡσεὶ τρισχιλίων, ἵν' ὁρῷεν τὸν Σαμψὼν παροινούμενον. ὁ δὲ παιζόμενός τε καὶ ῥαπιζόμενος, λέγει τῷ χειραγωγοῦντι αὐτόν· ἀπάγαγέ με πρὸς τοὺς κίονας, ὡς ἂν αὐτοῖς ἐπερεισθῶ, δεόμενος ἀναπαύσασθαι. δραξάμενος δὲ τῶν δύο κιόνων, ἐπικατέσεισεν ἑαυτῷ τὸν οἶκον, καὶ αὐτός τε καὶ οἱ ἐν τῷ οἴκῳ πάντες ἀπώλοντο. καὶ τῷ μὲν οὕτω τέλος ἐγένετο, ἐπ' ἔτη εἴκοσι κρίναντι τὸν τῶν ἑβραίων λαόν. οὐκέτι δὲ κριταὶ ἦγον τὸν ἰσραὴλ, ἀλλ' ὁ ἀρχιερεὺς ἠλεὶ προέστη αὐτῶν, ἐφ' οὗ λιμὸς γέγονε. καί τις ἀνὴρ ἐκ Βηθλεὲμ ἀβιμέλιχ καλούμενος, σὺν τῇ γυναικὶ, καὶ δύο υἱοῖς διὰ τὸν λιμὸν εἰς τὴν μωαβῖτιν μετανάστη. ἄγεται οὖν τοῖς υἱοῖς γαμετὰς μωαβίτιδας. ἐν δέκα μέντοι ἐνιαυτοῖς, ὅ, τε ἀβιμέλεχ καὶ οἱ παῖδες αὐτοῦ τεθνήκασι. καὶ κατελείφθησαν χῆραι ἥ, τε νοεμὶν ἡ συνοικοῦσα τῷ ἀβιμέλιχ, καὶ αἱ γυναῖκες ἄμφω τῶν παίδων αὐτοῦ, ὀρφά τε καὶ ῥούθ. ἡ νοεμὶν δὲ εἰς τὴν πατρίδα ὑπέστρεψε. τῶν δέ γε νυμφῶν αὐτῆς ἡ μὲν ὀρφὰ παρακληθεῖσα τῆς πενθερᾶς, ἔμεινε παρὰ μωαβίταις. ἡ δὲ ῥοὺθ σὺν τῇ νοεμὶν ἀπελήλυθε· καὶ αὐτὰς παραγενομένας εἰς Βηθλεὲμ, ξενίζει Βοὸζ, ἀβιμέλιχ ὢν συγγενής· προσαγορευομένη δὲ παρὰ τῶν πολιτῶν ἐξ ὀνόματος ἡ γυνὴ, μή με νοεμὶν (ἔλεγεν) ἀλλὰ μαρὰν καλεῖτε. νοεμὶν μὲν, εὐτυχίαν δηλοῖ· μάρα δὲ, ὀδύνην καὶ πικρασμόν. πλήρης γὰρ πορευθεῖσα, κενὴ ὑπέστρεψα. ἀμήτου δὲ ὄντος, ἐξῄει κατὰ γνώμην τῆς πενθερᾶς καλαμησομένη ἡ ῥούθ, εἰς τὸν ἀγρὸν τοῦ Βοόζ. ὁ δὲ τὴν κόρην ἰδὼν, καὶ μαθὼν τίς εἴη, θερίζειν ὃ δύναιτο καὶ ἔχειν ἐπιτρέψας, ἄριστόν τε παρέχειν αὐτῇ τῷ ἀγρονόμῳ ἐπέταξεν. ἡ δὲ καὶ ἄλφιτά τι παρ' αὐτοῦ λαβοῦσα, τῇ πενθερᾷ συνετήρησε. καὶ ἀπῆλθεν ὀψὲ κομίζουσα καὶ τὰς κριθὰς, ἃς συνέλεξε. καὶ τὰ παρὰ τοῦ Βοὸζ αὐτῇ διηγήσατο. καὶ αὖθις ἀπῄει σὺν ταῖς θεραπαινίσι Βοόζ. ἡ νοεμὶν δὲ συγκατακλίνειν αὐτῷ τὴν ῥοὺθ ἐβουλεύσατο. καὶ πέμπει τὴν νύμφην, ὑποθεμένη παρὰ τοῖς ποσὶ τοῦ ἀνδρὸς ὑπνώττοντος ἐν τῇ ἅλωνι, πεσοῦσαν ὑπνῶσαι. καὶ ἡ μὲν οὕτω πεποίηκεν. αἰσθόμενος δὲ ὁ Βοὸζ περὶ μέσην νύκτα, ἤρετο τίς εἴη; καὶ μαθὼν, τότε μὲν ἡσύχασεν· ἕωθεν δ' ἐξεγείρας τὴν ῥοὺθ, πορευθῆναι πρὸς τὴν πενθερὰν ἐνετείλατο. αὐτὸς δὲ τὸν ἐγγύτερον ἐμοῦ ἀγχιστεύοντα ἐξερωτήσομαι· καὶ εἰ μὲν ἐκεῖνος ἄγεσθαί σε βούλεται, ἀπελεύσῃ πρὸς τὸν ἄνδρα. παραιτουμένου δὲ, νομίμως συνοικήσεις ἐμοί. ἀπῆλθεν οὖν ἡ γυνὴ, καὶ δεδήλωκε πάντα τῇ νοεμίν.

ὅτι ἐξαπατᾷ σαμψὼν ἡ δαλιδά, καὶ μαθοῦσα τὴν αἰτίαν τῆς ἰσχύος, ἐκείρε τὴν κόμην καὶ αὐτὸν παρέδωκεν, ἐκκόπτουσιν αὐτοῦ τοὺς ὀφθαλμοὺς οἱ ἐχθροί.

ὅπως ηὔξησεν αὖθις ἡ ἰσχὺς σαμψὼν, καὶ σαλεύσας τοὺς κίονας, καὶ τὸν οἶκον κατέσεισε, καὶ πάντας ἀπώλεσεν σὺν ἑαυτῷ.

ὅτι μετὰ τὸν σαμψὼν, οὐκέτι κριταὶ ἦγον τὸν ἰσραὴλ, ἀλλ' ὁ ἀρχιερεὺς ἠλεί.

περὶ δὲ νοεμὶν, καὶ ὀρφᾶς, καὶ ῥούθ.

ὅτι ἡ νοεμὶν εὐτυχίαν δηλοῖ, μαρὰ δὲ ὀδύνην.

ὁ δέ γε

ὅπως ὁ βοὸζ τὴν ῥοὺθ ἀνακαλεσάμενος εἰς τὴν γερουσίαν, καὶ τὸν συγγενῆ [illegible] ἀγαγών. τοῦ δὲ παραιτουμένου, λαμβάνει αὐτήν, καὶ ὅτι κατὰ τὸν νόμον γίνεται τὰ συμβάντα [illegible]. ὅτι ὠβὴδ δουλεύων ἑρμηνεύεται.

ἐλθὼν γε Βοὸζ ἐπὶ τὴν γερουσίαν τήν τε ῥούθαν καὶ τὸν συγγενῆ συνεκάλεσε, καὶ εἶπεν αὐτῷ· ἀβιμέλεχ τοῦ συγγενοῦς ἡμῶν, καὶ τῶν παίδων αὐτοῦ κατέχεις κλήρους; συνθεμένου δὲ ἔχειν ἐκείνου, κατὰ τοὺς νόμους διὰ ἀγχιστείαν· οὐ τοίνυν ἐξ ἡμισείας ἔφη τῶν νόμων μεμνῆσθαι δεῖν, ἀλλὰ πάντα δὲ ποιεῖν κατ' αὐτοὺς λοιπόν, καὶ τὸ τοῦ μαλλῶν γύναιον ἐπὶ ἀβιμέλεχ γῆμαί σε χρὴ, ἵνα ἀναστήσῃς σπέρμα τῷ συγγενεῖ. ὁ δὲ παρητήσατο, καὶ τοῦ κλήρου καὶ τῆς γυναικὸς παραχωρήσας αὐτῷ. κατὰ γὰρ τὸν νόμον ἐνώπιον τῆς γερουσίας, ἡ ῥοὺθ ὑπελύσατο καὶ τὸ ὑπόδημα τοῦ ἀνδρὸς ἐκείνου, καὶ ἐνέπτυσεν αὐτοῦ εἰς τὸ πρόσωπον. καὶ οὕτως αὐτὴν ἠγάγετο ὁ Βοόζ, καὶ ἔτεκεν ἐξ αὐτῆς τὸν ὠβήδ. ἑλληνιστὶ δ' ἑρμηνεύεται, δουλεύων. ἐξ ὠβὴδ δὲ γίνεται ἰεσσαί, καὶ ἐκ τούτου δαβίδ, ὃς τῶν ἐξ ἰσραὴλ ἐβασίλευσε, καὶ τοῖς ἑαυτοῦ παισὶ κατέλιπε τὴν ἀρχήν, ἐπὶ εἴκοσι γενεὰς πρὸς μιᾷ διαρκέσασαν. ἠλεὶ δὲ τοῦ ἀρχιερέως, ὡς ἤδη εἴρηται, τὸν λαὸν ἄγοντος, οἱ δύο υἱοὶ αὐτοῦ ὀφνὶ καὶ φινεὲς, ὑπῆρχον λοιμοὶ, παρανομοῦντες ἐν ἅπασι, καὶ παραινοῦντος τοῦ πατρὸς αὐτοῖς μὴ ὑποφέρωσι. ὁ δὲ θεὸς ὀργισθεὶς διὰ τὰς ἐκείνων παρανομίας, διὰ τοῦ σαμουὴλ ἔτι παιδὸς ὄντος δεδήλωκε τῷ ἠλεί, ἅπερ αὐτός τε καὶ οἱ παῖδες καὶ ὁ οἶκος αὐτοῦ πείσονται.

περὶ σαμουήλ.

σαμουὴλ δὲ ἐλκανᾶ λευίτου ἀνδρὸς ἐτύγχανε παῖς, ᾧ συνῴκουν δύο γαμεταί, ὧν τῇ μὲν ἄννα, τῇ δὲ φενάννα ἦν τὰ ὀνόματα. καὶ τῇ μὲν παῖδες ἦσαν ἐξ ἐλκανᾶ, ἡ δὲ ἄννα ἀμοίρει γονῆς. ἀφικομένου δὲ τοῦ ἀνδρὸς μετὰ τῶν γυναικῶν ἀμφοῖν εἰς σιλὼμ, καὶ θύσαντος, ἐπεὶ καιρὸς ἦν εὐωχίας, καὶ τῇ φενάννῃ οἱ παῖδες αὐτῆς συνεκάθηντο, ὅτι ἡ ἄννα μεμόνωτο, ἑαυτὴν ἀπεκλαίετο, καὶ εἰς τὴν σκηνὴν τοῦ θεοῦ δραμοῦσα, ἐδέετο τοῦ κυρίου γονὴν αὐτῇ παρασχεῖν, ὑποσχομένη καθιερώσειν τῷ θεῷ τὸ πρωτότοκον. χρονιζούσης δ' ἐν ταῖς εὐχαῖς, πρὸ τῆς σκηνῆς ἠλεὶ καθεζόμενος, ὡς μεθύουσαν αὐτὴν ἐλογίζετό τε καὶ ἀπεπέμπετο. ἡ δὲ οὐκ οἶνον, ἔφη, πέπωκα, οὐδὲ μέθυσμα, κύριε· ἀλλὰ κατώδυνος οὖσα δι' ἀπαιδίαν, ἐκτέτηκα. καὶ ὁ ἱερεύς, πορεύου, ἔφη αὐτῇ, καὶ δῴη σοι τὸ αἴτημα ὁ θεός. ὑποστρέψασα δὲ σὺν τῷ ἀνδρὶ οἴκαδε, συλλαμβάνει, καὶ τίκτει τὸν σαμουήλ, θεαίτητον ἄν τις εἴποι. ἁδρυνθέντος δὲ τοῦ παιδός, προσάγει αὐτὸν τῷ ἠλεὶ κατὰ τὴν εὐχὴν αὐτῆς τῷ θεῷ ἀφοσιούμενον, κόμην τε τρέφοντα, καὶ ἐν τῷ ἱερῷ διαιτώμενον, καὶ ὕδατι κεχρημένον εἰς πόσιν. ἤδη δὲ δωδεκαέτης γενόμενος, προεφήτευσε. καί ποτε κοιμώμενον αὐτὸν, ἐξ ὀνόματος ἐκάλεσεν ὁ θεός. ὁ δὲ τῷ ἀρχιερεῖ προσελήλυθεν, ὡς ὑπ' ἐκείνου τάχα καλούμενος. καὶ τοῦτο τρισσάκις ἐγένετο. ἠλεὶ δὲ συνεὶς θεόθεν εἶναι τὴν κλῆσιν, ἔφη τῷ σαμουήλ· εἰ ἔτι κληθῇ, εἰπέ, ἰδοὺ ἐγὼ κύριε. οὕτω δὲ ποιήσαντος τοῦ παιδός, ἔφη αὐτῷ ὁ καλῶν, συμφορὰν ἔσεσθαι τοῖς ἰσραηλίταις βαρεῖαν, καὶ τοὺς ἠλεὶ παῖδας ἅμα τεθνήξεσθαι, καὶ τὴν ἱερωσύνην εἰς τὸν οἶκον τοῦ ἐλεάζαρ μεταπεσεῖν. οὐκ ἤθελε δὲ τοὺς λόγους ὁ σαμουὴλ ἐκφῆναι τῷ ἱερεῖ. ὅρκοις δ' ἐκβιασθεὶς, ἀπήγγειλε πάντα καθάπερ ἀκήκοεν. ἐντεῦθεν παλαιστινοὶ κατὰ τῶν ἰσραηλιτῶν ἐκστρατεύουσι, καὶ ἦσαν τῇ μάχῃ ὑπερκρατέστεροι. ὁ δὲ λαὸς κομισθῆναι τὴν κιβωτὸν αἰτοῦσιν εἰς ἀρωγήν. συμφθάσης δ' ἐκεῖσε τῆς κιβωτοῦ σὺν τοῖς υἱοῖς τοῦ ἠλεί, συγκεκρότητο μάχη, καὶ ἡττῶντο οἱ ἑβραῖοι. ἔπεσον δὲ ὡσεὶ τρισμύριοι, καὶ οἱ τοῦ ἀρχιερέως υἱοί, καὶ ἡ κιβωτὸς ἐλήφθη τοῖς πολεμίοις. ἠλεὶ δὲ ὁ ἀρχιερεὺς ἐφ' ὑψηλοῦ καθήμενος δίφρου, καὶ μαθὼν τὰ περὶ μάχης, καὶ τὴν σφαγὴν τῶν υἱῶν,

ὅπως ἀπὸ προσευχῆς τῆς ἄννης ἡ τοῦ σαμουὴλ γέννησις. ὅτι [illegible] σαμουήλ. ὅτι κοιμώμενον τὸν σαμουὴλ ἐκάλεσεν ὁ θεός. προφητεύει διὰ τοῦ σαμουὴλ τὴν ἐσομένην τοῖς ἰσραηλίταις, καὶ τοῖς παισὶ τοῦ ἠλεὶ συμφοράν.

νικῶσι παλαιστινοὶ τοὺς ἰσραηλίτας, [illegible]

καὶ

Boozus Rutham & cognatũ eius ad senatum accersit, eiq; dicit: Abimelechi cognati nostri & filiorum eius hæreditatem tenes? affirmante illo, tenere se ob propinquitatem ex lege: Non ergo, inquit, ex semisse obseruandæ sunt leges, sed in omnibus rebus illis obtemperandũ. Restat igitur, ut Maalonis Abimelechi filij uxorem ducas, & cognato semẽ excites. Recusat ille, ac Boozo tam hæreditate quàm muliere cedit. Rutha, ut lege iubebatur, soluto uiri illius calceo, in faciẽ eius expuit, itaq; Boozo nubit, & filiolum ei parit Obedum (seruientem id nomẽ significat) Obedo nascitur Iessæus, eoq; Dauid: qui regnum Israelitarum obtinuit, & filijs suis imperium reliquit, ad genus primum & uicesimum propagatum.

Obedus.
Iessæus.
Dauid.

Elio autem, qui, ut diximus, populum gubernabat, duo fuere filij, homines nefarij, & omni genere scelerũ cooperti, Ophnis & Phinees: neq; paternis monitis quicquam mouebantur. Horum iniquitati iratus Deus, per Samuelem puerum adhuc, Elio significat clades ipsi, liberisq; & domui eius imminentes. Erat autem Samuel uiri Leuitæ Helcanæ filius, qui duas habebat uxores, Annam & Phenannam: quarum hæc liberos ex Helcana susceperat, Anna non pepererat.

Helcana.
Anna.
Samuel.

Viro Silonem cum uxorib. profecto, cum peractis sacris, conuiuij tempus adesset, ac Phenannę liberi assiderent: Anna orbitatẽ suam deplorat, & properè tabernaculum Domini ingressa, Deum orat, ut liberos sibi det, primogenitum se Deo cõsecraturam uouet. Dum precibus immoratur, Elius pro tabernaculo sedẽs, ebriam ratus, eam discedere iubet. At illa: Neq; uinũ, inquit, bibi Domine, neq; aliud quicquam quod inebriet: sed dolore orbitatis contabesco. Tũ sacerdos: Abi, inquit, ac Deus te uoti compotem reddat. Domum reuersa cum marito, concipit, & Samuelem parit, quem Deopratum possis dicere. Puerum iam grandiusculum ex uoto ad Elium ducit, Deo educandum, alentem comam, in æde uitam degentẽ, & aquæ potu utentem. Is duodecim natus annos, uaticinatur. & quodã tempore dormiens, nominatim à Deo uocatus, ad pontificem accedit, quasi ab eo uocatus esset: idq; ter contigit. Tum Elius intelligens diuinam esse uocationem, Samuelem iubet, si iterum uocetur, dicere: En adsum Domine. Cum ita fecisset puer, ait ei is qui uocarat, magnam cladem Israelitis imminere, Elij filios una perituros, & sacerdotiũ in Eleazari familiam transiturum. Ea uerba cum sacerdoti Samuel referre nollet, tandẽ iureiurãdo adactus, omnia quemadmodum audierat, recenset. Dehinc Palæstini bellum Israelitis inferentes, pugna superiores euadunt. Populus arcam subsidio ferri postulat. Missa illa cum Elij filijs, redintegratur prælium, funduntur Hebræi, ad XXX millia cadũt, inter quos & filij pontificis, arca itẽ in hostium potestatem uenit. Elius põtifex, qui in sublimi sella sederet, strage exercitus, & cæde filiorum,

Palæstini uictis Israelitis, arcam Dagoni cõsecratã, malis coacti restituunt.

d arcæq;

arcæq; captiuitate cognita, præ mœrore de sella delapsus moritur, annos LXXXXX natus, cũ XXXX populo præfuisset. Alienigenæ arcam in urbem Azotũ perlatam, Dagoni (sic Deum suum appellabant) consecrant. Manè in Dagonis ædem ingressi, simulacrum ante arcam humi proiectum repererũt, idq; sublatum in suam basim restituunt. Vt autem hoc sæpius factum deprehendunt, & statuam quoties erexissent, toties ante arcam adorantis specie proiectam repe rissent, obstupescunt, dubitantes quid rei esset. Ex hoc Azotiorum urbem & agrum lues inuadit. Nam & homines circa sedem laborare (dysenteriam fuisse, ait Iosephus) & mori complures ciues, & mures è terra exorti, agrum omnem uastare. Serò demum arcam sibi malorum esse causam Azotij intelligentes, Ascalonem mittunt: ijs etiam eadem accidunt. Sic V Palæstinorum urbes arca peruagata, omnibus calamitosa extitit. Itaq; magistratus V urbium ijs malis conflictantium congressi, uidelicet Getæ, Accaronis, Ascalonis, Gazæ & Azoti, alijs aliud de arca censentibus, tandem decreuere omnes, sedes quinq; aureas, totidemq; mures item aureos arcæ imponere, & nouum fabricare currum, & uaccas quæ primùm peperissent currui iungere, sed earum uitulos retinere, ac currui arca imposita, boues in triuium abductas relinquere, ut quorsum impetus tulerit eant. Quæ si uersus Israelitas abeãt, ob arcã mala illa se perpeti statuendum, neque prohibendum quo minus illò eant. Sin aliò se conuerterint, reducendas boues & currum, & quæ in eo sint. His, ut decretum fuerat, peractis, dimisere boues, eminus ipsi sequentes, ut euentum uiderent. At illæ rectà uersus Hebiços ire, neq; subsistere prius, quàm in magnum campum Bethsames peruenissent. Vt autem pagi illius uiri arcam uiderunt, accurrunt, de curru tollunt, boues immolant: & lignis, è quibus currus confectus erat, cremant. Quo Palæstini uiso, retrò abierunt. Numen autem ijs qui arcam attigerant, cum profani essent, iratum, necem attulit. Reliqui commune Hebræorum de arca recepta certiores reddunt. Illi eam Cariathiarim abducunt, & in Aminadabi Leuiticæ tribus hominis ædibus collocant, ubi annis uiginti mansit, cum apud alienigenas quatuor menses fuisset. At Samuel propheta iam celebris, & magna præditus autoritate, populo conuocato, de uindicanda libertate disserit ac persuadet. Quo Palæstini cognito, inopinata aggressione Israelitas perterrefaciunt. Qui ad Samuelem confugientes, de salute sua esse actum aiunt, nisi ipse numinis opem exorarit. Ille bonis animis esse iubet, & Dei auxilium pollicetur, agnoq; immolato Deum orat. Nondum flamma uictimam consumpserat, cum hostes impetũ in Hebræos faciunt, facilius eos inermes superari posse rati.

Israelitæ de consilio Samuelis Palæstinos cædunt.

καὶ τὴν αἰχμαλωσίαν τῆς κιβωτοῦ, περιαλγήσας, ἐξέπεσε τοῦ θρόνου, καὶ τέθνηκεν, γεγονὼς ἐνενηκοντούτης, γηραιὸς, τεσσαράκοντα δὲ τοῦ γένους τοῦ ἰσραὴλ ἡγησάμενος. οἱ δὲ ἀλλόφυλοι εἰς ἄζωτον πόλιν ἀπαγαγόντες τὴν κιβωτὸν, παρὰ Δαγὼν (οὕτω γὰρ τὸν ἑαυτῶν ἐκάλουν θεὸν) αὐτὴν ἔθεντο. ἕωθεν δὲ εἰς τὸν οἶκον Δαγὼν εἰσελθόντες, εὗρον κείμενον τὸ ξόανον ἔμπροσθεν τῆς κιβωτοῦ ἐπὶ γῆς. καὶ ἀναστήσαντες αὐτὸ, ἐπὶ τῆς προτέρας ἔστησαν βάσεως· ὡς δὲ συχνάκις εὗρον τοῦτο γινόμενον, καὶ πολλάκις τὸ εἴδωλον ἀνορθώσαντες, τοσαυτάκις κείμενον κατελάμβανον ἐν σχήματι προσκυνοῦντος τὴν κιβωτὸν, ἐθαμβοῦντο καὶ διηπόρουν. εἶτα δ' ἐνέσκηψε τῇ τῶν ἀζωτίων πόλει καὶ τῇ χώρᾳ φθορά. νόσος μὲν τοῖς ἀνθρώποις περὶ τὰς ἕδρας ἦν, ἣν δυσεντερίαν φησὶν ὁ ἰώσηπος, καὶ ἔθνησκον συχνοὶ ἐξ αὐτῆς. μύες δὲ τῆς γῆς ἀναδοθέντες, τὴν χώραν ἅπασαν ἐλυμαίνοντο. ὀψὲ δὲ συνῆκαν τὴν κιβωτὸν αἰτίαν αὐτοῖς εἶναι τῶν παθῶν οἱ ἀζώτιοι, καὶ πέμπουσιν αὐτὴν εἰς ἀσκάλωνα, καὶ ἔπασχον κἀκεῖνοι τὰ ὅμοια. καὶ οὕτω πάσας τῶν παλαιστινῶν ἤμειβε πόλεις ἡ κιβωτὸς, καὶ πάσαις εἰς κάκωσιν γέγονεν. συνῆλθον οὖν οἱ τῶν κακουμένων πέντε πόλεων ἄρχοντες, γίτης, καὶ ἀκκαρῶν, ἀσκαλῶνός τε καὶ γάζης, καὶ ἀζώτου. καὶ οἱ μὲν ἄλλα περὶ τῆς κιβωτοῦ, οἱ δ' ἕτερα συνεβούλευον. καὶ τέλος ἔδοξε πᾶσιν, ἕδρας πέντε χρυσᾶς, καὶ μύας τοσούτους χρυσοῦς ποιῆσαι, καὶ θεῖναι ἐπὶ τῆς κιβωτοῦ, ἅμαξάν τε καινουργῆσαι, καὶ βόας πρωτοτοκούσας τῇ ἁμάξῃ ὑπαγαγεῖν, τοὺς δὲ μόσχους αὐτῶν κατασχεῖν. καὶ ἐπιθεῖναι τῇ ἁμάξῃ τὴν κιβωτὸν, τὰς βόας δ' ἀπαγαγόντες ἐπὶ τριόδου καταλιπεῖν, ἵν' ἐπ' αὐταῖς ᾖ ἀπιέναι καθ' ἣν ὁρμήσουσι. καὶ εἰ μὲν εὐθὺ τῶν ἰσραηλιτῶν ἀπελεύσονται, διὰ τὴν κιβωτὸν οἴεσθαι σφίσιν ἐπάγεσθαι τὰ κακά, καὶ μὴ κωλύειν τὴν εἰς ἐκείνους πορείαν. εἰ δ' ἀλλαχοῦ ποι ἀπίοιεν, ἐπιστρέψαι αὖθις τάς βόας τε καὶ τὴν ἅμαξαν, καὶ τὰ ἐπ' αὐτῆς. ἐπιτελέσαντες τοίνυν τὰ δόξαντα, ἀφῆκαν τὰς βόας, κἀκεῖθεν ἑπόμενοι καὶ αὐτοὶ, ἵν' ὁρῷεν τὸ ἐκβησόμενον. αἱ δὲ κατ' εὐθὺ τῶν ἑβραίων ἀπῄεσαν, καὶ οὐ πρότερον ἔστησαν πρὶν εἰς μέγα πεδίον τῆς βεθσαμοῖς κατηντήκασιν. ὡς δ' εἶδον οἱ τῆς κώμης ἐκείνης ἄνδρες τὴν κιβωτὸν, ὡρμήκασιν ἐπ' αὐτὴν καὶ καθελόντες ἐκ τῆς ἁμάξης αὐτὴν, ἔθυσαν τὰς βόας, καὶ τοῖς ξύλοις οἷς ἡ ἅμαξα εἴργαστο, αὐτὰς ὡλοκαύτωσαν. ὅπερ ἰδόντες οἱ παλαιστινοί, ὑπενόστησαν. τοὺς δ' ἁψαμένους τῆς κιβωτοῦ, μὴ ὄντας ἱερεῖς, ὀργισθεὶς ὁ θεὸς ἐθανάτωσεν. οἱ δέ γε λοιποὶ τοῦ κοινοῦ τῶν ἑβραίων ἐγνώρισαν τὰ περὶ τῆς κιβωτοῦ· κἀκεῖνοι λαβόντες αὐτὴν, ἀπάγουσιν εἰς καριαθιαρείμ, καὶ εἰς οἰκίαν ἀμιναδὰβ ἐκ τῆς λευιτικῆς ὄντος φυλῆς κατατίθενται. καὶ ἔμεινεν ἐκεῖ ἔτη εἴκοσι, παρὰ δὲ τοῖς ἀλλοφύλοις μῆνας τέσσαρας. σαμουὴλ δὲ ὁ προφήτης μέγα ἤδη σχὼν ὄνομα, καὶ δόξης ἥκων ἐπὶ πολὺ, συναγαγὼν τὸν λαὸν περὶ ἐλευθερίας αὐτοῖς διελέχθη, καὶ ἔπεισε ταύτης ἀντιποιήσασθαι. ὃ μαθόντες οἱ παλαιστινοί, ἀπροσδοκήτως τοῖς ἑβραίοις ἐπίασι. καὶ κατεπτήξασιν αὐτοὺς, ὡς τῷ σαμουὴλ προσδραμεῖν λέγοντας, ἀπεγνῶσθαι τὴν σωτηρίαν αὐτοῖς, εἰ μὴ αὐτὸς σφίσι τὴν ἐκ τοῦ θεοῦ ἐπικουρίαν αἰτήσεται. ὁ δ' ὅς, θαρρεῖν παρεγγυᾷ, καὶ τὸν θεὸν ἐπαρῆξαι διαβεβαιοῦται αὐτοῖς. καὶ θύσας ἀρνὸν, ἱκέτευε τὸν θεόν. μήπω δὲ τὴν θυσίαν τῆς ἱερᾶς δαπανησάσης φλογὸς, προσβάλλουσι τοῖς ἑβραίοις οἱ ἀντιπόλεμοι, ῥᾷον αὐτῶν κρατήσειν ὡς ἀόπλων οἰόμενοι.

ὅτι δὲ ἄζωτον πόλιν οἱ ἀλλόφυλοι τὴν κιβωτὸν ἀπήγαγον, καὶ ἀνέθεντο ἐν οἴκῳ δαγὼν, καὶ ἔπεσε τὸ εἴδωλον.

ὅτι δυσεντερία ἐνέσκηψε τῇ πόλει ἀζώτου, καὶ μύες ἐκ τῆς γῆς ἀνεδόθησαν.

ὅτι ἀπὸ πόλεως εἰς πόλιν ἡ κιβωτὸς τῶν παλαιστινῶν, ἐκάκου αὐτάς.

ὅτι πῶς ἀπεστάλη ἡ κιβωτὸς ἐπὶ ἁμάξης ἀναθημάτων.

ὅτι ἦλθεν ἀναγαγεῖν πάλιν εἰς τὸν ἰσραὴλ τὴν κιβωτόν.

ὅτι τοὺς ἁψαμένους τῆς κιβωτοῦ ἀνιέρους ἐθανάτωσεν ὁ θεός.

ὅτι ὁ σαμουὴλ αὐτοὺς ἐλευθερίας ἀνέπεισε.

ὅτι οἱ παλαιστινοὶ προσβαλόντες τοῖς ἑβραίοις ἐτράπησαν, βροντῶν καὶ σεισμοῦ γενομένων, καὶ ἀστραπῶν, καὶ οὕτως ἐτράπησαν.

σεισμῷ

σεισμῷ δὲ τῆς γῆς κλονηθείσης ὑπὸ θεοῦ, καὶ παταγησάντων τῶν βροντῶν, καὶ ἐξαφθεισῶν ἀστραπῶν, εἰς δειλίαν ἐμπεσόντες οἱ πολέμιοι, καὶ ἐτράποντο εἰς φυγήν. κατεδίωξε δὲ σαμουὴλ καὶ τὸ πλῆθος ὀπίσω αὐτῶν, καὶ πολλοὺς διεφθάρκασι, καὶ οὐκέτι μετὰ τὴν πληγὴν ταύτην ἐπὶ τοὺς ἰσραηλίτας ἐστράτευσαν, ἀλλὰ καὶ τὴν χώραν ἣν αὐτῶν ἀφείλοντο, ἐπανεσώσατο αὖθις τοῖς ἑβραίοις ὁ σαμουήλ. ἔκρινε δὲ τὸν λαὸν, καὶ ἦρχεν αὐτοῦ. ἤδη δὲ γεγηρακὼς, τοῖς υἱοῖς αὐτοῦ τὴν τοῦ λαοῦ προστασίαν καὶ τὸ δικάζειν διένειμεν, ὄνομα τῷ πρεσβυτέρῳ ἰωὴλ, τῷ νεωτέρῳ δὲ, ἀβιά. οἱ δὲ οὐκ ἐπορεύθησαν ἐν ταῖς ὁδοῖς τοῦ πατρὸς αὐτῶν, ἀλλ' ἐκκλίναντες, δώρων τὸ δίκαιον ἀπεδίδοσαν, καὶ λήμμασι τὰς κρίσεις ἐδίκαζον. ὁ δὲ λαὸς διὰ ταῦτα πρὸς σαμουὴλ ἀθροισθεὶς, ἐπεὶ μὴ οἷός τε σὺ ἔφησαν προεστάναι ἡμῶν διὰ γῆρας, ποίησον ἡμῖν βασιλέα, ὃς καὶ τοῦ ἔθνους ἡγήσεται, καὶ τοῖς ἐναντίοις ἀντιστρατεύσεται. λυπουμένου δὲ ἐπὶ τούτοις τοῦ σαμουὴλ, εἶπε πρὸς αὐτὸν ὁ θεός· οὐ σὲ ἐξουθενήκασιν ὁ λαὸς, ἀλλ' ἐμέ. ἄκουσον τοίνυν αὐτῶν, καὶ ὃν ἂν ἐκλέξωμαι, εἰς βασιλέα χρῖσον αὐτοῖς. συναθροίσας δὲ τοὺς ἑβραίους ὁ σαμουὴλ, κατέθετο χειροτονήσειν αὐτοῖς βασιλέα. μεταμελήσειν δὲ προέφη αὐτοῖς, καὶ αἰτήσειν μέλλειν παρὰ θεοῦ τῶν βασιλέων ἀπαλλαγήν. οἱ δὲ ἐνέκειντο βασιλέα ζητοῦντες. καὶ ἠξίουν αὐτὸν, μὴ φροντίζειν τῶν ἐσομένων. ὁ δὲ προφήτης, ἀπίτε νῦν, εἶπεν, ὅταν δὲ μάθω τίνα δίδωσιν ὑμῖν ὁ θεὸς βασιλέα, μεταπέμψομαι ὑμᾶς. ἀνὴρ δέ τις βενιαμίτης (κὶς ὄνομα τῷ ἀνδρὶ) ὄνους ἀπολέσας, τὸν υἱὸν, ὃς ἦν αὐτῷ μέγας τε καὶ ὡραῖος, κεκλημένος σαοὺλ, ἐς ἀναζήτησιν τῶν ὄνων σὺν ἑνὶ τῶν δούλων ἀπέστειλεν. ὁ δὲ περιελθὼν, καὶ ζητήσας, καὶ μὴ εὑρὼν, εἰς ἀρμαθαὶμ πρὸς τὸν σαμουὴλ παραγέγονεν, ἐρωτήσων περὶ τῶν ὄνων. δηλοῖ τοίνυν τῷ σαμουὴλ ὁ θεὸς, τοῦτον εἶναι ὃν βούλεται βασιλεῦσαι τοῦ λαοῦ τῶν ἑβραίων. ἐρωτηθεὶς οὖν περὶ τῶν ὄνων ὁ σαμουὴλ, σεσῶσθαι εἶπεν αὐτάς. καὶ ξενίσας τὸν σαοὺλ, προέπεμψεν ἕωθεν. καὶ ἔξω τοῦ ἄστεος σὺν αὐτῷ προβὰς, μόνον τε ἰδίᾳ τὸν νεανίαν ἀπολαβὼν, ἔλαιον κατέχεε τῆς αὐτοῦ κεφαλῆς. καὶ φιλήσας αὐτὸν, κέχρικέ σε κύριος ἄρχοντα, ἔφη, ἐπὶ τὸν λαὸν αὐτοῦ ἰσραήλ. καὶ ἔστω σημεῖόν σοι τοῦ χρίσματος, τὸ συναντῆσαί σοι περὶ τὸν τάφον ῥαχὴλ, ἄνδρας δύο τὴν εὕρεσιν τῶν ὄνων εὐαγγελιζομένους σοι. καὶ ἄλλα δὲ σημεῖα τοῦ ἀληθεύειν εἶπεν αὐτῷ, καὶ ὅτι προφητεύσει ἐν γαβαθὰ γεγονὼς μετὰ τῶν ἐκεῖ προφητῶν. καὶ ἥκειν εἰς γάλγαλα αὐτῷ ἐνετείλατο, ἡνίκα μεταπεμφθῇ παρ' αὐτοῦ. συναθροίσας δ' ἔπειτα τὸν λαὸν, καὶ κλήρους βαλεῖν ἐκέλευσε τὰς φυλὰς, ἵν' ἀναδειχθῇ ἐκ ποίας ὁ βασιλεύσων ἔσται. ἔπεσεν οὖν ὁ κλῆρος εἰς τὴν βενιαμῖτιν, εἶτα εἰς τὴν πατριὰν βατταρεί. κατ' ἄνδρα δὲ τῆς πατριᾶς κληρωθείσης, εἰς τὸν σαοὺλ ὁ κλῆρος ἐξέπεσεν. ὡς δὲ ζητούμενος οὐκ ἦν, μηνύεται ὁ σαμουὴλ παρὰ τοῦ θεοῦ ὅπου ἐκέκρυπτο· καὶ ἀχθέντα, ἔστησε μέσον. καὶ ἦν ὑπερφυὴς, καὶ πάντων ὑπερεῖχεν κατὰ τὴν ἡλικίαν τοῦ σώματος. καὶ πρὸς τὸ πλῆθος ἔφησεν ὁ προφήτης, τοῦτον ἔχρισεν ὑμῖν εἰς βασιλέα ὁ κύριος, ᾧ οὐκ ἔστιν ὅμοιος ἐν πᾶσιν ὑμῖν· ὁ δὲ λαὸς ἐπευφήμησε, καὶ εἶπε· ζήτω ὁ βασιλεύς. οὕτω δὲ τῷ σαοὺλ βασιλεύσαντι, πολλοὶ μὲν προσεῖχον ὡς βασιλεῖ, καὶ κατὰ τὸ προσῆκον ἐτίμων αὐτόν, πολλοὶ δὲ κατεφρόνουν τε καὶ ἐχλεύαζον. μετὰ δὲ μῆνα, νάας ὁ τῶν ἀμμανιτῶν βασιλεὺς, στρατεύει ἐπὶ ἰαβὶς γαλαὰδ, μὴ ἄλλως λέγων φείσασθαι τῶν ἀνδρῶν, εἰ μὴ δῶσιν αὐτῷ τὸν ἑκάστου ἐξελεῖν δεξιὸν ὀφθαλμόν.

ὅτι σαμουὴλ γεγηρακὼς, τοῖς υἱοῖς τὴν ἀρχὴν τοῦ λαοῦ [illegible]

ὅτι ὁ λαὸς διὰ τὴν τῶν υἱῶν τοῦ σαμουὴλ [illegible] βασιλέα ᾔτησαν, καὶ ὁ σαμουὴλ [illegible] μεταμελήσειν αὐτοῖς.

περὶ σαοὺλ, ὅς ἐστιν υἱὸς κὶς, ἀπελθόντος [illegible] τοῦ πατρός.

σημεῖα ἐπὶ τῷ χρίσματι [illegible] τῷ σαμουήλ.

[illegible]

οἱ δὲ

Sed & terra diuinitus concussa, & tonitribus erumpentibus, & fulguribus emicantibus perterriti, in fugam uertuntur. Fugientibus Samuel cum populo instat, ac multos cædit. Post eam cladem non amplius Israelitas inuasere: sed & terram quam Hebræis ademerant, Samuel recepit. Ita is populo ius dicebat, & imperabat. Verum iam senex populi gubernādi munus ac iuris dicundi prouinciam filijs distribuit, quorū maiori Ioelis, minori Abię nomen erat: qui morem patris non secuti, ad largitionum corruptelas deflexerunt, & ius atque æquū uenale habuerunt. Hæc populus ægrè ferens, ad Samuelem confluit: &, Quoniam tu, inquit, per ætatem nobis præesse nō potes, Regem creato, qui & gentem gubernet, & aduersarios nostros oppugnet. Ea re cum Samuel tristaretur, dicit ei Deus: Nō te pro nihilo habuit populus, sed me. quem uerò tibi monstraro, eum regem ungito. Hebræis igitur cōuocatis, Samuel proponit, se electurū eis esse Regem: prędicens, fore ut pœniteret eos, ac liberationem à regibus Deū oraturos. Illi instant, Regem flagitantes, de reb. futuris securum esse iubent. Tum Samuel: Abite nunc, inquit: ubi cognouero, quem uobis regē Deus dederit, accersam uos. Accidit autem, ut Beniamita quidam nomine Cis, Saulem filium, hominem statura & forma excellēti, cum seruo ad asinarum, quas amiserat, inquisitionem mitteret. Quas ille cum passim quæsiuisset, nec inuenisset, Samuelem de asinabus interrogaturus Armathaim uenit. Ibi Deus Samueli reuelat, eum esse quem populo Hebræorū imperare uelit. De asinabus igitur rogatus, incolumes esse respondet: & Saulem hospitio exceptum manè prosequitur. urbē egressus, cum adolescentem seduxisset, oleo caput eius perfundit, ac deosculatus: Vnxit te Deus, inquit, Regem populi sui, cuius unctionis illud tibi signū erit, quod circa Rachelis sepulchrum duo tibi uiri occurrent, asinas repertas gratulaturi. Adijcit & alia signa confirmandæ ueritatis ergò, atque inter cætera, ubi Gabatam uenerit, cum illius loci prophetis uaticinaturum. Mandat etiam, cum à se accersatur, ut Galgala ueniat. Pòst, coacto populo, sortem mittere tribus iussit, ut constaret, cuias futurus esset rex. Cecidit autem sors in Beniamiticam, deinde in gentē Battarim: quę cum uiritim sortiretur, Sauli sors obuenit. Quęritur ille, nec inuenitur. Samuel diuinitus monstratis eius latebris, adductū in medio statuit. Erat autē proceræ staturæ, & humeris eminebat supra omnes. Tum ad populū propheta: Hūc, inquit, regē uobis unxit Dominus, cuius inter uos omnes nō est similis. Populus gratulabūdus acclamat: Viuat rex. Saulū ita regno potitū, multi obseruabāt ut regē, & ut par erat honorabāt. Multi etiam spernebant & irridebant. Post mensem Naas Ammanitarū rex Iaben Galaaditicæ obsidet, nō alia cōditione ciuibus parcere uelle dicēs nisi dextrū oculū sibi quisque eruendū traderet.

Saul ad imperium Iudæorum uocatur.

Sauli Ammanitis cæsis regnum confirmatur.

Illi

Illi septem dierũ inducias petũt: ijs impetratis, nuncios in Galaaditicam mittũt. Auditis Ammanitæ uerbis, populus luget: Saul uerò ingẽti ira percitus, duos boues membratim cõcisos in omnes fines Israelitarũ mittit, comminatus, eodem modo se tractaturũ eos, qui ad propulsandos Ammanitas nõ adessent. Concursu populi facto, numeroq; inito, inuenta sunt uirorũ DCC millia: & Saul numine afflatus prædicit, Iabinos postridie fore saluos. totamq; noctẽ cum exercitu profectus, circa primã uigiliam ad Ammanitas peruenit: ac trifariam diuisis copijs, hostes circundat, multos cædit, ipsumq; regem Naam. reliquos fundit, & impressione in eorũ regionem facta, opimaq; præda parta, illustris domum reuertitur, neq; iam contẽptui habetur, sed ob fortitudinẽ celebratur, & honoratur ab ijs etiam, á quib. dudũ sublannatus fuerat. Itaq; Samuel rursus cõgregato populo, Saulẽ denuò regem proclamat, iterum inunctum oleo. Sic Hebræorũ Resp. ex optimatiũ imperio in regnum est mutata. nã sub Mose & Iesu parebant optimatib. Pòst, per annos XVIII magistratu caruerunt. Deinde sub ijs fuere, qui iudices uocabantur, iudiciorũ & rerum omnium summa uni ex optimis permissa. Samuele porrò sacramẽto populum adigente, ut dicerent, num qua iniuria illos affecisset: exclamarunt omnes, eum iustè & bene genti præfuisse. Tum ille: Scitote, inquit, uos rege flagitando grauiter deliquisse, eaq; re irritasse Deum: cuius illud uobis signum erit, quòd adulta æstate tempestas orietur. Nec mora, tonitrua & fulgura, ut propheta dixerat, eruperunt, & grando delata est, ut populus perterrefactus Samuelem rogaret, ut sibi delictorum à Deo ueniã impetraret. Cum autem Palæstini Hebræos subigerẽt, armis ademptis & usu ferri interdicto, Saul Galgala descendit, populum ut ad uindicandã contra Palæstinos libertatem exurgeret cohortatus. Illis uerò multitudinem hostium reformidantibus, rex Samuelem ad se uocat. Is post VI dies uenturũ constituit, ut die septimo re diuina facta cum hostib. confligant. At Saul cũ uideret populũ clàm abire, seq; deseri, immolat: & audito Samuelis accessu, obuiã progredit. Ibi uates: Quid, inquit, istud egisti, uiolatis præceptis meis? Scito igitur, nõ stabile fore regnũ tuũ: sed quæsiturũ esse Deum hominem ex animi sui sententia. Ita discessit Samuel. Saul uerò & Ionathas filius eius cũ DC militibus Gabaonẽ profecti sunt. Alienigenæ autem copijs trifariam diuisis, agros Israelitarũ populabantur. Id Saul, Ionathas & Achia sacerdos ex alto conspicientes, & ob paucitatem ad opem ferendam impares, animis angebantur. At Ionathas, patre inconsulto, cum solo armigero de colle descendens: Aggrediamur, inquit, castra hostiũ: qui si nobis dixerint, Discedite, non ascẽdemus ad eos. Si na scendere iusserint, ea uerba uictoriæ tessera habenda erunt. itaq; ad castra hostium fertur. Illi, Ascendite ad nos, inquiunt, est enim quod uobiscũ colloquamur. Ea uox animum auxit Ionathæ, atq; inde digressus alium

Samuel cũ populo expostulat.

Saul ob uiolatam religionem improbatur.

Ionathas cum armigero suo castra hostiũ ingressus patris temeritate penè interit.

οἱ δὲ ἀνοχὴν ἐζήτουν ἑπτὰ ἡμερῶν. καὶ λαβόντες, πέμπουσιν ἀγγέλους εἰς Γαλαάδ. καὶ ἀκούσαντες οἱ ἐκεῖ τοὺς λόγους τῶν Ἀμμανιτῶν, ἐθρήνουν. ὁ δὲ Σαοὺλ ἐθυμώθη σφόδρα. καὶ λαβὼν δύο βόας, ἐμέλισεν αὐτοὺς, καὶ ἀπέστειλεν εἰς πᾶν ὅριον Ἰσραὴλ, ἀπειλῶν οὕτω θήσειν τοὺς μὴ κατὰ τῶν Ἀμμανιτῶν συνεκστρατεύσαντας αὐτῷ. συνδραμόντος δὲ τοῦ λαοῦ, ἠρίθμησεν αὐτοὺς, καὶ εὗρε μυριάδας ἑβδομήκοντα. καὶ ἐφήλατο πνεῦμα κυρίου ἐπὶ Σαοὺλ, καὶ προεφήτευσεν, εἰπὼν, ὡς αὔριον ἔσται τοῖς ἀνδράσιν Ἰαβὶς σωτηρία. καὶ ἀναστὰς ἐπορεύθη αὐτός τε καὶ ὁ λαὸς δι' ὅλης τῆς νυκτός. καὶ περὶ τὴν πρώτην φυλακὴν ἐπῆλθε τοῖς Ἀμμανίταις, τριχῆ τὸ στράτευμα διελών. καὶ κυκλωσάμενος αὐτοὺς, πολλοὺς μὲν ἀπέκτεινε, καὶ αὐτὸν τὸν βασιλέα Νάας. τοὺς δὲ περιλειφθέντας, ἐτρέψατο εἰς φυγήν. καὶ εἰς τὴν χώραν αὐτῶν ἐμβαλὼν, καὶ πλείστην λείαν λαβὼν, λαμπρῶς ἐπανῆλθεν οἴκαδε. οὐκέτι γοῦν ἠδόξει παρ' ἄλλοις, ἀλλ' ἐπ' ἀνδρείᾳ διεβεβόητο, καὶ ἐτιμᾶτο καὶ τοῖς πρώην αὐτὸν χλευάζουσι. συναγαγὼν δὲ αὖθις ὁ Σαμουὴλ τὸν λαὸν, δὶς ἀναγορεύει τὸν Σαοὺλ βασιλέα, χρίσας τῷ ἐλαίῳ καὶ πάλιν αὐτόν. μετέπεσεν οὖν ἡ τῶν Ἑβραίων πολιτεία εἰς βασιλείαν ἐξ ἀριστοκρατίας. ὑπὸ γὰρ Μωϋσέως καὶ Ἰησοῦ ἀριστοκρατούμενοι ἦσαν. εἶτα ἐπ' ἔτη δέκα καὶ ὀκτὼ, ἄναρχοι διετέλεσαν. εἶτα δ' ἤρχθησαν ὑπὸ τῶν καλουμένων κριτῶν, τῷ ἀρίστῳ δικάζειν περὶ τῶν ὅλων καὶ οἰκονομεῖν τὰ πάντα ἐπιτρέποντες. τοῦ δὲ Σαμουὴλ ἐξορκίσαντος τὸν λαὸν εἰπεῖν, εἴ τι ἄδικον εἰργάσατο εἰς αὐτούς; πάντες δικαίως αὐτὸν καὶ καλῶς προστῆναι τοῦ ἔθνους ἐβόησαν. ὁ δὲ αὖθις ἀπεκρίνατο, ἴστε ὡς μεγάλα ἡμαρτήκατε, βασιλέα ἑαυτοῖς αἰτησάμενοι, κἀκ τούτου παρωργίσατε τὸν θεόν. ἔσται δὲ τούτου σημεῖον ὑμῖν, τὸ θέρους γε ἀκμῇ χειμῶνα γενέσθαι. καὶ κατὰ τὸν τοῦ προφήτου λόγον βρονταὶ καὶ ἀστραπαὶ γεγόνασι, κατηνέχθη τε χάλαζα, ὡς δέος ἐμπεσεῖν τῷ λαῷ, καὶ ἱκετεύειν τὸν Σαμουὴλ ἱλεώσασθαι τὸν θεὸν αὐτοῖς ἁμαρτήσασι. τῶν δὲ Παλαιστινῶν τοὺς Ἑβραίους καταστρεφόντων, καὶ τὰ ὅπλα σφῶν ἀφαιρουμένων, σιδήρῳ τε κεχρῆσθαι ἀπαγορευόντων, ὁ Σαοὺλ εἰς Γάλγαλα καταβὰς, ἐπ' ἐλευθερίᾳ τὸν λαὸν κατὰ τῶν Παλαιστινῶν διαναστῆναι ἠρέθιζεν. οἱ δ' ηὐλαβοῦντο διὰ τὸ πλῆθος τῶν ἐναντίων. ὁ δὲ βασιλεὺς τὸν Σαμουὴλ ἐκάλει πρὸς ἑαυτὸν, καὶ ὃς μεθ' ἡμέρας ἓξ παραγενέσθαι ὑπέσχετο, ὡς θύσων τῇ ἑβδόμῃ, ἵν' οὕτω τοῖς ἀλλοφύλοις συμμίξωσιν. ὁ δέ γε Σαοὺλ ὁρῶν τὸν λαὸν ὑπορρέοντα καὶ καταλιμπάνοντα αὐτὸν, ἔθυσεν. ἀκούσας δὲ ἄρτι προσιόντα τὸν Σαμουὴλ, ἐξῆλθε συναντήσων αὐτῷ. ὁ δὲ, τί τοῦτο ἐποίησας, ἔφη, παραβάς μου τὴν ἐντολήν; ἴσθι τοίνυν, ὡς οὐ συστήσεταί σοι ἡ βασιλεία, ἀλλὰ ζητήσει κύριος ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ. καὶ ἀνεχώρησε Σαμουήλ. Σαοὺλ δὲ καὶ Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ ἦκον εἰς Γαβαὼ, σὺν στρατιώταις ἑξακοσίοις. εἰς τρία δὲ διαιρεθέντες οἱ ἀλλόφυλοι, τὴν χώραν τῶν Ἰσραηλιτῶν ἐληΐζοντο. Σαοὺλ δὲ καὶ Ἰωνάθαν καὶ Ἀχιὰ ὁ ἀρχιερεὺς ἀφ' ὕψους ὁρῶντες τὰ δρώμενα, καὶ ἀμύνειν δι' ὀλιγανδρίαν μὴ σθένοντες, ἤχθοντο. ὁ δ' Ἰωνάθαν μηδὲν εἰπὼν τῷ πατρὶ, καταβὰς ἐκ τοῦ βουνοῦ σὺν μόνῳ τῷ ὁπλοφόρῳ αὐτοῦ, προσβάλωμεν ἔφη τῇ τῶν ἀλλοφύλων παρεμβολῇ. καὶ εἰ μὲν εἴπωσιν ἡμῖν, ἀπόστητε, οὐκ ἀναβησόμεθα πρὸς αὐτούς. εἰ δ' ἀνάβητε πρὸς ἡμᾶς φήσουσι, σύνθημα νίκης τὸν λόγον νομιστέον ἡμῖν. καὶ ὥρμησαν ἐπὶ τὸ τῶν πολεμίων στρατόπεδον. καὶ αὐτοῖς οἱ ἀλλόφυλοι, ἀνάβητε ὀλίγον πρὸς ἡμᾶς, καὶ γνωριοῦμεν ὑμῖν ῥῆμα. τοῦτο θάρσος ἐνῆκε τῷ Ἰωνάθαν. καὶ ἀναβὰς ἐκεῖθεν,

ὅτι σαοὺλ προεφήτευσε τὴν ἀπώλειαν τῶν ἐχθρῶν.

ὅπως ἐτροπώσατο ἀμμανίτας ὁ σαούλ.

ἡ δευτέρα τοῦ σαοὺλ ἀναγόρευσις.

πότε ὕστερον ἑβραῖοι ἀριστοκρατούμενοι, καὶ πότε ἄναρχοι, καὶ πότε ἐκρίνοντο, καὶ πότε ἐβασιλεύοντο.

ὅτι ἐν ἀκμῇ θέρους χειμὼν γέγονεν.

ὅτι καὶ πάλιν οἱ παλαιστινοὶ τοὺς ἑβραίους κατέδραμον.

ἐπέβη σὺν ἀσπιδοφόρῳ μετὰ τοῦ ἑπομένου αὐτῷ, ἔπεισι τοῖς πολεμίοις ὑπνώττουσι, καὶ κτείνουσι μὲν ὡς εἴκοσι. τοῖς δὲ λοιποῖς δειλίαν ἐνέβαλον. οἱ θορυβούμενοί τε καὶ φεύγοντες, ὑπ' ἀλλήλων διώλλυντο· ἰδὼν δὲ ταραττόμενον ὁ Σαοὺλ τὸ τῶν πολεμίων στρατόπεδον, καὶ ἀπόντα τὸν υἱὸν ἅμα τῷ ὁπλοφόρῳ κατανοήσας· προσβάλλει καὶ αὐτὸς τεταραγμένοις τοῖς ἐναντίοις· καὶ οἱ πρὶν δὲ διὰ φόβον κρυβέντες ἀναθαρσήσαντες, τῷ βασιλεῖ προσετίθεντο· καὶ διώκοντες τοὺς πολεμίους ἐκτείνοντο. ἐπαρᾶται τοίνυν τοῖς αὐτοῦ, εἴ τις ἀπεχόμενος τοῦ φονεύειν τοὺς ἐχθρούς, φάγοι, εἰ μὴ νὺξ αὐτοὺς παύσει. ἐν δὲ τῷ διώκειν κατά τινα δρυμὸν ἐν ᾧ μελισσὼν ἦν, καὶ λαβὼν ὁ Ἰωνάθαν κηρίον μέλιτος, ἔφαγεν. οὐ γὰρ ἦν ἀκηκοὼς τῆς ἀρᾶς τοῦ πατρός. ἐπελθεῖν δὲ βουληθεὶς ὁ Σαοὺλ τῇ τῶν ἐναντίων παρεμβολῇ, ἐρώτα διὰ τοῦ ἀρχιερέως τὸν θεόν, εἰ δίδωσι νίκην; τοῦ δὲ θεοῦ μὴ δηλοῦντος, ἐζήτει τὸ αἴτιον. καὶ ὄμνυμι ἔφη αὐτὸν τὸν θεόν, ἀποκτείνειν τὸν ἁμαρτόντα, κἂν Ἰωνάθαν ᾖ ὁ παῖς ὁ ἐμός. καὶ κληρωσαμένων, τῷ Ἰωνάθαν ὁ κλῆρος ἐπέστη. ὁ δὲ περὶ ἁμαρτίας ἀνακρινόμενος, οὐδὲν εἶπεν ἑαυτῷ συνειδέναι, εἰ μὴ ὅτι χθὲς τὴν ἀρὰν ἀγνοήσας, ἐν τῷ διώκειν ἐγεύσατο κηρίου. ἀκούσας δὲ ὁ πατὴρ, ἀποκτενεῖν αὐτὸν ὤμοσε, καὶ ὁ λαὸς ἀντώμοσε, μὴ περιόψεσθαι τὸν αἴτιον τῆς νίκης ἀποθανούμενον. καὶ ἐξαρπάσαντες αὐτὸν, εὐχαῖς τὸν θεὸν ἐξιλάσκοντο. διαφθείρας δὲ ὁ Σαοὺλ ὡσεὶ μυριάδας ἓξ τῶν Παλαιστινῶν, αὖθις ὑπέστρεψε. χειροῦται δὲ Ἀμμανίτας καὶ Μωαβίτας, Παλαιστινούς τε καὶ Ἰδουμαίους καὶ Ἀμαληκίτας, καὶ τὸν βασιλέα τῆς Σουβᾶ. καὶ ἐξείλετο τὸν Ἰσραὴλ ἐκ χειρὸς τῶν ἀλλοφύλων. ἦσαν δὲ τῷ Σαοὺλ υἱοὶ τρεῖς, Ἰωνάθαν καὶ Ἰεσσουὶ καὶ Μελχισουέ. καὶ θυγατέρες δύο, Μερὸβ καὶ Μελχόλ. ἀρχιστράτηγον δὲ εἶχε τὸν Ἀβεννήρ, υἱὸν τοῦ συγγενοῦς αὐτοῦ. ἔφη δὲ Σαμουὴλ τῷ Σαοὺλ κελεύειν αὐτῷ τὸν θεὸν πατάξαι τὸν Ἀμαλὴκ, καὶ κρατήσαντα, μηδενὸς φείσασθαι, μὴ γυναικῶν, μὴ νηπίων, μὴ ὑποζυγίων, μὴ βοσκημάτων, ἐξαλεῖψαι δὲ τὸ ὄνομα αὐτοῦ ἐκ τῆς γῆς. καὶ ὁ Σαοὺλ τῷ Ἀμαλὴκ συμβαλὼν, κατὰ κράτος νικᾷ, καὶ κτείνει πάντας. χειροῦται δὲ καὶ τὸν βασιλέα τῆς χώρας, Ἀγὰγ ὀνομαζόμενον, καὶ οὐκ ἀπέκτεινεν, ἀγασθεὶς αὐτὸν διὰ κάλλος καὶ μέγεθος. καὶ τὰ τῶν βουκολίων καὶ ποιμνίων καὶ τῶν ἄλλων ἐξαίρετα περιεποιήσατο, ἀμνημονήσας τῆς θείας προστάξεως· χρηματισθεὶς δὲ Σαμουὴλ παρὰ τοῦ θεοῦ, εἰπόντος μεταμελῆσαι, ὅτι ἐβασίλευσε τὸν Σαοὺλ· συνήντησε τῷ βασιλεῖ. ὁ δ' εὐχαριστῆσαι ἔλεγε τῷ θεῷ, δόντι κράτος αὐτῷ κατὰ τῶν πολεμίων, καὶ πάντα δὲ τὰ κεκελευσμένα ποιῆσαι. καὶ ὁ προφήτης βοῆς, εἶπεν, ἀκούω ὑποζυγίων καὶ βοσκημάτων ἄλλων. πόθεν ταῦτα; ὁ Σαοὺλ δὲ, τὸν λαὸν, εἶπεν, εἰς θυσίαν τετηρηκέναι αὐτὰ τῷ θεῷ· τοὺς δ' Ἀμαληκίτας πάντας ἐξαφανισθῆναι ἄτερ τοῦ βασιλέως αὐτῶν. πρὸς ταῦτα ὁ Σαμουήλ. ἐπεὶ τὰ κεκελευσμένα σοι, ἔφη, πρὸς θεοῦ παραβέβηκας, ἴσθι ὅτι τὴν βασιλείαν ἀφαιρεθήσῃ. ὁ δὲ κατετίθετο ἁμαρτῆσαι, καὶ ἱλασόμενον θῦσαι τὸν προφήτην ἐκέλευε. καὶ ὃς ὑπεχώρει. Σαοὺλ δὲ τῆς διπλοΐδος ἀντιλαμβάνεται αὐτοῦ, καὶ διαρρήσσει ταύτην, βιαζόμενος αὐτὸν κατασχεῖν. καὶ ὁ προφήτης, οὕτως, ἔφη, ἡ βασιλεία σου διαρραγήσεται, καὶ δοθήσεται ἀνδρὶ δικαίῳ καὶ ἀγαθῷ. δεομένου δ' ἔτι τοῦ βασιλέως, πείθεται, καὶ ἀχθῆναι τὸν Ἀγὰγ αὐτῷ, καὶ κτανθέντος ἐκείνου κελεύσει αὐτοῦ, αὐτίκα εἰς Ἀρμαθαὶμ ἀναχωρεῖ, καὶ αὐτῷ ἐντέλλεται ὁ θεὸς πρὸς Ἰεσσαὶ ἀπελθεῖν, καὶ χρῖσαι τῷ ἐλαίῳ εἰς βασιλέα, ἕνα τῶν ἐκείνου υἱῶν, ὃν ἂν δείξῃ αὐτῷ.

καὶ ἐν-

ὅπως ὁ Ἰωνάθαν προσέβαλε τοῖς πολεμίοις, καὶ ἔτρεψεν αὐτούς.

ὅτι ἀρὰν ἔθετο [illegible] μὴ φαγεῖν τινα ἕως ἑσπέρας, ἀλλὰ διώξαι [illegible] τοὺς ἐχθρούς, καὶ ὅτι [illegible] Ἰωνάθαν [illegible] καὶ [illegible] ἀπὸ τοῦ λαοῦ.

ὅτι κατὰ [illegible] Σαμουὴλ [illegible] καὶ ὅτι [illegible] βασιλέα αὐτῶν [illegible] καὶ διὰ τοῦτο [illegible] ἀφαιρεθῆναι τὴν βασιλείαν.

ὅτι ὁ Σαμουὴλ [illegible] καὶ [illegible] τὴν βασιλείαν [illegible] Σαμουὴλ [illegible] τὸν Ἀμαληκιτῶν [illegible].

aliunde cũ ſuo comite arrepit, hoſtes dormientes inuadit: ac cæſis ad x x, cæteris terrorem incutiunt, ut perturbati & fugiẽtes alij ab alijs interirent. Saul caſtra hoſtiũ perturbata uidens, & filij atq; armigeri illius abſentia cognita, impetum & ipſe in hoſtes perturbatos facit. Tum qui dudum præ metu ſe occultarãt, receptis animis cum rege ſe coniungunt, hoſtes perſequuntur, cædunt. Saul diras imprecatur ſuis, ſi quis ante noctem cæde hoſtium intermiſſa, cibum guſtaret. Inter perſequendum, Ionathas execrationis paternæ ignarus, cum in ſyluam eſſet uentũ, in qua apiarium erat, fauum comedit. Saul caſtra hoſtium oppugnaturus, per ſacerdotem oraculum conſulit, num uictoriam largiatur Deus? Sed Deo nihil reſpondente, autorem offenſi numinis quærit: ac ipſum Deum teſtor, inquit, me ſontem occiſurum, etiamſi filius meus Ionathas fuerit. Sorte ducta, Ionathas deſignatur. qui rogatus quid deliquiſſet, ſe nullius peccati ſibi eſſe conſcium ait, niſi quòd pridie, paternę execrationis ignarus, de fauo guſtaſſet. Eo pater audito, ſe illũ occiſurũ iurat. Populus contrà & ipſe iurat, ſe non paſſurũ, ut uictoriæ autor occidatur. eoq; erepto, uotis Deũ placat. Saul Palæſtinorũ circiter L X millib. occiſis, regreditur: ac Ammonitis, Moabitis, Palęſtinis, Idumæis, Amalechitis, necnõ Subæ rege ſubactis, Iſraelitas è manu exterorũ eripit. Sauli filij fuere tres, Ionathas, Ieſus & Melchiſus: ac filiæ duæ, Meroba & Melchol. Imperatorem crearat Abenerem, Neris cognati ſui filium. Dixerat autem Sauli Samuel, iubere Deũ ut cęderet Amalechum, uictoriaq; potitus, nemini parceret, non mulieribus, non infantib. non iumentis, nõ pecudibus, ſed eorũ nomẽ funditùs deleret. Itaq; Saul cum Amalechitis cõgreſſus, hoſtes uincit, cædit omnes. Sed Agagum illius terræ regem in poteſtatem redactum, admiratione formæ & magnitudinis, non occidit: armenta etiam, greges, cæteraq; eximia, diuini mandati immemor, conſeruat. Proinde Samuel à Deo edoctus, pœnitere eum Saulis creati regis, occurrit regi. Is ait ſe gratiam habere Deo, cuius munere uiciſſet hoſtes, & ut iuſſus fuerit, adminiſtraſſe omnia. Tũ Samuel: Vocem, inquit, audio iumentorum & aliarum pecudum. unde iſta? Saul reſpondet, populum ea in uictimam aſſeruaſſe Deo: cæterùm Amalechitas omnes, rege eorum excepto, deletos eſſe. Ad ea Samuel: Quoniã, inquit, Dei „ iuſsis non obtemperaſti, ſcito te regnum amiſ- „ ſurum. At ille, ſe peccaſſe faſſus, Prophetam orat, ut per ſacrificia Deum ſibi reconciliet. Diſcedit uates. quem dum Saul per uim retinere nititur, ueſtem eius abrumpit. Ibi propheta: Sic, inquit, regnum à te abrumpetur, ac utro iuſto & bono dabitur. Rege autem ne ſic quidem remittente preces, paret: & Agago adduci occidiq; iuſſo, illico Armathaim reuertitur: ac mandante Deo, Ieſſęum accedit, ut unũ ex filijs illius oleo regem inauguraret, qui ſibi monſtratus eſſet.

Saulis inſignes uictoriæ, & improbatio ob Amalechitarum prædam.

Saulis liberi.

Abenner.

David à Samuele Rex inauguratur.

Beth-

Bethleemam cum uenisset, se diuina facta Iessæum cum filijs accersit. & cum primogenitum, uirum magnum formosumque uidisset, illũ Deo placere opinatur. Sed Deus: Ne, inquit, uultum eius intuere, nec proceritatem corporis. nam ut homo faciem spectet, animum Deus intuetur. Prætergressis igitur Iessæi filijs omnibus, nec ullo eorum Deo placente, Iessæo dicit Samuel: Nullum horum elegit Deus, sed si quis alius tibi est, is prodeat. Tum Iessæus: Paruulus adhuc restat, qui oues pascit. Eum accersi Propheta iubet. Dauid accitus uenit, rufus cum pulchritudine oculorum, cætera etiam formosus: eum esse qui ungendus esset, Samueli significat Deus. itaque sumpta ampulla, oleo eũ in medio fratrum inungit, ac Armathaim redit. Spiritus autem diuinus in Dauidem insilit, ac à Saule recedit, pro quo illũ malus spiritus inuadit, præfocans & exagitans. Visum igitur est regi adiungere hominem cinnyra psallendi peritum, ut dæmonij insultus ac turbatio cantu illo sopiretur. Accersitur Dauid, ut idoneus ad eam rem, & à rege magnopere diligitur, adeò ut armiger eius appellaretur. Quoties igitur spiritus ille malus regem inuadebat, carminibus illius abigebatur, & Saul ad se redibat. Cum autem Palæstini bellũ Israelitis intulissent, atque hi in procinctu starent, quidam ex alienigenis stans in medio amborum exercituum, nomine Golias, uir robustus & magnitudine corporis omnibus superior, quippe statura VI cubitorum & dodrantis, cuius thorax siclorũ quinque millia pendebat, hasta instar iugi textorij erat, mucrone ferreo, sexcentorum siclorum pondere. Is igitur in medio stans, exclamat ad Israelitas: Descendat aliquis uestrûm, & mecum congrediatur. qui si me percusserit, seruiemus uobis: sin ego illum deiecero, uos nostri serui eritis. idque XL diebus continenter fecit. Dauid autem à Saule ad patrem Iessæum remissus, subinde in castra mittitabatur, ad afferendũ fratribus militantibus cõmeatum. Nam tres ex natu maioribus Saulem sequebantur. Cum igitur ad fratres uenisset, Golias rursus de more singulare certamẽ poscebat, & Hebræis exprobrabat, neminem secum congredi audere. Iis uerbis auditis indignatus Dauid, ad eos qui aderant ait, se cum illo pugnaturum. quo nũciato, rex Dauidi: Non, inquit, poteris pugnam cõmittere cum isto incircumciso, cum puer adhuc sis. Tũ Dauid, se Deo fretum esse respondet, qui sibi cõtra ursam uires dedisset, & contra leonẽ, qui gregẽ inuasissent, & pecudes rapuissent. eos se persecutũ, & rapta recuperasse, & percussisse bestias, atque occidisse. Eo igitur se esse fretũ, qui & alienigenã illũ sibi perimendũ sit traditurus, & ignominiã Israeliticę gentis depulsurus. Ac ille quidem hęc dicebat. Rex autẽ ire permittens, sua illi arma accõmodat. quib. Dauid grauatus, uti recusat: sed baculo sublato, & quinque lapidib. in pera cõditis, cũ funda sua ad alienigenã properat. At ille per derisum interrogat, Nũ ad canem cũ baculo & lapidibus

Dauid in aulam regiam asciscitur.

Dauidis & Goliæ pugna.

καὶ ἀπελθὼν εἰς Βηθλεέμ, καὶ θύσας, κέκληκε τὸν Ἰεσσαὶ σὺν υἱοῖς αὐτοῦ. καὶ ἰδὼν τὸν πρωτότοκον μέγαν τε καὶ καλόν, ᾤηθη ἐπ' αὐτῷ τὸν θεὸν εὐδοκεῖν. ὁ δὲ θεός, μὴ ἐπιβλέψῃς, εἶπεν, ἐπὶ τὴν ὄψιν αὐτοῦ, μηδ' εἰς τὸ τοῦ σώματος μέγεθος. ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον ὄψεται, ὁ δὲ θεὸς εἰς καρδίαν. παρελθόντων δὲ καὶ τῶν ἄλλων παίδων τοῦ Ἰεσσαί, ἐπ' οὐδενὶ εὐδοκήσαντος ὁ θεός. καὶ εἶπε Σαμουήλ, οὐκ ἐξελέξατο κύριος ἐν τούτοις. καὶ εἴ ἐστιν ἔτι λοιπός, παρελθέτω. καὶ Ἰεσσαί, μικρὸς ἔτι ὑπολέλειπται, ἔφη, ποιμαίνων. κληθῆναι οὖν αὐτὸν ὁ προφήτης ἐκέλευσεν. ὡς δ' ἀνακληθεὶς ὁ Δαβίδ, πυρράκης μετὰ κάλλους ὀφθαλμῶν καὶ τἆλλα καλός, τοῦτον εἶναι τὸν χρισθησόμενον, δηλοῖ τῷ Σαμουὴλ ὁ θεός. καὶ λαβὼν ἐκεῖνος τὸ κέρας τοῦ ἐλαίου, ἔχρισεν αὐτὸν ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ. καὶ ἀπῆλθεν εἰς Ἀρμαθαίμ. πνεῦμα δὲ θεῖον ἐφήλατο τῷ Δαβίδ, ἐκ δὲ Σαοὺλ ἀπέστη, καὶ πνεῦμα πονηρὸν μετῆει αὐτόν, συμπνῖγον καὶ κακοῦν τὸν ἄνδρα. ἔδοξεν οὖν παρεστῶσί τισι τῷ βασιλεῖ, εἰδότα ψάλλειν μετὰ κινύρας· ἵν' ὅτε προσπέσοι αὐτῷ τὸ δαιμόνιον ἐκταράττον, ψάλλῃ ἐν τῇ κινύρᾳ, καὶ κατευνάζῃ τὸν τάραχον. μεταπέμπεται τοίνυν ὡς τοιοῦτον τὸν Δαβίδ. καὶ ἠγαπήθη ἐκεῖνος σφόδρα παρὰ τοῦ βασιλέως, καὶ εἰς ὁπλοφόρον αὐτῷ ἐχρημάτισε. καὶ ἐν τῷ ἐπιέναι τῷ βασιλεῖ τὸ πνεῦμα τὸ πονηρόν, κατεπᾷδεν αὐτὸ καὶ ἀφίστατο, καὶ εἰς ἑαυτὸν ὁ Σαοὺλ ἐπανήρχετο. οἱ δ' ἀλλόφυλοι κατὰ τῶν Ἰσραηλιτῶν ἐπεστράτευσαν. ἀντικατέστησαν δὲ αὐτοῖς καὶ οἱ ἐξ Ἰσραήλ, καὶ ἐν μεταιχμίῳ τῶν στρατευμάτων ἀμφοῖν ἀνήρ τις τῶν ἀλλοφύλων στάς, Γολιὰθ ἐκείνῳ τὸ ὄνομα, ἀνὴρ δυνατὸς καὶ πάντων ὑπερανεστηκώς· πηχῶν γὰρ ἓξ καὶ σπιθαμῆς τὸ ὕψος αὐτοῦ, καὶ ὁ θώραξ αὐτοῦ πεντακισχιλίων σίκλων εἷλκε σταθμόν, καὶ τὸ δόρυ αὐτοῦ ὡς ἀντίον ὑφαινόντων, καὶ ἡ λόγχη τοῦ δόρατος σίκλων ἑξακοσίων. οὗτος ἐν μέσῳ στάς, ἀνεβόησε πρὸς τοὺς υἱοὺς Ἰσραήλ· καταβήτω τις ἐξ ὑμῶν, καὶ ἀντιστήτω μοι. καὶ ἐὰν πατάξῃ με, δουλεύσομεν ὑμῖν· ἐὰν δὲ ἐγὼ καταβαλῶ αὐτόν, ἔσεσθε ἡμῖν εἰς δούλους. καὶ τοῦτο ἐπὶ τεσσαράκοντα ἐποίει ἡμέρας. τὸν δὲ Σαοὺλ τὸν Δαβὶδ πρὸς Ἰεσσαὶ ἀναπέμψαντος, ὁ πατὴρ αὐτὸν ἔστελλεν εἰς τὸ στρατόπεδον, τοῖς στρατευομένοις τῶν ἀδελφῶν κομιοῦντα τὰ ἐπιτήδεια. τρεῖς γὰρ ἦσαν οἱ πρεσβύτεροι τῷ Σαοὺλ συνεπόμενοι. ἐλθόντος δὲ τοῦ Δαβὶδ πρὸς τοὺς ἀδελφούς, ὁ ἀλλόφυλος Γολιὰθ πάλιν, ὡς ἔθος αὐτῷ, εἰς μονομαχίαν προὐκαλεῖτο, καὶ τοὺς Ἑβραίους ὠνείδιζεν, ὅτι μηδεὶς αὐτῷ συμμῖξαι θαρρεῖ. ἀκούσας δὲ τῶν λόγων τούτων ὁ Δαβίδ, ἠγανάκτησε, καὶ εἶπε πρὸς τοὺς παρόντας· ἐγὼ μονομαχήσω αὐτῷ. ἀπηγγέλη τοῦτο τῷ βασιλεῖ. ὁ δὲ προσειπὼν αὐτῷ τῷ Δαβίδ, οὐ δυνήσει, ἔφη, διὰ μάχης χωρῆσαι πρὸς τοῦτον τὸν ἀπερίτμητον· παῖς γὰρ σὺ ἔτι. καὶ ὁ Δαβὶδ θαρρεῖν ἔλεγεν ἐπὶ τῷ θεῷ, ὃς αὐτῷ κατὰ τῆς ἄρκτου ἐνίσχυσε, καὶ κατὰ τοῦ λέοντος, ἐπερχομένων τῷ ποιμνίῳ, καὶ θρέμματα ἁρπαζόντων, ὡς διῶξαι αὐτούς, καὶ τὰ μὲν ἡρπασμένα ἀνασώσασθαι, πατάξαι δὲ τοὺς θῆρας, καὶ ἀνελεῖν. ἐπὶ τούτῳ ἔφη θαρρεῖν, ὡς καὶ τὸν ἀλλόφυλον πατάξαι δώσει αὐτῷ, καὶ ἐξελεῖν ὄνειδος ἐξ υἱῶν Ἰσραήλ. ὁ μὲν οὖν εἶπε ταῦτα. ὁ δὲ βασιλεὺς ἐπιτρέψας οἱ πορευθῆναι, καὶ περιδίδωσι τὰ οἰκεῖα ὅπλα αὐτῷ. καὶ ἦσαν ἄχθος αὐτῷ, καὶ ἀπεδύσατο ταῦτα· ἄρας δὲ τὴν βακτηρίαν, καὶ πέντε λίθους ἐν τῷ καδδίῳ ἐνθέμενος, καὶ τὴν σφενδόνην φέρων ἐν τῇ χειρί, πρὸς τὸν ἀλλόφυλον ὥρμησεν. ὁ δὲ κατεγέλα αὐτοῦ, καὶ ἐπυνθάνετο, εἰ πρὸς κύνα τῇ βακτηρίᾳ καὶ τοῖς λί-

ὅτι ἀπὸ πάντων τῶν ἀδελφῶν ὁ Δαβὶδ ἐχρίσθη εἰς βασιλέα, καὶ ὅτι ὑπῆλθεν ἐπ' αὐτὸν [illegible] ἀπὸ Σαούλ.

ὅτι πνεῦμα πονηρὸν ἔπνιγε τὸν Σαούλ, ὁ δὲ Δαβὶδ ψάλλων μετὰ κινύρας [illegible] ἐχρημάτισε.

περὶ τῶν ἀλλοφύλων καὶ Ἰσραηλιτῶν· καὶ περὶ Γολιὰθ [illegible] ὁ Δαβὶδ αὐτὸν [illegible] καὶ περὶ τοῦ Γολιάθ.

ὁ Δαβὶδ [illegible] τῷ ἐνισχύσαντι αὐτὸν κατὰ τῆς ἄρκτου καὶ κατὰ τοῦ λέοντος.

ὅτι [illegible] Δαβὶδ τὰ [illegible], μόνον [illegible] λίθους φέρων, καὶ τὴν σφενδόνην.

βοῖς προσέλθοις; ὁ δὲ Δαβὶδ ὡς χείρω κυνὸς ἡγεῖσθαι αὐτὸν, ἀπεκρίνατο. ἐκεῖνος δ' ὀργισθεὶς καὶ μεγαλαυχήσας, δώσειν τὰς σάρκας αὐτοῦ τοῖς πετεινοῖς τε καὶ τοῖς θηρσὶν, ὥρμησεν ἐπ' αὐτόν. ταχύνας δὲ ὁ Δαβὶδ, καὶ λίθον τῇ σφενδόνῃ ἐνθέμενος, κατὰ μέτωπον ἐπάταξε τὸν πολέμιον. καὶ ἦν ἡ πληγὴ καιρία, καὶ ἔπεσεν ἐπὶ πρόσωπον ὁ ἀλλόφυλος. δραμὼν δὲ Δαβὶδ, καὶ τὴν ἐκείνου ῥομφαίαν ἀνασπασάμενος, ἐκτέμνει τὴν κεφαλὴν Γολιὰθ, καὶ σκυλεύει τὰ ὅπλα αὐτοῦ. ἐντεῦθεν τοῖς ἀλλοφύλοις δειλία ἐνέβαλε, καὶ ἔκλιναν εἰς φυγήν. Σαοὺλ δὲ τὸ οἰκεῖον αὐτοῖς ἐπάγει στράτευμα φεύγουσι, καὶ κτείνεται τῶν παλαιστινῶν πλῆθος πολὺ, καὶ πλείονες τραυματίζονται, καὶ τὸ στρατόπεδον αὐτῶν διαρπάζεται. τὴν κεφαλὴν δὲ Γολιὰθ προσάγει Δαβὶδ τῷ Σαοὺλ, τὴν δὲ ῥομφαίαν τῷ θεῷ ἀνατίθησιν. ἐπανιοῦσι δὲ τῆς στρατιᾶς, αἱ γυναῖκες συνῆλθον αὐτῷ, καὶ χορεύουσαι, χιλιάδας ὀλέσαι τὸν Σαοὺλ ᾖδον· αἱ δὲ παρθένοι, μυριάδας τὸν Δαβὶδ ἀφανίσαι, ἀντῇδον. ἐντεῦθεν πρὸς φθόνον ἠρέθισε τὸν Σαοὺλ, φήσαντα, καὶ τί αὐτῷ ὑστερεῖ πλὴν ἡ βασιλεία; καὶ ὑπεβλέπετο τὸν Δαβίδ. ὑποπεσόντος δὲ τῷ Σαοὺλ πνεύματος πονηροῦ, καὶ τοῦ Δαβὶδ κατᾴδοντος, ὡς ἔθος αὐτῷ, τὸ δόρυ ἔβαλεν ὁ Σαοὺλ κατ' αὐτοῦ. καὶ δὶς τοῦτο ἐποίησε, καὶ ὁ Δαβὶδ ἐξέκλινε· κύριος γὰρ ἦν μετ' αὐτοῦ. δεδιὼς δὲ αὐτὸν ὁ βασιλεὺς, χιλίαρχον ἐποιήσατο, ἵν' εἰς τοὺς πολεμίους ἀπιὼν, κινδυνεύσῃ. ὁ δὲ τῷ θεῷ συμμαχούμενος, εὐοδοῦτο. καὶ ὁ λαὸς ἠγάπα αὐτὸν, καὶ ἡ τοῦ βασιλέως θυγάτηρ Μελχὸλ ἤρα Δαβίδ. προσηγγέλθη δὲ ὁ ἔρως τῷ βασιλεῖ, καὶ ὡς εἰς λαβὴν ἐπιβουλῆς ἐχρήσατο τῷ ἔρωτι. ἔφη γὰρ, δώσειν αὐτῷ τὸ θυγάτριον, εἰ ἑκατὸν ἀκροβυστίας ἐνέγκοι αὐτῷ· οἰηθεὶς πεσεῖσθαι αὐτὸν τοῖς ἀλλοφύλοις μαχόμενον. τοῦτο μαθὼν ὁ Δαβὶδ, ἐπορεύθη μετὰ τῶν ὑπ' αὐτὸν, καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις, καὶ ἤνεγκεν ἀκροβυστίας τῷ Σαοὺλ ἑκατόν. ὁ δὲ Ἰώσηπος οὐχ ἑκατὸν ἀκροβυστίας κομίσαι τὸν Δαβὶδ, ἀλλ' ἑξακοσίας κεφαλὰς ἀλλοφύλων. καὶ ζευγνῦσιν αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα Μελχόλ. ὁρῶν δὲ τὸν Δαβὶδ καὶ τῷ θεῷ συμμαχούμενον, καὶ τῷ πλήθει φιλούμενον, ἔτι μᾶλλον ἐδεδίει, καὶ ἐπεβούλευεν αὐτῷ, καὶ κτανεῖν ἐπεχείρει. καὶ τῷ υἱῷ Ἰωνάθαν καὶ τοῖς πιστοτάτοις τῶν οἰκετῶν, τὴν ἀναίρεσιν αὐτοῦ ἐπιτέτακεν. Ἰωνάθαν δὲ φιλῶν τὸν Δαβὶδ, δηλοῖ αὐτῷ τὸ ἐπίταγμα, καὶ φυλάττεσθαι παραινεῖ, καὶ ἐπαγγέλλεται διαλεχθήσεσθαι περὶ αὐτοῦ τῷ πατρὶ, καὶ τὸ πᾶν ἐκφῆναι αὐτῷ. καὶ ποιεῖ ταῦτα καὶ διαλέχθη, καὶ μετήνεγκε πρὸς πραότητα. μεταβαλὼν γὰρ, μηδὲν ἀδικήσειν ὤμοσε τὸν Δαβὶδ ὁ Σαούλ. Ἰωνάθαν δὲ ταῦτα δηλώσας τῷ Δαβὶδ, ἀνάγει πρὸς τὸν βασιλέα αὐτὸν, καὶ ἦν ὡς πρὶν αὐτῷ παραμένων. τῶν δὲ Παλαιστινῶν κινηθέντων καὶ πάλιν, καὶ τοῖς Ἑβραίοις ἐπιόντων, ἀντιταξόμενος αὐτοῖς παρὰ Σαοὺλ ὁ Δαβὶδ ἀποστέλλεται, καὶ μετὰ νίκης ἐπάνεισι. τοῖς δὲ εὐτυχήμασι τοῦ ἀνδρὸς, καὶ ὁ κατ' αὐτοῦ φθόνος συνηύξετο τῷ Σαούλ, καὶ τοῦ πονηροῦ πνεύματος αὖθις ἐπελθόντος αὐτῷ καὶ συμπνίγοντος, παρῆν ὁ Δαβὶδ τὴν κινύραν κρούων, καὶ κατεπᾴδων αὐτόν. ὁ Σαοὺλ δὲ τὸ δόρυ κατέχων, ἠκόντισεν αὐτὸ κατὰ τοῦ Δαβίδ. ὁ δὲ προγνοὺς ἐξέκλινέ τε, καὶ ἀνεχώρησεν. ἀπέστειλε δὲ Σαοὺλ νυκτὸς φύλακας εἰς τὸν οἶκον Δαβὶδ, ἵνα μεθ' ἡμέραν κτάνῃ αὐτόν. γνοῦσα δὲ τοῦτο Μελχὸλ ἡ γυνὴ αὐτοῦ, διὰ θυρίδος τὸν ἄνδρα κατήγαγε, καὶ ἀπέδρα. ἐλθόντων δὲ τῶν Σαοὺλ πεμφθέντων ἐπὶ τὸν Δαβὶδ, ἡ Μελχὸλ τὴν κλίνην ἐσχημάτισεν, ὡς κεινος ἐν αὐτῇ κειμένου, καὶ τοῖς περιβλήμασιν ὑπέβαλεν ἧπαρ αἰγὸς νεοσφαγοῦς, ὡς αὐτῇ τούτου κινήσει τὸ

ὅπως λίθῳ διὰ σφενδόνης τὸν Γολιὰθ ἀνεῖλεν ὁ Δαβίδ, καὶ αὐχένα αὐτοῦ τῇ οἰκείᾳ ῥομφαίᾳ αὐτοῦ. καὶ ὅπως ἐτροπώσατο ἀλλοφύλους.

ὅτι ἀνέθετο Δαβὶδ τὴν ῥομφαίαν τοῦ Γολιὰθ τῷ θεῷ.

ὅπως φθονεῖται ὁ Δαβὶδ καὶ ἐπιβουλεύεται. ὅπως ἔβαλλε Δαβὶδ ὁ Σαοὺλ δαιμονιζόμενος, ὁ δὲ χείρων βάλλων τῷ δόρατι, καὶ ὑπεχώρησεν.

ὅτι ἤρα Δαβὶδ ἡ θυγάτηρ Σαούλ, καὶ ὑπὸ σχέσιν τὸν γάμον, ἃ [illegible] ἀκροβυστίας ἤνεγκεν αὐτῷ Δαβίδ, ἐγάμησεν ὁ Δαβίδ.

ὅπως ἐπεβουλεύθη ἀεὶ Σαοὺλ τῷ Δαβίδ. ὅπως καὶ πάλιν ὁ Δαβὶδ ἐνίκησε τοὺς πολεμίους.

ὅπως πρὸς τῶν ἀποσταλέντων τῷ Σαοὺλ ἡ θυγάτηρ αὐτοῦ [illegible] τὸν Δαβὶδ [illegible], καὶ ὅπως αἰγὸς νεοσφαγοῦς ἧπαρ τῇ κλίνῃ κατεσκεύασεν.

bus iret? Dauid respōdet, cum sibi cane deteriorem uideri. Tū ille iratus, uerbis arrogantib. se carnem eius feris & alitibus daturū minitans, contra Dauidem ruit. qui & ipse celeriter lapide fundæ imposito, frontem hostis ictu adeo uehemēti ferit, ut is pronus in faciē corrueret. Dauid accurrit, eductoq; Goliæ gladio, caput illi præcidit, & spolia eius legit. Ea re alienigenæ territi, in fugam uertuntur. Saul immisso fugientibus exercitu suo, magnā turbam occidit, plures uulnerat, castra diripit. Dauid Goliæ caput Sauli offert, gladium Deo consecrat. Redeunti domum exercitui occurrunt mulieres, ac saltantes, Saulem mille occidisse, canunt: Dauidem uerò decem millia deleuisse, respondent uirgines. Ea uerba Saulem ad inuidiam incitarunt, ut diceret, Quid ei præter regnum deest? & Dauidem suspectum haberet. Itaq; cum malo spiritu corriperetur, eumq; Dauid de more excantaret, lanceam contra illum mittit, idq; iteratò factū: sed Dauid præsidio diuino septus, ictum declinat. Deinde rex Dauidem metuens, tribunum militum creat, ut inter hostes periclitetur. At ille Deo adiutore rem bene gerit, populo charus. Nec non Melchol filia regis, illius amore capitur. quo Saul nunciato, struendarum insidiarum occasionem arripit, filiam ei se daturū pollicens, si C præputia alienigenatum sibi attulisset: fore sperās, ut in prælio caderet. Eo Dauid intellecto, cum suis militibus profectus, et cæsis hostibus, C Sauli præputia affert (Iosephus non C præputia, sed DC capita attulisse narrat) itaq; Melcholis coniugio potitur. Cæterùm Saul, qui eum & diuinitùs foueri, & publicè charum haberi cerneret, magis etiam formidare, insidiari, moliri necem. Igitur Ionathæ filio, & famulorum fidelissimis, cædem eius mandat. Verùm Ionathas, qui Dauidem amaret, mādatum patris ei refert, cauere iubet, cum patre acturum promittit, eiq; indicaturum omnia. Facit ita, & patris animum ad clementiam traducit, ut mutata sententia iuraret, se Dauidi nullam facturum iniuriam. & Dauidem, his renunciatis, ad regem adducit, ut sicut prius ei præstò esset. Cum autem Palæstini denuò se mouerent, & Hebręos inuaderēt: Dauid contra eos à Saule missus, re bene gesta reuertitur. Sed quo hic plurib. successib. utitur, eo grauiorē regis inuidiam subit. itaq; cum Sauli, quē malus genius denuò inuaserat atq; angebat, cū cinnyra præstò esset, & excantaret, Saul hastam correptam contra eum coniicit: at ille præuiso declinatoq; ictu, discedit. Saul uerò satellitibus noctu in Dauidis ædes missis, manè eum tollere decreuerat. Quo Melchol cognito, Dauidem per fenestrā demissum eripit. Mane cum Dauid abducendus esset, Melchol ita parato lectulo, quasi aliquis in eo iaceret, et stragulis cor de recēs mactatæ capræ supposito, cuius motu stragu-

Saul Dauidi inuidet & insidiatur.

Melchol Dauidi nubit, cuius ope & Ionathe fratris, regis insidias effugit.

Ionathas Dauidem monet.

Melchol Dauidē astu liberat.

ſtragula agitata opinionem afferrent, quaſi aliquis in lectulo recumberet, miſſos introducit, maritum ægrotare dicens: quo Saul nunciato, cum in lecto afferri iubet. Illi ſublato lectulo, reiectis'que operimentis, commentum depręhenſum regi nunciant. Sic Dauid uitata morte, Armathaim ad Samuelem ſeſe confert, cum eo Nabiothæ Ramæ degens. Saul eò quoque mittit ſatellites, qui Dauidem abducerent: qui cum eò perueniſſent, uaticinari & ipſi cœperunt. eo cognito rex alios mittit, quibus & ipſis eodem modo affectis, iterum mittit alios: qui cum & ipſi numine afflati eſſent, ipſe ira percitus, properè deſcendit, cum'que propè acceſsiſſet, itidem uaticinari cæpit. quo tempore qui ibi erant, celebratum illud protulerunt: Nunquid & Saul inter prophetas? Cum uerò ad Samuelem acceſsiſſet, alienata mente, exutis'que ueſtibus, totum diem, totam'que noctem nudus iacuit. Dauid inde aufugiẽs, Ionathæ patris contra ſe conatum ſignificat. quod cum ille non crederet, petit ut paterni animi periculum faciat, & ſibi extra urbem manẽti nunciet. Itaque Ionathas Dauidis apud patrem facta mentione, cum eum illius ſitire ſanguinem intellexiſſet, illi clàm ipſe omnem rem nũciat, & fuga ſalutem quærere iubet: Dauidem'que iureiurando ſibi obſtringit, ut ſui recordaretur, quòd ſi ipſe mortuus eſſet, liberis ſuis benefaceret. His Ionathas dictis reuertitur, Dauid Nabam ad Abimelechum pontificem ſe confert. Ei miranti cur ſolus iret Dauid: Mihi rex, inquit, arcani aliquid mandauit, quod nequis reſciſceret, ſolus adſum: hic autem conuenire me famulos meos iuſsit. His dictis, panes petijt. ſacerdos, ſe non niſi ſacros habere reſpondit: uerùm ſi à mulieribus puri eſſent, acciperet atque ederet. Tum Dauid gladium etiam dari ſibi petit: ſed cum ſacerdos nõ alia arma niſi Goliæ gladium ſe habere diceret, quem ipſe Deo conſecraſſet, eo Dauid accepto, Getham ad regẽ alienigenarum Anchum ſe cõfert. Ibi agnitus, & perterrefactus, inſaniam ſimulans, quaſi mentis impos & incedere & agere omnia. Sic ab alienigenis elapſus, in tribum Iudaicam proficiſcitur, & in ſpeluna Odolla delitescit, ubi fratres & cognati eum conueniebant. Pòſt & alij ad eum cõfluxere, circiter CCCC. Inde in Moabitidem abiens, regem orat, ut parentibus ſuis illic exulare liceret, donec ſuæ res exitũ aliquẽ ſortirentur. Obſequitur ille, & Ieſſæo cum ſua familia ſuſcepto, Dauid Gadis prophetæ iuſſu in terram Iudaicã redit. Saul ubi cognouiſſet, Dauidem manum feciſſe, conuocat amicos, cum eis expoſtulat, quaſi cum Dauide colludentibus. Doeg autem Syrus, Saulis ſeruus, qui adfuerat, cum pontifex Dauidi panes & Goliæ gladium dediſſet, regi nunciat, ut Dauidem ad pontificem profectum uiderit, ut pontifex eius nomine Deum conſuluerit, ut commeatum & Goliæ gladium illi dederit. Rex ponti-

Dauidis & Ionathæ fœdus.

Dauid ab Abimelecho pontifice uictũ & arma petit.

Dauid ſimulatione inſaniæ, euadit Anchi Getitæ ultionẽ.

CCCC Dauidis coniurati.

Moabiticũ exilium.

Doeg proditor ſacerdotes perimit.

ἐπίβλημα σαλευόμενον δόκησιν παρέχῃ, ὡς ἀνθρώπου ἐπὶ τῆς κλίνης τινὰ, εἰσάγει τοὺς σταλέντας, καὶ νοσεῖν τὸν ἄνδρα φησίν. οἱ δὲ ἀπήγγειλαν τῷ Σαούλ. καὶ ὃς ἐπὶ τῆς κλίνης αὐτὸν ἀχθῆναι διακελεύεται. ἀπελθόντων δὲ οἱ πεμφθέντες, καὶ τῆς κλίνης ἀράμενοι τὸ ἐπίβλημα, τὸ τέχνασμα κατενόησαν, καὶ τῷ βασιλεῖ κατηγγέλκασιν. οὕτω δὲ τὸν θάνατον ὁ Δαβὶδ ἐκφυγὼν, πρὸς Σαμουὴλ εἰς Ἀρμαθαὶμ παρελήλυθε, καὶ σὺν ἐκείνῳ διῆγεν ἐν Ναβιὼθ εἰς Ῥαμά. πέμπει τοίνυν κἀκεῖ ὁ Σαοὺλ τοὺς ἄξοντας τὸν Δαβίδ. οἱ δὲ ἀπελθόντες, καὶ προφητῶν ἐκκλησίαν εὑρόντες, καὶ αὐτοὶ προεφήτευον. τοῦτο μαθὼν ὁ βασιλεὺς, ἑτέρους πέμπει· κἀκείνων χρησθέντων ὁμοίως, ἄλλους ἀπέστειλε. καὶ τῶν τρίτων δὲ κατόχων γεγονότων τῷ πνεύματι, αὐτὸς ἐξώρμησεν ὑπ᾽ ὀργῆς, καὶ πλησιάσας, προφητεύειν ἤρξατο καὶ αὐτός. ὅτε καὶ τὸ ᾀδόμενον οἱ ἐκεῖ παρόντες ἐφθέγξαντο, τὸ, εἰ καὶ Σαοὺλ ἐν προφήταις; ἐλθὼν δὲ ὅπη ἦν Σαμουὴλ, ἔκφρων ὥσπερ γενόμενος, καὶ τὴν ἐσθῆτα περιδυσάμενος, γυμνὸς ἔκειτο δι᾽ ὅλης τῆς ἡμέρας καὶ τῆς νυκτός. ὁ δὲ Δαβὶδ ἐκεῖθεν ἀποδρὰς, καὶ πρὸς Ἰωνάθαν τὴν κατ᾽ αὐτοῦ τοῦ πατρὸς μεμήνυκεν ἐπιχείρησιν. ὁ δὲ ἠπίστει. ἀξιοῖ δὲ αὐτὸν ὁ Δαβὶδ, ἀπόπειραν ποιήσασθαι τῆς γνώμης τῆς πατρικῆς, καὶ ταύτην δηλῶσαι αὐτῷ ἔξω προσμένοντι τῆς πόλεως. προσαγαγὼν οὖν λόγους ὁ Ἰωνάθαν τῷ πατρὶ περὶ τοῦ Δαβὶδ, καὶ τὴν πατρικὴν προαίρεσιν ἐγνωκὼς, διψῶσαν τὸν θάνατον τοῦ ἀνδρὸς, ἀπαγγέλλει ταῦτα αὐτῷ λάθρα δι᾽ ἑαυτοῦ, καὶ σώζειν προτρέπεται ἑαυτὸν, καὶ ὁρκίζει τὸν Δαβὶδ μεμνῆσθαι αὐτοῦ· κἂν τύχῃ θανὼν, φυλάξασθαί τι χρηστὸν εἰς τοὺς ἐξ αὐτοῦ. ταῦτ᾽ εἰπὼν Ἰωνάθαν, ὑπέστρεψε. Δαβὶδ δὲ φυγὼν εἰς Ναβὰ, παραγίνεται πρὸς Ἀβιμέλεχ τὸν ἀρχιερέα. ὁ δὲ, πῶς μόνος ἥκει διεπυνθάνετο. κἀκεῖνος, ἐντετάλθαι τι παρὰ τοῦ βασιλέως εἶπεν ἀπόρρητον· καὶ ἵνα μή τις γνῷ περὶ τούτου, μεμόνωμαι. ἐνταῦθα δέ μοι συνελθεῖν τοῖς παιδαρίοις ἐπέταξε. ταῦτα εἰπὼν, ἄρτους ᾔτησε. καὶ ὁ ἀρχιερεὺς, μὴ ἔχειν ἄρτους ἄλλους ἢ τοὺς ἁγίους. καὶ εἰ ἀπὸ γυναικὸς ἐφυλάξασθε, λάβετε τούτους, καὶ φάγετε. ὁ δὲ καὶ ῥομφαίαν αὐτῷ δοθῆναι ἐζήτησε. μὴ ἔχειν μὲν ὁ ἀρχιερεὺς ὅπλον ἕτερον ἀπεκρίνατο, ἢ τὴν ῥομφαίαν τοῦ Γολιὰθ, ἣν αὐτὸς ἀνέθετο τῷ Θεῷ, καὶ ταύτην λαβὼν ὁ Δαβὶδ, εἰς Γὲθ ἀπελήλυθε πρὸς βασιλέα τῶν ἀλλοφύλων Ἀγχοῦς. καὶ γνωσθεὶς ὅς τις ἦν, καὶ φοβηθεὶς, μανίαν ὑπεκρίθη, καὶ ὡς ἔκφρων ἐπορεύετό τε καὶ ἔπραττεν. οὕτω δ᾽ ἐκ τῶν ἀλλοφύλων διασωθεὶς, εἰς τὴν Ἰούδα φυλὴν παραγίνεται, καὶ κρύπτεται εἰς τὸ σπήλαιον Ὀδολλάμ, ἔνθα οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ συγγενεῖς προσῆλθον αὐτῷ. ὅτε καὶ ἄλλοι ἐκεῖ συνερρύησαν, ὡς γενέσθαι πάντας περὶ τετρακοσίους. ἄπεισι δ᾽ ἐκεῖθεν εἰς τὴν Μωαβῖτιν, καὶ παρακαλεῖ τὸν βασιλέα Μωὰβ, παροικῆσαι παρ᾽ αὐτῷ τοὺς γονεῖς αὐτοῦ, ἕως ἂν εἴς τι τέλος ἥξει τὰ κατ᾽ αὐτόν. ὁ δὲ πείθεται, καὶ προσδέχεται τὸν Ἰεσσαὶ καὶ τὸν οἶκον αὐτοῦ. καὶ ὁ Δαβὶδ ἐπορεύθη εἰς τὴν γῆν Ἰούδα, τοῦ Γὰδ τοῦ προφήτου κελεύσαντος. ὁ Σαοὺλ δὲ μαθὼν, ὅτι πλῆθος ἤθροισται πρὸς Δαβὶδ, συγκαλεσάμενος τοὺς φίλους, ὠνείδιζεν αὐτοὺς, ὡς ἐκείνῳ προστιθεμένους. δοῦλος δέ τις Σαοὺλ, Σύρος τὸ γένος, Δωὴκ τοὔνομα, παρατυχὼν ὅτε τοὺς ἄρτους ὁ ἀρχιερεὺς ἐδίδου τῷ Δαβὶδ, καὶ τὴν ῥομφαίαν τοῦ Γολιὰθ, παρεστηκὼς τότε αὐτῷ, ἀπήγγειλε τῷ βασιλεῖ, ὡς εἶδε τὸν Δαβὶδ παραγενόμενον πρὸς τὸν ἀρχιερέα, καὶ ἐρωτῶντα δι᾽ αὐτοῦ τὸν Θεὸν, καὶ ἐπισιτισμὸν λαβόντα, καὶ τὴν ῥομφαίαν. μεταπεμψάμενος δὲ τὸν ἀρχιερέα

ὅτι διαφόρως προεφήτευον τότε πολλοί.

ὅτι ἤρξατο τὸ, εἰ καὶ Σαοὺλ ἐν προφήταις.

ἡ φυγὴ τοῦ Δαβίδ.

ὅπως τοὺς ἁγίους ἄρτους ἔφαγε Δαβὶδ, καὶ τὴν ῥομφαίαν τοῦ Γολιὰθ ἔλαβε.

ὅτι μανίαν ὑπεκρίθη Δαβίδ.

περὶ Δωὴκ τοῦ Σύρου, καὶ ὅπως κατεῖπε περὶ τῶν ἄρτων, καὶ τῆς ῥομφαίας. καὶ ὅπως δι᾽ αὐτὸ κατεκόπη ὁ ἀρχιερεὺς Ἀβιμέλεχ, καὶ τὸ γένος αὐτοῦ.

ἀρχιερέα ὁ βασιλεύς, ἐπεγκάλει αὐτῷ συνωμοσίαν μετὰ Δαβίδ. καὶ προσέταξε τοῖς περιεστῶσιν αὐτῷ ὁπλίταις κτεῖναι τὸν ἀρχιερέα, καὶ πᾶσαν τὴν γενεὰν αὐτοῦ. τῶν δὲ ὀκνούντων ἐπενεγκεῖν χεῖρας τοῖς τοῦ θεοῦ ἱερωμένοις, τῷ Δωὴκ ἐπιτρέπει τὸν φόνον. ὃς ἀπέκτεινεν ἅπαντας, τριακοσίους ὄντας καὶ πέντε. καὶ τὴν πόλιν αὐτῶν ἐπεστράτευσεν, ἀνεῖλεν ἅπαντας ἀνδρῶν, καὶ γυναικῶν, καὶ παίδων, οὐχ ἡλικίας φεισάμενος. εἷς δὲ μόνος υἱὸς τοῦ ἀρχιερέως διέδρα τὸν θάνατον, Ἀβιάθαρ καλούμενος. ὃς φυγὼν πρὸς Δαβίδ, ἀπήγγειλε τὰ γενόμενα. τῶν δὲ ἀλλοφύλων ἐμβεβληκότων εἰς Κειλά, καὶ τὴν χώραν λῃζομένων, ὁ Δαβὶδ κελεύσαντος τοῦ θεοῦ ἐπῆλθεν αὐτοῖς μετὰ τῶν τετρακοσίων, καὶ ἐπάταξεν αὐτούς, καὶ τὴν λείαν ἅπασαν ἐπανήγαγεν. στέλλει δὲ Σαοὺλ πλῆθος στρατιωτῶν, ἐκεῖ αὐτὸν ἀναιρήσοντας. ὁ δὲ ἀπῆλθεν ἐκ Κειλὰ εἰς τὴν ἔρημον. καὶ Σαοὺλ οὐκ ἐπαύετο ζητῶν θανατῶσαι αὐτόν. Ἰωνάθαν δὲ ἧκε πρὸς τὸν Δαβίδ, καὶ παρεθάρρυνεν αὐτόν, καὶ παρεκάλει ἐλπίδας ἔχειν χρηστάς. ἀπιὼν δὲ Δαβὶδ εἰς τὴν πέτραν κατέφυγε τὴν ἐν τῇ ἐρήμῳ Μαάν, καὶ ὁ Σαοὺλ ἐπῆλθε μετὰ πλήθους πολλοῦ, κἂν ἐκινδύνευσε ληφθῆναι Δαβίδ, εἰ μὴ ἄγγελος ἧκε τῷ Σαούλ, ὡς ἀλλόφυλοι τῇ χώρᾳ ἐπέθεντο. καταλιπὼν γὰρ τὸν Δαβίδ, τοῖς πολεμίοις ἐξώρμησεν. εἶτα ἀπηγγέλη αὐτῷ, ὡς ἐν τῇ ἐρήμῳ Γαδδὶ αὐλίζεται ὁ Δαβίδ, καὶ τρισχιλίους λαβὼν ἐπορεύετο. ἀπιὼν δέ, ὑπὸ τῆς γαστρὸς [illegible]. καὶ ἦν τὸ σπήλαιον ἐκεῖ, ἐν ᾧ Δαβὶδ καὶ οἱ μετ᾽ αὐτοῦ ἐνδότερον κατεκρύπτοντο. εἰσῆλθε Σαοὺλ εἰς ἀπόπατον. καὶ Δαβὶδ ἠρεθίζετο παρὰ τῶν μετ᾽ αὐτοῦ κτεῖναι Σαούλ. ὁ δὲ οὐκ ἐπείσθη. ἀλλὰ τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ λαθραίως ἐκτεμών, ἔλαβε. καὶ ἐξελθόντος τοῦ βασιλέως, προελήλυθεν ὁ Δαβίδ, καὶ ἐβόησεν ὀπίσω Σαούλ. καὶ ὁ βασιλεὺς ἐπέστραφη πρὸς τὴν φωνήν, καὶ προσκυνήσας Δαβίδ, καὶ εἰπὼν μὴ πιστεύειν ταῖς διαβολαῖς, ἰδοὺ παρέδωκέ σε κύριος εἰς τὰς χεῖράς μου. ὅτε γὰρ ἐν τῷ σπηλαίῳ τὸ τῆς διπλοΐδος σου πτερύγιον ἔτεμον, ῥᾷον ἦν μοι καὶ ἀνελεῖν σε· καὶ ἅμα τὸ τμῆμα αὐτῷ ὑπεδείκνυε. καὶ δικάσαι κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ἐξεβόησε. καὶ Σαοὺλ πρὸς ταῦτα κατανυγείς, ἦρε τὴν φωνὴν αὐτοῦ, καὶ κλαύσας ἔφη πρὸς Δαβίδ· δίκαιος σύ, ἐγὼ μὲν γὰρ αἴτιός σοι κακῶν, σὺ δέ μοι ἀνταπέδωκας ἀγαθά. ὅθεν πείθομαι, ὅτι βασιλέα σε Ἰσραὴλ τηρεῖ ὁ θεός. δὸς δή μοι πίστιν, ὡς οὐκ ἐξολοθρεύσεις τὸν οἶκόν μου, ἀλλὰ διατηρήσεις τὸ γένος μου. καὶ ὤμοσε Δαβὶδ τῷ Σαούλ, καὶ ἀπῆλθον ἀπ᾽ ἀλλήλων. ἐτελεύτησε δὲ τότε καὶ Σαμουὴλ ὁ προφήτης, ἀνὴρ δίκαιος καὶ χρηστός· ὃς ἦρξε τοῦ Ἰσραὴλ μετὰ τὸν Ἠλεὶ μόνος μὲν ἔτη δώδεκα, μετὰ δὲ Σαοὺλ ὀκτωκαίδεκα. καὶ Δαβὶδ εἰς τὴν ἔρημον ἀπῆλθε Μαάν, καὶ ἐπέστειλε πρὸς Νάβαλ τὸν Καρμήλιον, πλούσιον ἄνδρα, κείροντα τὰ ποίμνια αὐτοῦ, οὓς προσφωνοῦντας αὐτόν, καὶ ἀξιοῦντας δοῦναι τοῖς μετ᾽ αὐτοῦ καὶ αὐτῷ, καθὼς ἂν προαιροῖτο, ἀνθ᾽ ὧν ἀπαθῆ τηρήσειαν τὰ ποίμνια καὶ τοὺς ποιμένας αὐτοῦ. Νάβαλ δὲ σκληρὸς τυγχάνων, καὶ ἰταμός, ἀπανθρώπως τοῖς τοῦ Δαβὶδ ἀπεκρίθη, καὶ ἀναιδῶς. τίς ὁ Δαβίδ; καὶ τίς ὁ υἱὸς Ἰεσσαί; καὶ δραπέτην καλέσας αὐτόν. ἀλλὰ τούτοις θυμωθεὶς Δαβίδ, καὶ ὤμοσεν ἐξολοθρεῦσαι πάντα τὰ τοῦ Νάβαλ. καὶ ἀπῄει πρὸς ἐκεῖνον σὺν τετρακοσίοις ὁπλίταις. ἡ δὲ τοῦ Νάβαλ γυνή, συνετὴ οὖσα καὶ ὡραία, μαθοῦσα ὅπως τὰ Δαβὶδ προσεῖπε τῷ ἀνδρὶ αὐτῆς, καὶ ὡς ἐσώθη τὰ αὐτῶν [illegible], καὶ ὅσα τοῖς τοῦ Δαβὶδ ἀντεπεῖπεν ὁ Νάβαλ βλάσφημα, μηδὲν κοινωσαμένη τῷ οἰκείῳ ἀνδρί,

pontificem accersitum coniurationis cum Dauide initæ accusat, & à satellitibus cum omni progenie occidi iubet. Illis cædē uirorū Deo sacra offerentium reformidantibus, Doego id negotij dat. is iussa regis exequitur, omnib. interfectis, numero v & ccc. in ciuitatē corū quoque grassatus, sublatis prorsus omnib. nullo ætatis aut sexus respectu. Vnus duntaxat pontificis filius Abiathar fuga elapsus, Dauidi nunciat quid accidisset. Cum aūt alienigenæ Ceilā impressione facta, prædas ex agro agerent, Dauid autore Deo cum cccc eos aggressus, cædit, omnemq; prædā recipit. Tum Saul copias militū ad eum occidendū mittit: sed Dauid relicta Ceila, in desertum se cōfert. Saule aūt ne sic quidē ab eius occidendi cōsilijs discedente, Ionathas ad Dauidē profectus, cōfirmat hominē, & spem bonā habere iubet: sed cum Dauid in petrā deserti Maanis cōfugisset, Saule cum magnis copijs aggresso, in periculo captiuitatis fuisset, nisi nunciata hostium in regionē impressione, Saul relicto Dauide, ad sua tuenda se recepisset. Post hęc Sauli nunciatur, Dauidem in deserto Gaddi uersari. Assumptis igitur delectorum tribus millibus, inter eundum turbatis intestinis, in speluncam ad requisita naturæ secedit, in qua Dauid cum sua cohorte latitabat. qui cum à suis ad occidendum Saulem incitaretur, non obsequitur, sed laciniam uestis eius clam præcidit. Rege egresso, & ipse procedit, clamore post eum sublato. ad quem, cōuersum regem adorat, & sic infit: Noli fidem adhibere ô rex calumnijs. Ecce tradidit te Dominus in manus meas. Nam cum in specunca uestis tuæ laciniam præciderem, multo facilius teipsum occidissem. simulq; illam profert: &, Dijudicet inter me & te Deus, exclamat. Quę cum regis animum perculissent, sublata uoce cum eiulatu Dauidi dicit: Tu iustus es, nam cum ego malè de te sim meritus, tu in me beneficus extitisti: Quare credo te ad regnum Israelis asseruari à Deo. Verùm dato mihi fidem, te domū meam non euersurum, sed conseruaturum esse genus meū. Iurat Sauli Dauid, itaq; discedunt inuicē. Sub id tempus Samuel etiam moritur, uir iustus & bonus, qui post Elij obitum Israelitis præfuerat annos xii solus, cum Saule xviii. Dauid in desertum Maanis recedit, & ad Nabalem Carmelitā, hominē diuitem, qui greges suos tondebat, legatos mittit, petitum, ut sibi et suis, quantum ipsi uisum esset, impertiretur, ob defensos & greges & pastores eius. Nabal homo asper et ferox, Dauidicis inhumaniter respōdet, & impudēter: Quis, inquit, est Dauid? quis est Iessę filius? eumq; fugitiuū uocat. His cōtumelijs iritatus Dauid, se Nabalem cum omnibus suis deleturū iurat, & cum cccc armatis aduersus eum proficiscit. Verùm Nabalis uxor, matrona prudēs et formosa, cum resciuisset quē admodum Dauid maritū allocutus esset, & bona ipsorū custodisset, atq; ut maritus Dauidi cōtumeliose respōdisset: re cum illo nō cōmunicata,

Abiathar sacerdos.

Ceila direpta.

Ionathas Dauidem consolatur.

Saul Dauidem persequitur.

Dauid Sauli parcit.

Saulis cum Dauide fœdus.

Abigail Nabale sublato, Dauidi nubit.

λαβοῦσα

asinos multis et uarijs muneribus onerat, Dauidi obuiam proficiscitur. Ad quem cum peruenisset, honore præbito, rogat, ut iniuriæ mariti sui oblitus (cuius ingenium nomini responderet. Nabal enim uæcordiam significat) iraque deposita, ea quæ offerrentur, acciperet. Ille collaudata muliere, dataque uenia recedit. Reuersa domum, Nabali Dauidis hostilem accessum indicat: quo audito, et terrore & mœrore tanto oppressus est, ut post diem decimum uitam abruperit. Quo cognito, Dauid ad Abigæam mittit, eamque ambit. Illa, etsi talis uiri coniugio se indignam esse diceret, tamen ei nubit. Interea Saul Dauidi nihilominus insidiatur, cum tribus delectorum millibus iuxta collem Echelam castris positis, quo in loco Dauid cum suis CCCC uiris uersabatur. Is cum Amesa noctu in castra Saulis profectus, usque in tentorium regis dormientis penetrat, ubi Amesam ad trucidandum regem incitatum inhibet, hasta duntaxat & hydria regis ablata discedunt, nemine animaduertente: quamuis Abenerus multique alij circum regem iacerent. Itaque montis cacumine conscenso, Abenerem his uerbis inclamat: Cur non custodis regem? Ecce uobis ignaris quidam ingressi sunt, ad eum occidendum. Quære hastam & hydriam regis, ut intelligas, quale uos periculum fefellerit. Saul agnita uoce Dauidis, qui cum occidere potuisset, denuò sibi pepercisset, se peccasse fatetur, ac mentis errore affici: Dauidemque bono animo esse iubet, domumque suam reuerti. At ille: Dominus, inquit, quemque pro iustitia & fide sua remuneretur. cumque DC suis ad Anchum Gethæ regem se confert, atque ibi menses IIII commoratur. Cum autem Palæstini bellum Israelitis illaturi essent, Anchus Dauidi ait: Nunquid et tu cum tuis mecum ad bellum egredieris? Respondet ille, se strenuam operam nauaturum. Hostibus iam fines Israelitarum ingressis, Saul perturbatus, Deum consulit, utrum pugna ineunda sit: quo non respondente, Engastrimythum quærit, & mulierem conueniens, mutato habitu ne agnosceretur, petitque Samuelis sibi manes elici. qui cum euocati quibusdam carminibus uiderentur, Saul, Vehementer, inquit, angor. nam & alienigenæ contra me conuenerunt, & Deus à me recessit. Samuelis spectrum respondet, Fecit ea Dominus, quæ per me prædixerat, regnum abs te auferens, idque Dauidi tribuens, & populum hostibus subijciens. Tu uerò filijque tui cras cadetis. His auditis, Saul ingenti mœrore affectus, discedit. Iam castra posuerant hostes, & Dauid cum suis DC à tergo eorum statiua habebat. Verum satrapis non probabatur ea societas. Causabantur enim, metuendum esse, ne qua sibi clades ab eo inferretur in bello, ad populares suos se conferente. itaque petunt, ut discedat. & Anchus Satrapis obsequens, eum abire iubet. Discedit igitur cum suis Dauid Sicelagem, ab Ancho sibi ad habitandum assignatam. incensam reperit: uxoresque suas ambas cum omnibus qui ibi fuerant,

Dauid Sau- castra in- ïis, bo- rcit.

Dauid ad Anchum Getæ regem se confert.

Saul manes Samuelis elicit, et cum Ionatha filio à Palestinis interit.

Dauid à Palestinis dimissus, Amalechitas persequitur

λαβοῦσα ἐπὶ τῶν ὄνων ξένια παντοῖά τε καὶ πολλά, πρὸς τὸν Δαβὶδ ἐπορεύετο· καὶ συναντήσασα τούτῳ, προσεκύνησε. ἐδεῖτο δὲ, μὴ μνησικακῆσαι τῷ ἀνδρὶ αὐτῆς. εἶναι γὰρ ἐκεῖνον κατὰ τὴν κλῆσιν τὸ φρόνημα (ἀφροσύνην γὰρ ὁ νάβαλ δηλοῖ) ἀφεῖναι δὲ τὴν ὀργὴν, καὶ τὰ προσαγόμενα δέξασθαι. ὁ δὲ καὶ ἐπῄνεσε τὴν γυναῖκα, καὶ συγγνώμην νείμας, ὑπέστρεψεν. ἐπανελθοῦσα δὲ ἡ γυνὴ πρὸς τὸν νάβαλ, τὴν τοῦ Δαβὶδ ἔφοδον ἐκείνῳ μηνύει. καὶ ὃς δείματί τε καὶ λύπῃ κατασχεθεὶς, οὐ πλείους τι τῶν δέκα ἐπιβιοὺς ἡμερῶν, ἀπέρρηξε τὴν ζωήν. καὶ τοῦτο μαθὼν ὁ Δαβὶδ, ἀπέστειλε πρὸς ἀβιγαίαν μνώμενος αὐτὴν ἑαυτῷ. ἡ δὲ οὐκ ἀξίαν εἰποῦσα ἑαυτὴν εἶναι πρὸς συνοίκησιν τοιούτῳ ἀνδρὶ, ὅμως μέντοι ἀπῆλθε. καὶ λαβὼν αὐτὴν εἰς γυναῖκα Δαβίδ. ὁ δὲ Σαοὺλ ἐπιβουλεύων ἔτι αὐτῷ, καὶ μετὰ τρισχιλίων λογάδων στρατοπεδεύεται παρὰ τὸν βουνὸν ἐχελὰτ, ὅπου διέτριβεν ὁ Δαβὶδ μετὰ τῶν σὺν αὐτῷ τετρακοσίων ἀνδρῶν. νυκτὸς δὲ ἐπορεύθη Δαβὶδ αὐτὸς καὶ ἀμεσὰ εἰς τὴν παρεμβολὴν τοῦ Σαοὺλ, καὶ εἰσῆλθον, ὅπου ἦν καθεύδων σαούλ. καὶ τοῦ ἀμεσὰ ἀνελεῖν ὁρμηκότος αὐτὸν, οὐκ εἴασεν ὁ Δαβίδ. τὸ δόρυ δὲ τοῦ βασιλέως, καὶ τὸ ἀγγεῖον τοῦ ὕδατος λαβόντες ἐξῆλθον, μή τινος αἰσθομένου· καίτοι τε τοῦ ἀβεννὴρ τοῦ ἄρχοντος τῆς δυνάμεως αὐτοῦ, καὶ πολλῶν ἑτέρων κύκλῳ κειμένων τοῦ βασιλέως. ἀνελθὼν δὲ ἐπὶ τὸ ἄκρον τοῦ ὄρους Δαβὶδ, ἐβόησε πρὸς τὸν ἀβεννήρ· τί ὅτι οὐ φυλάσσεις τὸν βασιλέα; ἰδοὺ γὰρ εἰσῆλθόν τινες κτεῖναι αὐτὸν, καὶ ὑμεῖς οὐκ ἐγνώκατε. ζητήσατε οὖν τὸ δόρυ, καὶ τὸν φακὸν τοῦ ὕδατος. καὶ οἷον ἄρα ὑμᾶς παρῆλθεν ὁ κίνδυνος. ἐπιγνοὺς δὲ τὴν φωνὴν Δαβὶδ ὁ Σαοὺλ, καὶ ὡς ἐφείσατο καὶ αὖθις αὐτοῦ, δυνάμενος αὐτὸν ἀνελεῖν, ἐξημαρτηκέναι εἶπε, καὶ μεματαιῶσθαι, καὶ ἠξίου θαρρεῖν αὐτὸν καὶ ὑποστρέφειν εἰς τὸν οἶκον αὐτοῦ. ὁ δὲ, κύριος, ἔφη, δώσει ἑκάστῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ κατὰ τὴν πίστιν αὐτοῦ. καὶ ἀπῆλθε μετὰ τῶν σὺν αὐτῷ ἑξακοσίων Δαβὶδ πρὸς ἀγχοὺς τὸν βασιλέα τῆς γὲθ, καὶ διῆγεν ἐκεῖ τέσσαρας μῆνας. τῶν δὲ παλαιστινῶν ἐπὶ τὸν ἰσραὴλ ἐκστρατεῦσαι βουλομένων, ἔφη πρὸς Δαβὶδ ὁ ἀγχοὺς· συνεξελεύσῃ μοι εἰς τὸν πόλεμον σὺ καὶ οἱ μετὰ σοῦ; κἀκεῖνος αὐτῷ προθύμως συμμαχήσειν ὑπέσχετο. ἤδη δὲ τῶν ἀλλοφύλων τῇ χώρᾳ προσελασάντων τῶν ἰσραηλιτῶν, ὁ Σαοὺλ τεθορύβητο, καὶ τοῦ θεοῦ ἐπυνθάνετο, εἰ μαχήσεται· μὴ ἀποκρινομένου δὲ, ἐγγαστρίμυθον ἐζήτησε, καὶ ἐπορεύθη πρὸς αὐτὴν μετημφιεσμένος, ἵνα μὴ ὅς τις εἴη ἐπιγνωσθῇ, καὶ ᾔτησεν ἀναχθῆναι αὐτῷ τοῦ Σαμουὴλ τὴν ψυχὴν, καὶ ἐπῳδαῖς τισιν ἀναχθῆναι δόξασαν, εἶπε Σαοὺλ, θλίβομαι σφόδρα ὅτι συνήχθησαν κατ' ἐμοῦ οἱ ἀλλόφυλοι, καὶ ὁ κύριος ἀφέστηκεν ἀπ' ἐμοῦ. τὸ δὲ τοῦ Σαμουὴλ φάντασμα ἀπεκρίθη, ὡς πεποίηκέ σοι ὁ κύριος ὅσα πρός σε μεμήνυκε δι' ἐμοῦ, καὶ ἀφαιρεῖταί σου τὴν βασιλείαν, καὶ δίδωσιν αὐτὴν τῷ Δαβὶδ, καὶ τὸν λαὸν ὑποτάσσει τοῖς πολεμίοις. σὺ δὲ καὶ οἱ υἱοί σου αὔριον τεθνήξεσθε. καὶ λυπηθεὶς σφόδρα τοῦτο ἀκούσας Σαοὺλ, καὶ ἀπῆλθε. καὶ οἱ ἀλλόφυλοι ἐστρατοπεδεύσαντο. καὶ Δαβὶδ καὶ οἱ μετ' αὐτοῦ ἑξακόσιοι, ὄπισθεν. τοῖς δὲ σατράπαις οὐκ ἤρεσκε συστρατεύεσθαι αὐτοῖς τὸν Δαβὶδ, λέγουσι, μή τι κακὸν ἐργάσηται εἰς ἡμᾶς, ἐν τῷ πολέμῳ τοῖς ὁμοφύλοις προστιθέμενος. καὶ ἀποστρέφειν αὐτὸν ἠξίουν. καὶ ὁ ἀγχοὺς τοῖς σατράπαις πειθόμενος, ἀπελθεῖν ἐκέλευσε τὸν Δαβίδ. καὶ ὃς ἀπῆλθε μετὰ τῶν σὺν αὐτῷ, καὶ εὗρε τὴν σικελὰγ, ἣν δεδώκει αὐτῷ ἀγχοὺς εἰς κατοίκησιν, ἐμπεπρησμένην, καὶ τὰς γυναῖκας ἑαυτοῦ ἀμφοτέρας, καὶ ὅσοι ἦσαν ἐκεῖ,

ὅτι τὸ νάβαλ ἀφροσύνην δηλοῖ.

ὅπως ἐκ λύπης ἀπέθανε νάβαλ δαμασθείς, καὶ ἔλαβε Δαβὶδ τὴν γυναῖκα αὐτοῦ. καὶ ὅπως ἐπεβούλευσε σαούλ.

ὅπως κοιμωμένου τοῦ σαοὺλ ἐπέστη Δαβὶδ, καὶ οὐκ ἀνεῖλεν αὐτόν.

φακὸς ἀγγεῖον ὑδατηρόν.

περὶ τῆς ἐγγαστριμύθου, καὶ ὅπως ἐδεήθη ἀναχθῆναι σαμουὴλ ἐκ νεκρῶν, καὶ ὅτι ἀπέθανεν αὐτὸς ἅμα τῷ υἱῷ.

ἰκλῆ, αἰχμαλωτισθέντας παρὰ τῶν ἀμαληκιτῶν. καὶ ἀποδυράμενος ἐπὶ τούτῳ δαβίδ, καὶ οἱ μετ' αὐτοῦ. καὶ ἐρωτήσας τὸν θεὸν διὰ τοῦ ἀρχιερέως ἀβιαθάρ, εἰ καταδιώξεται ὀπίσω αὐτῶν; ἐπιτρέψαντος δὲ τοῦ θεοῦ, κατεδίωξε μετὰ τῶν τετρακοσίων. τοὺς δὲ διακοσίους, ἐπὶ φυλακῇ τῶν σκευῶν κατελελοίπει. καὶ εὑρὼν διεσκεδασμένους αὐτούς, ἐσθίοντάς τε καὶ πίνοντας, καὶ ἀφροντίστως αὐτοῖς ἐπελθὼν, πλὴν τετρακοσίων ἐν δρομάσι διαφυγόντων καμήλοις, πάντας ἀπέκτεινε, καὶ τὴν λείαν ἅπασαν ἀνεσώσατο. ἀναστρέψαντες δὲ οἱ μετὰ δαβίδ τετρακόσιοι, οὐκ ἤθελον συμμερίσαι αὐτοῖς καὶ τοὺς διακοσίους [illegible]. ἀρκεῖν δὲ ἀξιοῦν, σεσωσμένας τὰς ἑαυτῶν γυναῖκας. ἄδικον δὲ τὴν γνώμην ταύτην ἔκρινεν ὁ δαβίδ, καὶ ἐξ ἴσου πᾶσι δεῖν μερισθῆναι τὴν ὠφέλειαν ἀπεφήνατο. ὃ καὶ νόμος ἐκ τότε γέγονε, συμμερίζειν κελεύων τοῖς μαχομένοις τὰ λάφυρα κατὰ τὸ ἴσον, τοὺς τὰ σκεύη φυλάσσοντας. πολέμου δὲ συῤῥαγέντος τοῖς ἰσραηλίταις καὶ τοῖς παλαιστινοῖς, πλεῖστοι μὲν ἔπεσον τῶν ἑβραίων. καὶ οἱ τρεῖς δὲ παῖδες σαοὺλ ἔπεσον, καὶ αὐτὸς σαοὺλ ἐτέτρωτο εἰς τὰ ὑποχόνδρια. καὶ γνοὺς καιρίως βεβλημένος, καὶ οὐ ζησόμενος, ὡς [illegible] ὑπὸ ὁπλοφόρου αὐτοῦ, ἐκέλευσεν αὐτὸν, ἵνα μὴ ζῶν ἐπὶ τοῖς πολεμίοις ληφθῇ. τοῦ δὲ μὴ πειθομένου ποιῆσαι τὸ κελευόμενον, αὐτὸς ἐπέπεσεν ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἀπέθανεν, καὶ ὁ ὁπλοφόρος αὐτοῦ ὡς εἶδε πεσόντα τὸν βασιλέα, καὶ αὐτὸς ἀπέκτεινεν ἑαυτόν. τῇ δ' ἐπαύριον σκυλευόντων οἱ ἀλλόφυλοι τοὺς πεσόντας τῶν ἰσραηλιτῶν, ἐντυχὸν τοῖς νεκροῖς τοῦ σαοὺλ καὶ τῶν παίδων αὐτοῦ ἐν τοῖς ὄρεσι γελβουέ, καὶ ἐκτεμόντων τὰς κεφαλὰς αὐτῶν, εἰς τὴν οἰκείαν ἔπεμψαν χώραν, πανταχοῦ [illegible] ταύτας, καὶ εὐαγγελιζόμενοι. καὶ τὰς πανοπλίας αὐτῶν ἀνέθηκαν τοῖς οἰκείοις θεοῖς, τὰ δὲ σώματα ἀνεσταύρωσαν παρὰ τὸ τεῖχος μεθοράμ, ἣ μετὰ ταῦτα ἐκλήθη σκυθόπολις. τῶν δὲ τὴν πόλιν ἰαβὰς οἰκούντων ἐν γαλαὰδ μαθόντων [illegible] σαούλ, ἐξελθόντες οἱ δυνατώτεροι, καὶ δι' ὅλης τῆς νυκτὸς συντείναντες τὴν πορείαν, καθεῖλον τὰ σώματα σαοὺλ καὶ ἰωνάθαν. καὶ ἀπενεγκόντων εἰς ἰαβὶς, ἔκαυσαν ταῦτα. καὶ τὰ ὀστᾶ συλλέξαντες, ἔθαψαν. ἐβασίλευσε δὲ σαοὺλ ζῶντος ἔτι τοῦ σαμουὴλ, ὀκτωκαίδεκα ἔτη, ἐκείνου δὲ ἀποθανόντος, δύο καὶ εἴκοσι. ἄρτι δ' ἐπανῆλθε δαβὶδ ἐκ τῆς τῶν ἀλλοφύλων κοπῆς, καί τις ἀνὴρ προσῆλθεν αὐτῷ ἀπαγγέλλων τὴν ἧτταν τῶν ἰσραηλιτῶν, καὶ τὸν θάνατον τοῦ σαοὺλ καὶ τοῦ ἰωνάθαν. ἀνακρινόμενος δὲ εἰ ἀληθῆ ἀπαγγέλλει, εἶπε, καιρίαν πληγῆναι τὸν σαοὺλ, καὶ μὴ ἰσχύοντα δι' ἀσθένειαν ἑαυτὸν ἀνελεῖν, παρακαλέσαι αὐτὸν, ἵνα μὴ ζῶν τοῖς πολεμίοις ἁλῷ, ἐπερεῖσαι αὐτῷ τὴν πληγὴν ἐπιπεσόντι τῇ ἰδίᾳ ῥομφαίᾳ, ὃ ποιῆσαι κατὰ τὸ ἐπίταγμα. καὶ τὸν βασιλέα [illegible], ὃ εἰς πίστιν τῶν λόγων προὔτεινε τὸν ἐπὶ τῆς κεφαλῆς ἐκείνου βασίλειον στέφανον, καὶ τὸν ἐπὶ τοῖς βραχίοσι χρυσὸν, καὶ ἐδίδου δαβίδ. ἐθρήνησαν δὲ δαβὶδ καὶ οἱ μετ' αὐτοῦ τὸν σαοὺλ, καὶ τὸν ἰωνάθαν. τὸν δὲ τὸν σαοὺλ ἀνελόντα ἐκόλασεν, ὅτι τοῦ χριστοῦ κυρίου τὴν χεῖρα ἐπήνεγκε, καὶ μετὰ ταῦτα τοῦ θεοῦ κελεύσαντος, εἰς χεβρὼν ἀνέβη πόλιν ἰούδα, μετὰ ἀμφοῖν τῶν γυναικῶν αὐτοῦ, ἀχινοὰμ καὶ ἀβιγαίας, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ πανοικί. ἔνθα βασιλεὺς αἱρεῖται παρὰ τῆς ἰούδα φυλῆς. εὐλόγησε δὲ δαβὶδ τοὺς ἄνδρας ἰαβὶς, ὡς θάψαντας τοὺς τοῦ σαοὺλ καὶ τοῦ ἰωνάθαν νεκρούς. ὁ δὲ τοῦ σαοὺλ ἀρχιστράτηγος ἀβεννὴρ λαβὼν

ὅτι ἐν πόλει χεβρὼν ἐβασίλευσεν ὁ δαβὶδ παρὰ τῆς ἰούδα φυλῆς.

τὸν

[illegible Greek marginal notes]

fuerant, captas ab Amalechitis. Ea clade deplorata, per Abiatharem sacerdotem, Deum consulit, an persequendi sint hostes? Deo permittente, cum CCCC persequitur, CC ad impedimentorum custodiam relinquit. & sparsim comedētes bibentesq; adeptus, & ex improuiso aggressus, omnes cędit pręter quadringētos, qui cursoribus camelis effugerunt, omnemq; prædam recuperat. quadringenti Dauidici reuersi, manubias cum ducentis partiri recusant: bene cum illis actū dicentes, quòd uxores suas recepissent. Verùm Dauid eam sententiam ut iniustam damnat: & quicquid partum esset, ex æquo iubet diuidi. Quæ lex eo tempore adhuc durat, ut ad impedimentorum custodiam relicti, in partem manubiarum ueniant cum ijs qui pugnauere. Prælio inter Palæstinos & Israelitas commisso, plurimi ex Hebræis cadunt, & tres filij Saulis: qui & ipse lethaliter in præcordijs se uulneratum sentiens, ab armigero se confodi iubet, ne uiuus in hostium potestatem ueniat. quod cum ille recusaret, gladio incumbēs moritur. Quo armiger uiso, & ipse necem sibi consciscit. Postridie Palęstini dum interfectos Israelitas spoliāt, Saulis & liberùm illius cadauera in montibus Gelboenis reperiunt, ac resecta eorum capita domum mittunt, ubiq; spectatum proponunt, uictoriam sibi gratulantes, armis eorum dijs suis dedicatis. Cadauera uerò in cruces sustulerunt iuxta mœnia Methoræ, quæ postea Scythopolis est appellata. Saulis clade apud Iabinos Galaaditas cognita, fortissimi quiq; itinere per totam noctem continuato, Saulis & Ionathæ cadauera sublata, Iabim retulere: ijsq; crematis, ossa sepeliuerunt. Regnauit Saul, superstite adhuc Samuele, annos octodecim: eo defuncto, uiginti duos. Dauidi recens à cæde hostiū reuerso uir quidam Israelitarum stragem, & Saulis ac Ionathæ interitum nunciat. Rogatus, num uera nunciaret? respondet: Saulē letali uulnere accepto, cum ipse sese ob imbecillitatem occidere non posset, suam opem implorasse, ne uiuus in hostium potestatē ueniret. iuuisse igitur, ut qui gladio proprio iam incubuisset, eo ictu conficeretur: & sustulisse regem, ut mandasset. Quæ ut uera crederentur, regij capitis coronam & armillas aureas Dauidi offert. Saulem igitur & Ionatham Dauid cum suis luget: sed hominem illum supplicio afficit, qui uncto Domini manus attulisset. Deinde iussu Dei Chebronem ascendit, urbem Iudaicam, cum utraq; uxore, Achinoa & Abigæa, eiusq; milites cum omni familia. Ibi à tribu Iudaica rex declaratur, & Iabinos ob sepulti Saulis & Ionathæ officium collaudat. Abenerus autem Saulis imperator, reliquum

Saulis cum tribus filijs interitus.

Cadaueribus insultāt barbari.

Iabini Saulem sepeliunt.

Dauid nuncium Saulini interitus occidit.

Iebosthes ab Abenero rex salutatur.

reliquum herilem filium Iebosthem, totius Israelitici populi, Iudaica tribu excepta, regem salutat, tum annos quadraginta natum, qui biennium imperauit. Idemq; Abenerus Iudaicae tribui ob Dauidem regem creatum infensus, bellum infert. cui Ioabus Dauidis Imperator cum suis copijs occurrit, ac principio duodeni utrinque concurrunt: quibus mutua caede sublatis, & exercitibus congressis, Abenerij succumbunt. Ioabi fratres erant Abesa & Asabel, quorum hic pedum celeritate fretus, Abenerū persequebatur. monet ille, ut redeat: non obtemperantem, à tergo opportuno ictu illato, conficit. Tum perempti fratres Asahelis caede tristati, infesto cursu Abenerum petunt. At ille in uertice collis stans, Ioabum inclamat, ne inter » populares pugnam conciret. Nam & Asahel, » inquit, parum feliciter contemptis meis moni» tis, occubuit. Ioabus his uerbis obtemperandum ratus, receptui cani iubet, ac persequutionem inhibet. Extitit Hebraeis hoc intestini belli exordium, quod longissimo durauit tempore, cum quidem Dauidicorum uires augerentur, Saulinorum minuerentur. Dauidi Chebrone habitanti, è diuersis uxorib. sex nati sunt filij, quorum natu maximus fuit Ammon. Iebosthis porrò indignatio propter Abeneri cū patris Saulis pellice consuetudinem, causam illi praebuit ad Dauidem deficiendi. David missis ad Iebosthem legatis, uxorē suam Melcholem repetitum, obtinet, ut ea sibi à marito, cui uiro exulante à Saule desponsa fuerat, auulsa, remitteretur. Interim Abenerus cum senioribus populi & centurionibus agit, ut ad Dauidem se conferrent. Quo haud grauatim ab omnibus impetrato, ad Dauidē fide utrinq; iureiurando firmata profectus, cupideq; exceptus, ad conuocandum populū abit, ut David ab omnib. rex cōsalutaretur. Ioabus aūt Chebronē profectus, Abeneri defectione cognita, cū uirū apud Dauidem multis criminib. obiectis frustra calumniatus esset, clàm nomine Dauidis accersendū curat. Reuersum, & longius à suis, tanq; arcani quid cū eo acturus, seductū, pugione in ilia impacto, perimit. Quae res ingenti moerore Dauidē affecit, adeò ut diras ultrices interfectori imprecaret, & mortui exequias magno cum luctu honorificè celebraret. Paulo pòst Iebosthes per insidias dormiens occidit, eiusq; caput à duob. qui facinus id perpetrarant, Dauidi affertur. Is uerò adeò gratiam eis non habendam esse censuit, ut supplicio affici iuberet ob caedem domini. Deinde omnes Israelitae ad Dauidem se conferunt, cumq; regem omnium tribuum ungūt. Iudaicae tribus regnū suscepit David anno aetatis XXX: eiq; soli Chebrone annos VII imperauit, gēti uerò uniuersę III & XXX. Regno cō firmato, Chebrone cū suis Hierosolyma proficiscitur. Iebusaei tum urbem illam & terrā tenebant, cognati Chananaeis, à quibus ipsa etiam urbs Iebus appellabat. Ii caecis et claudis, alijsq; mutila-

Abenerus cum ad Dauidem defecisset, fraude Ioabi perit.

Melchol Dauidi restituitur.

David Iebosthe caeso totius Israelis rex declaratus, Hierosolyma occupat.

τὸν περιλειπόμενον υἱὸν τοῦ κυρίου αὐτοῦ τὸν Ἰεβοσθὲ, βασιλέα ἐπὶ παντὸς τοῦ Ἰσραὴλ, τῆς Ἰούδα χωρὶς, ἀναγορεύουσιν. ἦν δὲ τεσσαράκοντα ἐτῶν, ὅτε ἐβασίλευσεν ὁ Ἰεβοσθὲ, καὶ δύο ἔτη τῆς βασιλείας ἐκράτησεν. ὁ δὲ Ἀβεννὴρ δι' ὀργῆς ἐποιεῖτο τὴν τοῦ Ἰούδα φυλὴν ὡς βασιλεύσασαν τὸν Δαβὶδ, καὶ ὥρμησε κατ' αὐτῆς. ἀπήντησε δ' αὐτῷ μετὰ δυνάμεως Ἰωὰβ, ὃς ἦν τοῦ Δαβὶδ ἀρχιστράτηγος. καὶ πρῶτον μὲν δώδεκα ἐξ ἑκατέρας ἐμονομάχησαν στρατιᾶς. πάντων δὲ πεπτωκότων ἐκείνων, καὶ ἄμφω αἱ στρατιαὶ ἀλλήλαις προσέβαλον, καὶ ἡττήθησαν οἱ τοῦ Ἀβεννήρ. Ἀβισαὰ δὲ καὶ Ἀσαὴλ ἀδελφοὶ Ἰωάβ. ὁ δὲ Ἀσαὴλ ἐπὶ ποδῶν ὠκύτητι σεμνυνόμενος, ἐδίωκεν ὄπισθεν Ἀβεννήρ, ὁ δὲ ἀναστρέφειν παρῄνει· ἐκεῖνος δὲ μὴ ἐπείθετο, πλήξας αὐτὸν ἐξόπισθεν καιρίως, ἀπέκτεινε. τοῦ τεθνεῶτος δ' οἱ συγγενεῖς διὰ τὴν τοῦ ἀδελφοῦ σφαγὴν ὀργιζόμενοι, μετῄεσαν τὸν Ἀβεννήρ. ἐκεῖνος δὲ στὰς ἐπὶ κορυφῆς τινος τῶν βουνῶν, ἐβόησε πρὸς Ἰωὰβ, λέγων, μὴ παροξύνειν πρὸς μάχην ἄνδρας ὁμοφύλους· καὶ Ἀσαὴλ γὰρ ἡμάρτηκε, μὴ πεισθείς μοι συμβουλεύοντι ἀναστρέφειν, κἀντεῦθεν τέτρωταί τε καὶ τέθνηκε. πεισθεὶς οὖν τοῖς λόγοις τούτοις ὁ Ἰωὰβ ἐγκελευσάμενος, ἀνακλητικὸν ἠχῆσαι ἐκέλευσε τὴν σάλπιγγα, καὶ τὴν δίωξιν ἔστησεν. ἀρχὴν δ' ἐξ ἐκείνου παρ' Ἑβραίοις ἔλαβεν ὁ ἐμφύλιος πόλεμος, καὶ διέμεινεν ἐπὶ πλεῖστον, τῶν μὲν τοῦ Δαβὶδ κραταιουμένων, ἀσθενούντων δέ γε τῶν τοῦ Σαούλ. ἐτέχθησαν δὲ τῷ Δαβὶδ ἐν Χεβρὼν ὄντι, ἐκ γυναικῶν διαφόρων υἱοὶ ἕξ, ὧν ἦν πρωτότοκος ὁ Ἀμνών. τοῦ δὲ Ἀβεννὴρ παλλακῇ μιχθέντος Σαοὺλ, ἠγανάκτησεν Ἰεβοσθὲ κατ' αὐτοῦ, διὰ τὴν παλλακὴν τοῦ πατρὸς αὐτοῦ. τοῦτο γέγονεν αἴτιον, τοῦ προσρυῆναι τὸν Ἀβεννὴρ τῷ Δαβίδ. ὁ δὲ Δαβὶδ στείλας πρὸς τὸν Ἰεβοσθὲ, τὴν ἰδίαν γυναῖκα ἐζήτει Μελχόλ. ὁ δὲ ἀφαρπάσας αὐτὴν τοῦ ἀνδρὸς, ᾧ μετὰ τὴν φυγὴν τοῦ Δαβὶδ ἡρμόσατο αὐτὴν ὁ Σαοὺλ, ἀπέστειλε τῷ Δαβίδ. Ἀβεννὴρ δὲ τοῖς γεραιοῖς τοῦ πλήθους τῶν Ἰσραηλιτῶν καὶ τοῖς ταξιάρχαις διαλεχθεὶς, μετατίθεσθαι συνέπεισε πρὸς Δαβίδ, τοῦτο καὶ αὐτῶν προθυμουμένων. τοῦτο δὲ ποιήσας, ἧκε πρὸς τὸν Δαβὶδ, ὅρκοις πίστεις ληψόμενος. καὶ δεχθεὶς ἀσμένως, ἀπῄει συναθροίσων τὸ πλῆθος, ἵνα παρὰ πάντων ἀναρρηθῇ ὁ Δαβίδ. ἐλθὼν δὲ πρὸς Χεβρὼν Ἰωὰβ, καὶ μαθὼν τὰ περὶ Ἀβεννὴρ, δείσας μὴ ὑπερίσχῃ ἐκεῖνος αὐτοῦ, κατεῖπε μὲν πολλὰ τοῦ ἀνδρὸς πρὸς Δαβίδ. μὴ πείθων δὲ, στέλλει λάθρα τοὺς καλέσοντας τὸν Ἀβεννὴρ ὡς ἐκ τοῦ Δαβίδ. καὶ ἐκεῖνος ἀνέστρεψε, καὶ ὑπαντήσας αὐτῷ Ἰωὰβ, καὶ ὥς τι μυστικώτερον αὐτῷ διαλεξόμενος, πόρρω τῶν οἰκείων ἀπαγαγὼν αὐτὸν, ἔκτεινε, ξίφει πατάξας ὑπὸ λαγόνα. Δαβὶδ δὲ τοῦτο μαθὼν, ἤλγησε σφόδρα, καὶ τῷ τὸν ἄνδρα κτείναντι κατηράσατο, καὶ ἐθρήνησε τὸν θανόντα, καὶ φιλοτίμως ἐνεταφίασεν. Ἰεβοσθὲ δὲ μετὰ μικρὸν ἐπιβουλευθεὶς, ἀνῃρέθη κοιμώμενος. καὶ οἱ τοῦτον ἀνελόντες, δύο ὄντες, τὴν κεφαλὴν λαβόντες αὐτοῦ, τῷ Δαβὶδ ἐπεκόμισαν. ὁ δὲ οὐ μόνον μὴ κεχαρισμένα πρᾶξαι αὐτῷ τοὺς ἄνδρας ἡγήσατο, ἀλλὰ καὶ ἀναιρεθῆναι προσέταξε, δίκας τοῦ φόνου πραττόμενος. εἶτα πᾶς Ἰσραὴλ προσέρχεται πρὸς Δαβὶδ, καὶ χρίουσιν αὐτὸν εἰς βασιλέα πασῶν τῶν φυλῶν. ἦν δὲ τριακοντούτης Δαβὶδ, ὅτε ἐπὶ τὸν Ἰούδαν ἐβασίλευσεν. καὶ ἦρξεν ἐν Χεβρὼν ἐπὶ τῆς Ἰούδα μόνης φυλῆς, ἐνιαυτοὺς ἑπτὰ, τριάκοντα δὲ καὶ τρεῖς τοῦ παντὸς Ἰσραήλ. ἀπῆρε δ' ἐκ Χεβρὼν αὐτός τε καὶ οἱ μετ' αὐτοῦ, καὶ παραγεγόνασιν εἰς Ἱεροσόλυμα. κατῴκουν δὲ τότε τὴν πόλιν καὶ τὴν γῆν ἐκείνην Ἰεβουσαῖοι, ὅθεν Ἰεβοὺς ἐκαλεῖτο ἡ πόλις. Χαναναῖοι δ' ἦσαν κατὰ γένος προσήκοντες, οἳ τοὺς τυφλοὺς καὶ χωλοὺς, καὶ ἄλλως πεπηρω-

[illegible]

[illegible]

[illegible]

ὅτι ὁ Δαβὶδ ... ἀνῃρέθη ... τοῦ Ἰεβοσθὲ ... Δαβίδ.

ὅτι τὴν αὐτὴν καὶ φιλονεικίαν ... Ἱεροσόλυμα κατεκράτησεν.

τεταγμένους σύβαντες ἐπὶ τῶν ἐπάλξεων ἐπὶ χλεύῃ, μὴ παραχωρεῖν αὐτὸν ἔλεγον τῷ Δαβὶδ τῆς εἰς τὴν πόλιν εἰσόδου. ὀργισθεὶς δὲ διὰ τοῦτο Δαβίδ, πολιορκίᾳ τὴν πόλιν εἷλε, καὶ τοὺς ἰεβουσαίους ἐκεῖθεν ὠσάμενος, καὶ ἀνοικοδομήσας αὐτήν, εἰς ὄνομα οἰκεῖον πόλιν Δαβὶδ ἐπωνόμασεν, ἐπὶ ἀβραὰμ σόλυμα καλουμένην· καὶ διέτριβεν ἐν αὐτῇ, βασίλεια δομησάμενος. ἐγένοντο δὲ ἐπὶ παῖδες αὐτῷ ἐκ γυναικῶν πλειόνων, καὶ παλλακῶν. καὶ ἐπεὶ ἀλλόφυλοι ἐστράτευσαν κατὰ τοῦ Δαβίδ, ὁ δὲ τοῦ θεοῦ ἐπινεύσαντος, ἔξεισι κατ' αὐτῶν μετὰ τῆς ἑαυτοῦ στρατιᾶς, καὶ νικᾷ. οἱ δὲ πολὺ πλείους συναθροισθέντες, πάλιν ἐπῄεσαν. ἐρομένου δὲ καὶ αὖθις τὸν θεὸν τοῦ Δαβίδ, ἐν
" τοῖς ἄλσεσι τοῦ κλαυθμῶνος προσέταξεν ὁ θεὸς αὐλί-
" ζεσθαι σὺν τῇ στρατιᾷ· καὶ μὴ ἄλλως προσβάλλειν τοῖς ἐ-
" ναντίοις, πρὶν ἂν τὰ ἄλση σαλεύεσθαι ἄρξωνται. καὶ οὕτω ποιήσας, τρέπει τοὺς πολεμίους. καὶ ἄχρι τῶν ὁρίων αὐτῶν διώκων αὐτούς, ἔκτεινε. μετὰ ταῦτα συνεκάλεσε Δαβὶδ τοὺς ἱερεῖς καὶ λευίτας, καὶ ἅπαντα τὸν λαὸν εἰς καριαθιαρίμ. καὶ ἐπεβίβασαν οἱ ἱερεῖς τὴν κιβωτὸν κυρίου ἐφ' ἅμαξαν καινήν, κατάγοντες αὐτὴν εἰς ἱεροσόλυμα. καὶ ὁ λαὸς καὶ ὁ βασιλεύς, ᾄδοντες ἔμπροσθεν αὐτῆς προβαινόμενοι. ἀνατραπῆναι δὲ κινδυνευούσης τῆς κιβωτοῦ, ὀζὰ ὁ υἱὸς τοῦ ἀμιναδάβ, ἐκτείνας τὴν χεῖρα, κατέσχεν αὐτήν, καὶ ἐπεσχέθη μὴ πεσεῖν. θνήσκει δὲ αὐτίκα, ὀργισθέντος τοῦ θεοῦ ὅτι ἥψατο τῆς κιβωτοῦ, ἐπεὶ μὴ ἱερωτο. καὶ ἐκλήθη ὁ τόπος ἐκεῖνος ἐντεῦθεν διακοπή. καὶ εὐλαβηθεὶς Δαβὶδ εἰσαγαγεῖν εἰς τὴν πόλιν τὴν κιβωτόν, κατέθετο δὲ αὐτὴν εἰς τὸν οἶκον ἀβεδαρὰ λευίτου ἀνδρός, καὶ ἦν ἐκεῖ τρεῖς μῆνας. καὶ ἀπέλαυσεν ὁ οἶκος τοῦ ἀνδρὸς ἐκείνου πολλῶν ἀγαθῶν. ἀκούσας δὲ Δαβίδ, μετεκόμισεν ἐκεῖθεν τὴν κιβωτὸν εἰς τὴν πόλιν τὴν ἑαυτοῦ, ἑπτὰ χορῶν προαγόντων. καὶ αὐτὸς τὴν κινύραν ἔκρουε, καὶ ἐχόρευε παίζων. ἰδοῦσα δὲ αὐτὸν ὀρχούμενον καὶ σκιρτῶντα ἡ γυνὴ αὐτοῦ μελχόλ, ἐμέμψατο αὐτῷ ὡς ἀσχημονοῦντι· ὁ δὲ οὐκ αἰδεῖσθαι εἶπεν· ἐπεὶ μὴ ἀσχημοσύνη ταῦτα, γενόμενα εἰς θεόν. εἰσήνεγκαν δὲ τὴν κιβωτόν, καὶ κατέθεντο εἰς τὴν σκηνήν, ἣν ἔπηξεν αὐτῇ ὁ Δαβίδ. ἔπειτα οἶκον δομήσασθαι τῇ κιβωτῷ βουλόμενος, καὶ ὁ θεὸς τῷ προφήτῃ νάθαν ἐντέλλεται εἰπεῖν πρὸς Δαβίδ, ὅτι οὐ σὺ οἰκοδομήσεις μοι οἶκον, ἀλλ' ὁ υἱός σου, ὃς σοῦ θανόντος τὴν βασιλείαν σου διαδέξεται. ταῦτα τοῦ προφήτου τῷ Δαβὶδ ἀπαγγείλαντος, ἐπ' αἴνους εἰς εὐχαριστίαν ἐτράπετο. καὶ μετὰ ταῦτα ἐπάταξε τοὺς ἀλλοφύλους, καὶ κατετροπώσατο αὐτούς, καὶ τοὺς συμμάχους αὐτῶν, καὶ τὴν συρίαν ὑπόφορον ἐποιήσατο, φρουρὰν ἐν δαμασκῷ καταστήσας. καὶ ἐν τῷ ἐπαναζεῦξαι γενόμενος, ἐπάταξε τὴν ἰδουμαίαν, καὶ ἐγένοντο πάντες ἰδουμαῖοι δοῦλοι τῷ Δαβίδ. μνησθεὶς δὲ ὁ Δαβὶδ τῆς πρὸς ἰωνάθαν τοῦ τῆς σαοὺλ συνθήκης, ἐζήτησεν εἴ τις ἐκ τοῦ γένους τοῦ σαοὺλ ὑπολέλειπται. καὶ μαθὼν περιεῖναι τὸν ἰωνάθαν υἱὸν βεβλαμμένον τοὺς πόδας, μεμφιβοσθὲ κεκλημένον, μετεκαλέσατο αὐτόν, καὶ ἐχαρίσατο τὴν τοῦ πάππου πᾶσαν ὕπαρξιν τῷ ἀνδρί, καὶ ὁμοδίαιτον ἑαυτῷ διὰ τέλους ἐκέλευσε. καὶ τοὺς πατρῴους οἰκέτας αὐτοῦ προσεπένειμεν. ὧν ἑνὶ σιβὰ καλουμένῳ, τὴν προσοδείαν τῶν δεδωρημένων ὑπὸ τοῦ κυρίου ἐπέτρεψε, καὶ προσάγειν ἐκείνῳ τὴν ἐκεῖθεν ὠφέλειαν. ὁ δὲ μεμφιβοσθὲ ἐν ἱεροσολύμοις ᾤκει, καὶ συνεσιτεῖτο τῷ βασιλεῖ. κατὰ δὲ τὸν τότε χρόνον θνήσκει ὁ τῶν ἀμμανιτῶν βασιλεύς, φίλος ὢν τοῦ Δαβίδ, ἐπὶ υἱῷ ἀνάν, ὃς τὴν πατρικὴν ἀρχὴν διεδέξατο. εἰς πέμψας οὖν πρὸς αὐτὸν ὁ Δαβὶδ τοὺς παρηγορήσοντας τὴν ἐπὶ τῷ πατρὶ λύπην αὐτοῦ, καὶ τηρεῖν τὴν φιλίαν ἀπαγγε-

προσβαλὼν Δαβὶδ κατὰ τῶν ἐναντίων, καὶ ἐνίκα αὐτούς.

περὶ δὲ εἰς ἱεροσόλυμα ἀναγωγῆς τῆς κιβωτοῦ, ἔτι καὶ ὁ Δαβὶδ ὕμνον ᾖσε περὶ αὐτῆς, καὶ ὁ ἀψάμενος αὐτῆς τεθνήκει, ὡς ἀσεβήσας.

ὅτι ἐν ἀσχημοσύνῃ ἐνόμιζε τὸ Δαβὶδ τὸ ὀρχεῖσθαι καὶ ψάλλειν ἔμπροσθεν τῆς κιβωτοῦ. ὅτι ἐκωλύθη Δαβὶδ οἰκοδομεῖν οἶκον τῇ κιβωτῷ.

περὶ ὧν ἀγαθῶν ἐποίει ὁ Δαβὶδ τῷ υἱῷ ἰωνάθαν. περὶ τῶν διὰ παροινίαν ἀτιμασθέντων πρέσβεων Δαβὶδ παρὰ τῶν ἀμμανιτῶν, καὶ ἀποκοπέντων τὰς πώγωνας καὶ τὰς ἐσθῆτας μέχρι τῶν ἰσχίων.

mutilatis ad propugnacula per derisum collocatis, eos aiunt urbis ingressu Dauidem prohibituros. Quo ludibrio commotus Dauid, urbē obsidione capit, & Iebusæis inde pulsis, instaurat, ac de suo nomine Dauidis urbē uocat, cum Abraahmi temporibus Solyma diceretur: constructaque regia ibi habitat, & alios liberos è pluribus uxoribus & concubinis suscipit. Alienigenas bellum inferentes, Dei nutu cum suis copijs egressus, uincit. Qui cum exercitu longe maiore reparato, denuò adessent, Dauid oraculo consulto, in lucis Luctus considere iu-
" betur cum exercitu, neque prius hostes aggredi,
" quàm luci agitari cœpissent. Paret Dauid, ho-
" stes fundit, & usque ad fines ipsorū cædib. persequitur. Post hæc sacerdotes & Leuitas omnēque populum Cariatharim cōuocat, arcamque in currum nouum sublatā sacerdotes Hierosolyma aduehunt, populo & rege cum cantu antecedētibus: quæ cum in periculo esset ne euerteretur, Oza filius Aminadabi extenta manu eam tenens, à lapsu defendit. iratoque Deo, quòd homo prophanus eā contrectasset, statim moritur. Vnde locus ille stragis nomen obtinuit. Veritus itaque Dauid in urbem introducere arcam, domi Abeddaræ Leuitæ deposuit: apud quem tres menses mansit, ac uiri illius domus multis bonis affecta est. Quo Dauid audito, eam in urbem suam transfert, septem cœtibus præcedentibus, cinyram ipse pulsans, & ludibundus saltans. Quem Melchol uxor saltantem & exultantem conspicata, ut indecorè se gerentem in-
crepat. At ipse, eius facti non pudere se ait, neque "
indecora esse illa, ut quę ad Dei honorē referren "
tur. Sic arcam intulerunt, & in tabernaculo, quòd Dauid in eum usum erexerat, colloca-
runt. Cæterùm ædem illi extructurum, Nathan "
propheta iussu Dei deterrens: Non tu, inquit, "
ædem mihi construes, sed filius tuus, qui re- "
gnum te mortuo suscepturus est. His Dauid à propheta nunciatis, ad gratiarum actionem conuersus, non multo pòst alienigenas eorumque socios cædit, fugatque, & Syriam sibi uectigalem reddit, præsidio Damasci collocato. In reditu item Idumæos sternit, omnibus in seruitutem redactis. Deinde recordatus icti cum Ionatha Saulis filio fœderis, quærit num quis ex eius familia superstes sit: cognitoque, Ionathæ filium Memphibosthem nomine, captum pedibus, superesse: accersit hominem, omnes auitas opes ei dohat, uictu secum communi perpetuo uti iubet, paternis etiam seruis ei traditis: quorum unum Sibam procuratorem facit, ut prouentus fundorum, quos herus dono acceperat, colligeret. Sic Memphibosthes Hierosolymis habitat, mensáque regia fruitur. Sub id tēpus Ammanitarū rex, Dauidis amicus, moritur: Annone filio relicto, patrij regni successore. Ad eum Dauid legatos mittit, qui luctum eius consolarentur: simulque nunciarent, Dauidem amicitiam erga illum quoque

Palestini bus cæsi à Dauide.

Arca Hierosolyma peruehitur.

Dauid Syriā & Idumæam subigit.

Memphibosthes Ionathæ filium locupletatur à Dauide

Ammanitarum cædes ob legatos Dauidicos ludibrio habitos.

conseruaturum. At ille exploratores esse legatos suspicatus, rasis ex parte barbis eorum, & semisse palliorum præsecto, dimittit homines. Quos cum sic affectos Dauid uideret, Ioabum tradita ualidissima parte copiarum contra Ammanitas mittit: qui commisso prælio, & ipsos & fœderatos eorum Syros, uincit. Illi post fugam denuò ascitis socijs, bellum redintegrant. Tum Dauid cum toto exercitu eos adortus, multos cædit, Sobaeum hostilium legionum ducem grauiter uulnerat: quo ex illo uulnere mortuó, Syri ex Mesopotamia socij Ammanitarum deditionem faciunt. Dauid Ioabum rursus contra Ammanitas mittit, qui cum eos in illius terræ Metropolim compulsos obsideret: ipse interim Hierosolymis degens, cum è regia mulierem nomine Bersaben, domi lauantem conspexisset, cum illa accersita rem habet. Quæ cum se esse grauidam Regi indicasset, Vriam (sic enim maritus eius uocabatur) ab obsidione auocat, & de exercitu percontatus, missis de cœna ferculis, domum ire iubet.

Dauidis cũ Bersabe adulteriũ, & Vriæ cædes.

» Verùm ille non abit: neque enim decere, cum
» Dux & commilitones in castris ærumnas ferrant,
» se cum uxore concumbere. Rege iterum hortante ut domum iret, & poculis ferè usque ad ebrietatem urgente, ille pro regiæ foribus somnum capit. Itaque Vriam in castra remittit Rex, traditis ad Ioabum literis, quibus ille iubebatur statuere Vriam, quà pugna esset asperrima, deserique ibi solum, reductis cæteris, ut ita perimeretur. Fiunt iussa Regis, Vrias occiditur, ab uxore lugetur, finitóque luctu mulier Dauidi nubit, ac filiũ parit. Ob hoc facinus iratus Deus, Nathanem ad Dauidem mittit, qui cum Rege congressus, hunc in modum infit dicere: Duo uiri fuerunt, quorum alter greges & armenta habuit, alter unam duntaxat agnam. Cum autem hospes quidam ad diuitem diuertisset, non de suis immolauit, sed pauperis agnam mactatam amico epulandam apposuit. Ibi Dauid, eum qui id fecerit, quadrupli & capitis condemnat. Tum Nathan:

Nathan Dauidem arguit.

» Contra te ipsum, inquit, ô Rex, sententiam tu-
» listi. Tu enim id facinus edidisti. eique adulteriũ & cædẽ cõmemorat, & iram Dei propter illa, & clades imminentes denunciat: atque inter cætera, mortem filij ex adulterio geniti. Da-
» uid se peccasse Deo cum dolore exclamat. Nathan uerò, Deum eius peccatum ab illo remouisse respondet. Post hæc natus ex Bersabe filius ægrotat: Dauid magno dolore affectus, ad septimũ diẽ cibo abstinet, pulláque ueste indutus, & in sacco iacens, Deũ pro uita pueri deprecatur. Septimo die puer moritur: quo ille cognito surgit, lauat, ueste mutata gratias Deo agit, & mẽsam parari sibi iubet. Quæ regijs ministris admiran-

ἀπαγγελοῦντας, καὶ ἐπ' αὐτῷ τὸν Δαβίδ. ὁ δὲ κατασκόπους εἶναι τοὺς πεμφθέντας ὑποληφθεὶς, ξυρήσας αὐτῶν παρὰ μέρος τοὺς πώγωνας, καὶ περιτεμὼν τὰ ἡμίση τῶν ἱματίων αὐτῶν, ἐξαπέστειλε τοὺς ἄνδρας. οὓς οὕτω διακειμένους ἰδὼν ὁ Δαβὶδ, τὸ τῆς στρατιᾶς ἀκμαιότατον ὑπὸ ἀρχιστρατήγῳ δοὺς Ἰωὰβ, κατὰ τῶν Ἀμμανιτῶν ἐξαπέστειλε. καὶ συμβαλὼν ἐκείνοις ὁ Ἰωὰβ, αὐτούς τε καὶ τοὺς συμμάχους Σύρους ἡττᾷ. καὶ τρέπονται εἰς φυγήν. οἱ δὲ καὶ πάλιν συμμάχους προσειληφότες, πρὸς πόλεμον ἤεσαν. καὶ ὁ Δαβὶδ σὺν πάσῃ τῇ στρατιᾷ συμβαλὼν αὐτοῖς, πολλοὺς μὲν ἀνεῖλεν. ὁ δὲ ἐξάρχων τῆς τῶν ἐναντίων δυνάμεως Σωβὰκ τρωθεὶς καιρίως ἐν τῷ πολέμῳ, τέθνηκεν ἐκ τοῦ τραύματος. οἱ σύμμαχοι δὲ τῶν Ἀμμανιτῶν Σύροι ὄντες ἐκ Μεσοποταμίας, ἑαυτοὺς παρέδωκαν τῷ Δαβίδ. αὖθις δὲ τὸν Ἰωὰβ ἐκπέμπει κατὰ τῶν Ἀμμανιτῶν, ὃς συγκλείσας αὐτοὺς εἰς τὴν τῆς χώρας αὐτῶν μητρόπολιν, ἐπολιόρκει. Δαβὶδ δὲ ἐν Ἱεροσολύμοις διάγων, καὶ ἐκ τῶν βασιλείων ἰδὼν γυναῖκα κατ' οἶκον λουομένην Βηρσαβεὲ καλουμένην, ἠράσθη αὐτῆς. καὶ μετακαλεσάμενος τὴν γυναῖκα, ἐμίγη αὐτῇ. συλλαβοῦσα δὲ, τῷ βασιλεῖ τὸ πρᾶγμα ἐδήλωσεν. ὁ δὲ τὸν ἄνδρα αὐτῆς ἐκ τῆς πολιορκίας ἐκάλεσεν, Οὐρίαν ὀνομαζόμενον. καὶ ἐρωτήσας περὶ τῆς στρατιᾶς, καὶ ἐκ τοῦ δείπνου αὐτῷ παρασχὼν, εἰς τὸν οἶκον αὐτοῦ ἐκέλευσεν ἀπελθεῖν. ὁ δὲ οὐκ ἀπῆλθε· μὴ δίκαιον εἶ-
«« ναι φήσας, τὸν στρατηγὸν καὶ τοὺς συστρατιώτας ταλαι-
«« πωρεῖσθαι ἐν τῇ παρεμβολῇ, αὐτὸν δὲ μετὰ τῆς γυναι-
«« κὸς συναυλίζεσθαι. πάλιν δὲ τοῦ βασιλέως προτρεπομένου αὐτὸν οἴκαδε ἀπελθεῖν, καὶ δεξιωσαμένου αὐτὸν πότοις, ὡς καὶ εἰς μέθην σχεδὸν περιαχθῆναι, ἐκεῖνος πρὸ τῶν θυρῶν τῶν βασιλείων κατέδαρθεν. ἀποστέλλει οὖν πάλιν εἰς τὸ στρατόπεδον τὸν Οὐρίαν ὁ βασιλεὺς, καὶ γραφὴν αὐτῷ ἐγχειρίζει πρὸς Ἰωὰβ, ἐν ᾗ ἐκελεύετο στῆσαι τὸν Οὐρίαν, ἔνθα τὸ τῶν πολεμίων δυσμαχώτατον, καὶ ὑποστραφῆναι τοὺς σὺν αὐτῷ, μόνον λιπόντας ἐκεῖ, ἵν' οὕτως ἀναιρεθῇ. καὶ γέγονε κατὰ τὸ τοῦ βασιλέως ἐπίταγμα. καὶ ὁ Οὐρίας ἀπέθανεν. ἡ δὲ γυνὴ αὐτοῦ ἐπένθησεν ἐπὶ τῷ ἀνδρί. παυσαμένην δὲ τοῦ πένθους, ὁ Δαβὶδ ἔλαβεν αὐτὴν εἰς γυναῖκα. καὶ ἔτεκεν αὐτῷ υἱόν. ὁ δὲ θεὸς ὠργίσθη, καὶ τὸν Νάθαν ἔστειλε πρὸς Δαβίδ. ὁ δὲ πρὸς τὸν βασιλέα ἐλθὼν ἔφη· δύο ἦσαν ἄνδρες, ὁ μὲν ἔχων ποίμνια καὶ βουκόλια, ὁ δὲ μίαν ἀμνάδα ἐκέκτητο. ξενωθέντος δέ τινος τῷ πλουσίῳ, οὐκ ἐκ τῶν οἰκείων ἔθυσεν, ἀλλὰ τὴν μίαν λαβὼν ἀμνάδα τοῦ πένητος, ἔσφαξε, καὶ τὸν φίλον εἱστίασεν. καὶ ὁ Δαβὶδ τὸν τοῦτο ποιήσαντα, τὴν μὲν ἀμνάδα εἰς τετραπλοῦν ἀποδοῦναι, ἐκεῖνον δὲ θανάτῳ κατεδίκασε. Νάθαν δὲ, καθ' ἑαυτοῦ τὴν ψῆφον εἰπὼν ἐξήνεγκας ὦ βασιλεῦ. σὺ γάρ εἶ ὁ ἐργασάμενος τουτὶ τὸ ἀνόμημα. καὶ τὴν μοιχείαν αὐτῷ, καὶ τὸν φόνον κατέλεγε, καὶ τὴν διὰ ταῦτα ὀργὴν τοῦ θεοῦ, καὶ ὅσα πείσεται προκατήγγελλε, θανεῖσθαι δὲ καὶ τὸν υἱὸν τὸν ἐκ τῆς μοιχείας αὐτῷ γεννηθέντα. ὁ δὲ Δαβὶδ, ἡμάρτηκα τῷ κυρίῳ, περιπαθῶς ἀνεβόησε. καὶ ὁ Νάθαν, παραβεβιβάσθαι αὐτῷ παρὰ τοῦ θεοῦ τὸ ἁμάρτημα, ἀπεκρίνατο. νόσῳ περιπίπτει ὁ ἐκ τῆς Βηρσαβεὲ γεννηθεὶς, καὶ ἄλγει σφόδρα Δαβίδ· ἐφ' ἡμέρας τε ἑβδόμην ἀπόσιτος ἦν. καὶ μελανειμονήσας, καὶ ἐπὶ σάκκου πεσὼν, ἐδέετο τοῦ θεοῦ ὑπὲρ τῆς ζωῆς τοῦ παιδός. τῇ δ' ἑβδόμῃ τέθνηκεν ὁ μὲν παῖς. αὐτὸς δὲ τοῦτο μαθὼν, ἐξανίσταται, καὶ λουσάμενος, καὶ μεταμφιεσάμενος, τῷ θεῷ ηὐχαρίστησε, καὶ τράπεζαν αὐτῷ ἑτοιμασθῆναι ἐκέλευσεν. ὡς δ' ἐθαύμαζον ἐπὶ

περὶ δὲ Βηρσαβεὲ, καὶ [illegible] Δαβὶδ, ἡ [illegible]

[illegible] μετὰ [illegible] Δαβὶδ [illegible]

περὶ δὲ [illegible] Βηρσαβεὲ [illegible] Δαβὶδ [illegible] αὐτὸν [illegible]

τοῖς

τοῖς γινομένοις οἱ τοῦ βασιλέως θεράποντες· ἐκείνου μὲν ἔτι ζῶντος τοῦ παιδός, ἤλπιζον παρακληθήσεσθαι τὸν θεόν, ἐταπείνουν ἐμαυτὸν καὶ ἱκέτευον. ἤδη δὲ θανόντος, ὡς ματαίαν τὴν λύπην καὶ τὴν περὶ ἐκείνου γίνεσθαι δέησιν. ἔτι δὲ ἔτεκε Βηρσαβεὲ τῷ Δαβὶδ υἱόν, καὶ ἐκάλεσεν αὐτὸν Σολομῶντα. ἰωὰβ δὲ πολιορκῶν τοὺς ἀμμανίτας, ἐν ἐγγὺς κομιδῇ τὴν ἅλωσιν εἶχε τῆς πόλεως, καὶ δηλοῖ τοῦτο τῷ βασιλεῖ. ὁ δὲ ἀπῆλθεν ἐκεῖ, καὶ τὴν πόλιν παρέλαβε, καὶ εἰς διαρπαγὴν τῇ στρατιᾷ ἀφῆκεν αὐτήν. τὸν δὲ τοῦ βασιλέως αὐτῆς στέφανον αὐτὸς λαβὼν ἐφόρει, ἕλκοντα χρυσοῦ τάλαντον, καὶ λίθον ἔχοντα τῶν πολυτίμων. τὸ δὲ τῆς πόλεως πλῆθος διέφθειρεν. οὕτως δὲ καὶ ταῖς ἄλλαις πόλεσι πεποίηκε τῶν ἀμμανιτῶν. καὶ εἰς ἱερουσαλὴμ ἐπανέζευξεν. ἦν δὲ τῷ Δαβὶδ θυγάτηρ Θάμαρ ὀνομαζομένη, ὁμομήτριος ἀδελφὴ τοῦ ἀβεσσαλώμ. ταύτης ἤρα ἀμνών, ὁ πρωτότοκος υἱὸς τοῦ Δαβίδ. καὶ ἦν ὁ ἔρως πολύς, ὡς καὶ νοσῆσαι τὸν ἐρῶντα. ἀφικομένου δὲ τοῦ πατρὸς πρὸς ἐπίσκεψιν αὐτοῦ, ἠξίωσεν αὐτὸν παραγενέσθαι τὴν Θάμαρ ὡς ὑπηρετήσουσαν αὐτῷ. ὁ δὲ κατένευσεν. ἧκεν οὖν ἡ Θάμαρ, καὶ ἡτοίμασεν αὐτῷ κολλυρίδας. ὁ δὲ πάντας ἐξέπεμψε, μόνην δὲ τὴν ἀδελφὴν ὑπηρετήσασθαι ἠξίου αὐτῷ. τῆς δὲ κόρης μόνης καταλειφθείσης, βιάζεται αὐτήν, καὶ διαπορήσας αὐτήν, μῖσος αὐτίκα ἔσχεν αὐτῆς θετὸν τοῦ πρὶν ἔρωτος. καὶ ἀπιέναι παραχρῆμα ἐκέλευε, καὶ κελεύει τῷ οἰκέτῃ αὐτὴν ἐκβαλεῖν. ἐκείνη δὲ διά τε τὴν βίαν καὶ τὴν ὕβριν περιαλγήσασα, διαρρήγνυσι τὸν χιτῶνα, καὶ κόνιν καταπασαμένη τῆς κεφαλῆς, ἐπορεύετο θρηνοῦσα. ὁ δὲ ἀδελφὸς αὐτῆς ἀβεσσαλώμ, ἡσυχάσαι αὐτῇ συμβουλεύσας, ἐμήνιε δὲ ἀμνὼν διὰ τὴν ἀδελφήν. ὁ δὲ βασιλεὺς μαθὼν τὸ συμβάν, ἤχθετο μέν, λυπῆσαι δὲ τὸν ἀμνὼν οὐκ ἤθελεν, ὅτι πρωτότοκος ἦν αὐτῷ. διετείας δὲ παρελθούσης, κείρειν ἔμελλεν ἄρτι τὰ ἴδια πρόβατα ὁ ἀβεσσαλώμ, καὶ ἐς πότον τοὺς ἀδελφοὺς συνεκάλεσεν. ἐντέταλτο δὲ τοῖς ὑπηρετουμένοις αὐτῷ, προχωροῦντος τοῦ πότου, πατάξαι τὸν ἀμνών, καὶ ἀποκτεῖναι. καὶ ἐποίησαν οὕτως οἱ παῖδες ἀβεσσαλώμ. ἰδόντες δὲ οἱ λοιποὶ τοῦ βασιλέως υἱοὶ τὸ γενόμενον, ἔφυγον. φήμης δὲ προελθούσης, ὡς ἔκτεινε πάντας τοὺς τοῦ βασιλέως υἱοὺς ἀβεσσαλώμ, διέρρηξε τὴν ἐσθῆτα αὐτοῦ ὁ Δαβίδ, καὶ ἔπεσεν ἐπὶ γῆν θρηνῶν. ἐν τοσούτῳ δὲ ἧκεσαν οἱ τοῦ βασιλέως υἱοί, καὶ τὸν φόνον τοῦ ἀμνὼν πενθοῦντες ἀπήγγελλον. ἀβεσσαλὼμ δὲ ἀπέδρα πρὸς τὸν πάππον τὸν πρὸς μητρός, τὸν βασιλέα τῆς Γεθ, καὶ ἐπὶ τριετίαν ἦν διάγων ἐκεῖ. τῆς ὀργῆς δὲ τῷ χρόνῳ λωφησάσης, καταλλαγῆναι τὸν βασιλέα τῷ ἀβεσσαλὼμ ὁ ἰωὰβ ἐσοφίσατο. γύναιον γάρ τι παρεσκεύασεν, ὡς πενθοῦν τῷ βασιλεῖ προσελθεῖν, καὶ ἀποδύρεσθαι, ὅτι δύο παίδων ὄντων αὐτῇ, καὶ θατέρου τὸν ἕτερον κτείναντος, οἱ συγγενεῖς ἀνελεῖν ζητοῦσι τὸν περιόντα, διὰ τὸν φόνον τοῦ ἀδελφοῦ. καὶ δεῖσθαι τοῦ βασιλέως χαρίσασθαι αὐτῇ τὴν τοῦ παιδὸς σωτηρίαν. ἡ μὲν οὖν προσελθοῦσα τῷ βασιλεῖ, περιπαθῶς ἅπαντα ταῦτα. ὁ δὲ βασιλεὺς τὴν ζωὴν αὐτῇ χαρίσασθαι τοῦ παιδὸς ἐπηγγέλλετο. καὶ ἡ γυνὴ χάριτας ὡμολόγει αὐτῷ. ἵνα δὲ ἐχέγγυον ἔχω μοι τῶν ὑπεσχημένων, εἶπε, πρῶτος αὐτὸς τῷ οἰκείῳ υἱῷ διαλλάγηθι, καὶ μὴ τῷ φόνῳ τοῦ παρὰ γνώμην σου θανόντος υἱοῦ, προσθήσεις ἑκούσιον ἕτερον. συνῆκεν ὁ βασιλεύς, σκῆψιν εἶναι τοὺς λόγους τῆς γυναικός, καὶ τούτους σοφισθῆναι παρ᾽ ἰωάβ, καὶ κατάγειν αὐτῷ ἐπιτρέψει τὸν ἀβεσσαλώμ.

admirantibus: Dauid, uiuente, inquit, puero spem habebam exorandi Dei, méque humilemae supplicẽ præbebã. Nunc illo mortuo, & mœror & preces pro illo fuerint irrita. Sed Bersabe alium Dauidi filium parit, quem Salomonem nominauit. Interea Ioabus Ammanitas in extremas obsidionis angustias esse redactos, regi significat. qui eò profectus, urbẽ capit, & militibus diripiendam donat: sed coronam regis auream, talenti pondere, gemma preciosa præditam, ipse gestandam sibi sumit, urbanam multitudinem trucidat, aliis que oppidis eodem modo tractatis, Hierosolyma regreditur. Habebat autem Dauid filiam Thamarem, uterinam Absalonis sororem. Eam primogenitus Dauidis filius Ammon uehementer deperibat, adeò ut ex amore in morbum incideret. Decumbentem pater inuisit: orat ille, ut Thamarem mittat, quò sibi ministret. Annuit pater: uenit puella, placentas ei parat. Ammon omnes discedere iubet, solámque sororem sibi ministrare. Tum puellam solam nactus, ui stuprat, & confestim ardens ille amor in par odium conuertitur: ac statim illam discedere, & à famulo eiici iubet. Illa & raptus & contumeliæ dolore, tunicam rumpit, & puluere consperso capite, plorans abit. Absalon sororem quietam esse iubet, pertinaci contra Ammonem ira æstuans. Nam rex etsi facinus illud iniquo ferebat animo, filium tamen, quòd primogenitus esset, contristare nolebat. Elapso biennio, suas oues tonsurus Absalon, fratres ad commessationem conuocat: mandato prius ministris dato, ut glíscente compotatione, Ammonem trucidarent. Parent illi. quo uiso, reliqui regij filij fugiunt: ortoque rumore, omnes eos ab Absolone cæsos, Dauid uestes suas lacerat, & humi stratus lamentatur. Interea cæteri ueniunt, Ammonis cædem mœstinunciantes. Absolon ad maternum auum Gethæ regem confugit, & triennium ibi commoratur. Regis ira spacio temporis paulo remissiore facta, Ioabus Absoloni regem huiusmodi commento reconciliare nititur. Subornat mulierculam, quæ lugubri specie regem adeat, conquerens, duos sibi fuisse filios, quorum unus alterum occiderit. Nunc cognatos superstitem ad cædem quærere, ob parricidium. orare igitur regem, ut salutem filij sibi condonet. Illa hæc apud regem perquàm dolenter exponit. Rex, filij salutem illi se donaturum pollicetur. Tum mulier gratias agit, sed ut pignus, inquit, habeam promissi tui: Tu ipse ô Rex in primis tuo filio reconciliare, neque cum eæde filij te inuito facta, uoluntariam coniunxeris. Animaduertit rex, commentum esse preces mulieris, Ioabo autore excogitatũ: eíque Absolonis reducendi dat potestatẽ.

Ammon, Thamare stuprata, ab Absalone cæditur.

Absolon ægre impetrato reditu, regnum affectat.

Ioabus

Ioabus igitur eum Hierosolyma reducit, ea tamen conditione, ut ne in conspectum patris ueniret, donec ipse tandem eum reconciliatus uocat, data petenti uenia, & obliuione iniuriæ promissa. Restitutus in integrum Absolon, equis, curribus, & multis satellitib. comparatis, regiam quottidie frequentat: populumque blandis alloquijs deliniens, multorum gratiam colligit. Iam quatuor annis à reditu elapsis, fingit se religionis ergò Chebronem profecturum, ad exoluenda uota, quæ in exilio fecisset. Annuit pater. Ille digressus, passim dimittit nuncios: plurimi ad illum confluunt, ac præter cæteros Achitophel, patri eius à consilijs. Ita rex ab omnibus salutatur.

David ab Absolone pulsus, illo cæso regnū recuperat.

Hoc Dauid cognito, cum ijs quos circum se habebat, Hierosolyma egreditur: comitantibus etiam sexcentis illis, quorum sub Saule opera usus fuerat. Neque ulla res mœrorem & metum eius magis auxit, quàm Achitophelis transfugium. nihilominus tamen Deum inuocat, & omnem illi euentum permittit. Chusus etiam Dauidis amicus, de illius sententia, defectione simulata, se ad Absolonem confert. Inter proficiscendum, occurrit Dauidi Memphibosthis seruus Siba, iugum asinorum agens, commeatum ferentium: & herum accusans, quòd Hierosolymis maneret, ac regnum populi suffragijs ad se rediturum esse expectaret. Ob quæ indignatus Dauid, omnia quæ Memphibosthi prius donarat, Sibæ largitur. Pòst in itinere Semeis eum aggreditur, uir Saulis cognatus, lapides iactans contra regem, & execrans illum, & uirum sanguinarium atque iniquum uocitans. Ad quem perimendum Dauid suos concitatos inhibuit, diuinitus illi ea mandata esse asserens; itaque missum faciendum. Ad Iordanem profectus, ibi suos defatigatos refecit. Absolon autem ubi Hierosolyma peruenit, Chuso se accedenti: Cur, inquit, patre, cui amicus es, deserto, me conuenis? Tum ille, Diuinitus, inquit, electo adero, & eum sequar, qui totius populi consensu rex est declaratus.

Sibæ in herum Memphibosthē calumnia.

Semeis importunitas.

Chusus defectione simulata, Achitophelis consilia euertit.

Deinde quid agendum esset, percontanti Absoloni, respondet Achitophel, constuprandas esse paternas concubinas: ut omnes, inquis, intelligant, irreconciliabiles esse tuas aduersus patrem inimicitias. Obtemperat ille consilio: sed cum idem decem millia uirorum peteret, ut regem Dauidem cum suis e uestigiò persequeretur, fatigatione eneruatos, ac illum quidem tolleret, hos autem reduceret: Absolon Chusum rogat, quid de eo consilio ipsi uideatur? Respondet ille, non esse id bonum. Nec enim ignoras, inquit, patris tui & militum eius fortitudinem, atque rei militaris usum. Ego uerò censeo, è tota prouincia colligendum exercitium, & ductu auspicijsque tuis patrem persequendum. Vinces

nimis

καὶ πορευθεὶς ἰωὰβ, ἤγαγεν αὐτὸν εἰς ἱερουσαλήμ· εἰς ὄψιν δ' ἐλθεῖν οὐ συγκεχώρητο τῷ πατρί. μετὰ δὲ ταῦτα καταλλάττεται ὁ βασιλεὺς τῷ ἀβεσσαλώμ. καὶ καλέσας αὐτὸν, συγγνώμην αἰτήσαντι δέδωκε, καὶ ἀμνηστίαν τοῦ ἁμαρτήματος ἐπηγγείλατο. ἵππους δὲ καὶ ἅρματα προσκτησάμενος ὁ ἀβεσσαλώμ, καὶ πολλοὺς ὀπαδοὺς, καθ' ἑκάστην ἀπῄει πρὸς τὰ βασίλεια. καὶ πρὸς χάριν τοῖς πλήθεσιν ὁμιλῶν, εὔνους αὐτῷ πολλοὺς παρεσκεύασεν. ἤδη δὲ τετραετίας παρερρυηκυίας μετὰ τὴν κάθοδον, σκήπτεται θυσίας χάριν εἰς χεβρὼν ἀπελθεῖν, ὡς εὐχὴν περιποιηκὼς, τυγχάνων ἐν τῇ φυγῇ. καὶ ἀφείθη πρὸς τοῦ πατρός. ἀπελθὼν δὲ, πρὸς πολλοὺς διεπέμψατο, καὶ πλεῖστοι πρὸς αὐτὸν συνερρύησαν. πρὸς δὲ τοῖς ἄλλοις καὶ ἀχιτόφελ, ὁ τοῦ πατρὸς αὐτοῦ σύμβουλος, καὶ ὑπὸ πάντων βασιλεὺς ἀνερρήθη. τοῦτο γνοὺς ὁ δαβὶδ, ἀπῆρε μετὰ τῶν περὶ αὐτὸν ἐξ ἱερουσαλήμ. καὶ οἱ ἑξακόσιοι ἄνδρες οἱ ἐπὶ σαοὺλ συνόντες αὐτῷ, συνήθεις αὐτῷ συνεξώρμησαν. ἠγγέλη δὲ καὶ ἀχιτόφελ προσρυεὶς τῷ ἀβεσσαλώμ· ὃ καὶ τὸν φόβον αὐτῷ μείζονα, καὶ πλείονα τὴν λύπην ἐποίησεν. ἐπικαλεῖται δὲ τὸν θεὸν, καὶ τὴν κρίσιν ἐπὶ πᾶσιν ἐκείνῳ ἐπιτρέπει. χουσὶ δ' ἑταῖρος ὢν τοῦ δαβὶδ, κατὰ γνώμην αὐτοῦ ψευδαυτομολεῖ πρὸς ἀβεσσαλώμ. προσάντησε δὲ τῷ δαβὶδ ἀπιόντι ὁ δοῦλος τοῦ μεμφιβόσθε σιβὰ, ζεῦγος ἄγων ὄνων φερόντων τὰ ἐπιτήδεια, καὶ τοῦ δεσπότου κατηγορῶν, ὡς μένοντος ἐν ἱεροσολύμοις, καὶ προσδοκῶντος αὐτῷ τὴν βασιλείαν περιελεύσεσθαι, διὰ τοῦ πλήθους αἱρουμένου αὐτόν. ἀγανακτήσας ἐπὶ τούτοις δαβὶδ, καὶ πάντα ὅσα τῷ μεμφιβόσθε πρὶν ἐδωρήσατο, τῷ σιβᾷ ἐχαρίσατο. εἶτα ἕπεται αὐτῷ κατὰ τὴν ὁδὸν σεμεεὶ, ἀνὴρ ἐκ τῆς συγγενείας σαοὺλ, καὶ λίθους κατὰ τοῦ βασιλέως ἠκόντιζε, καὶ κατηρᾶτο αὐτῷ, καὶ ἄνδρα αἱμάτων ὠνόμαζε, καὶ παράνομον. τῶν δὲ μετὰ δαβὶδ ὁρμώντων ἀνελεῖν τὸν σεμεεὶ, ὁ βασιλεὺς οὐκ εἴασεν, εἰπών· κύριος εἶπεν αὐτῷ ταῦτα ποιεῖν, ἄφετε αὐτόν. καὶ ἐλθὼν εἰς τὸν ἰορδάνην, ἐκεῖ τοὺς μετ' αὐτοῦ κεκοπιακότας ἀνέψυξεν. ἀβεσσαλὼμ δὲ παραγενόμενος εἰς ἱεροσόλυμα, ἐλθόντι πρὸς αὐτὸν τῷ χουσὶ, ἔφη· ἵνα τί ἑταῖρος ὢν τοῦ πατρός μου, πρὸς ἐμὲ ἥκεις ἐκεῖνον λιπών; ὁ δὲ, τῷ ἐκλελεγμένῳ παρὰ θεοῦ συνέσομαι, ἔφη, καὶ συνέψομαι τῷ ψηφισμένῳ παρὰ παντὸς τοῦ λαοῦ. τί δὲ δεῖ πρᾶξαι τὸν ἀχιτόφελ ἐρομένου ἀβεσσαλώμ, καὶ ὃς συνεβούλευσε ταῖς τοῦ πατρὸς μίσγεσθαι παλλακαῖς· ἵν' οὕτω γνοῖεν πάντες, ἄσπονδον εἶναί σοι τὴν ἔχθραν πρὸς τὸν πατέρα σου. καὶ ἐποίησε κατὰ τὴν συμβουλὴν ταύτην ἀβεσσαλώμ. αἰτήσαντος δὲ τοῦ ἀχιτόφελ μυρίους ἄνδρας, ὡς ἂν αὐτίκα καταδιώξῃ ὀπίσω τοῦ βασιλέως δαβὶδ, καὶ τῶν μετ' αὐτοῦ, ἐκλελυμένων ὄντων ὑπὸ τοῦ κόπου. καὶ τὸν μὲν πατάξῃ, τοὺς δὲ ἐπιστρέψῃ, ὁ ἀβεσσαλὼμ ἐρωτᾷ τὸν χουσὶ περὶ τῆς συμβουλῆς. ὁ δὲ, οὐκ ἀγαθὴν αὐτὴν ἀπεφήνατο, λέγων, ὡς οὐκ ἀγνοεῖταί σοι ἡ τοῦ πατρὸς, καὶ τῶν μετ' αὐτοῦ ἀνδρεία καὶ ἐμπειρία. δεῖν δὲ νομίζω ἐκ πάσης τῆς χώρας στρατιὰν συλλεξάμενον, οὕτως αὐτόν σε κατὰ τοῦ πατρὸς ὁρμῆσαι, καὶ στρατηγῆσαι τὸν πόλεμον, καὶ πάντως νικήσεις πρὸς βραχεῖς μετὰ πολλῶν συρρηγνύμενος. καὶ εἶπεν

ἀβεσσα-

περὶ δὲ λαθραίας τοῦ δαβὶδ ἐπαναστάσεως τοῦ ἀβεσσαλώμ, καὶ περὶ τοῦ ἀχιτόφελ τοῦ συναποστάτου ἀβεσσαλώμ.

περὶ δὲ τοῦ πλαστῶς αὐτομολήσαντος χουσὶ τοῦ ἑταίρου δαβίδ.

περὶ δὲ σεμεεὶ λοιδορήσαντος δαβὶδ καὶ καταρωμένου αὐτοῦ.

ὅπως ἐμίγη ταῖς τοῦ πατρὸς παλλακαῖς ὁ ἀβεσσαλώμ.

ὅπως τὴν τοῦ ἀχιτόφελ βουλὴν ἄπρακτον ἔλυσε χουσί.

ἀβεσσαλὼμ καὶ οἱ σὺν αὐτῷ· ἀγαθὴ ἡ βουλὴ Χουσί, ὑπὲρ τὴν βουλὴν ἀχιτόφελ. ταῦτα δὲ πάντα Χουσὶ τῷ Σαδδὼκ καὶ τῷ ἀβιάθαρ τοῖς ἱερεῦσι δηλῶσαι τῷ Δαβὶδ ἐντέλλεται. οἱ δὲ ἐστάλκασι πρὸς Δαβὶδ ἄνδρας τοὺς γνωριοῦντας αὐτῷ τὰ γινόμενα. ἀπηγγέλη δὲ τῷ ἀβεσσαλὼμ περὶ τῶν ἀνδρῶν, καὶ κατεδίωκεν αὐτούς. οἱ γνόντες ἐκεῖνοι, προσφεύγουσιν ἐν οἰκίᾳ τινός. καὶ εἰς φρέαρ καταδύντες, ἐκρύβησάν τε καὶ ἔλαθον. καὶ τῷ Δαβὶδ ἐκεῖθεν ἐξελθόντες, τὰ μηνυθέντα ἀπήγγειλαν. ὁ δὲ νυκτὸς σὺν τοῖς μετ' αὐτοῦ διέβη τὸν ἰορδάνην. ἀχιτόφελ μέντοι παρευδοκιμηθείς, καὶ γνοὺς ὅτι κακὰ συναντήσονται τῷ ἀβεσσαλώμ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀπήγξατο. ἀριθμήσας δὲ τοὺς μετ' αὐτοῦ ὁ Δαβίδ, τετρακισχιλίους εὗρε. καὶ εἰς τρεῖς διεῖλε μοίρας τὴν στρατιάν, ἑκάστῃ τε ἐπέστησε στρατηγόν, αὐτὸς δὲ συστρατεῦσαι παρὰ τῶν φίλων οὐ συγκεχώρητο, λεγόντων, ὡς εἰ μετ' αὐτοῦ τραπεῖεν, πάσης ἐλπίδος ἐκπεπτώκασιν· αὐτοῦ δὲ σωζομένου, ἔτι σφίσιν ἐλπὶς ὑπολέλειπται. ἐπιπέμπει οὖν τὸν λαὸν αὐτοῦ μαχησόμενον. καὶ παρεκάλει φείσασθαι τοῦ ἀβεσσαλώμ, εἰ νικήσοιεν. μάχης δὲ συρραγείσης, κρατοῦσιν οἱ τοῦ Δαβίδ, καὶ τὸν ἀβεσσαλὼμ ἐδίωκον φεύγοντα. φερόμενος δ' ἐφ' ἡμιόνου, καὶ εἰς δρυμὸν εἰσελθών, δρυῒ μεγάλῃ τῆς τριχὸς αὐτοῦ ἐμπλακείσης (ἔτρεφε γὰρ τὴν κόμην σφόδρα πολλήν) ἀπῃωρεῖτο τῆς δρυός· ἡ δ' ἡμίονος παρελήλυθε. καί τις ἀνηρτημένον οὕτω τὸν ἀβεσσαλὼμ θεασάμενος, καταμηνύει τῷ ἰωάβ. ὁ δὲ βαλὼν αὐτὸν τρισὶ κατὰ τῆς καρδίας βελῶν, ἐθανάτωσε, καὶ τὸν τὴν νίκην ἀπαγγελοῦντα τῷ βασιλεῖ ἐξαπέστειλε. μηνυθείσης δὲ τῆς νίκης αὐτῷ, εἰ ζῇ ὁ υἱός; ἐπυνθάνετο. ἀκούσας δὲ τεθνάναι αὐτόν, ἀπωδύρετο. ἐλθὼν δὲ πρὸς τὸν βασιλέα ὁ ἰωάβ, ἔπεισεν αὐτὸν παύσασθαι τοῦ θρήνου· παυσάμενός τε, καὶ τοῖς στρατιώταις ἐμφανισθείς, ἐπῄνεσεν αὐτούς. πάντες δ' ὡς πρὶν αὐτῷ ὑπετάγησαν, καὶ ἀπελήλυθεν εἰς ἱεροσόλυμα. ἀπιόντι δὲ συναντᾷ ὁ Σεμεεί, συγγνώμην αἰτῶν ἐφ' οἷσπερ ἡμάρτηκεν. ὁ δὲ κἀκείνῳ τὴν ἁμαρτίαν ὤμοσεν ἀφεῖναι, καὶ πᾶσι τοῖς εἰς αὐτὸν πλημμελήσασιν. ἀπήντησε δὲ καὶ ὁ Μεμφιβοσθέ. καὶ ὁ βασιλεύς, τί δή ποτε μὴ τῆς φυγῆς αὐτῷ κεκοινώνηκεν; ἤρετο. ὁ δέ, πάντου τὸν Σιβὰ αἰτιώτατον ἔλεγε, μὴ ἑτοιμάσαντά οἱ τὰ πρὸς τὴν ἔξοδον· αὐτὸν δὲ τὰς βάσεις ὄντα βεβλαμμένον, μὴ οἷόν τ' εἶναι συνέπεσθαι. τὸν δὲ καὶ προσδιαβαλεῖν αὐτὸν κακούργως, καὶ καταψεύσασθαι. πρὸς ταῦτα Δαβὶδ καὶ συγγνώμην αὐτῷ παρέσχε, καὶ τὰ ἡμίση τῆς ὑποστάσεως αὐτῷ ἀποκαταστῆναι ἐκέλευσε. παραγενομένου δὲ τοῦ βασιλέως εἰς Γάλγαλα, συνήχθη ἐκεῖ πᾶς ὁ λαὸς ἰσραήλ, αἰτιώμενοι τὴν ἰούδα φυλὴν λάθρα πρὸς αὐτὸν ἐλθοῦσαν. οἱ δὲ μηδὲν κακίζειν αὐτοὺς ἔλεγον διὰ τοῦτο, οἰκείους ὄντας πρὸς γένος τῷ βασιλεῖ. τῷ δὲ λαῷ σκληρὸς ὁ λόγος οὗτος ἐφάνη. καί τις ἀνὴρ Βενιαμίτης στασιώδης καὶ πονηρός, Σαβεὶ κεκλημένος, οὐκ ἔστιν ἡμῖν μερὶς ἐν Δαβίδ, οὐδὲ κληρονομία ἐν τῷ υἱῷ ἰεσσαί, ἀνεβόησε. καὶ σαλπίσας ἐν κέρατι, ἀπέστησε πάντας ἐκ Δαβίδ, μόνης τῆς ἰούδα φυλῆς παραμενούσης αὐτῷ. ὁ βασιλεὺς δὲ στρατηγὸν τὸν ἀβεσσὰ προβαλόμενος, συλλέξαι στρατιὰν ἐκ τῆς ἰούδα φυλῆς ἐξα-

Ὅπως ὁ ἀχιτόφελ ἀπήγξατο.

Ὅπως ἡττηθεὶς ἐδιώκετο ἀβεσσαλώμ, καὶ ὅπως ἐκ τριχῶν ἐν δένδρῳ ἐκρεμάσθη καὶ ἀνῃρέθη.

Ὅπως τὸν θάνατον τοῦ ἀβεσσαλὼμ ἐθρήνει δαβίδ.

Ὅπως αἱ δέκα φυλαὶ ἄνευ τῆς ἰούδα ἀπέστησαν ἀπὸ δαβίδ.

nimirum, cum multis in paucos facto impetu. Absolon cæterique his auditis, Chusi consilium laudant, Achitophelis improbato. Quæ Chusus omnia per Sadocum & Abiatharem sacerdotes Dauidi nunciari iubet. Mittunt illi uiros qui hæc regi significent. Verùm Absolon cum id rescisset, eos persequitur. At illi, animaduerso periculo, domum quandam ingressi, in puteo delitescunt: & deceptis persecutoribus, rem omnem ad Dauidem perferunt. Ille noctu Iordanem transit. Cæterùm Achitophel tum alium sibi prælatum ægrè ferens, tum cladem Absoloni imminentem animo præuidens, domum abit, ac se suspendit. Dauid recensens exercitum, quatuor millia uirorum inuenit, eum'que trifariam partitur, cuique parti duce præposito. Verùm amici eum interesse pugnæ, pati noluerunt. quòd si cum illo in fugam uerterentur, omni spe destituti forent: incolumi uerò, spem adhuc reliquam habituri essent. Populum igitur suum ad pugnam mittit, rogans, ut parcerent Absoloni, si uicissent. Commisso prælio, Dauidici uictores Absolonem mula fugientem persequuntur. qui nemus ingressus, coma, quam densissimam alebat, magnæ quercui implicita adhæsit, mula subter eum progressa. Ita dependentem quidam conspicatus, Ioabo rem nunciat. is uerò tribus spiculis in cor eius coniectis, eum perimit, & uictoriæ nuncium ad Dauidem mittit. qui audita uictoria, num uiueret filius, percontatur. eiusque interitu cognito, lamentatur. Sed Ioabus regem aggressus, suadet, ut finito luctu se militum conspectui offerret: quo facto, cum eos collaudasset, cæteri omnes ad officium rediere. Hierosolyma reuertenti obuiam fit Semeis, delictorum ueniam petens. Rex & illi se condonate culpam, & omnibus ijs à quibus uiolatus esset, iurat. Obuiam egreditur & Memphibosibes, qui rege expostulante, cur fugæ socius non fuisset? culpam omnem in Sibam transfert, qui sibi ad iter necessaria non parasset: cum ipse, pedibus læsis, sequi non posset. nec his contentum, adiecisse calumnias, & nefaria mendacia. Dauid accepta hominis excusatione, bonorum semissem ei restitui iubet. Post hæc rege Galgala profecto, omnis populus Israeliticus ad eum conuenit, Iudaicam tribuum accusans, quòd clàm ad illum se contulisset. At illi, non hoc sibi uitio esse dandum aiunt, quòd genere coniuncti essent regi. Qui sermo durus uisus est populo: & uir quidam factiosus atque improbus, nomine Sabeas, ex tribu Beniamitica, exclamat: Nobis nulla in Dauide pars est, neque ulla in Iessæi filio hæreditas. inflato'que cornu, omnes à Dauide ad sese abstrahit, sola tribu Iudaica apud eum permanente. Rex autem Abesam imperatorem creatum, ad colligendas è Iudaica tribu co-

Achitophel laqueo sibi consciscit necem.

Dauid seditiosis ueniā dat.

Sabeæ seditio.

pias ablegat, ut intra triduum reuerteretur. Verùm illo cessante, Ioabo mandat, ut cum ijs militibus qui ad manum essent, Sabeam inuaderet: Ne, inquit, procrastinantibus nobis, inimici uires augeantur. Statim ad bellum uadit Ioabus, cui cum magnis copijs occurrit Abesa: quo accedente, gladio quo accinctus erat, de industria è uagina humi proiecto, sublato'que, ad eum salutandum propè aggressus, Abesam, ense in uentrem defixo, occidit: & populo eius assumpto, Sabeam persequitur: qui in urbem munitam confugerat. Eam obsidente Ioabo, cordata quædam mulier, de muro clamans: Cur, inquit, euersurus es metropolim Israeliticam? Ob Sabeam, respondet ille. Tum illa ciuibus persuadet, ut Sabeæ caput amputatum in castra proijcerent. quo facto, Ioabus obsidione soluta, Hierosolyma reuersus, omnium copiarum imperator eligitur. Post hæc annonæ penuria per triennium pressit populum, cuius causam requirenti regi, respondet Deus, ob Gabaonitas factam famem: eis'que satisfaciendum esse pro quibusdam eorum, quos Saul contra fidem à Iesu & senatoribus eis datam, occidisset. Itaque rex Gabaonitas accersit: qua re satisfieri sibi uelint, rogat. Illi, septem uiros è Saulia familia postulant. Eos dedit rex, ut petierant, Memphibosthe conseruato. Quibus acceptis, & occisis, pluuiam demisit Deus. Deinde bello contra Barbaros orto, Dauid cum suo exercitu hostes persequitur, fatigatus planè uiribus destituitur. Quem sic affectum quidam ex hostibus conspicatus, ad eum occidendum accurrit. Sed Abesa Ioabi frater defenso rege, Barbarum interficit. Ob id eius satellites iurant, se posthac non passuros eum inire bellum. Barbaris denuò arma inferentibus, rex oppositis suis copijs multos occidit, reliquos in fugam uertit. Nec multo pòst, ijdem resumptis armis incursionem faciunt in agros Israelitarum, adducto secum giganteæ staturæ uiro, qui senos manuum & pedum digitos habebat: quo Ionathas Dauidis fratris filius occiso, spoliato'que, popularibus suis uictoriam faciliorem reddidit. Ab eo tempore bellum inferre Barbari destiterunt. Ocium igitur nactus Dauid, odas composuit, Leuitas'que instrumentis ad eam rem factis, hymnos canere docuit. Instrumenta huiusmodi fuerunt. Cinyra, decem ornata chordis, plectro, nablum chordarū duodecim, digitis pulsabatur. Parata erant & cymbala ærea, magna, lata'que. Habebat porrò circa se cœtum uirorum fortium, quorum illustrissimi triginta & septem, rem sæpenu-

Abesa per insidias à Ioabo occiditur.

Gabaonitis placatis fames desinit.

Dauid ab Abesa conseruatus, in bellum ire nō sinitur.

Dauidis musica & uiri fortes.

πέμψαι, καὶ μετὰ τρεῖς ἡμέρας ἐπανελθεῖν. χρονίζοντος δὲ τοῦ ἀμεσὰ, τῷ ἰωὰβ ἐγκελεύεται τὴν ἐκεῖ παροῦσαν λαβόντα δύναμιν, ἐξορμῆσαι κατὰ τοῦ σαβεὲ, ἵνα μὴ ὑπερτιθεμένων ἡμῶν (φησὶ) μᾶλλον οἱ ἐχθροὶ παρασκευασθῶσι. καὶ αὐτίκα ὁ ἰωὰβ ἐχώρει πρὸς πόλεμον. ἀπιόντι δὲ, μετὰ μεγάλης δυνάμεως συνήντησεν αὐτῷ ἀβεσσά· καὶ ἰωὰβ προσιόντος αὐτῷ τοῦ ἀβεσσὰ, τὸ ξίφος, ὃ περιέζωστο, πεποίηκε τοῦ κολεοῦ ἐκπεσεῖν, καὶ ἦρε τοῦτο ἐκ τῆς γῆς, καὶ ἀσπάσασθαι προσεγγίσας τὸν ἀβεσσὰ, ὠθεῖ κατὰ τῆς γαστρὸς ἐκείνου τὴν μάχαιραν, καὶ ἀπέκτεινε. προσλαβόμενος δὲ καὶ τὸν ἐκείνου λαὸν, τὸν σαβεὲ κατεδίωκεν. ὁ δὲ εἰς πόλιν κατέφυγεν ὀχυρὰν, καὶ ἐπολιόρκει τὴν πόλιν ὁ ἰωάβ. καί τις ἐκ τοῦ τείχους γυνὴ συνετὴ, ἐβόησε πρὸς αὐτόν· ἵνα τί καταβαλεῖν ἐθέλεις μητρόπολιν ἰσραήλ; ὁ δὲ, διὰ τὸν σαβεὲ, ἀπεκρίνατο. ἡ δὲ πρὸς τοὺς πολίτας ἐλθοῦσα, πείθει τεμόντας τὴν κεφαλὴν σαβεὲ, ῥίψαι εἰς τὸ στρατόπεδον. καὶ τούτου γεγονότος, ὁ ἰωὰβ τὴν πολιορκίαν λύσας, ἐπανῆλθεν εἰς ἱερουσαλὴμ, καὶ ἀπεδείχθη πάλιν πάσης τῆς δυνάμεως ἀρχιστράτηγος. ἐγένετο δὲ μετὰ ταῦτα λιμὸς, καὶ ἐπὶ ἔτη τρία ἐπίεζε τὸν λαόν. ζητοῦντος δὲ τοῦ βασιλέως περὶ τούτου, δεδήλωκεν ὁ θεὸς, διὰ τοὺς γαβαωνίτας γίνεσθαι τὸν λιμὸν, καὶ δεῖν αὐτοὺς ἐκδικίας τυχεῖν, ἀνθ' ὧν ὁ σαοὺλ ἀπέκτεινεν ἐξ αὐτῶν, μὴ τηρήσας τοὺς παρὰ ἰησοῦ καὶ τῆς γερουσίας γεγονότας ὅρκους αὐτοῖς. ἐκάλεσεν οὖν τοὺς γαβαωνίτας ὁ βασιλεὺς, καὶ τί ἂν βούλοιντο γενέσθαι αὐτοῖς ἐπύθετο εἰς ἐξίλασμα; οἱ δὲ, ἑπτὰ ἄνδρας ᾔτησαν δοθῆναι αὐτοῖς ἐκ τοῦ οἴκου σαούλ. καὶ ἔδωκεν αὐτοῖς ὁ βασιλεὺς τοὺς ἑπτὰ ἄνδρας, ὡς ᾔτησαν, τοῦ μεμφιβοσθὲ φεισάμενος. οἱ δὲ λαβόντες τοὺς ἄνδρας, ἀπέκτειναν, καὶ κατήνεγκεν ὁ θεὸς ἐπὶ τὴν γῆν ὑετόν. πολέμου δὲ μετὰ ταῦτα γενομένου πρὸς ἀλλοφύλους, ὁ δαβὶδ μετὰ τῆς οἰκείας στρατιᾶς κατεδίωξε τοὺς πολεμίους. καὶ κατάκοπος γεγονὼς, παρεῖτο ἐκλυθείς· καί τις τῶν ἐναντίων οὕτως ἔχοντα τὸν βασιλέα ἰδὼν, ὥρμησε κατακτεῖναι αὐτόν. ἀβεσσὰ δὲ ὁ ἀδελφὸς ἰωὰβ ὑπερασπίσας τοῦ βασιλέως, τὸν ἀλλόφυλον ἔκτανε. καὶ διὰ τοῦτο ὤμοσαν οἱ περὶ δαβὶδ, μηκέτι παραχωρῆσαι αὐτὸν εἰς πόλεμον ἐξελθεῖν. καὶ πάλιν δὲ τῶν ἀλλοφύλων στρατευσαμένων, στείλας ὁ βασιλεὺς στρατὸν ἐπ' αὐτοὺς, πολλοὺς μὲν κατακοπῆναι πεποίηκε, τοὺς δὲ περιλειφθέντας φυγεῖν. διαλιπόντες δὲ μικρὸν οἱ ἀλλόφυλοι, ἐπῆλθον ἔτι κατὰ τῆς χώρας τῶν ἰσραηλιτῶν. καὶ ἦν παρ' αὐτοῖς γιγαντιαῖος ἀνὴρ, ἓξ δακτύλους ἔχων ἐν ἑκατέρᾳ χειρὶ, καὶ ὁμοίως ἐν τοῖς ποσίν· ᾧ συμπλακεὶς ἰωνάθαν ἀδελφιδοῦς τοῦ δαβὶδ, κατέβαλεν αὐτὸν, καὶ ἐσκύλευσε, καὶ ῥοπὴν πρὸς νίκην τοῖς ὁμοφύλοις παρέσχεν. οὐκέτι γοῦν προσίεντο οἱ ἀλλόφυλοι τοῖς ἑβραίοις μαχέσασθαι. ἀδείας δ' ἐκ τότε τυχὼν ὁ δαβὶδ, ᾠδὰς συνέθετο πρὸς θεὸν, καὶ ὄργανα κατασκευάσας, μετ' αὐτῶν ἐδίδαξε τοὺς λευίτας τοὺς ὕμνους ᾄδειν· τοιαῦτα δ' ἦσαν τὰ ὄργανα· ἡ μὲν κινύρα δεκάχορδος ἦν, καὶ πλήκτρῳ ἐκρούετο. ἡ δὲ νάβλα δώδεκα φθόγγους ἔχουσα, τοῖς δακτύλοις ἐπλήττετο. κύμβαλά τε ὑπῆρχον χαλκᾶ, μεγάλα τε καὶ πλατέα. ἦν δὲ περὶ τὸν δαβὶδ καὶ σύστημα γενναίων ἀνδρῶν. οἱ δὲ τούτων ἐπισημότατοι τριάκοντα ἐτύγχανον καὶ ἑπτὰ, οἱ πολλάκις

ἀβεσσὰ ὁ ἰωὰβ ἀναιρεῖ δόλῳ.

περὶ τοῦ λιμοῦ ὃν ἐπὶ τρία ἔτη ὑπέμειναν οἱ ἰσραηλῖται διὰ τὸ ἀδίκημα εἰς φόνον ἑπτὰ ἄνδρας ἀπὸ τοῦ οἴκου σαοὺλ ἐκδεδώκασιν.

ἴσως ὀμώμοσαν τὸν δαβὶδ οἱ περὶ αὐτόν.

περὶ τοῦ γιγαντιαίου ἀνδρὸς τοῦ ἔχοντος ἐν ταῖς χερσὶ καὶ ἐν ταῖς ποσὶν δακτύλους ἕξ.

ὕμνους συνέθετο τοὺς ψαλμοὺς ὁ δαβὶδ, καὶ εἶπε τὰ ψαλμικὰ ὄργανα.

πολλάκις ἠρίστευσεν. καί ποτε ἀλλοφύλων περὶ Βηθλεὲμ ἐστρατοπεδευκότων, ὁ βασιλεὺς ἐκ τοῦ γε Βηθλεὲμ φρέατος ὕδωρ πιεῖν ἐπεθύμησε. καὶ τρεῖς ἐκ τῶν περὶ αὐτὸν ἀνδρείων δραμόντες, καὶ μέσην τὴν τῶν ἐναντίων διελθόντες παρεμβολὴν, ὑδρεύσαντο ἐξ ἐκείνου τοῦ φρέατος. καὶ αὖθις διὰ τῶν πολεμίων ἐλθόντες, καταπλαγέντων τὸ θάρσος αὐτῶν, καὶ ἠρεμησάντων, τῷ βασιλεῖ τὸ ὕδωρ προσκεκομίκασιν. ὁ δέ, ἵλεώς μοι κύριος, ἔφη, οὐ πίομαι τοῦτο, αἵματι τῶν ἀνδρῶν καὶ κινδύνῳ τῶν ψυχῶν αὐτῶν κομισθέν. οὐκ ἔπιεν οὖν, ἀλλ' ἔσπεισεν αὐτὸ τῷ θεῷ. ἀπαριθμῆσαι δὲ τὸν λαὸν ἅπαντα βουληθεὶς, ἐκέλευσε τὸν Ἰωὰβ ποιῆσαι τὴν ἀπαρίθμησιν. τοῦ δὲ μὴ ἐπαινέσαντος τὴν βουλὴν, καὶ τὴν πρᾶξιν οὐκ ἀγαθὴν λέγοντος, ὁ βασιλεὺς οὐκ ἐπείθετο. καὶ ἀπῆλθεν Ἰωὰβ, καὶ ἠρίθμησε τὸν λαόν, καὶ ἦν ὁ ἀριθμὸς Ἰσραὴλ ὀκτακοσίων χιλιάδων ἀνδρῶν δυνάμεως, σπωμένων ῥομφαίαν, καὶ πεντακοσίων χιλιάδων ἀνδρῶν μαχητῶν τῶν ἐξ Ἰούδα φυλῆς. εἶτα μετεμέλετο ὁ Δαβίδ, καὶ ὅμως λέγει ἡμαρτηκέναι. Γὰδ δὲ ὁ προφήτης κελεύσαντος τοῦ θεοῦ ἐπορεύθη πρὸς τὸν Δαβίδ, καί φησιν· ἐκ τριῶν τούτων ἐκλέξαι ὃ πρὸς βουλῆς σοι ἐστί, πότερον αἱρῇ ἐπὶ ἔτη ἑπτὰ λιμὸν ἔσεσθαί σοι κατὰ τὴν χώραν, ἢ ἐπὶ τρεῖς μῆνας ὑπὸ πολεμίων διώκεσθαι, ἢ θάνατον ἐπὶ τρεῖς ἡμέρας γενέσθαι σου τῷ λαῷ. ὁ δέ, στενά μοι πάντοθεν, ἔφη, ἀλλὰ βέλτιόν μοι εἰς τὰς χεῖρας τοῦ θεοῦ ἐμπεσεῖν. καὶ ἐπῆλθε θάνατος τῷ λαῷ πρωΐθεν ἕως ὥρας ἀρίστου, καὶ ἀπέθανον ἐκ παντὸς τοῦ λαοῦ χιλιάδες ἑβδομήκοντα. καὶ ὁ Δαβὶδ ἱκέτευε τὸν θεόν, καὶ ὁ ὀλοθρεύων ἄγγελος τὸν λαὸν ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐπὶ Ἱερουσαλήμ. εἶπεν οὖν ὁ βασιλεύς, ἐγὼ ἡμάρτηκα κύριε, ὁ ποιμήν· τὰ δὲ ποίμνια ὁ λαὸς οὐχ ἡμάρτοσαν, ἐγὼ εἰμὶ κολάσεως ἄξιος, καὶ οὐχ οὗτοι. δυσωπηθεὶς δὲ τὴν τοῦ βασιλέως κατάνυξιν ὁ θεός, ἔπαυσε τὴν φθοράν, καὶ διὰ τοῦ προφήτου Γὰδ ἐν τῇ ἅλωνι τοῦ Ἰεβουσαίου Ὀρνᾶ θυσιαστήριον πῆξαι αὐτὸν ἐκέλευσε, καὶ θῦσαι ἐκεῖ. καὶ ἐποίησεν οὕτως Δαβὶδ ὠνησάμενος τὴν ἅλωνα ἐκ τοῦ Ὀρνᾶ. ὡς δὲ Ἰώσηπος ἔγραψεν, ἐν ἐκείνῳ τῷ τόπῳ λέγεται ἀγαγεῖν Ἀβραὰμ τὸν Ἰσαὰκ, ὥστε ὁλοκαυτῶσαι αὐτόν. ἐβούλετο δὲ καὶ ναὸν οἰκοδομῆσαι Δαβὶδ ἐκεῖ τῷ θεῷ, ἀλλ' ἀπείρχθη πρὸς τοῦ θεοῦ. πρεσβύτης δὲ γενόμενος ὁ Δαβὶδ σφόδρα, δυσρίγως ὑπὸ τοῦ γήρως ἐτύγχανε. διὸ παιδίσκην ἐξελέξαντο, Ἀβισὰκ ὄνομα αὐτῇ, καὶ ἦν ἡ κόρη συγκοιταζομένη τῷ βασιλεῖ, καὶ θάλπουσα αὐτόν. καὶ οὐκ ἔγνω αὐτήν. ἀφροδισιάζειν γὰρ διὰ γῆρας οὐκ ἠδύνατο. Ἀδωνίας δὲ τέταρτος ὢν ἐν τοῖς τοῦ βασιλέως υἱοῖς, ὡραῖος πάνυ, ὁρῶν τὸν πατέρα γεγηρακότα, τῆς βασιλείας ἀντεποιεῖτο, συναντιλαμβανομένου αὐτῷ Ἰωὰβ τοῦ ἀρχιστρατήγου, καὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως. καί ποτε θυσίαν διαψιλῆ παρασκευασάμενος, τοὺς ἀδελφοὺς συνεκάλεσε, καὶ τοὺς προὔχοντας τῆς Ἰούδα φυλῆς, καὶ Ἀβιάθαρ καὶ Ἰωάβ. Σολομῶντα δὲ καὶ τὸν προφήτην Νάθαν, καὶ Βαναίαν τὸν ἄρχοντα τῶν σωματοφυλάκων, οὐ κέκληκεν. εἶπεν οὖν πρὸς Βηρσαβεὲ Νάθαν. ἀκήκοας ὅτι ἐβασίλευσεν Ἀδωνίας; ἡ δὲ πρὸς τὸν βασιλέα εἰσελθοῦσα, σὺ ὤμοσας (ἔφη) κύριέ μου βασιλεῦ, ὡς Σολομὼν ὁ υἱός σου βασιλεύσει μετὰ σέ, καὶ ἰδοὺ ἐβασίλευσεν Ἀδωνίας. σὺ δὲ

Marginal notes (Greek): περὶ δὲ ἀπαριθμήσεως, [illegible] μετὰ ταῦτα μεταμελεῖσθαι Δαβίδ. — περὶ δὲ αἱρέσεως τῶν τριῶν [illegible] — πῶς ἔπαυσεν ὁ θεὸς τὴν τοῦ λαοῦ φθοράν. — ὅτι ἐκεῖ ἐν ᾧ τόπῳ ἔμελλε σφαγιάσαι Ἀβραὰμ τὸν Ἰσαάκ, ἐβούλετο ναὸν οἰκοδομῆσαι Δαβίδ, καὶ ἐκωλύθη παρὰ θεοῦ. — ὅτι Δαβὶδ διὰ τὸ γῆρας [illegible] — ὅτι Ἀδωνίας [illegible] τοῦ Δαβὶδ [illegible]

penumero bene gesserant: & cum hostes quodam tempore circa Bethleemam castra posuissent, Rex è puteo, qui circa id oppidum erat, aquam desiderauit. Itaque tres ex eius satellitibus per media hostium castra profecti, aquam inde petitam, eadem regressi uia, hostibus eorum audacia consternatis & quiescentibus, regi attulerunt. At ille: Sic propitius, inquit, sit mihi Deus, ut aquam hanc non bibam, sanguine uirorum, & periculo animarum eorum allatam, neque bibit, sed libauit Deo. Post Ioabo mandat, ut populum numeret. is etsi id consilium improbabat, & rem minimè laudabat: tamen cum regem à sententia dimouere non posset, paret, numeras, inuenit Israelitarum octingenta millia bellicosorum & fortium uirorum, & quingenta millia Iudaicæ tribus, item bellicosorum. Verùm Dauid statim facti pœnitens, se peccasse confitetur, & Gad propheta eum iussu Dei aggressus: Trium, inquit, tibi rerum optio datur, num malis tu & regio per septennium fame premi, an per tres menses ab hostibus urgeri, an mortem per triduum grassari in populo. Ibi Dauid, undique se in angustias redactum esse queritur, sed præstare sibi incidere in manus Domini. Itaque morte grassante, à diluculo usque ad prandij tempus, ex omni populo septuaginta millia ceciderunt. Tum Dauid, cum angelus populi interfector manum super Hierosolyma extendisset, Deo in hæc uerba supplicauit: Ego pastor, ô Domine, peccaui: sed populus, grex meus, non peccauit. Ego pœna dignus sum, non isti. Hac mœstitia regis placatus Deus, luem compescuit, & per Gadem prophetam in Ornæ Iebusæi area constructa ara, sacra fieri iussit. ita que fecit Dauid, empta ab Orna area. Quo in loco, ut Iosephus tradit, Isaacum Abrahamus immolaturus fuisse perhibetur, & Dauid ædem constructurus erat, nisi à Deo prohibitus fuisset. Dauidi cum ob senium algore uexaretur, puellam Abisagem adiunxerunt, cuius concubitu foueretur. Sed cum ea sem non habuit rex, ætate effœtus. Adonias autem quartus eius filius, homo perquàm formosus, commotus patris senio, regnum sibi uendicat, Ioabo imperatore & Abiathare pontifice suffragantibus. Itaque semel splendido sacrificio apparato, fratres conuocat, & Iudaicæ tribus principes, Abiathasem item & Ioabum: Salomone, Gade propheta, & Banæa præfecto satellitum non inuitatis. Ait igitur Bersabæ Nathan: Num audisti regno potitum esse Adoniā? quæ ad Dauidē ingressa: Tu iurasti, inquit, domine mi rex, Salomonē filiū tuū in regno tibi successurū. Ecce aūt Adonias te ignoαγνοεῖς.

Marginal notes (Latin): Pestis ob numeratū à Dauide populum. — Abisag Dauidis fotrix — Salomon, Adonia repulso, 14 Israelitarū rex declaratur.

ignorante regno potitur. Hæc nondum elocuta muliere, Nathan quoque propheta ingressus, rogat, num de illius sententia regnum Adonias occuparet? At ille Deũ testatus: Hodie, inquit, rex futurus est Salomon. uocatoque Sadoco pontifice, & Banæa, propheta quoque adhibito, & aulæ regiæ satellitibus, Salomonem in mula regis collocatum, & extra urbem ad fontem Sionem perductum, sacro oleo inaugurari, & cornibus inflatis regẽ proclamari, perque urbem mediam deduci iubet. Hi sine mora parent, Salomonis electio passim prædicatur. qua etiam apud Adoniam & conuiuas eius cognita, cæteri suas quisque domos abeunt. Adonias autem maiore perculsus metu, ad aram confugit: & uitam ea conditione à Salomone impetrat, ut si denuò in facinore deprehenderetur, capite pœnas daret. Cæterum Dauid mortem instare sibi uidens, Salomonem accersit: mandat, ut Dei præcepta obseruet, & secundum leges eius uiuat: Quo, inquit, semen nostrum, quemadmodum promisit mihi Dominus, thronum meum æternum teneat. Adijcit, ne Ioabum impunitum dimittat, ob Abeneri & Amesiæ cædem. neque Semeim, qui fugienti sibi diras imprecatus fuerit. ac præter alia, templum construere iubet Domino, descriptione illius exhibita: ad idopus & ipsum & principes & Leuiticam tribum cohortatus, quòd multa ad eam rem necessaria relinqueret: uidelicet auri decies, argenti centies mille talenta, smaragdos, aliosque lapides preciosos, æs & ferrum innumerabile, aliamque materiam copiosam. ac prius collectis se adijcere auri puri puui ter mille talenta ad adytum, & decies mille stateres, & argenti talenta totidem. [Ad hæc, si cui gemma erat, eam quisque in thesauros congerebat.] Hæc effatus, paulo pòst moritur, expletis uitæ annis septuaginta, cum regnasset annos Chebrone septem, Hierosolymis III & triginta, uir omnibus rege dignis uirtutibus illustris. Mortuum Salomon Hierosolymis regaliter sepelit, magnis opibus cum eo consepultis. Salomon suscepto regno admodum fuit adolescens, annos duodecim natus, cuius matrem Bersaben Adonias sic alloquitur: Nosti regnum ad me pertinere, tum ob ætatis prærogatiuam, tum ex consensu populi. sed id ad Salomonem fratrem meum transijt: quod æquo mihi ferendum est animo, quoniam Deo ita uisum est. Vnum tamen peto, ut Abisag patris mei concubina, quoniam præ senio illam non attigit, ac uirginem reliquit, in matrimonium mihi detur. Bersabe, illa se relaturam ad filium, & summo studio operam daturam pollicetur, ut nuptias illi conficiat. Sed re audita, rex iratus:

Dauidis testamentum & obitus.

Adoniæ cædes ob Abisagem petitam.

ἀγνόησας, ἔτι ταῦτα λεγούσης βηρσαβεὲ, καὶ ὁ προφήτης νάθαν εἰσελθὼν ἐρώτα τὸν βασιλέα, εἰ κατὰ γνώμην αὐτοῦ βεβασίλευκεν ἀδωνίας; ὁ δὲ τὸν θεὸν ὤμοσεν, ὡς σήμερον βασιλεὺς ἔσται ὁ σολομῶν. καὶ καλέσας τὸν ἀρχιερέα σαδὼκ, καὶ βαναίαν, ἐκέλευσε συμπαραλαβόντας τὸν προφήτην, καὶ σὺν πολλοῖς τῶν ἄλλων τῶν βασιλικῶν ὁπλίτας, ἀναβιβάσαι τὸν σολομῶντα ἐπὶ τὴν τοῦ βασιλέως ἡμίονον· καὶ ἀπαγαγόντας ἔξω τῆς πόλεως ἐπὶ τὴν πηγὴν τὴν καλουμένην σιὼν, χρίσαι τῷ ἁγίῳ ἐλαίῳ, καὶ βασιλέα ἀναγορεῦσαι, σαλπίζοντας ἐν τοῖς κέρασι, καὶ διὰ μέσης τῆς πόλεως παραπέμψαι αὐτόν. οἱ δὲ αὐτίκα, καθὼς ἐνετάλθησαν, πεποιήκασι· καὶ διεβοήθη πανταχοῦ ἡ τοῦ σολομῶντος ἀνάρρησις. ὡς δ' ἐγνώσθη καὶ παρ' ἀδωνίᾳ καὶ τοῖς συνευωχουμένοις αὐτῷ, οἱ μὲν ἄλλοι πρὸς ἑαυτοὺς ἀπῆλθον· ἀδωνίας δὲ μᾶλλον δεδιὼς, παρὰ θυσιαστηρίῳ προσέφυγε, καὶ πίστεις τῆς σωτηρίας ἔτυχε παρὰ τοῦ σολομῶντος. ὁ δὲ τῆς μὲν τότε ἁμαρτίας ἀφῆκεν αὐτόν· εἰ δ' αὖθις κακόν τι ποιῶν εὑρεθῇ, θανατωθήσεται. ὁρῶν δὲ δαβὶδ ἐγγίζοντά οἱ τὸν θάνατον, προσκαλεῖται τὸν σολομῶντα, καὶ ἐντέλλεται αὐτῷ, φυλάττειν τὰς τοῦ θεοῦ ἐντολὰς, καὶ κατὰ τοὺς νόμους αὐτοῦ πολιτεύεσθαι, ἵνα τὸ σπέρμα ἡμῶν (φησὶ) καθὼς ἐπηγγείλατό μοι ὁ κύριος, ἕως τοῦ αἰῶνος ᾖ ἐπὶ τοῦ θρόνου μου. καὶ προστίθησι μὴ ἐᾶσαι τὸν ἰωὰβ ἀτιμώρητον, ἀνελόντα τὸν ἀβεννὴρ, καὶ τὸν ἀμεσσίαν· μὴ δὲ μέντοι τὸν σεμεΐ, ὃς αὐτῷ κατηράσατο φεύγοντι. καὶ ἄλλα αὐτῷ ἐντειλάμενος, καὶ ναὸν ὑποσκήψας οἰκοδομῆσαι κυρίῳ, καὶ τὴν διαγραφὴν τῆς οἰκοδομῆς τοῦ ναοῦ παρέσχεν αὐτῷ, καὶ πρὸς τὸ ἔργον λόγοις διήγειρε καὶ αὐτὸν καὶ τοὺς ἄρχοντας καὶ τὴν φυλὴν τοῦ λευΐ, πολλὰ φήσας καταλιπεῖν εἰς τὴν κατασκευὴν τοῦ ναοῦ, τάλαντα μὲν χρυσοῦ μυρία, μυριάδας δὲ ταλάντων ἀργύρου δέκα, σμαράγδους τε καὶ ἄλλους λίθους πολυτελεῖς, χαλκὸν δὲ καὶ σίδηρον ἀριθμὸν ὑπερβαίνοντα, καὶ ὕλην ἑτέραν ἄφθονον. καὶ νῦν δὲ προστιθέναι τοῖς ἤδη συνειλεγμένοις, χρυσοῦ καθαροῦ τρισχίλια τάλαντα εἰς τὸ ἄδυτον, καὶ μυρίους στατῆρας, ἀργύρου δὲ μύρια τάλαντα. [καὶ εἴ τινι δὲ λίθος ἦν τῶν τιμίων, εἰσκόμιζεν ἕκαστος, καὶ παρεδίδου εἰς τοὺς θησαυρούς.] μετ' ὀλίγον δὲ ἐτελεύτησε δαβὶδ, βιώσας ἐνιαυτοὺς ἑβδομήκοντα, βασιλεύσας ἐν χεβρὼν μὲν ἔτη ἑπτὰ, ἐν ἱερουσαλὴμ δὲ τρία πρὸς τοῖς τριάκοντα· ἀνὴρ πᾶσαν ἀρετὴν κατωρθωκὼς, προσήκουσαν βασιλεῖ. ἔθαψε δὲ αὐτὸν ὁ παῖς σολομῶν ἐν ἱεροσολύμοις βασιλικῶς, καὶ πλοῦτον ἄφθονον αὐτῷ συγκατώρυξεν. σολομῶν δὲ, ὅτε τὴν βασιλείαν παρέλαβε, νέαστος ἦν, δωδέκατον ἔτος ἄγων τῆς ἡλικίας αὐτοῦ. ὁ μέντοι ἀδωνίας προσελθὼν πρὸς βηρσαβεὲ τὴν μητέρα τοῦ σολομῶντος, οἶδας, ἔφη, ὅτι (τὴν βασιλείαν ἐμοὶ προσῆκεν) καὶ διὰ πρεσβυγένειαν, καὶ διὰ τὴν αἵρεσιν τοῦ λαοῦ. μετέβη δὲ πρὸς σολομῶντα τὸν ἀδελφόν μου, καί μοι στερκτέον τὸ γεγονὸς, ὡς γνώμῃ θεοῦ γεγονός. μίαν δ' αἰτῶ αἴτησιν· δοθῆναί μοι πρὸς γάμον τὴν παρὰ τῷ πατρὶ συγκοιμωμένην κόρην τὴν ἀβισὰκ, ἐπεὶ μὴ δ' ἔγνω ταύτην ὁ πατὴρ διὰ γῆρας, ἀλλ' ἔτι παρθένος ἦν. ἡ δὲ βηρσαβεὲ κομιεῖν τοὺς λόγους ὑπέσχετο τῷ υἱῷ, καὶ κατεπράξασθαι τὸν γάμον αὐτῷ σπουδαιότατα. καὶ προσελθοῦσα πρὸς τὸν υἱὸν, δοῦναι τῷ ἀδελφῷ ἀδωνίᾳ τὴν ἀβισὰκ παρεκάλει. ὁ δὲ ὀργισθεὶς

ὅπως ἐχρίσθη σολομῶν εἰς βασιλέα.

τί ἐνετείλατο τῷ σολομῶντι δαβὶδ τελευτῶν.

περὶ τοῦ ναοῦ κατασκευῆς.

πόσα ἔτη ἔζησε δαβίδ.

ὅτι συνετάφη τῷ δαβὶδ πολλὰ χρήματα.

ὅτε διαδέχεται τὴν βασιλείαν σολομῶν.

ὅτι ἐζήτησεν ἀδωνίας τὴν παλλακὴν δαβὶδ, καὶ διὰ τοῦτο ἀνῃρέθη παρὰ σολομῶντος.

ὀργισθεὶς ἐπὶ τῷ λόγῳ, θαυμάζειν εἶπεν, εἰ μὴ καὶ τῆς βασιλείας παραχωρῆσαι Ἀδωνίᾳ ὡς πρεσβυτέρῳ αὐτὸν ἀξιοῖ· καὶ αὐτίκα τῷ ἐπὶ τῶν σωματοφυλάκων Βαναίᾳ κτεῖναι τὸν Ἀδωνίαν προσέταξε. τῷ δὲ Ἀβιάθαρ εἰς τὴν γεγεννημένην πορευθῆναι ἐπέταξε, καὶ διάγειν ἐν τοῖς ἀγροῖς. θανάτου γάρ φησι ῥύεταί σε, ὁπόσα μου συνέκαμες τῷ πατρί. καθὼς οὖν τῷ Ἠλὶ προείρηκεν ὁ θεὸς, ἀφῄρητο ἡ τῆς ἱερωσύνης τιμὴ ἐξ οἴκου Ἰθάμαρ, καὶ πρὸς Σαδὼκ μετέπεσεν, ἐκ τοῦ γένους ὄντα τοῦ Φινεές. ὁ δὲ στρατηγὸς Ἰωὰβ ταῦτα μαθὼν, καὶ περιδεὴς γεγονὼς, τῷ θυσιαστηρίῳ προσέφυγε· καὶ καλούμενος, οὐκ ἄν ποτε ἐξελθεῖν εἶπεν, ἀλλ' αὐτοῦ τεθνήξεσθαι, καὶ οὐκ ἄλλοθι. ὅπερ τῷ βασιλεῖ ἀγγελθὲν, πέπαικε σῦλαι, κἀκεῖ τὸν Ἰωὰβ ἀνεῖλεν. γίνεται Βαναίας μὲν πάσης τῆς δυνάμεως προκεχείριστο στρατηγὸς, Σαδὼκ δὲ τῆς ἀρχιερωσύνης ἠξίωτο. τὸν δὲ Σεμεεὶ ὁ βασιλεὺς ἐν Ἱερουσαλὴμ προσώρισεν, ὥστε ταύτης μὴ ἐξιέναι· εἰ δὲ οὐ, θάνατον αὐτῷ τὸ ἐπιτίμιον ἔταξεν. ὁ δὲ μετὰ ἔτη τρία δούλων αὐτοῦ φυγόντων, ἐπὶ ζήτησιν αὐτῶν ἐξελήλυθε. καὶ ὅπερ γνοὺς Σολομὼν, ἀναιρεθῆναι τὸν ἄνδρα ἐκέλευσεν. ἄγεται δὲ Σολομὼν εἰς γυναῖκα θυγατέρα Φαραὼ, καὶ τὰ τείχη τῶν Ἱεροσολύμων ἐπὶ μεῖζον ἦρε, καὶ ὀχυρώτερα κατεσκεύασε. καθ' ὕπνους δὲ χρηματίσας αὐτῷ ὁ θεὸς, εἶπεν αὐτῷ αἰτῆσαι ὃ βούλοιτο. ὁ δὲ σύνεσιν, καὶ φρόνησιν ᾔτησε δοθῆναι αὐτῷ. καὶ ὁ θεὸς ἀποδεξάμενος αὐτὸν τῆς αἰτήσεως, καὶ σοφίαν δώσειν αὐτῷ καὶ μέγαν νοῦν ἐπηγγείλατο, ὡς οὐχ ἑτέρῳ πρὸ αὐτοῦ, ἤ τινι μετ' αὐτόν. προσδοθῆναι δὲ καὶ ἅπερ οὐκ ᾔτησε, πλοῦτον καὶ νίκην καὶ δόξαν, εἰ φυλάξει τὰς αὐτοῦ ἐντολὰς καὶ δικαιώματα. μετὰ ταῦτα δύο προσῆλθον αὐτῷ γυναῖκες· ὧν ἡ μία, βασιλεῦ ἔφη, ἀλλήλαις ἡμεῖς συνῳκοῦμεν, καὶ οὐδεὶς μεθ' ἡμῶν. ἐτέκομεν δὲ ἄμφω κατὰ τὸν αὐτὸν καιρὸν ἄρρενα. καὶ μετὰ μικρὸν αὕτη τῷ αὐτῆς ἐπικοιμισθεῖσα υἱῷ, νεκρὸν διϋπνισθεῖσα εὗρεν αὐτόν. καὶ τὸ μὲν τεθνηκὸς, ὑπνούσης ἐμοῦ, ὑποτίθησι ταῖς ἀγκάλαις μου. τὸ δὲ ζῶν ἐξ ἐμοῦ ἀφελοῦσα, ὡς ἑαυτῆς ᾠκειώσατο. καὶ γνοῦσα τὸ δρᾶμα, ζητῶ τὸν παῖδα. ἡ δέ μοι οὐ δίδωσιν. ἡ δ' ἑτέρα, τὸ ζῶν εἶναι τὸ ἑαυτῆς παιδίον ἀπισχυρίζετο, τῆς δ' ἀντιδίκου τὸ τεθνηκός. καὶ ἐπὶ τοσοῦτον κακουργίας μὴ προελθεῖν διώμνυτο. ἀπορούντων δὲ τῶν παρεστηκότων, πῶς ἂν διακριθείη τὸ ἀληθές; ὁ βασιλεὺς, δίχα τμηθῆναι τὸ ζῶν παιδίον μαχαίρᾳ ἐκέλευσε, καὶ ἀνὰ μέρος δοθῆναι ἑκατέρᾳ τῶν γυναικῶν. τοῦτο ἡ μὲν ἀληθὴς τοῦ βρέφους μήτηρ βαρέως ἤνεγκε, καὶ παρῃτεῖτο τὴν ψῆφον, καὶ δοθῆναι ζῶν τὸ παιδίον τῇ ἀντιδίκῳ ἱκέτευεν. ἡ δὲ ψευδῶς ἑαυτὴν μητέρα τοῦ παιδὸς ὀνομάζουσα, καὶ ἐπῄνει τὴν κρίσιν, καὶ ἐπέσπευδε τὴν διαίρεσιν. καὶ ὁ βασιλεὺς δοθῆναι ζῶν τὸ παιδίον προσέταξε τῇ παραιτουμένῃ τὴν ἐκείνου διαίρεσιν· αὕτη, φήσας, ἡ τούτου μήτηρ δήπου, ἡ τοῦ παιδὸς σφαγῆναι μέλλοντος ὑπεραλγήσασα. τοῦτο πᾶς ὁ λαὸς ἀκριβὲς τεκμήριον ἔσχηκε, τῆς τοῦ βασιλέως φρονήσεως. πάντας δὲ τοὺς πρὶν εἰς σοφίαν καὶ φρόνησιν ὑπερέβαλλε. συνέταξε δὲ τρισχιλίας παραβολὰς, καὶ πεντακισχιλίας ᾠδὰς, καὶ ἀπὸ τῆς κέδρου ἕως ὑσσώπου συνεγράψατο, καὶ περὶ φύσεως ζώων τῶν πεζῶν

ἀναίρεσις σεμεεί. — *ἐνταῦθα σολομῶν τὴν θυγατέρα φαραὼ γαμεῖ.* — *ἐνύπνιον σολομῶντι τῷ θεῷ.* — *περὶ τῶν προσελθουσῶν γυναικῶν, ἢ αἰτουμένων κρίσιν περὶ τοῦ ἀποθανόντος παιδίου.* — *ἃ συνεγράψατο σολομών.*

iratus: Cur, inquit, Adonias non regno etiã sibi cedi ut natu maiori postulat? ac statim per Banæam satellitum præfectum, eum occidi iubet. Abiatharem quoque in patriam relegat, ut ibi ruri degat. nam ciuitam se condonare, ob exantlatos cum patre suo labores. Ita sacerdotij honos, quemadmodum Helio prædixerat Deus, Ithamariæ familiæ ereptus, ad Sadocum transijt, è genere Phineis oriundum. His cognitis, Ioabus imperator periturus, ad aram confugit. Vnde cum auocaretur, negauit se discessurum, sed ibi, & non alibi moriturum. Quo rex nunciato, ibi eum interfici iubet. Iam Banæas totius exercitus imperator designatus, iam Sadocus pontificatus dignitatem consecutus erat, cum Semeim rex Hierosolymis exire uetuit, mortem comminatus, si secus fecisset: eum'que trienio post ad fugitiuos seruos inquirendos urbem egressum, interfici iubet. Vxorem duxit Salomon Pharaonis filiam, & mœnia Hierosolymorum altiora & munitiora fecit. ac in somnis à Deo iussus optare quicquid uellet, intelligentiam & sapientiam petit. qua petitione Deus comprobata, ei se & sapientiam, & mentem præstantem daturum pollicetur, qualem nec ante eum habuisset quisquam, nec post habiturus esset: adiecturum porro ea etiam quæ non petijsset, opes, uictoriam, gloriam, si mandata sua & iura conseruaret. Post hæc, duæ mulieres cum conuenère, quarum una: Rex, inquit, nos in ijsdem ædibus habitauimus, neque quisquam præterea nobiscum. accidit autem, ut utraque masculum eodem tempore pareret. Paulo post, ista filium suum dormiens oppressit: & experrecta, infantem mortuum ulnis meis dormientis supponit, uiuentem ablatum sibi uendicat. Quo commento animaduerso, puerum repeto: illa negat. Altera, suum esse uiuentem puerum affirmat, aduersariæ mortuum, neque eò se improbitatis progressam esse iurat. Corona circumstantium dubitante, quo pacto uerum diiudicari posset. Rex puerum gladio in duas secari partes iubet, & utrique mulieri semissem dari. Eam sententiam uera infantis mater grauiter ferens atque sepudians, aduersariæ puerum uiuentem tradi orat. Quæ uersò se matrem eius falsò profitebatur, collaudato iudicio, dissectionem maturari flagitat. Ibi rex puerum uiuentem ei tradi iubet, quæ dissectionem deprecabatur. eam enim esse matrem, quæ pueri cædem tantopere reformidaret. Id populo euidens argumentum fuit sapientiæ regis, qui quidem omnes ueteres ingenio prudentia'que superabat. Similitudines ter mille composuit, cantilenas quinquies mille: & à cedro auspicatus usque ad hyssopum, describendis stirpibus progressus est, naturas'que animalium terrestrium

Abiathar relegatur. — *Ioabus ad arã mactatur.* — *Banæas imperator.* — *Sadocus pontifex.* — *Semeis occiditur.* — *Salomonis coniugium, structuræ, somnium, iudicium.* — *Salomonis eruditio & inuenta.*

strium, aeriorum, aquatilium, ac proprietates perquisiuit & indagauit. Inuenit etiam ad utilitatem hominum, excantationes dæmonum: & adiurationum rationes reliquit, quibus dæmonia fugentur. Quam curationem ad suam usque ætatem durasse, Iosephus asserit, & in eius rei fidem huiusmodi experimentum narrat: Eleazarum quendam popularem suum habuisse anulum, sub cuius pala radix esset, secundum doctrinam Salomonis, qui si naso dæmoniaci admoueretur, solo olfactu per nares extraheret dæmonium. Deinde Salomonis facta mentione, recitasse excantationes, & adiurasse dæmonium, ne in hominem reuerteretur. Hoc in Vespasiani & filiorum eius conspectu fecisse Eleazarum. & ut uim contra dæmones insitam probaret, posuisse poculum aqua plenum, & iussisse dæmonio, ut egressum ex homine id euerteret: itaque factum esse, nemine cernente à quo euerteretur. Aedificationem templi auspicatus est quarto anno regni sui, anno post exitum populi ex Aegypto quadringentesimo quadragesimo. Verum de spacio, altitudine & longitudine, formaque eius, non consentiunt Regum liber tertius, & Iosephus libro Antiquitatum octauo, ubi de templo scribit: sed in plerisque discrepant. Quam eorum dissensionem, & alia, ut de duobus Cherubis aureis circa adyta collocatis, de arca, de mari æneo, de peluibus, de magnitudine altaris ænei, de forma aureæ mensæ, & quæ uasa aurea & argentea templo Salomon dedicarit: qui curiosius cognoscere uoluerit, is ea tertio libro Regum, & in Iosephi antiquitatibus accuratè descripta inueniet. Templo eum omni ornatu annis septem perfecto, populoque à Rege Hierosolyma conuocato, sacerdotes arcam & tabernaculum à Mose facta, & sacra uasa in templum transtulerunt, Rege & omni populo præcedente, Leuitis libantibus & suffientibus. Arca, in qua duæ lapideæ tabulæ inerant, in adytum reposita est inter duos Cherubos. Sacerdotibus adytum egressis, domus gloria Domini repleta est, & nubes toti tēplo » circumfusa: unde conijciebāt, Deum templum » ingressum, atque ibi habitaturum esse. Quibus rebus lætatus rex, & Deo gratias egit: & populo bene precatus, orauit, ut Numen omnium eorum qui ibi precarentur, uota exaudiret. Deinde uictimas aræ admouit: quas Deus se benigne accepisse declarauit, igne ex aere emisso, qui in aram delatus, omnes uictimas consumpsit. His uisis, Deum laudat populus, Rex gratias agit: festoque splendidè celebrato, conuentus dimittitur. His peractis, Rex somniat, Deum exaudisse preces, templum conseruatum iri, se ad magnam felicitatem peruenturum, & regioni suos posteros imperaturos, si nec ipse, nec illi, nec populus diuina præcepta uiolarent. Alioqui uerò genus eius radicitùs extirpaturū,

Eleazari Iudæi anulus.

Templi ædificatio aliter à Iosepho, aliter in Biblijs descripta.

Salomonis alterū somniū, & res gestæ.

ζώων, καὶ ἀερίων, καὶ νηκτῶν, καὶ τῶν ἰδιωμάτων αὐτῶν ἐξέτασε καὶ ἐφιλοσόφησε. καὶ κατὰ τῶν δαιμόνων ἐξεῦρεν ἐπῳδάς, εἰς ἀνθρώπων ὠφέλειαν· καὶ τρόπους κατέλιπεν ἐξορκώσεων, οἷς τὰ δαιμόνια ἐδιώκοντο. καὶ ταύτην τὴν θεραπείαν, φησὶν ὁ Ἰώσηπος, καὶ μέχρις ἐκείνου ἰσχύειν. καί τι διηγεῖται, τοιοῦτον λόγον πιστούμενος. Ἐλεάζαρ τῶν ὁμοφύλων λέγει κεκτῆσθαί τινα δακτύλιον, ἔχοντα ὑπὸ τῇ σφραγῖδι ῥίζαν, ἐξ ὧν ὑπέδειξε Σολομῶν. καὶ τοῦτον ταῖς ῥισὶ τοῦ δαιμονῶντος προσφέρειν, καὶ τῇ ὀσφρήσει διὰ τῶν μυκτήρων τοῦ πάσχοντος ἐξέλκεσθαι τὸ δαιμόνιον. εἶτα τοῦ Σολομῶντος μεμνημένον, ἐπῳδάς τε λέγειν ἐξ ὧν ἐκεῖνος συνέθετο, καὶ ἐξορκοῦν τὸ δαιμόνιον μηκέτι ἐπανελθεῖν εἰς τὸν ἄνθρωπον. τοῦτο καὶ Οὐεσπασιανοῦ καὶ τῶν υἱῶν ἐκείνου ἐνώπιον λέγει ποιῆσαι τὸν Ἐλεάζαρ· καὶ δεδιδόντα τὴν κατὰ τῶν δαιμόνων ἰσχύος ἀπόδειξιν, τιθέναι ποτήριον πλῆρες ὕδατος, καὶ ἐπιτάσσειν τῷ δαίμονι ἐξερχομένῳ τοῦ πάσχοντος, ἀνατρέψαι αὐτό, καὶ ἀνατραπῆναι τὸ ποτήριον, μηδενὸς ὁρῶντος τὸν ἀνατρέποντα. ἤρξατο δὲ τῆς οἰκοδομῆς τοῦ ναοῦ κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας αὐτοῦ, μετὰ ἔτη τῆς ἐξ Αἰγύπτου ἀποχωρήσεως τοῦ λαοῦ τετρακόσια τεσσαράκοντα. περὶ δὲ τοῦ μέτρου τοῦ ὕψους αὐτοῦ, καὶ τοῦ μήκους, καὶ τῆς τούτου κατασκευῆς, οὐχ ὁμοφωνοῦσιν ἥ τε τρίτη τῶν Βασιλειῶν, καὶ Ἰώσηπος ἐν τῷ ὀγδόῳ λόγῳ τῆς ἀρχαιολογίας περὶ τοῦ ναοῦ συγγεγραμμένος, ἀλλ' ἐν τοῖς πλείοσι διαφέρονται. ᾧ δὲ τὰ περὶ τῆς διαφορᾶς προσβουλῆς ἀκριβώσασθαι, καὶ περὶ τῶν δύο χερουβὶμ ἃ χρυσᾶ ποιήσας κατὰ τὸ ἄδυτον ἔστησε, καὶ περὶ τῆς κιβωτοῦ, καὶ τῆς χαλκῆς θαλάσσης, καὶ τῶν λουτρῶν, καὶ πηλίκον ἦν τὸ χάλκεον θυσιαστήριον, οἵα δ' ἡ τράπεζα ἡ χρυσῆ, καὶ ὅσα σκεύη ἀργυρᾶ τε καὶ χρύσεα Σολομῶν ἀνέθετο τῷ ναῷ, καὶ περὶ τῶν ἄλλων, ἡ τρίτη τῶν Βασιλειῶν βίβλος, καὶ ἀρχαιολογῶν ὁ Ἰώσηπος ἀκριβέστερον παραστήσεσθαι τὴν ἐφ' ἑκάστῳ ἀκρίβειαν. ἐν ἔτεσι δὲ ἑπτὰ συντελέσας ὁ βασιλεὺς τόν τε ναόν, καὶ ὅσα περὶ ἐκεῖνον, συνεκάλεσε τὸν λαὸν εἰς Ἱεροσόλυμα. καὶ ἄραντες τὴν κιβωτὸν οἱ ἱερεῖς, καὶ τὴν σκηνὴν ἣν ἐπήξατο Μωσῆς, καὶ τὰ ἐν ταῖς θυσίαις ὑπουργούμενα σκεύη, πρὸς τὸν ναὸν μετεκόμιζον, τοῦ βασιλέως προάγοντος, καὶ τοῦ πλήθους παντός, καὶ τῶν Λευιτῶν σπενδόντων καὶ θυμιώντων. καὶ κατετέθη ἡ κιβωτὸς εἰς τὸ ἄδυτον, μεταξὺ τῶν δύο χερουβίμ, τὰς δύο λιθίνας πλάκας ἔχουσα ἔνδοθεν. ἐξελθόντων δὲ ἐκ τοῦ ἀδύτου τῶν ἱερέων, « δόξης κυρίου ὁ οἶκος ἐνεπέπληστο, καὶ νεφέλη τὸν « ναὸν ὅλον περιεκέχυτο. ἐξ ἧς ὑπελάμβανον ἐπιδημῆσαι « τῷ ναῷ τὸν θεὸν ἐφαντάζοντο, σκηνώσοντα ἐν αὐτῷ. « ὁ δὲ βασιλεὺς ἡσθεὶς ἐπὶ τούτοις, εὐχαριστίαν τε πρὸς τὸν θεὸν ἐποιήσατο, καὶ τὸν λαὸν εὐλόγησε, καὶ ἱκέτευσεν ἐπήκοον γίνεσθαι τὸ θεῖον πᾶσι τοῖς ἐν αὐτῷ εὐχομένοις. εἶτα τῷ βωμῷ θυσίας προσήγαγε. καὶ ὁ θεὸς δεικνὺς ὡς εὐμενῶς αὐτὰς προσεδέξατο, πῦρ ἐκλάμψαι δι' ἀέρος πεποίηκεν, ἐπενεχθῆναί τε τῷ βωμῷ, καὶ τὴν θυσίαν ἅπασαν κατεδαίσασθαι. τοῦθ' ὁ λαὸς ἰδών, εὐλόγησε τὸν θεόν. καὶ ὁ βασιλεὺς ηὐχαρίστησε, καὶ πολυτελῶς ἑορτάσαντες, τὸν σύλλογον διελύσαντο. ὄναρ δὲ γεγονὸς τῷ βασιλεῖ, ἐπακοῦσαι τῆς εὐχῆς αὐτοῦ τὸν θεὸν ἐδήλου, καὶ τὸν ναόν τε συντηρηθῆναι, καὶ αὐτὸν εἰς ἄκρον εὐδαιμονίας ἀναχθῆναι, καὶ τῆς χώρας ἄρξειν τοὺς ἐξ αὐτοῦ, εἰ αὐτός τε κἀκεῖνοι καὶ ὁ λαὸς τὰ θεῖα μὴ παραβαῖεν ἐντάλματα, εἰ δ' οὖν, πρόρριζον ἐκκόψαι ἠπείλει τὸ γένος αὐτοῦ,

καὶ

περὶ τοῦ δακτυλίου ὁ σφραγὶς ἤλαυνε δαίμονας.

πότε ἤρξατο ἡ οἰκοδομὴ τοῦ ναοῦ Σολομῶν.

ἐν ἑπτὰ ἔτεσι συνετελέσθη ὁ ναός.

οἷα δι' ὀνείρου ἐχρηματίσθη Σολομῶντι θεὸς περὶ τῶν μελλόντων.

καὶ τὸν λαὸν δουλείαις καὶ κακώσεσι μυρίαις ὑποβαλῶν, καὶ τὸν ναὸν παραδώσειν εἰς ἐμπρησμὸν καὶ διαρπαγήν, καὶ τὴν πόλιν εἰς κατασκαφήν τε καὶ προνομήν. οὕτω μὲν οὖν τὰ τοῦ ναοῦ τῷ Σολομῶντι τετέλεστο. μετὰ δὲ ταῦτα βασίλεια ἑαυτῷ ᾠκοδόμησε πολυτελῆ τε καὶ λαμπρά, καὶ τὰ τῶν Ἱεροσολύμων δὲ τείχη προσεπεσκεύασε, καὶ πόλεις ἄλλας προσῳκοδόμησε, καὶ τοὺς ἐν τῷ Λιβάνῳ ὄρει τῶν Χαναναίων ὑφ' ἑαυτὸν ποιησάμενος, μὴ πρὶν ὑποταγέντας, ὑποφόρους κατέστησε.

Τίνα ᾠκοδόμησε Σολομῶν.

Σοφίσματα δὲ καὶ λόγους αἰνιγματώδεις Χειρὰμ ὁ τῶν Τυρίων βασιλεὺς αὐτῷ ἐπέπομφεν, ἀξιῶν σαφηνίσαι αὐτά· καὶ διέλυσε, καὶ τὸν νοῦν ἐκείνων δεδήλωκε. μεμνῆσθαι τούτων ἱστορεῖ ὁ Ἰώσηπος, καὶ συγγραφεῖς ἀρχαίους, τόν τε Δῖον, καὶ πρὸς τούτῳ τὸν Μένανδρον.

Περὶ ὧν ἔλυσεν αἰνιγμάτων Σολομών.

Διαβοηθείσης δὲ πανταχοῦ τῆς σοφίας τοῦ Σολομῶντος καὶ τῆς φρονήσεως, βασίλισσά τις Αἰγύπτου καὶ Αἰθιόπων σοφίαν φιλοῦσα καὶ ἐκζητοῦσα, εἰς Ἱεροσόλυμα παραγίνεται. καὶ ὁ βασιλεὺς φιλοτίμως αὐτὴν προσεδέξατο, καὶ τὰ σοφίσματα ἃ προετίθει ἱκανῶς, ῥᾳδίως ἐπέλυεν, ὡς ἐκπλαγῆναι τὴν βασίλισσαν, καὶ πλέον λέγειν τῶν ἀκουσθέντων ὁρᾶν. ἐθαύμαζε δὲ καὶ τὰ βασίλεια, καὶ τῶν δείπνων τὴν πολυτέλειαν, καὶ τὴν ὑπηρεσίαν πᾶσαν τὴν βασιλικήν, καὶ τὰς ἐν τῷ ναῷ θυσίας, καὶ τῶν θυόντων τὸ εὔτακτον. ἐδωρήσατο δὲ τὸν βασιλέα χρυσίῳ καὶ λίθοις τῶν πολυτίμων, καὶ ἀμυθήτοις ἀρώμασι, καὶ βαλσάμου ῥίζαις, ὡς ἐξ ἐκείνης ἐν Παλαιστίνῃ φύεσθαι τὸ βάλσαμον. καὶ Σολομῶν δὲ πολλοῖς ἀγαθοῖς τὴν βασίλισσαν ἀντημείψατο, καὶ ἡ μὲν εἰς τὰ ἑαυτῆς ὑπενόστησεν.

Περὶ τῆς βασιλίσσης Αἰθιόπων.

Πόθεν τὸ ἐν Παλαιστίνῃ βάλσαμον.

ὁ δὲ βασιλεὺς πάντων τῶν πρὸ αὐτοῦ γενόμενος ἐνδοξότατος, καὶ φρονήσει καὶ πλούτῳ διενεγκών, οὐκ ἐνέμεινε τοῖς θείοις θεσμοῖς. ἀκρασίαν δὲ νοσήσας περὶ τὰ ἀφροδίσια, καὶ περὶ γυναῖκας ἐκμανείς, οὐ ταῖς ὁμογενέσιν ἠρκεῖτο, ἀλλὰ καὶ ἀλλοφύλους ἔγημε πλείστας, καὶ χαριζόμενος ἐκείναις διὰ τὸν ἔρωτα, ἐθρήσκευσε καὶ τοὺς ἐκείνων θεούς. ἔγημε γὰρ θυγατέρας ἀρχόντων διασήμων ἑπτακοσίας, καὶ παλλακὰς τριακοσίας, καὶ τὴν θυγατέρα τοῦ βασιλέως τῶν Αἰγυπτίων.

Ὅτι ἀλλοφύλοις γυναιξὶν [illegible] Σολομῶν.

εἶπε γοῦν ὁ Κύριος πρὸς Σολομῶντα· ὅτι οὐκ ἐφύλαξας ὅσα ἐνετειλάμην σοι, διαρρήξω τὴν βασιλείαν σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. οὐ σὲ ζῶντα τὴν ἀρχὴν ἀφαιρήσομαι, διὰ τὸν πατέρα σου. θανόντος δέ σου, ταῦτα ἐπὶ τοῦ υἱοῦ σου ποιήσω· καὶ οὐδὲ πᾶσαν δὲ αὐτοῦ τὴν βασιλείαν ἀφελοῦμαι, δύο δὲ φυλὰς αὐτῷ καταλείπων, καὶ τὴν Ἱερουσαλὴμ διὰ τὸν πατέρα σου Δαβίδ, τὰς δέκα τῷ δούλῳ δώσω αὐτοῦ.

[illegible]

οὐ συχνὸς καιρὸς διελήλυθε, καὶ Ἄδερ εἰς πόλεμον κατέστη τῷ Ἰσραήλ. ἦν δὲ ὁ Ἄδερ Ἰδουμαῖος ἐκ βασιλέως σπορᾶς, ὃς τοῦ Ἰωὰβ κατὰ τοὺς χρόνους Δαβὶδ καταστρεψαμένου τὴν Ἰδουμαίαν, παιδάριον ὤν, ἀπέδρα εἰς Αἴγυπτον, καὶ φιλοφρόνως δεχθείς, παρὰ Φαραὼ ἠγαπήθη, καὶ τὴν ἀδελφὴν ἔγημε τῆς γυναικὸς Φαραώ. ἀνὴρ οὖν ἀνδρωθείς, καὶ θανόντας μαθὼν τὸν Δαβὶδ καὶ τὸν Ἰωάβ, ἐπανελθεῖν ἐζήτει πρὸς τὴν πατρῴαν ἀρχήν. ἀλλ' οὐ παρεχωρεῖτο πρὸς Φαραώ. ὀψὲ δὲ τῷ Σολομῶντι τῶν πραγμάτων κακῶς ἐχόντων, παρεχωρήθη καὶ Ἄδερ, καὶ εἰς τὴν Ἰδουμαίαν ἐπανελήλυθε. ταύτης δ' ἀσφαλῶς φρουρουμένης, εἰς τὴν Συρίαν ἀφίκετο, καὶ σύστημά τι χειρὸς περὶ αὐτὸν λῃστρικόν, ταύτην τε κατεῖχε, καὶ τὴν τῶν Ἑβραίων ἐλῄζετο χώραν.

Περὶ Ἄδερ.

Ἱεροβοὰμ δὲ υἱὸς Ναβὰτ παιδάριον ὤν, ὑπηρέτει τῷ βασιλεῖ, ἰδὼν δὲ Σολομὼν αὐτοῦ γενναῖον τὸ φρόνημα, ὅτι τῇ

Περὶ Ἱεροβοάμ.

& seruitute populū atq; alijs infinitis malis oppressurū, & templū ad incēdiū & direptionē daturum, urbem etiā solo æquandā & spoliādam. Sic ædificatione templi perfecta, sibi ipsi Salomon ædes constituit sumptuosas & splendidas, Hierosolymorum mœnia instaurat, alias urbes cōdit: Cananæos montis Libani accolas insuetum subire iugum cogit, ac sibi tributarios reddit. Præterea argutias & griphos à Chiramo Tyriorum rege ad se missos, dissoluit atq; explicat: quorū meminisse ueteres historicos, Dium & Menandrum, Iosephus autor est. Eius igitur doctrina & sapientia ubiq; gentium celebrata, Regina quædam Aegypti & Aethiopum, sapientiæ studiosa indagatrix, Hierosolyma proficiscitur. Eam Rex honorificè excipit, quæstiones ab ea propositas facilè soluit, ut Regina obstupescēs, plura se uidere diceret, quàm audiuisset. Miratur & regiam, & cœnarum lauticias, & omnia ministeria Regis, & templi sacrificia, & immolantium ordinem. Regem porrò donat auro, gemmis preciosis, ineffabilibus aromatibus, & balsami radicibus: unde ab eo tempore balsamum in Palæstina nascitur. Salomon uicissim Reginam domum redituram multis bonis remuneratur: qui cum esset omnium ante se regum illustrissimus, sapiētia & opibus præstans, in diuinis institutis non permansit: sed in libidinum intemperantiam prolapsus, insanóque mulierum amore correptus, neque popularibus suis contentus, etiam alienigenas complures duxit: quibus ex amore obsequens, Deos illarum coluit. Nam principum insignium filias septingentas matrimonio sibi iunxit, concubinis trecentis ascitis, & filiam regis Aegyptiorum. Proinde Salomoni dixit Dominus: Quoniam mandata mea non obseruasti, regnum tuum disrumpam, & seruo tuo dabo. Neque tamen uiuenti tibi regnum eripiam, ob patrem tuum. Sed te mortuo, hæc filio tuo regnante faciam. Neque regnum omne tamen ab illo auferam, sed duabus tribubus, & Hierosolymis illi relictis, ob autum Dauidem, decem reliquas seruo eius dabo. Neque multum temporis intercessit, cum Ader Israelitas bello adortus est. Fuit is Idumæus, regij generis, qui Dauidis temporibus Idumæa à Ioabo subacta, puer in Aegyptū aufugerat, & à Pharaone benignè susceptus atq; adamatus, sororem regiæ coniugis uxorem duxerat. Is igitur uir factus, Dauidis & Ioabi obitu cognito, cupidus in patrium regnum redeundi, à Pharaone retinebatur, donec Salomonis rebus turbatis, affine consentiente in Idumæam reuersus est. Sed cum ea firmis præsidijs teneretur, in Syriam se contulit: & latronum manu comparata, cùm hanc occupat, tum Israelitarum agros populatur. Ieroboamum autem Nabati filium, dum puer inseruit Regi, Salomon generosa eius indole animaduersa, cum

Regina Aethiopū Salomonē cōuenit.

Salomō ex intemperātia libidinū in idololatriam prolapsus, à Deo improbatur.

Ader Idumæus bello infestat Israelitas.

ἱερου

Achia Ieroboamo regnū prædicit.

Hierosolymorum mœnia conderet, operis structuræ præfecerat. Qui cum aliquādo iter ingressus esset, incidit in prophetā Achiā Silonitem. Is eo de uia nōnihil seducto, uesteque sua in XII lacinias discissa, X illi dat, cum his uerbis: Sic regnum Salomonis discindet Dominus, eiusque filio duas in aui gratiam tribus relinquet, te autem X tribuum regem constituet. Tu uerò fac leges Domini amplectaris, & iustitiam colas.

Ieroboamus regnū affectans in Aegyptum fugit.

Hoc oraculo elatus Ieroboamus, nouis rebus studet. Sed rex, cognita re, de illo tollendo cogitat. At ille in Aegyptum fugit, ibique degit usque ad Salomonis obitum.

[Salo]monis [æ]tas.

Obijt autem is, ut liber Regum narrat, anno ætatis LII, cum XII annos natus regnum suscepisse memoretur, & id per XL tenuisse. Iosephus autem tradit, eum annos uixisse IIII & LXXXX, regnasse LXXX. Vita usus est felici & gloriosa, nisi in senectute patrias leges uiolasset, amoribus impulsus illicitis peregrinarum mulicularum, earumque sectatus religiones: relicto successore filio Roboamo.

Roboamus IIII rex Iudæorū, X tribus responso asperiore à se alienat.

ad quem cum populus confluxisset, ac supplex petijsset, ut patre clementior, seruitutis iugum à Salomone ceruicibus suis impositum relaxaret: ille se deliberaturum ait, & post triduum responsurum. Consulit itaque seniores ex patrijs ministris, quid respondendum esset: monent, clementer, non superbè & arroganter alloquendum esse populum. Post senatum, re cum adolescentibus unà secum educatis communicata, & consilio seniorum exposito: illi autores sunt, ut asperius agat cum populo, & pro autoritate imperij ac regiæ dignitatis fastigio uerba faciat. Roboamus horum sententia comprobata, cum populus iterum conuenisset: Si pater meus, inquit, durum uobis iugum imposuit, id ipse exasperabo: si flagellis ille uos cecidit, ego scorpionibus in uos animaduertam: & quod in me paruum est, id crassius paternis lūbis experiemini. His multitudo auditis, Quæ nobis in Dauide pars est? exclamans, rege fastidito discedit. Cum autem Roboamus quendam suorum familiarium misisset, qui mollioribus uerbis populum placaret, eum ira concitati lapidibus peremerunt: quo facto, ille perterritus Hierosolyma confugit, sola Iudaica & Beniamitica tribu penes se retenta. Reliquæ Ieroboamū, defuncto Salomone ex Aegypto reuersum, regem crearunt. Cuius unà cum Israelitis bello inuadendi consilia agitantem Roboamum, Deus per Samæam uatem inhibuit.

Ieroboamus X tribuum I Rex, falsum Dei cultū instituit.

Veritus autem Ieroboamus, ne multitudo Hierosolyma profecta, illorum hominum commercio ad priorem Regem, se deserto, reuerteretur, duos uitulos aureos conflatiles facit, altero Bethele, Dane altero collocato. aduocatáque concione: Deus, inquit, uiri, ubique est, non Hierosolymis duntaxat. Ego igitur Dei nomine duos uitulos feci, neque posthac uobis necesse erit ire Hierosolyma.

ἱερουσαλὴμ περίβολον ᾠκοδόμει, ἐπίτροπον αὐτὸν τῆς οἰκοδομῆς ἐπιμελητήν. ἀπερχομένῳ δέ ποτε τῷ ἱεροβοὰμ, συναντήσας προφήτης ὁ σηλωνίτης ἀχιὰ, καὶ ἐκκλίνας αὐτὸν τῆς ὁδοῦ, διέῤῥηξε τὸ ἱμάτιον εἰς δώδεκα ῥήγματα, καὶ δέδωκεν ἐκείνῳ τὰ δέκα, εἰπὼν, ὡς οὕτως διαῤῥήξει τὴν βασιλείαν σολομῶντος ὁ κύριος, καὶ τῷ μὲν ἐκείνου υἱῷ δύο καταλείψει φυλὰς διὰ τὸν πάππον, σοὶ δὲ τὰς δέκα δώσει, καὶ βασιλεύσεις ἐν ταῖς αὐταῖς. σὺ δὲ ἀλλὰ τῶν νόμων ἀντέχου κυρίου, καὶ γίνου δίκαιος. τούτοις μέγα φρονήσας ἱεροβοὰμ, νεωτερίζειν ἐπεχείρει. καὶ γνοὺς τὸ πρᾶγμα ὁ βασιλεὺς, ἀνελεῖν ἐζήτει αὐτόν. ὁ δὲ φεύγει εἰς αἴγυπτον, κἀκεῖ διῆγεν, ἕως σολομὼν ἐτελεύτησε.

περὶ τῶν χρόνων σολομῶντος, ὅσοι ἱστοροῦνται.

τέθνηκε δὲ ὁ βασιλεὺς σολομὼν, ὡς μὲν ἡ βίβλος βασιλειῶν ἱστορεῖ, ζήσας ἔτη αὐτοὺς πεντήκοντα πρὸς δυσί. δωδεκαέτης γὰρ τῆς βασιλείας ἐπιβῆναι ἱστόρηται, βασιλεῦσαι δὲ ἔτη τεσσαράκοντα. ὡς δ' ὁ ἰώσηπος συγγέγραφε, τέσσαρας μὲν ἐνενήκοντα ἐβίω, καὶ ἐνενήκοντα. ὀγδοήκοντα δὲ βεβασίλευκεν, εὐτυχῶς μὲν ζήσας καὶ ἐνδόξως, παρανομήσας μέντοι περὶ τὸ γῆρας, ὑπ' ἐρώτων οὐκ εὐαγῶν ἀλλογενέσι παιδίσκαις γυναιξὶ, καὶ τοῖς ἐκείνων ἀκολουθήσας θρησκεύμασι. διάδοχον δ' ἔσχε τῆς βασιλείας τὸν υἱὸν ῥοβοάμ.

περὶ ῥοβοὰμ τοῦ υἱοῦ σολομῶντος.

καὶ ὁ λαὸς συνήχθη πᾶς πρὸς αὐτὸν, καὶ ἱκέτευον ἐλαφρῦναι αὐτοῖς τὸν τῆς δουλείας ζυγὸν, ὃς παρὰ σολομῶντος αὐτοῖς ἐπετέθεικτο, καὶ τοῦ πατρὸς φανῆναι χρηστότερος. ὁ δὲ, σκέψασθαι ἔφη, καὶ μετὰ τρεῖς ἡμέρας εἰπεῖν. καλέσας οὖν τοὺς γηραιτέρους τῶν πατρώων θεραπόντων, τί ἂν ἀποκρίναιτο τῷ λαῷ; [illegible], διαλεχθῆναι αὐτοῖς συνεβούλευον ἠπιώτερον, μὴ δ' ὑπερηφάνως καὶ ὀγκηρῶς. μετὰ δὲ τὴν γερουσίαν τοῖς μειρακίσκοις, οἳ περὶ αὐτὸν συνετρέφοντο, τοῦ σκέμματος κεκοινώνηκε, καὶ τὴν τῶν πρεσβυτέρων εἶπε συμβουλήν. οἱ δὲ, τραχύτερον αὐτὸν προσομιλῆσαι τῷ λαῷ συνεβούλευσαν, καὶ τοὺς λόγους ἀναλόγους τῷ τῆς ἀρχῆς ὄγκῳ ποιήσασθαι, καὶ τῷ βασιλικῷ ἀξιώματι. καὶ ὃς τούτοις προσέθετο, καὶ ἐπεὶ τὸ πλῆθος αὖθις συνεληλύθει, εἰ τὸν ζυγὸν ὑμῖν ἐσκλήρυνεν ὁ πατήρ μου, ἔφη, τοῦτον αὐτὸς ἐπάξω βαρύτερον· καὶ εἰ μάστιξιν ἐκεῖνος ἐχρῆτο καθ' ὑμῶν, σκορπίοις ὑμᾶς κολάσω αὐτός· καί μου τῆς σμικρότητος, παχυτέρας τῆς ὀσφύος τοῦ πατρὸς πειραθήσεσθε. τούτων τὸ πλῆθος ἀκοῦσαν, τίς ἡμῖν μερὶς ἐν δαβὶδ, ἐξεβόησαν. καὶ ἀποδυσπετήσαντες, ἀπῄεσαν. πέμψαντος δὲ ῥοβοὰμ τῶν οἰκείων ἕνα, διαλεχθῆναι αὐτοῖς ἐπὶ πραΰναι, ἔκτειναν ὑπ' ὀργῆς τὸν ἄνδρα λιθοβολήσαντες. ῥοβοὰμ δὲ δείσας, εἰς ἱεροσόλυμα πέφευγε, παραμεινάσης αὐτῷ τῆς ἰούδα φυλῆς, καὶ σὺν αὐτῇ τῆς βενιαμίτιδος.

περὶ τῆς ἀποστασίας τῶν δέκα φυλῶν.

αἱ δέ γε λοιπαὶ δέκα τὸν ἱεροβοὰμ ἐπανελθόντα ἐκ τῆς αἰγύπτου, μετὰ τελευτὴν σολομῶντος, καλέσασαι αὐτὸν, εἵλοντο βασιλέα. ῥοβοὰμ δὲ ἑτοιμάζετο μαχέσασθαι τοῖς ἰσραηλίταις περὶ τῆς βασιλείας, καὶ τῷ ἱεροβοάμ· ἐκωλύθη δὲ παρὰ τοῦ θεοῦ, διὰ τοῦ προφήτου σαμαίου. καὶ ἱεροβοὰμ δείσας μὴ τὸ πλῆθος εἰς ἱεροσόλυμα ἀπιὸν, καὶ τοῖς ἐκεῖ συναναμιγνύμενον, ἐπιστραφῇ πρὸς τὸν πρότερον αὐτῶν βασιλέα, καὶ καταλείψῃ αὐτὸν, δύο δαμάλεις εἰργάσατο ἐκ χρυσοῦ, καὶ ἔθετο τὴν μὲν ἐν βαιθὴλ, τὴν δ' ἑτέραν ἐν δάν. καὶ ἐκκλησιάσας τὸ πλῆθος, πανταχοῦ ὁ θεός ἐστιν, εἶπεν, ὦ ἄνδρες, ἀλλ' οὐ μόνον ἐν ἱεροσολύμοις. ἰδοὺ οὖν δύο δαμάλεις πεποίηκα εἰς ὄνομα τοῦ θεοῦ, καὶ οὐκέτι ὑμῖν ἀνάγκη πορεύεσθαι εἰς ἱεροσόλυμα.

περὶ τῶν δύο δαμάλεων. καὶ ὅπως κωλύων εἰς ἱεροσόλυμα πορεύεσθαι τὸν λαὸν ἱεροβοάμ.

σόλυμα. ἀπερχόμενοι δ' ἐς αὐτὰς, προσκυνεῖτε καὶ θύετε, καὶ ἱερεῖς γὰρ ἐξ ὑμῶν αὐτὸς ἀποδείξω. τούτοις ἐξαπατηθεὶς ὁ λαὸς, τά τε πάτρια παραβέβηκε, καὶ παρώργισε τὸν θεὸν, ὡς καὶ εἰς αἰχμαλωσίαν παραδοθῆναι τοῖς ἀλλοφύλοις τὸν ἰσραήλ. ποιήσας δὲ ἱερεῖς ἱεροβοὰμ καὶ θυσιαστήριον, ἑώρταζε, καὶ ἀνέβη αὐτὸς ἐπὶ τὸν βωμὸν, καὶ περὶ αὐτὸν οἱ ἱερεῖς. καὶ ἤδη μέλλοντι θύειν, παρέστη προφήτης σταλεὶς ἐκ θεοῦ, καὶ ἀπεῖπε· τάδε λέγει κύριος. θυσιαστήριον, ἐκ Δαβὶδ ἔσται τις ἰωσίας καλούμενος, ὃς θύσει σοῦ ἱερεῖς σοὶ ἐπί σε, καὶ κατακαύσει τὰ ὀστᾶ αὐτῶν. ἵνα δὲ ᾖ δῆλον, ὡς οἱ λόγοι μου ἀληθεύουσιν, ἰδοὺ ῥαγήσεται τὸ θυσιαστήριον, καὶ ἡ ἐπ' αὐτῷ πιότης χυθήσεται κατὰ γῆς. καὶ αὐτίκα τό, τε θυσιαστήριον διερράγη, καὶ ἡ πιότης τῶν θυμάτων ἐκκέχυτο. ἐξέτεινε δὲ τὴν χεῖρα ἱεροβοὰμ, συλληφθῆναι τὸν προφήτην ἐγκελευόμενος· ἡ δὲ ἐξηράνθη, ἀκίνητός τε ἔμεινε. δεηθεὶς γοῦν ἱεροβοὰμ τοῦ προφήτου, ἔσχεν αὖθις τὴν χεῖρα κινουμένην καὶ ὑγιῆ, καὶ ἠξίου αὐτὸν συνδειπνῆσαι αὐτῷ. ὁ δὲ οὐκ ἠνέσχετο, λέγων παρὰ τοῦ θεοῦ κεκωλῦσθαι ἄρτον φαγεῖν, ἢ ὕδωρ πιεῖν, ἢ ὑποστρέψαι δι' ἧς ὁδοῦ εἰς τὴν πόλιν εἰσελήλυθε, καὶ ἀπήει, ἑτέραν τραπόμενος. ψευδοπροφήτης δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ, τὸν ἱεροβοὰμ ἀπατῶν, καὶ πρὸς χάριν αὐτῷ ὁμιλῶν. οὗτος μαθὼν ὅσα ὁ τοῦ θεοῦ προφήτης καὶ εἴρηκε καὶ πεποίηκε, καὶ ὡς ἄπεισι, καταδιώξας ὀπίσω αὐτοῦ, καὶ καταλαβὼν αὐτὸν, ἠξίου ἀναστρέψαι, καὶ παρ' αὐτῷ ξενωθῆναι. τοῦ δὲ ἀπαναινομένου, ὡς ἀπαγορευθέντος τοῦ θεοῦ, ἀλλὰ κἀγὼ προφήτης εἰμὶ, ὁ πονηρὸς ἐκεῖνος εἶπεν ἀνὴρ, καὶ ἥκω κατ' ἐντολὴν τοῦ θεοῦ, ἀναστρέψων σε τραπέζης μοι κοινωνήσοντα. ἐπίστευσεν ὁ προφήτης τοῖς τοῦ ψευδοπροφήτου λόγοις, καὶ ὑπενόστησε. ξενισθέντι δ' ἐκεῖ τῷ προφήτῃ, λόγος ἐγένετο κυρίου· ἀνθ' ὧν οὐκ ἐτήρησε τὰ ἐνταλθέντα αὐτῷ, ἀναιρεθήσεσθαι κατὰ τὴν ὁδὸν παρὰ λέοντος. καὶ ὑποστρέφοντα λέων αὐτὸν ἔκτανε, καὶ παρακαθήμενος ἐφύλαττε τὸν νεκρὸν καὶ τὸ ὑποζύγιον. μαθὼν δὲ τὸ γεγονὸς ὁ ψευδοπροφήτης, συγκομίσει τὰ λείψανα τοῦ τεθνεῶτος, καὶ ἔθαψε καὶ τοῖς ἑαυτοῦ παισὶν ἐνετείλατο, τῷ προφήτῃ συγκηδεῦσαι καὶ αὐτοῦ τὸ σῶμα θανόντος· τί ἄρα μηχανησάμενος; ἵν' ὅτε κατὰ τὴν ἐκείνου προφητείαν κατασκαφῇ τὸ θυσιαστήριον, καὶ τῶν ἱερέων καὶ ψευδοπροφητῶν πυρὶ παραδοθῇ τὰ ὀστᾶ, αὐτὸς διαφύγῃ τὴν ὕβριν, τῷ ἀνθρώπῳ τοῦ θεοῦ συγκατατεθείς. ταῦτα μὲν οὖν οὕτως ἐγένετο. ἱεροβοὰμ δὲ τῆς αὐτοῦ οὐκ ἔληγεν ἀσεβείας, ἀλλὰ καὶ ἐπεδίδου, καθ' ἑκάστην παρανομῶν, καὶ χρημάτων τὴν ψευδῆ τῶν ὑψηλῶν ἱερωσύνην παρεῖχε τοῖς θέλουσιν ὠνεῖσθαι. καὶ εἰς ἁμαρτίαν ἡ πρᾶξις αὕτη ἐλογίσθη αὐτῷ, καὶ εἰς ἀφανισμὸν τοῦ οἴκου αὐτοῦ γέγονε, καὶ εἰς ὄλεθρον. εἰ δὲ τὸ τὴν ἀνίερον ἐκείνην ἱερωσύνην ἀποδόσθαι χρημάτων, ἁμαρτία λελόγιστο, τί ἄν τις εἴποι περὶ τῶν πωλούντων καὶ ὠνουμένων τὴν θείαν ὄντως ἱερωσύνην, τὴν τῆς φρικτῆς καὶ ἀναιμάκτου θυσίας τελεστικήν; ἐνόσησε δὲ ἀβιὰ ὁ υἱὸς ἱεροβοὰμ, καὶ ἔστειλε τὴν γυναῖκα αὐτοῦ ὁ βασιλεὺς πρὸς ἀχιὰ τὸν προφήτην, εἰ ζήσεται ἐρωτήσουσαν. ἡ δὲ ἰδιωτικὴν μεταμφιεσαμένη στολὴν, ἀπῆλθε. καὶ ὁ προφήτης τὸ δρᾶμα γνοὺς, μὴ κρύπτε σαυτὴν γύναι ἱεροβοὰμ, ἔφη. ἄπιθι δὲ, καὶ τῷ ἀνδρί σου εἰπὲ, ὅτι ἐπεὶ κατέλιπες τὸν θεὸν, σεαυτῷ θεοὺς ἐποίησας χωνευτοὺς, προσδέχου τήν τε βασιλείαν ἀφαιρεθήσεσθαι, καὶ αὐτὸς πανγγενῇ ἐξολοθρευθήσεσθαι. ὅτι

ἱεροβοὰμ θυσιάσαι ἐθέλων, θαυμασίως ἐκωλύθη.

περὶ τοῦ ψευδοπροφήτου τοῦ ἀπατήσαντος τὸν ἀληθῆ.

ὅτι ὁ παρακούσας ἐντολῆς τοῦ θεοῦ προφήτης, ὑπὸ λέοντος ἀνῃρέθη.

περὶ τῶν πωλούντων τὴν ἱερωσύνην χρημάτων.

περὶ ἀχιὰ προφήτου καὶ τῆς γυναικὸς τοῦ ἱεροβοὰμ.

solyma, sed ad hos profecti, adorate et sacrificate. nam è uestro numero sacerdotes designabo. His populus Israeliticus deceptus, patrijs institutis uiolatis, iram numinis in se prouocauit, ut alienigenis in seruitutem traderetur. Ieroboamus autem sacerdotib. creatis, araq; extructa, se stum celebrat: conscensaq; ara, cum sacrificulis astantibus iam sacrificaturus esset, propheta à Deo missus: Hęc, inquit, dicit Dominus: Heus ara, erit quidam Dauidicus, nomine Iosias, qui sacerdotes tuos supra te immolabit, et ossa eorũ comburet. Vt aũt uerba mea uera esse constet, rumpetur ara, & pinguedo in ea sita fundetur humi. Statim his dictis, & ara rumpitur, & pinguedo uictimarũ effunditur. & Ieroboami manus, quam extenderat, prophetam comprehendi iubens, arida facta, mansit immobilis, donec precibus à propheta impetrasset, ut in integrum restitueretur. Qui à rege ad cœnam inuitatus, recusat, quòd diuinitus interdictum sibi esset, ne uel panẽ ederet, uel aquã biberet, uel eadem uia reuerteretur, qua urbem ingressus esset. Itaq; alia uia discedit. cæterùm in ea urbe quidã pseudopropheta erat, qui Ieroboamum seducebat, eius gratiam aucupãs. is cum audisset, quæ Dei propheta & dixisset & fecisset: abeũtem persequitur, & assecutus rogat, ut suo hospitio utatur. Quod illo recusante ut diuinitùs interdictũ, improbus ille uir: Atqui & ego propheta sum, inquit, & ex Dei mandato adsum, ut sis mensæ meæ particeps. Propheta fide adhibita pseudoprophetę uerbis, redit. sed dum illo hospitio fruitur, diuinitùs audit, se propterea quòd iussa executus non sit, à leone interfectum iri. Domum redituram, occidit leo, atq; assidens & cadauer et iumentũ custodit. Quo pseudopropheta cognito, mortui ossa collecta sepelit, suisq; liberis mandat, ut se mortuum iuxta illum sepelirent: eo utiq; consilio, ut cum secundum prædictionem illius altare euerteretur, & sacerdotũ ac pseudoprophetarum ossa igni traderentur, eam contumeliam ipse, iuxta hominem diuinum situs, effugeret. Et hæc ita gesta sunt. Ieroboamus autem suam impietatem adeò non minuebat, ut etiam indies augeret, falsum illud editorum locorum sacerdotium quibusuis precio uenditans: quæ res noxæ illi fuit imputata, & in familiæ eius perniciem & interitum uertit. Quòd si profanum illud sacerdotium addicere pecunia, nefas est habitum: quid de ijs dicemus, qui uerè diuinum illud sacerdotium, quo ueneranda illa & incruenta uictima immolatur, precio uendunt atque redimunt? Cum autem Abias Ieroboami filius ægrotaret, rex uxorem suam, plebeia ueste indutam, ad Achiam prophetam mittit, percontaturam, num puer euasurus esset morbum. Sed propheta commento agnito: Ne te, inquit, dissimulato, Ieroboami uxor: sed marito tuo dicito, quia Deo relicto, ipse sibi Deos conflauerit, & regni amissionem & interitum cum omni familia ei esse expectandum. Præterea

Hierosolymitanus propheta, reprehensa Ieroboami religione, à pseudopropheta seductus, à leone occiditur.

Caupones sacerdotiorum.

Abiæ Ieroboami filij obitus, à uate prædictus.

cum populus etiam eius impietatem sit secutus, ne illum quidem fore impunitum. Tu uerò abi mulier, filium tuum mortuum inuentura, qui cum fletu sepelietur. Solus enim ex Ieroboamicis bonus fuit. Mulier digressa, filium mortuum inuenit, & prophetae uerba marito nunciat, quibus ille, quippe homo corrupti ingenij, nihilo factus est melior. Sed Roboamo regnante Hierosolymis, Israelitici generis Leuitae & sacerdotes, & alij ex populo, quid bonum esset intelligentes, relictis suis oppidis, Hierosolyma concesserunt. Vnde Roboami regnum augebatur, quamuis & ipse impietate laeserit Deum, & tota Iudaica domus Dei cultum neglexerit. Quamobrem Susacus Aegyptiorū rex cum magnis copijs ascendit Hierosolyma, Roboamo quintum iam annum regnante: qui unà cum populo in urbe conclusus, salutem à Deo uotis exposcebant, delicta sua confitentes. Deus exoratus, se non deleturum illos, sed dediturum hostibus, respondit. Itaque susceptus à Roboamo per conditiones Aegyptius, rupto foedere, & sacros & regios thesauros spoliat, & aurea arma à Salomone facta, & aureas hastas à Dauide dedicatas omnes rapit. Moritur Roboamus anno aetatis quinquagesimoseptimo, regni decimoseptimo, successore relicto filio Abio, cui bellum intulit Ieroboamus, cum & Roboamum perpetuò armis lacessisset. Abius autem impetu eius non reformidato, sed domesticis illi copijs oppositis, celebrem uictoriam reportauit, ut Ieroboamus in aciem descendere postea non auderet. Mortuus est Abius, cum triennium regnasset Hierosolymis, homo in Deum impius. Asa uerò filius eius, regno suscepto, diuina instituta obseruauit, exemplo Dauidis principis familiae suae. Mortuus est & Hieroboamus, exactis in imperio annis duobus supra uiginti. Ei successit Nabat filius, homo & ipse ad exemplum patris impius: qui dum Gabatam urbem barbaram oppugnat, per insidias Baasae filij Achiae occiditur, anno regni secundo. Baasas uerò regni Israelitici potitus, omne Hieroboami genus extirpauit, uir & ipse Hieroboamo nihilo obseruantior legum, et populo delinquēdi autor. Quare Deus per prophetam Iehum ei comminatur, se eius quoque familiam, ut Hieroboami, excisurum. mortuus est & hic anno regni uigesimoquarto, Ela filio regni successore relicto, quem anno imperij secundo Zambres eius magister equitum occidit ebrium, regnóque occupato, uniuersum Baasae genus deleuit. Caeterùm Israeliticus exercitus, dum Gabatam obsidet, audito Zambris facinore, & occupatione regni: Zambrem alium, ducem suum, qui in castris erat, regem salutat, & urbem Thersam ductu illius occupatam obtinet. Quare prior ille Zambres in intimam regiam sese recipit, eaq; incensa, unà conflagrat, cum VII dies imperium tenuisset. Facta post hoc populi secessione, alij Zambrē eligūt, alij Thamnim.

Margin notes (Latin): Hierosolyma spoliat. — Abius, V rex Iudaeorum. — Asa VI rex Iudaeorum. — Nabat II rex Israelitarum. — Baasas III rex Israelitarum. — Elas IIII rex Israelitarum. — Zambres V rex Israelitarum.

δέ σοι ἀσεβήσαντι, καὶ τὸ πλῆθος ἐπηκολούθησεν, οὐδὲ ἐκεῖνο μὲν ἀτιμώρητον. σὺ δὲ ἄπιθι γύναι, καὶ θανόντα εὑρήσεις τὸν παῖδά σου, ὃς καὶ ταφήσεται θρηνηθείς. μόνος γὰρ ἐξ ἱεροβοὰμ οὗτος ἦν ἀγαθός. ἀπελθοῦσα δὲ ἡ γυνὴ, τὸν μὲν παῖδα εὗρε θανόντα, τῷ δὲ ἀνδρὶ τὰ παρὰ τοῦ προφήτου ἀπήγγειλε. οὐδὲν δὲ ἐξ ἐκείνων ἐβελτιώθη, τυγχάνων ἀσύνετος. ῥοβοὰμ τοῦ ὑιοῦ σολομῶντος βασιλεύοντος ἐν ἱερουσαλὴμ, οἱ παρὰ τοῖς ἰσραηλίταις ἱερεῖς καὶ λευῖται, καὶ ὅσοι τοῦ πλήθους ἦσαν συνιέντες τὸ ἀγαθὸν, ἀποστάντες τῶν ἰδίων πόλεων, εἰς ἱεροσόλυμα παραγίνονται. κἀντεῦθεν ἡ βασιλεία τοῦ ῥοβοὰμ ηὔξητο. ὁ δὲ καὶ αὐτὸς ἠσέβησεν εἰς θεὸν, καὶ πᾶς ὁ οἶκος ἰούδα τῆς τοῦ θεοῦ θρησκείας κατωλιγώρησε. διὸ καὶ ἀνέβη σουσακὶμ ὁ βασιλεὺς αἰγύπτου ἐπὶ ἱερουσαλὴμ μετὰ βαρείας δυνάμεως, ἐν ἔτει πέμπτῳ τῆς βασιλείας τοῦ ῥοβοάμ. συγκλείσας δὲ αὐτὸν ῥοβοὰμ ἐν τῇ πόλει καὶ τὸν λαὸν, ἐδέοντο τοῦ θεοῦ δοῦναι σωτηρίαν αὐτοῖς, καὶ ἃ ἥμαρτον εἰς θεὸν ἐξωμολογοῦντο. παρακληθεὶς δὲ ὁ θεὸς, οὐκ ἀπολέσειν αὐτοὺς, ἀλλὰ δώσειν εἶπεν ὑποχειρίους τοῖς πολεμίοις. δεξαμένου τοίνυν ἐν τῇ πόλει ῥοβοὰμ τὸν αἰγύπτιον ἐπὶ συνθήκαις, παρασπονδήσας ἐκεῖνος, τούς τοῦ θεοῦ τε θησαυροὺς ἐσύλησε, καὶ τοὺς βασιλικοὺς ἐξεκένωσε, καὶ τὰ χρυσᾶ ὅπλα, ἃ ἐποίησε σολομὼν, καὶ τὰ δόρατα τὰ χρυσᾶ, ἃ ὁ δαβὶδ ἀνέθετο, πάντα ἀφείλετο. ἐτελεύτησε δὲ ῥοβοὰμ ζήσας ἔτη πεντήκοντα καὶ ἑπτὰ, ἐξ ὧν ἑπτακαίδεκα βεβασίλευκε, διάδοχον τὸν ὑιὸν καταλιπὼν ἀβιοὺ, καθ' οὗ ἱεροβοὰμ ἐξεστράτευσεν, ἀεὶ καὶ τῷ ῥοβοὰμ πολεμῶν. ἀβιοὺ δὲ οὐκ ἔπτηξε τὴν ἔφοδον, ἀλλ' ἀντιτάξας αὐτῷ τοὺς οἰκείους, νίκην νικᾷ περιβόητον, ὡς μηκέτι θαρσῆσαι τὸν ἱεροβοὰμ ἀντιπαρατάξασθαι. τελευτᾷ δὲ ἀβιοὺ βασιλεύσας ἐν ἱερουσαλὴμ ἔτη τρία, ποιήσας τὸ πονηρὸν ἐνώπιον κυρίου. καὶ ἐβασίλευσεν ἀσὰ ὁ ὑιὸς αὐτοῦ, τοὺς θείους θεσμοὺς τηρήσας κατὰ δαβὶδ τὸν οἰκεῖον προπάτορα. τέθνηκε δὲ καὶ ἱεροβοὰμ ἀνύσας ἐν τῇ ἀρχῇ ἔτη δύο καὶ εἴκοσι. καὶ διεδέξατο αὐτὸν ναβὰτ ὁ ὑιὸς αὐτοῦ. κἀκεῖνος ἀσεβὴς κατὰ τὸν πατέρα γενόμενος, ὃς πόλιν τῶν ἀλλοφύλων πολιορκῶν γαβαθὼν, ἐπιβουλευθεὶς παρὰ βαασὰ ὑιοῦ ἀχιὰ, καὶ τέθνηκε, δύο ἄρξας ἐνιαυτούς. βαασὰ δὲ τῆς τῶν δέκα φυλῶν βασιλείας ἐγκρατὴς γεγονὼς, πᾶν τὸ γένος τοῦ ἱεροβοὰμ ἐξωλόθρευσε. καὶ οὗτος δὲ, ὡς ἱεροβοὰμ, παρηνόμησε, καὶ τὸν λαὸν ὁμοίως πεποίηκεν ἁμαρτεῖν· καὶ ἠπείλησεν αὐτῷ ὁ θεὸς διὰ ἰηοὺ τοῦ προφήτου, διαφθερεῖν τὸν οἶκον αὐτοῦ, ὡς τὸν οἶκον ἱεροβοάμ. τέθνηκε δὲ καὶ οὗτος βασιλεύσας ἔτη τέσσαρα καὶ εἴκοσι. καὶ ἠλὰ ὁ ὑιὸς αὐτοῦ γέγονε τῆς πατρικῆς βασιλείας διάδοχος. ὃν ζαμβρὶ ὁ ἄρχων τῆς ἵππου αὐτοῦ μεθύοντα κτείνας, ἐπὶ δύο ἐνιαυτοὺς βασιλεύσαντα, τήν τε βασιλείαν ἀφείλετο, καὶ τὸ γένος ἅπαν τοῦ βαασὰ ἐξωλόθρευσεν. ἡ δὲ τῶν ἰσραηλιτῶν στρατιὰ πολιορκοῦσα τὴν γαβαθὼν, μαθοῦσα ὅτι ζαμβρὶ κτείνας τὸν ἠλὰ ἐβασίλευσε, τὸν οἰκεῖον στρατάρχην ζαμβρὴν ἐν τῇ παρεμβολῇ ἀνηγόρευσε, καὶ τὴν πόλιν θερσὰ μετ' αὐτοῦ προκαταλαβοῦσα, κρατεῖ ταύτης. ζαμβρὶ δὲ ὁ πρότερος εἰς τὸ μυχαίτατον τῶν βασιλείων εἰσδὺς, καὶ ἐμπρήσας αὐτὸ, συνδιεφθάρη ἐκείνῳ καὶ ἑαυτὸν, ἑπτὰ ἡμέρας τὴν ἀρχὴν κατασχών. εἶτα μερίζεται ὁ λαὸς, καὶ τὸ μὲν αὐτοῦ τὸν ζαμβρὴν αἱρεῖ, τὸ δὲ ἕτερον

Margin notes (Greek): ἐπῆλθεν σουσακὶμ κατὰ ῥοβοὰμ, καὶ [illegible] ὁ αἰγύπτιος [illegible]. — ἀφῄρηται τῶν χρυσῶν ὅπλων σολομῶντος, καὶ τῶν δοράτων τῶν χρυσῶν τοῦ δαβὶδ [illegible]. — ἐνίκησεν [illegible] ῥοβοάμ, καὶ [illegible] τοῦ ὑιοῦ ῥοβοάμ. — [illegible] ἱεροβοὰμ [illegible] ἀσὰ [illegible]. — [illegible] βαασὰ [illegible] ἱεροβοὰμ ἐξωλόθρευσεν. — [illegible] ζαμβρὶ [illegible] κατέχει [illegible].

τὸν Θαμνί. ἀλλ' ὑπερισχύσαντες οἱ τοῦ Ζαμβρῆ, καὶ ἀνελόντες τὸν Θαμνί, ἀστασίαστον τὴν ἀρχὴν τῷ Ζαμβρῆ πεποιήκασιν. ὃς πρότερον μὲν ἐν Θερσᾷ ἐβασίλευσεν· ἔπειτα δ' ἐν Μαρεὼν τῷ ὄρει, ἐν ᾧ πόλιν ἐδομήσατο, ἣ Σαμάρεια κέκληται, αὐτοῦ Σαμαρεὼν τὸ ὄρος καλέσαντος, ὡς ὄνομα Σεμέρου, ἀφ' οὗ ὠνήσατο. χείρων δὲ τῶν πρὸ αὐτοῦ γεγονώς, καὶ κατέστρεψε τὴν ζωὴν ἐν Σαμαρείᾳ, δώδεκα βασιλεύσας ἐνιαυτούς. ἡ δὲ βασιλεία περιῆλθεν εἰς Ἀχαὰβ τὸν υἱὸν αὐτοῦ. οἱ μὲν οὖν τῶν Ἰσραηλιτῶν βασιλεῖς, ἄλλος ἐπ' ἄλλῳ διὰ τὴν παρανομίαν αὐτῶν ἐν ὀλίγῳ χρόνῳ διεφθάρησαν. Ἀσὰ δὲ ὁ τῶν Ἱεροσολύμων βασιλεύς, θεοφιλὴς ὤν, οὗ τῷ δεκάτῳ τῆς βασιλείας ἔτει, ὁ βασιλεὺς Αἰθιόπων στρατεύει κατ' αὐτοῦ μετὰ βαρείας δυνάμεως. ὁ δὲ τὸν θεὸν σύμμαχον ἐπικέκλητο, καὶ συμπλακεὶς τοῖς Αἰθίοψι, πολλοὺς μὲν αὐτῶν ἀνεῖλε· τοὺς δὲ λοιποὺς φυγόντας ἐδίωξε, καὶ τὴν παρεμβολὴν ἐκείνων διήρπασε, καὶ πολλὰ αὐτός καὶ ὁ λαὸς ἐκομίσαντο λάφυρα. ἀναζευγνύντι δὲ τῷ βασιλεῖ καὶ τῇ στρατιᾷ, ὁ προφήτης Ἀζαρίας ὑπαντήσας, τῆς νίκης τὸν θεὸν αὐτοῖς αἴτιον εἶπε, καὶ τῷ λαῷ, δικαιοσύνης ἐπιμελουμένοις. καὶ μετιοῦσι μὲν ἀρετήν, εὐδαιμονίαν καὶ εἰσέπειτα ἐπηγγείλατο. τὰ δὲ τοῦ θεοῦ ἐντάλματα καταλιγωροῦσι, πολλὰ συμβήσεσθαι λυπηρά. Ἀσὰ τοίνυν ἐν εὐσεβείᾳ τὴν ζωὴν ἀνύσας, καὶ εἰς γῆρας καταντήσας βαθύ, τέθνηκε, βασιλεύσας ἐνιαυτοὺς ἓν ἐπὶ τεσσαράκοντα, Ἰωσαφὰτ υἱὸν ἐπὶ τῇ ἡγεμονίᾳ καταλιπών. Ἀχαὰβ δὲ ἐν Σαμαρείᾳ ἐκέκτητο τὰ βασίλεια, τῶν πρὸ αὐτοῦ ὑπεραραμὼν εἰς ἀσέβειαν, καὶ ὑπὸ τῆς γυναικὸς Ἰεζάβελ μᾶλλον εἰς κακίαν προβιβασθείς, ἣ τοῦ βασιλέως μὲν Τύρου καὶ Σιδῶνος θυγάτηρ ἦν, ἰταμὸν δὲ καὶ τολμηρὸν γύναιον. αὕτη ναὸν τῷ οἰκείῳ θεῷ τῷ Βὴλ ἐδομήσατο, καὶ ἄλσος ἐφύτευσε, καὶ ἱερέας αὐτῷ καὶ ψευδοπροφήτας κατέστησεν. Ἠλίας δὲ ὁ προφήτης ἐκ πόλεως Θεσβῆς, ζηλώσας ἐπὶ ταῖς ἀσεβείαις τοῦ βασιλέως καὶ τοῦ λαοῦ, εἶπε πρὸς Ἀχαάβ· ζῇ κύριος, εἰ ἔσται ὑετός, εἰ μὴ διὰ λόγου μου. καὶ ταῦτα εἰπών, ἀπῆλθεν ἐν τῷ χειμάῤῥῳ Χοράθ, κατ' ἐντολὴν τοῦ θεοῦ. ἐνθάδε ὑπὸ κοράκων ἐτρέφετο, ἄρτους αὐτῷ κομιζόντων πρωΐ, καὶ κρέας τὸ δειλινόν, τὴν δὲ πόσιν αὐτῷ ἐχορήγει ὁ χείμαῤῥος. οὗ ξηρανθέντος, εἰς Σαρεφθὰ πόλιν οὖσαν μεταξὺ Σιδῶνος καὶ Τύρου, τοῦ θεοῦ παραινέσαντος ἄπεισι, καὶ πρὸ τῆς πόλεως γυναικί τινι ἐντυχών, ὕδωρ αὐτῷ κομίσαι ἐκέλευσεν. ὡς δ' ἐπορεύετο ἡ γυνή, καὶ ἄρτον αὐτῷ ἐνεγκεῖν ἠξίου. ἡ δὲ μιᾶς δρακὸς ἀλεύρου ὀμώμοτο εὐπορεῖν, καὶ βραχύ τι ἐλαίου, καὶ συλλέξασα ξυλάρια ἀπιέναι ποιήσουσα μικρὰν τροφὴν ἑαυτῇ καὶ τοῖς παισίν, ὡς ἐκλιπούσης καὶ αὐτοὺς λιμῷ ἐκλιπεῖν. ὁ δὲ προφήτης θαῤῥεῖν αὐτῇ ἐγκελεύεται· μὴ δὲ γὰρ ἐκλείψειν ἄλευρον ἐκ τοῦ ἀγγείου τοῦ ἄλευρα φέροντος, μηδ' ἔλαιον ἐκ τῆς λεκύθου, ἕως γένηται ὑετός. ἡ δὲ πεισθεῖσα, τόν τε προφήτην παρ' αὐτῇ ξενισθέντα, καὶ ἑαυτὴν καὶ τὰ τέκνα ἐκ τοῦ βραχίστου ἐκείνου ἀλεύρου ἔτρεφεν, ἕως ὁ λιμὸς παρελήλυθε. νοσήσαντος δὲ τοῦ υἱοῦ τῆς γυναικὸς ταύτης, καὶ θανόντος, ἐβλασφήμει κατὰ τοῦ προφήτου ἐκείνη. ὁ δὲ δοῦναι αὐτῷ τὸ τεθνηκὸς παιδίον ᾔτησε, καὶ λαβὼν εἰς τὸ ὑπερῷον ἔνθα ᾤκει αὐτὸς ἀνήνεγκε, καὶ ἔθετο ἐπὶ τῆς κλίνης αὐτοῦ. καὶ τὸν θεὸν ἱκετεύσας, τρισσάκις ἐνεφύσησε τῷ νεκρῷ, καὶ ἀνέζησε. καὶ δέδωκε τὸν παῖδα ζῶντα τῇ γεγεννηκυίᾳ. ἡ δ' ηὐχαρίστει. καὶ μετὰ ταῦτα ἐντέλλεται τῷ Ἠλίᾳ ὁ θεός, προελθεῖν καὶ ἐρεῖν πρὸς Ἀχαάβ, ὡς ἔσται ὑετός. ὁ δὲ λιμὸς τῶν Σαμαρείων ἐπὶ τῆς χώρας

χώρας

περὶ ἀχαάβ.

Thamnim. Verùm Zambrea factio uiribus superior, Thamni sublato, regnum Zambri tranquillum tradiderunt. Is principio Thersæ regnauit. Deinde Mareone monte occupato, urbem condidit nomine Samariam: cum ipse monti nomen Samarei indidisset, de nomine Semeri, à quo eum emerat. Vicit hic improbitate superiores reges. mortuus est Samariæ, anno regni duodecimo, quod ad Achabum eius filium deuenit. Sic Israelitarum reges, alius post alium, ob patrias leges uiolatas, exiguo tempore perierunt. Asa uerò rex Hierosolymorum, Dei amans, regem Aethiopum cum magnis copijs inuadentem, Deo adiutore inuocato, aggressus, multos hostium occidit: reliquos in fugam uersos persequitur, castra diripit, multis & ipse & populus spolijs auctus. Reducenti exercitum regi propheta Azarias occurrit, uictoriæ Deum & ipsi & populo propter iustitiæ cultum autorem extitisse affirmat: quòd si uirtutem colerent, in posterum etiam fore felices: sin Dei mandata neglexissent, multis ærumnis conflictaturos. Asa igitur uita piè acta, & longam senectutem adeptus, obijt anno regni primo & quadragesimo, filio Iosaphato relicto successore. Achabus autem Samariæ regiam incolens, antecessoribus suis impietate superior, ab uxore Iezabele magis etiam ad improbitatem extimulabatur. Erat illa regis Tyri & Sidonis filia, muliercula ferox & audax, quæ Belo deo suo ædem condidit, & lucum consecrauit, sacerdotibus etiam & pseudoprophetis institutis. Elias autem urbe Thesba ortus, peruersam regis & populi religionem animo iniquissimo ferens, Achabo ait: Ita uiuit Dominus, ut pluuia non descendet, nisi ad preces meas. Hæc elocutus, ex mandato Dei ad torrentem Chorat abijt, ubi à coruis alebatur, qui manè panes, uesperi carnes illi afferebant, potum præbebat torrens. quo exiccato, Sarephthã Deo monente abit, urbem intra Tyrum & Sidonẽ sitam: ante quam cum in mulierem quandam incidisset, orat ut aquã sibi afferat. quæ dum abit, ut panem etiam afferat petit. Illam iurantem, sibi pugillum duntaxat farinæ unum esse, & pauxillũ olei, proinde se abire ad colligenda sarmẽta, ut exiguũ cibum sibi & liberis paret, quo absumpto, fame perituri sint & ipsi. Propheta bono animo esse iubet; neque farinę cistam, neque olei ampullã defecturã esse, donec pluuia descendisset. Illa igitur & prophetam hospitẽ, & se & liberos suos exigua illa farina alit, donec fames præterisset. Cęterùm filio suo ex morbo defuncto, cum propheta expostulat. Sed ille mortuũ sibi puerum dari iubet. quem in cœnaculum, in quo ipse diuersabatur, allatum, in suo lectulo collocat: inuocatoque Deo, & cadauere ter afflato, puerum matri gratias agenti uiuentẽ restituit. Post hæc Eliæ mandat Deus, ut Achabo prædicat, fore pluuiam. Inualuerat autem Samariæ, & in tota

Samaria cõditur.

Achabus VI Israelitarum rex.

Asa Aethiopes uincit.

Iosaphatus VII rex Iudæorum.

Iezabel Achabi uxor.

Elias Israelitarum superstitionẽ arguit.

Sarephthana uidua Eliæ hospita.

Abdias.

prouincia fames. Achabus itaq; cũ Abdia oeconomo suo, uiro bono, exibat, quęsitũ equis suis pabulũ, aliã ipse uiam, aliã Abdias ingrediẽs, uestigantes an in fontibus aut torrentib. alicubi gramen inuenirent. Abdię obuiã fit Elias, seq; regi indicari iubet. At ille eũ accuratè ab Achabo ad cędẽ quæri respõdet, monẽs, ut se occultet. ac C. pphetas à se etiam ali & cõseruari, cæteris omnib. a Iezabele interfectis. Elia uerò iurãte, se illo die in Achabi cõspectum uenturũ, pręsentiã eius regi nũciat. quo ille cõspecto: Num tu, inquit, is es, qui deprauat Israelẽ? Cui Elias: Tu potius, inquit, & domus patris tui, populũ deprauatis, relicto Domino falsos deos uenerãtes. uerum populum, & tuos, uxorisq; tuę prophetas in montem Carmelum conuocato. Quibus omnibus congressis, Elias ait: Ego solus Domini propheta superstes: pseudoprophetæ autem plurimi sunt. Sed date soli mihi bouem, & illis omnibus alterum, quibus immolatis, uictimas lignis imponamus, igne non adhibito, ac suum quisq; deũ inuocato. A' quo autem ignis ultrò effulserit, & ligna cum uictimis cremarit, is uerus iudicetur Deus. Hac oratione à populo collaudata, cum ignominiosi sacrificuli ita fecissent, & uitulo mactato, ac sine igni lignis imposito, Baalem à diluculo usq; ad meridiẽ inuocassent: propheta per derisum eos hortatur, ut magnum uociferarentur, si forsitan dormitaret illorum deus, aut alijs negocijs esset occupatus. Cum autem assiduè flagitando nihil proficerent, propheta duodecim saxis pro tribuum numero sublatis, altare struxit, scrobẽ effodit, ligna in altari digessit, uictimas imposuit, aquam in altare effundi iussit, ut scrobs etiam impleretur. His peractis, inuocato numine, ignis uidentibus omnibus de coelo in aram delatus, & uictimas & lapides unà cum aqua & puluere consumpsit. Quo portento consternatus populus, pronus in terram cecidit, unum esse Deum uerum & magnum confitentes. & iussu prophetę, manibus in impostores illos uates iniectis, omnes occiderunt. Deinde regi dicit Elias, Deum paulo pòst missurum pluuiam. itaq; factum est, ut prædixerat, & imber uehemens erupit. Sed Iezabele mortem illi comminata, propheta territus fugit: & in deserto agens desperabundus, mortem à Deo expetit. sopitusq; à quodam excitatur, iubente surgere et uesci. Videt autem panem siligineum illic, & aquam. Quum edisset, rursus obdormijt. Angelus denuò eum uesci iubet, quòd ei magnum iter instet. Rursus igitur cibo sumpto, & recuperatis ex eo uiribus, diebus XL ambulat: & in Chorebum montem profectus, antrum ingreditur. ibi uoce audita, Cur eò uenisset? respõdet: Cum Dei studio uates Iezabelis occiderim, illa me ad necem quæritat. Tum is cuius uocem audierat, denuò illi ait: Cras egressus, stato corã Domino. Cum ita fecisset, uentũ sentit & concussionem, & ignem ardentem uidet. Deinde leui

Eliæ cum Achabo cõgressus.

Baalici sacerdotes perimuntur.

Eliæ fuga in montẽ Orebum.

Elisæus, ab Elia asciscitur.

χόρτου ἀπορίαν ἐκεκράτητο. ἀχαὰβ δὲ τὸν οἰκονόμον αὐτοῦ ἄνδρα χρηστὸν παραλαβὼν, ἀπῄει εἰ εὕροι τοῖς ἵπποις χιλόν. καὶ ὁ μὲν ἄλλην ἀπῄει ὁδὸν, ἑτέραν δὲ ἀβδιοῦ, διερευνώντων ποῦ ἂν εὕροιεν χόρτον ἐν πηγαῖς ἢ χειμάῤῥοις. συναντᾷ τοίνυν τῷ ἀβδιοῦ ὁ ἠλίας, καὶ εἶτα τῷ βασιλεῖ μηνύειν αὐτόν. ὁ δὲ καὶ μάλα ζητεῖσθαι παρὰ τοῦ ἀχαὰβ ἔλεγεν αὐτὸν, ἵνα ἀνέλοι εἰ εὕροι. καὶ κρύπτεσθαι συνεβούλευεν, ἔλεγέ τε καὶ αὐτὸς ἑκατὸν προφήτας κρύψαι καὶ τρέφειν, καὶ σώζειν οὕτω, τοὺς ἄλλους πάντας τῆς ἰεζάβελ ἀνῃρηκυίας. ὁ δὲ ὤμοσεν, κατ' ἐκείνην ὀφθήσεσθαι τὴν ἡμέραν τῷ ἀχαάβ. ἀπῆλθεν οὖν ἀβδιοῦ, καὶ ἀπήγγειλε περὶ τοῦ ἠλία τῷ βασιλεῖ. καὶ ἰδὼν τὸν προφήτην ἐκεῖνος, εἰ αὐτὸς εἴη, ἤρετο, ὁ διαστρέφων τὸν ἰσραήλ; ἠλίας δὲ, σὺ μᾶλλον, εἶπε, καὶ ὁ οἶκος τοῦ πατρός σου, διαστρέφετε τὸν λαὸν, καταλιπόντες τὸν κύριον, καὶ ψευδεῖς τιμῶντες θεούς. ἀλλ' ἄθροισον εἰς τὸ καρμήλιον τὸν λαὸν, καὶ τοὺς σοὺς προφήτας, καὶ τοὺς τῆς γυναικός. πάντων δὲ συνελθόντων, εἶπεν ἠλίας· ὡς ἐγὼ μόνος ὑπολέλειμμαι τοῦ θεοῦ προφήτης, οἱ δὲ ψευδοπροφῆται σφόδρα πολλοί. δότε οὖν μοι μόνῳ βοῦν, καὶ αὐτοῖς ἅπασιν ἕτερον, καὶ θυσάντων τοὺς βόας, ἐπιθῶμεν ξύλοις τὰ θύματα, πῦρ δέ γε μὴ ἐπενέγκωμεν· καὶ ἕκαστος ἐπικαλείσθω τὸν οἰκεῖον θεὸν, καὶ ὑφ' οὗ ἂν αὐτόματον πῦρ ἐκλάμψῃ, καὶ κατακαύσῃ τὰ ξύλα τε καὶ τὰ θύματα, ἐκεῖνος λογιζέσθω θεὸς ἀληθής. ἐπῄνεσε τὸ πλῆθος τοὺς λόγους, καὶ ἐποίησαν οὕτως οἱ ἱερεῖς τῆς αἰσχύνης, καὶ θύσαντες τὸν μόσχον, καὶ ἐπιθέντες τοῖς ξύλοις ἄνευ πυρὸς, ἐπεκαλοῦντο τὸν βάαλ πρωΐθεν εἰς μεσημβρίαν. μυκτηρίζων δὲ αὐτοὺς ὁ προφήτης, μέγα βοᾶν αὐτοῖς συνεβούλευε, μή ποτε καθεύδει αὐτοῖς ὁ θεὸς, ἤ τις ἀσχολία αὐτῷ ἐστιν. ὡς δ' οὐδὲν ἐκείνοις δεομένοις πολλὰ ἐπεραίνετο, ὁ προφήτης δώδεκα λίθους λαβὼν καθ' ἑκάστην φυλὴν, ᾠκοδόμησε θυσιαστήριον, ὤρυξε διώρυχα, ἐστοίβασε τὰς σχίδακας ἐπὶ τοῦ βωμοῦ, καὶ αὐταῖς τὰ ἱερεῖα ἐπενήνοχεν, ὕδωρ ἐπιχυθῆναι τῷ θυσιαστηρίῳ ἐκέλευσεν, ὥστε καὶ τὴν διώρυχα πληρωθῆναι. καὶ ἐπὶ τούτοις ἐπικαλέσατο τὸν θεὸν, καὶ πῦρ οὐρανόθεν ἐπὶ τὸν βωμὸν κατενήνεκτο, πάντων ὁρώντων, καὶ τὴν θυσίαν καὶ τὰ ξύλα καὶ τοὺς λίθους κατέφαγε, τὸ ὕδωρ τε καὶ τὸν χοῦν. ὁ λαὸς δὲ ἐκπλαγεὶς, ἔπεσεν ἐπὶ τὴν γῆν, θεὸν ἀληθῆ τε καὶ μέγαν ὁμολογοῦντες. καὶ συλλαβόντες τοὺς ψευδοπροφήτας, ἀπέκτειναν, τοῦ προφήτου κελεύσαντος. εἶπε δὲ τῷ βασιλεῖ, ὡς ὕσει μετὰ μικρὸν ὁ θεός. καὶ γέγονε κατὰ τὴν πρόῤῥησιν αὐτοῦ ῥαγδαῖος ὄμβρος. ἀπειλησάσης δὲ τῆς ἰεζάβελ ἀνελεῖν τὸν ἠλίαν, φοβηθεὶς ὁ προφήτης, ἔφυγε, καὶ ἐν τῇ ἐρήμῳ γενόμενος ἀθυμῶν, τὸν θάνατον ἱκέτευε τὸν θεόν. κοιμηθεὶς δὲ, διυπνίσθη παρά τινος ἀναστῆναι καὶ φαγεῖν αὐτῷ ἐπιτρέποντος. ὁρᾷ δὲ καὶ ἐγκρυφίαν ἄρτον ἐκεῖ, καὶ ὕδωρ. καὶ φαγὼν, ἐκοιμήθη πάλιν καὶ αὖθις ὁ ἄγγελος φαγεῖν αὐτῷ ἐγκελεύεται, ὡς πολλῆς αὐτῷ προκειμένης ὁδοῦ. καὶ πάλιν δὲ φαγὼν καὶ ἐνισχύσας ἐκ τῆς τροφῆς ἐκείνης, ἐπορεύθη ἡμέρας τεσσαράκοντα καὶ γενόμενος ἐν τῷ ὄρει χωρὴβ, εἰσῆλθεν εἰς σπήλαιον, καὶ φωνῆς ἤκουσε· τί παραγέγονας ἐνταῦθα; ὁ δ' ἔφη, ὅτι ζηλώσας ἔκτεινα τοὺς προφήτας τῆς ἰεζάβελ, ἡ δὲ ζητεῖ με κτεῖναι. ὁ δὲ χρηματίζων ἐκεῖνον αὖθις αὐτῷ ἐξελθεῖν αὔριον, καὶ στῆθι ἐνώπιον κυρίου. καὶ ἐποίησεν οὕτως, καὶ αἰσθάνεται πνεύματός τε καὶ συσσεισμοῦ, καὶ ὁρᾷ καιόμενον πῦρ. εἶτα λεπτῆς

περὶ ἀβδιοῦ, ὅτι χρηστὸς ὤν, φαίνεται συνήντα τῷ ἠλίᾳ, ἵνα μὴ ἀναιρεθῇ.

περὶ ὧν ἔλεγεν ἀβδιοῦ ἐκρύψεν προφητῶν.

περὶ ὧν ἠλίας βασιλεῖ ἔλεγε πρὸς ἀχαάβ.

περὶ τῆς θυσίας τῶν ψευδοπροφητῶν, καὶ τῆς θυσίας ἠλία, καὶ ὅπως ἀνῄλωσε τοὺς ἱερεῖς τῆς αἰσχύνης.

ὅτι ἅμα τῷ ἀναστῆναι ὑετὸς ἐγένετο, καὶ ὅτι ἔφυγεν ἀπὸ ἰεζάβελ.

ὅτι τεσσαράκοντα ἡμέρας ἄσιτος ἐπορεύετο.

ὅπως ἐχρίσθη ἐλισσαῖος [illegible] βασιλεὺς [illegible] εἰς προφήτην.

λεπτῆς αὔρας γενομένης, ἀκούει φωνῆς ἐκεῖθεν, ἀναζεῦξαι κελευούσης αὐτῷ, καὶ χρίσαι βασιλέα τῆς συρίας τὸν ἀζαὴλ, καὶ τὸν ἰηοῦ βασιλέα τοῦ ἰσραὴλ, καὶ τὸν ἐλισσαιὲ εἰς προφήτην ἀνθ' ἑαυτοῦ, οἳ τοὺς ἀσεβεῖς ὀλοθρεύσουσιν. ὑποστρέψας δὲ ἠλίας ὡς ἐκελεύσθη, εὗρε τὸν ἐλισσαῖον ἀροτριῶντα, καὶ ἐπέρριψεν αὐτῷ τὴν μηλωτὴν αὐτοῦ. ὁ δὲ καταλιπὼν πάντα, ἠκολούθησεν αὐτῷ, προφητεύειν ἀξιωθείς. ἀμπελῶνα δὲ πλησίον τῶν ἀγρῶν τοῦ βασιλέως ἀχαὰβ κεκτημένος ὁ ναβουθαὶ, ἀξιοῦτο πωλῆσαι αὐτὸν τῷ βασιλεῖ, ἢ ἀνταλλάξαι. ὁ δὲ οὐκ ἐπείθετο, καὶ ὁ βασιλεὺς διὰ τοῦτο λελυπημένος ἦν. μαθοῦσα δὲ ἰεζάβελ τῆς λύπης τὸ αἴτιον, γραφὴν ἐποιήσατο ὡς ἐξ ἀχαὰβ, εἰς τοὺς προέχοντας τῆς χώρας, ἐν ᾗ κατῴκει ὁ ναβουθαὶ, ἐγκελευομένην αὐτοῖς κατηγορῆσαι τοῦ ἀνδρὸς, ὡς βλασφημήσαντος κατὰ τοῦ θεοῦ καὶ τοῦ βασιλέως· καί τινας παρασκευάσαι καταμαρτυρῆσαι αὐτοῦ, καὶ καταλιθάσαι αὐτόν. ταύτην τὴν γραφὴν τῇ σφραγῖδι τοῦ βασιλέως ἐπισημηναμένη, ἔστειλε πρὸς τοὺς ἄνδρας. κἀκείνων ποιησάντων ὡς ἐνετάλθησαν, ὁ μὲν ναβουθαὶ κατελιθώθη καὶ τέθνηκεν. ἡ δὲ ἰεζάβελ κληρονομῆσαι τὸν ἀμπελῶνα τοῦ ναβουθαὶ τὸν ἀχαὰβ ἐνετείλατο, θανόντος ἐκείνου. ὁ δὲ ἐλυπήθη διὰ τὸν φόνον, τὸν ἀμπελῶνα δὲ ᾠκειώσατο. καὶ ἠλίας κελεύσαντος τοῦ θεοῦ, ἀπάει πρὸς ἀχαὰβ λέγων, ὅτι ἐφόνευσας τὸν ναβουθαὶ διὰ τὸ σχεῖν τὸν ἀμπελῶνα αὐτοῦ, διὰ τοῦτο τάδε λέγει κύριος· ἐν ᾧ τόπῳ οἱ κύνες τὸ ἐκείνου ἔλαξαν αἷμα, ἐκεῖ καὶ τὸ σὸν αἷμα, καὶ τὸ τῆς γυναικός σου λάξουσι, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου, καὶ ἅπαν τὸ γένος σου ἐξολοθρευθήσεται. ἀχαὰβ δὲ ἐπὶ τούτοις κατανυγεὶς, ἔκλαυσε, καὶ σάκκον περιεβάλλετο, καὶ ἐνήστευσεν, ἐπὶ τοῖς πεπραγμένοις μεταμελόμενος· καὶ ὁ θεὸς διὰ τὴν μετάνοιαν αὐτοῦ, μὴ ἐπάξειν αὐτῷ τὰ ἠπειλημένα, ἐδήλωσε τῷ προφήτῃ, ἀλλ' ἐν ταῖς ἡμέραις τοῦ παιδὸς αὐτοῦ ταῦτα τελέσειν. ὁ δὲ τοῦ ἄδερ υἱὸς βασιλεὺς συρίας, ἐστράτευσεν ἐπὶ σαμάρειαν μετὰ βαρείας δυνάμεως καὶ συμμάχων πολλῶν, καὶ πολιορκῶν αὐτὴν, ἔπεμψε πρὸς ἀχαὰβ λέγων· ὅτι ὁ πλοῦτός σου καὶ αἱ γυναῖκές σου, καὶ τὰ τέκνα σου, ἐμά εἰσι. λήψομαι γὰρ πολέμῳ αὐτά. ἂν δὲ ὅσα βούλομαι παραχωρήσῃς μοι λήψεσθαι, λύσω τὴν πολιορκίαν, καὶ ἀπελεύσομαι. ἀχαὰβ δὲ, κἀγὼ σὸς, ἔφη, καὶ οἱ ἐμοὶ πάντες, σοί ἐσμεν. καὶ συναθροίσας τοὺς πρεσβυτέρους τῆς γῆς, ὅσα πρὸς αὐτὸν διεπέμψατο ὁ πολέμιος αὐτοῖς ἐδίδαξε. τὸ δὲ πλῆθος μὴ πεισθῆναι αὐτῷ συνεβούλευσεν. ὁ δὲ τοῖς πρέσβεσι τῶν πολεμίων εἶπε, μὴ δύνασθαι ποιῆσαι τὸ ἀπαιτούμενον. τοῦτο ἀγγελθὲν τῷ βασιλεῖ τῆς συρίας, εἰς ὀργὴν ἐκεῖνον ἐκίνησε, καὶ χάρακα βαλεῖν περὶ τὴν πόλιν, καὶ χώματα ἐγείρειν ἐκέλευσε. προφήτου δέ τινος τῷ ἀχαὰβ φήσαντος, ἥξειν διδόναι τὸν θεὸν τοὺς πολεμίους αὐτῷ μετὰ τῶν παιδαρίων τῶν ἡγεμόνων ἐπιόντι αὐτοῖς, ἠρίθμησε τὰ παιδάρια, καὶ εὗρε διακόσια τριάκοντα δύο. τῶν δὲ πολεμίων εὐωχουμένων, καὶ μεθυόντων κατὰ μεσημβρίαν, ἐξῆλθεν ὁ ἀχαὰβ παραλαβὼν τὰ παιδάρια. ὁ βασιλεὺς δὲ συρίας ἰδὼν αὐτοὺς, δεσμίους τοὺς προσιόντας ἀγαγεῖν αὐτῷ τοῖς οἰκείοις προσέταξεν. οἱ δὲ παῖδες τοῖς ἐπιοῦσι προσμίξαντες, πολλοὺς ἀνεῖλον. ἑπομένης δὲ ὄπισθεν τῶν παίδων ἤ πάσης δυνάμεως ἰσραὴλ, ἐξαίφνης κατὰ τῶν σύρων ὁρμησάσης, ἐς φυγὴν αὐτοὺς ἔτρεψεν, ὡς καὶ τὸν βασιλέα σφῶν μόλις φυγόντα σωθῆναι· καὶ ἀναστρέψας ἐκ τῆς διώξεως ἀχαὰβ, τὸ στρατόπεδον τῶν πολεμίων διήρπασε, καὶ ἐπανῆλθε πρὸς τὴν σαμάρειαν. ὁ δὲ

περὶ τοῦ ἀμπελῶνος ναβουθαί.

ὅπως ἡ ἰεζάβελ [illegible] τὸν ναβουθαὶ [illegible] ἀχαάβ.

προφητεία [illegible] περὶ ἀπωλείας τοῦ ἀχαὰβ [illegible] ναβουθαί.

ὅτι διὰ τὴν μετάνοιαν τοῦ ἀχαὰβ [illegible] βασιλεὺς συρίας [illegible] σαμάρειαν.

ὅτι ὁ ἀχαὰβ [illegible] τὰ παιδάρια [illegible].

leui aura exorta, ex ea uocem audit, quæ reuerti iubebat, & Asahelem Syriæ regem inungere, & Iehum regem Israelis, & Elisæum suo loco prophetam, qui impios deleturi essent. Regressus Elias, quemadmodum iussus fuerat, Elisæum arantem inuenit: cui cum uellus suum iniecisset, ille relictis omnibus, eum sequitur, ad uaticinandi munus euectus. Interim Achabus uineam Nabothi suis agris conterminam, uel emere uel permutato accipere cupiens, recusante possessore, in animi ægritudinem incidit. cuius Iezabel edocta caussam, sub nomine regis literas ad proceres regionis, in qua Nabothus habitabat, conscribit, quibus illum accusare iubebantur, ut in Deum & regem contumeliosis uerbis usum: ac falsis testibus subornatis, lapidare. Eas literas regio sigillo appresso, ad illos mittit. qui iussa executi, Nabothum lapidibus obtuerunt. Quo facto, Iezabel Nabothi uineam occupare Achabum iubet: qui etsi cædem illius ægrè ferebat, tamen uineæ hęreditatem adijt. Itaque Elias ad illum missus à Deo: Quia, inquit, Nabothum occidisti, uineæ illius obtinendę ergò, propterea ait Dominus, quo in loco sanguinem illius linxerunt canes: eodem in loco tuum uxorisque tuæ sanguinem lingent canes, & meretrices in sanguine tuo lauabunt, omnisque familia tua extirpabitur. Quibus uerbis uehementer contristatus Achabus, lamentatus est, indutoque sacco ieiunauit, facinora sua detestans. Ea regis pœnitentia motus Deus, prophetæ significat, se pœnas quas comminatus esset, non ab illo expetiturum: sed temporibus filij eius, illa facturum esse. Post hæc Aderis filius Syriæ rex, cum magnis copijs & multis auxiliarib. Samaria obsidione cincta, legatos ad Achabum mittit, qui ei dicerent: Diuitiæ tuæ, & uxores tuæ, & liberi tui mea sunt. bello enim ea capiam. Si uerò mihi quęcunque uoluero concesseris, soluta obsidione discedam. Achabus ad hęc: Et ego, inquit, & mei omnes, tui sumus. ac conuocatis imperij sui senioribus, hostis legationē exponit. sed populo eum à deditione dehortato, legatis respondet, se quæ postularentur, facere nō posse. Eo Syriæ rex nunciato, iratus, uallo urbem circundari, & aggeribus cingi iubet. Cum autem uates quidam Achabo dixisset, se traditurum illi hostes, cum pueris ducum eos inuadenti: numerus eorum inuentus est ducenti triginta duo, cum quibus circa meridiem, conuiuantibus & inebriatis hostib. est egressus. Eos cum Syriæ rex uidisset, ministris suis imperat, ut ad se uinctos adducerent. Verùm pueri illos aggressi, multos occiderunt. quos pone secutæ copiæ Israeliticæ, derepentè facto impetu, Syros in fugam conieccerunt, adeò ut ipse rex eorum uix elaberetur. Inde reuersus Achabus, direptis hostiū castris, Samariā redit. Cui prophe-

Nabothus Iezabelis fraude perimitur.

Elias Achabo exitium minatur.

Syri Samariā obsidentes, per miraculū profligantur.

propheta Syrorũ aggreſsionẽ denuò prædicit. Itaq; inſtãte uerè, Syrus Iſraelitis denuò bellũ infert, caſtris in planicie poſitis: cũ è ſuis audiſſet, Hebræorũ Dei uires in montib. uigere, in uallib. non itẽ. Verùm ꝓpheta denuò promittit uictoriã Achabo, ut, inquit, in uallibus etiã ſuã potentiã demonſtret Deus. cęteris diebus exercitus quieuere: ſeptimo aũt, prælio commiſſo, terga dant Syri. quos Achabus perſequẽs, multos occidit: multi etiam Apheccã elapſi, ubi ruina murorũ oppreſsi periẽrũt. Aderis porrò filius cum paucis in fuga occultatus. Eius ſatellites induti ſaccis, et funib. capita uincti, ad Achabum acceſſere, ut dñm ſuũ cõſeruaret ſupplicantes. Annuit rex. adducũt illi ducẽ ſuũ ad Achabũ curru uehentẽ: qui eum curru recipit, ſalutat,

Ob conſeruatũ Syrum, exitium uaticinatur Micheas. bono animo eſſe iubet. Deinde fœdere icto, cũ multis munerib. dimittit. Tum propheta Micheas à quodã populariũ caput ſuũ uerberari iubet. recuſanti illi, At te leo, inquit, uerberabit. itaq; factũ eſt, ut prędixerat. Cũ idẽ aliũ iuſsiſſet, isq; eũ uerberaſſet, obligato capite Achabũ acceſsit: à tribuno militũ, inqt, captiuus mcę cuſtodię traditus, effugit, ob quod ille me ad necẽ quærit. Id ubi iuſtũ eſſe Achabus pronũciat, ſoluto capite Micheas agnitus, Achabo ait: Quoniã Syriæ regẽ, hominẽ peſtilentẽ, impunè dimiſiſti, ipſe illius loco morieris, et populus tuus ꝓ illius populo. His auditis rex turbatus eſt.

Achabi expeditio contra Reemmam. actaq; pace per trienniũ, urbẽ Reemmã, ut ad ſe pertinentẽ, Syris erepturus: à Ioſapharo Hieroſolymitano rege petit, ut unà militet. Annuit ille, Deũq; per prophetã cõſuli iubet, an expeditionẽ illã ꝓbet. Achabus ꝓphetas ſuos cõuocat, an bellũ ſit ineundũ rogat: illis uictoriã pollicẽtib. Ioſaphatus euã diuinũ ꝓphetã quęrit. Achabus eſſe quendã reſpõdet, ſed ſibi inuiſum eſſe, mala prędicere ſolitũ. Ioſaphatus eũ uocari iubet. Accerſitũ Achabus rogat, pugnandũ ſit an nõ? Reſpõdet ille: Vidi Iſraelitas in mõtib. diſperſos ut gregẽ ſine paſtore. Sed Dñs mihi dixit, illos quidẽ incolumes redituros, te uerò ſolũ Reẽmæ caſurũ. Hęc Michęa locuto, Achabus Ioſaphato: Nónne dixi, inqt, eũ mihi malè ominaturũ eſſe? Sedecchias aũt quidã ex pſeudoprophetis alapã dedit Michææ. cui ille inquit, Tu paulo pòſt ex alio conclaui in aliud tranſibis, latebras quæritans. Cæterùm Achabus Michęã in carcere cuſtodiri iubet ad reditũ ſuum. Tum ille: Si tu, inquit, incolumis redieris, nõ locutus eſt per me Dñs. Regib. iã ꝓfectis, etiã Syrorũ rex aciẽ inſtruit, & ſuis mãdat, ne quẽ petãt niſi ſolũ Achabũ. Is uerò habitu regio depoſito, priuatũ ſumpſerat. Itaq; Syrorũ duces Ioſaphatum

Achabi interitus. regaliter cultum, Achabũ eſſe putauerunt, eumq; circundederũt: ſed cum non eſſe regem Iſraelitarum uidiſſent, reliquerũt. Achabus aũt ſagitta ictus, cum lethale eſſe uulnus ſenſiſſet, auriga currum è pugna educere iuſſo, circa ſolis occaſum morit. eius obitu Syri cognito, domũ

προφήτης αὖθις τὴν σύρου αὐτῷ προεῖπεν ἐπέλευσιν.

Ἰδοὺ καὶ πάλιν ἐπεστράτευσε κατὰ σαμαρείας ὁ σύρος. ἤδη δὲ ἐπιστάντος τοῦ ἔαρος, ἐπεστράτευσεν αὖθις ὁ σύρος κατὰ τοῦ ἰσραήλ, καὶ ἐν πεδίῳ ἐστρατοπέδευσεν. ἔλεγον γὰρ αὐτῷ οἱ περὶ αὐτόν, ἐν ὄρεσι τὸν θεὸν τῶν ἑβραίων τὴν δύναμιν ἔχειν, οὐ μέντοι καὶ ἐν κοιλάσι. τοῦ δὲ προφήτου νίκην ἐπαγγελλομένου τῷ ἀχαάβ, ἵνα φησὶ καὶ ἐν κοιλάσι τὴν ἰσχὺν ἐπιδείξηται ὁ θεός· τὰς μὲν ἄλλας ἡμέρας ἡσύχαζον τὰ στρατόπεδα,

Ὅτι καὶ πάλιν τοὺς σύρους. τῇ δὲ ἑβδόμῃ μάχης συγκροτηθείσης, φεύγουσιν οἱ σύροι, καὶ ἀχαὰβ ἐδίωκε, καὶ ἀνῄρει αὐτούς. πολλοὶ δὲ περισωθέντες εἰς ἄφεκα τὴν πόλιν, ἐκεῖ διεφθάρησαν, τοῦ τείχους ἐπιπεσόντος αὐτοῖς. ὁ δὲ

Ὅπως οἱ τοῦ ἄδερ προσῆλθον δεόμενοι ὑπὲρ αὐτοῦ τῷ ἀχαάβ, καὶ ὅπως τὸν ἄδερ μετὰ τιμῆς ἀφῆκε. τοῦ ἄδερ υἱὸς μετά τινων ὀλίγων φυγὼν ἐκρύβη. οἱ δὲ περὶ ἐκεῖνον σάκκους ἐνδύντες, καὶ σχοίνους ταῖς κεφαλαῖς περιθέντες, προσῆλθον τῷ ἀχαάβ, καὶ σώζειν τὸν αὐτῶν ἱκέτευον κύριον· ὁ δὲ κατένευσε. καὶ ἤγαγον πρὸς αὐτὸν τὸν ἀρχηγὸν ἑαυτῶν, ἐφ' ἅρματι ὀχούμενον τῷ ἀχαάβ. ὁ δὲ ἐπὶ τὸ ἅρμα λαμβάνει αὐτόν, καὶ ἀσπάζεται, καὶ θαρρεῖν ἐγκελεύεται. εἶτα ἐπὶ συνθήκαις ἀφῆκεν αὐτὸν ἀπελθεῖν, πολλὰ δωρησάμενος.

Περὶ τοῦ προφήτου μιχαίου, καὶ ὅπως ἀξιοῖ πατάχθηναι. ὁ προφήτης δὲ μιχαίας τινὰ τῶν ὁμοφύλων ἠξίου πατάξαι αὐτὸν κατὰ κεφαλῆς. τοῦ δὲ μὴ πειθομένου, ὑπὸ λέοντος αὐτὸν πατάχθηναι προεῖπε, καὶ γέγονεν ἔργον ἡ πρόρρησις. εἶθ' ἑτέρῳ τὴν αὐτὴν προσῆγεν ἀξίωσιν· πλήξαντος δὲ ἐκείνου, καταδησάμενος τὴν κεφαλὴν, προσῆλθε τῷ ἀχαάβ, λέγων ἐπὶ φυλακῇ παραλαβεῖν παρὰ τοῦ ταξιάρχου αἰχμάλωτον, φυγόντος δὲ ἐκείνου, τὸν ταξίαρχον ζητεῖν αὐτὸν ἀνελεῖν. ὡς δὲ δίκαιον ἀπεφήνατο ὁ ἀχαάβ, λύσας ἐκεῖνος τὴν κεφαλὴν, ἐπεγνώσθη ὡς ὁ προφήτης μιχαίας ἦν, καὶ ἔφη τῷ ἀχαάβ· ἐπεὶ τὸν βασιλέα συρίας ἄνδρα ὀλέθριον ἀτιμώρητον ἀφῆκας, αὐτὸς ἀντ' ἐκείνου ἀποθανῇ, καὶ ὁ σὸς λαὸς ἀντὶ τοῦ λαοῦ ἐκείνου.

Ἐπιστρατεία ἀχαὰβ κατὰ τῆς ῥεμμὰν πόλεως. ἐλυπήθη τοῦτο ἀκούσας ὁ ἀχαάβ, ἐπεὶ δὲ τριετίαν εἰρήνην ἀγαγών. ἐπιβουληθεὶς τὴν πόλιν ῥεμμὰν ὡς αὐτῷ διαφέρουσαν ἀφελέσθαι τῶν σύρων, ἠξίου καὶ τὸν βασιλέα τῶν ἱεροσολύμων τὸν ἰωσαφὰτ συνεκστρατεῦσαι αὐτῷ. κἀκεῖνος κατένευσε, καὶ συνεβούλευεν ἐρωτῆσαι τὸν θεὸν διὰ τῶν προφητῶν, εἰ δυνατόν; ἀχαὰβ δὲ τοὺς ἑαυτοῦ προφήτας συγκαλεσάμενος, εἰ πορευθείη πρὸς πόλεμον ἤρετο. τὴν δὲ νίκην ἐπαγγελλομένων, ὁ βασιλεὺς ἰωσαφὰτ προφήτην ἐζήτησε τοῦ κυρίου. ἀχαὰβ δὲ εἶναι μὲν ἔφη, προσωχθικέναι δὲ ἐκείνῳ, κακὰ προαγορεύοντι. καὶ ὁ ἰωσαφὰτ κληθῆναι αὐτὸν ἠξίου.

Ὅπως προεῖπε μιχαίας τὸν ἀχαὰβ πεσεῖν ἐν ῥεμμάν. κληθέντα δὲ τὸν μιχαίαν, ἤρετο ὁ ἀχαάβ, εἰ μαχήσεται, ἢ μή; ὁ δέ, ἑώρακα τὸν ἰσραήλ, ἔφη, διεσπαρμένον ἐν τοῖς ὄρεσιν ὡς ποίμνιον ἀποίμαντον. ὁ δὲ κύριος εἶπέ μοι, τούτους μὲν σωθῆναι καὶ ἀναστρέψαι, σὲ δὲ μόνον πεσεῖσθαι ἐν ῥεμμάν. ταῦτα τοῦ μιχαίου εἰπόντος, ὁ ἀχαὰβ πρὸς ἰωσαφὰτ ἔφη· οὐκ εἶπόν σοι, ὡς κακά μοι ἀεὶ προφητεύει; σεδεκίας δέ τις τῶν ψευδοπροφητῶν ἐρράπισε τὴν σιαγόνα μιχαίου. ὁ δ' ἔφη αὐτῷ, μετ' ὀλίγον ταμεῖον ἐκ ταμείου ἀμείψας κρυπτόμενος. ὁ δὲ βασιλεὺς ἀχαὰβ καθειρχθῆναι αὐτόν, καὶ φυλάττεσθαι, μέχρις ἂν αὐτὸς ὑποστρέψῃ, προσέταξε. καὶ ὁ μιχαίας, ἐὰν ὑποστρέψῃς ἐν εἰρήνῃ σύ, εἶπεν, οὐκ ἐλάλησεν ἐν ἐμοὶ κύριος.

Ὅπως ἐν τῷ πολέμῳ ἰωσαφὰτ ἀχαὰβ ἐσώθη. ἤδη δὲ πορευθέντων τῶν βασιλέων, καὶ ὁ τῶν σύρων βασιλεὺς αὐτοῖς ἀντιπαρετάξατο, ἐντειλάμενος τοῖς στρατιώταις αὐτοῦ, μηδενὶ πολεμεῖν τῶν ἄλλων, εἰ μὴ μόνῳ τῷ ἀχαάβ. τὴν βασιλικὴν ἀμείψας στολὴν, ἰδιωτικὴν ἐνεδύσατο. ἰδόντες δὲ οἱ τῶν σύρων στρατάρχαι τὸν ἰωσαφὰτ κεκοσμημένον βασιλικῶς, ᾠήθησαν εἶναι τὸν ἀχαάβ, καὶ ἐκύκλωσαν αὐτόν. ὡς δ' ἔγνωσαν μὴ ὄντα τὸν βασιλέα τοῦ ἰσραήλ, ἀνεχώρησαν. ὡς δέ τις τὸ τόξον ἐντείνας, βάλλει τὸν ἀχαάβ. γνοὺς δὲ καιρίως πληγῆναι, τῷ ἡνιόχῳ ἐκέλευσε τὸ ἅρμα τῆς μάχης ἐξαγαγεῖν, καὶ περὶ δύσιν ἡλίου ἐξέλιπε. καὶ οἱ μὲν σύροι γνόντες τεθνηκότα τὸν ἀχαάβ, ἀπῆλθον

πρὸς

πρὸς ἑαυτόν. ὁ δὲ τοῦ βασιλέως νεκρὸς κομισθεὶς εἰς Σαμάρειαν θάπτεται. τὸ δὲ ἅρμα καθῃμαγμένον τῷ φόνῳ τοῦ βασιλέως, ἀπέκρυψαν ἐν τῇ κρήνῃ τῆς Σαμαρείας, καὶ οἵ τε κύνες τὸ αἷμα ἔλειξαν, αἵ τε πόρναι ἐν τῇ κρήνῃ ἐλούοντο, ὡς Ἠλίας προείρηκεν. ἀπέθανε δὲ Ἀχαάβ, ὅπου ὁ Μιχαίας προηγόρευσε, τὸν ὄλεθρον μὴ φυγών, καίτοι προῤῥηθέντα αὐτῷ, βασιλεύσας ἔτη δύο καὶ εἴκοσι. τὴν δὲ βασιλείαν ὁ παῖς αὐτοῦ Ὀχοζίας μετ᾽ ἐκεῖνον παρέλαβεν. Ἰωσαφὰτ τῷ βασιλεῖ Ἱερουσαλὴμ ἐκ τῆς πρὸς Ἀχαὰβ συμμαχίας ἐπανελθόντι, Ἰοὺ ὁ προφήτης ἐπεγκαλεῖ, ὅτι ἀνθρώπῳ συνεμάχησεν ἀσεβεῖ, ῥυσθῆναι δὲ αὐτὸν ἔλεγε παρὰ τοῦ θεοῦ, καίτοι ἐπ᾽ ἔργῳ αὐτοῦ προσοχθίσαντος. ὁ δὲ βασιλεὺς εὐχαρίστει. εἶτα τῆς ὑπ᾽ αὐτὸν περιερχόμενος χώρας, τούς τε νόμους τηρεῖν ἐνετέλλετο, καὶ κριτὰς πανταχοῦ κατασκευάσας, δικαίως κρίνειν προσέταττε. Μωαβιτῶν δὲ καὶ Ἀμμανιτῶν προσλαβομένων καὶ Ἄραβας ἐπελθόντων αὐτῷ, ἐπεκαλεῖτο τὸν θεὸν εἰς βοήθειαν. προφήτης δέ τις ὑπερμαχῆσαι αὐτοῦ τὸν θεὸν εἶπε, καὶ κελεύει ἐξαγαγεῖν μὲν τὴν στρατιάν, μὴ συμμίξαι μέντοι τοῖς πολεμίοις, ἑστῶτας δὲ ὁρᾶν τὴν θεόθεν συμμαχίαν. ἕωθεν δὲ ἐξελθὼν μετὰ τῆς στρατιᾶς ὁ βασιλεύς, τῇ μὲν ἱστάναι ἐνετέλλετο, τοὺς ἱερεῖς δὲ προστῆναι τοῦ στρατεύματος μετὰ τῶν σαλπίγγων, καὶ τοὺς Λευΐτας καὶ τοὺς ὑμνῳδοὺς ᾄδειν εὐχαριστήριον τῷ θεῷ. οἱ δὲ πολέμιοι κατ᾽ ἀλλήλων κινηθέντες, ἀλλήλους ἀπέκτανον, ὡς μηδένα σωθῆναι. Ἰωσαφὰτ δὲ εἰς διαρπαγὴν ἀφῆκε τῷ στρατῷ τὴν τῶν ἐναντίων παρεμβολήν. ἐντεῦθεν ὡς τὸ θεῖον ἔχοντα σύμμαχον δείσαντες αὐτὸν οἱ ἀλλόφυλοι, ἠρέμουν. Ὀχοζίας δὲ ὁ τῶν Ἰσραηλιτῶν βασιλεύς, τοῖς αὐτοῦ γονεῦσιν εἰς πονηρίαν ὡμοίωτο. περὶ δὲ τὸ δεύτερον ἔτος τῆς βασιλείας αὐτοῦ, ἐπέσχον οἱ Μωαβῖται τοὺς φόρους, οὓς ἀπέφερον τῷ πατρὶ αὐτοῦ. νοσήσας δέ, πρὸς τὸν Ἀκκαρὼν θεὸν Μυῖαν ὀνομαζόμενον ἔπεμψεν, ἐρωτῶν εἰ ἀνεγερθήσεται. Ἠλίας δὲ τοῖς σταλεῖσιν ὑπαντήσας, ἀναστρέφειν ἐκέλευσε, καὶ λέγειν ὅτι πέμψαντι πρὸς τὸν τῶν ἀλλοφύλων θεόν, ὡς τοῦ Ἰσραὴλ μὴ ὄντος θεοῦ, ὅτι ἐκ τῆς κλίνης οὐκ ἀναστήσεται. καὶ οἱ ἄνδρες ἐπανελθόντες, ἅπερ ἤκουσαν. Ὀχοζίας δέ, τίς ὁ ταῦτα εἰρηκὼς εἴη, ἠρώτα. τῶν δὲ μὴ εἰδέναι φησάντων, τὸ εἶδος τοῦ ἀνδρὸς ἐκείνου λέγειν ἐπέτρεπεν αὐτοῖς. εἰπόντων δὲ δασὺν εἶναι, καὶ ζώνην δερματίνην περιεζῶσθαι, συνῆκεν ὡς Ἠλίας ἦν, καὶ πέμψας πεντηκόνταρχον σὺν τοῖς ὑπ᾽ αὐτόν, ἀχθῆναι τὸν προφήτην ἐκέλευσε. καὶ ὃς ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους εὑρὼν αὐτόν, ἥκειν ἐκέλευε πρὸς τὸν βασιλέα. εὐξαμένου δὲ Ἠλιοῦ, πῦρ οὐρανόθεν ῥυέν, διέφθειρε τὸν πεντηκόνταρχον καὶ τοὺς σὺν αὐτῷ. καὶ ὁ βασιλεὺς ἕτερον ἔστελλε πεντηκόνταρχον μετὰ τῶν πεντήκοντα· κἀκείνους ὁμοίως πῦρ οὐράνιον ἐδαπάνησε. καὶ αὖθις τρίτος ἐπέμφθη ταξίαρχος σὺν τοῖς ὑπ᾽ αὐτόν. ὃς ἐπὶ τὸν προφήτην ἐλθών, πεσὼν προσεκύνησε, καὶ παρῄτει τὴν ἐξ αὐτοῦ τιμωρίαν, λέγων ἄκων ἥκειν βασιλικῷ πεπεισμένος κελεύσματι, καὶ παρεκάλει αὐτὸν ἀπελθεῖν πρὸς τὸν βασιλέα. ὡς Ἠλιοῦ δέ, ἀγγέλου κελεύσαντος πορευθῆναι ἀπτόητον, καὶ μὴ φοβηθῆναι, κατῆλθεν ἐκ τοῦ ὄρους, καὶ ἀπελθὼν τῷ βασιλεῖ ἔφη· ἐπεὶ πρὸς ἀλλότριον θεὸν ἔστειλας, ζητῶν εἰ ζήσεις, ἴσθι ὡς οὐκ ἀναστήσῃ ἐκ τῆς νόσου, ἀλλὰ τεθνήξῃ. ἀπέθανεν οὖν Ὀχοζίας κατὰ τὴν τοῦ προφήτου πρόῤῥησιν, τῷ ἀδελφῷ Ἰωρὰμ τὴν βασιλείαν καταλιπών. ὃς τὰς μὲν στήλας τοῦ Βάαλ, ἃς ἔστησεν Ἀχαὰβ ὁ πατὴρ αὐτοῦ, συνέτριψε. τἄλλα δὲ ἀσεβὴς καὶ πονηρὸς ἦν, καὶ τοῖς γονεῦσι προσεοικώς. Ἠλιοῦ δὲ ἀναλαμβάνεσθαι μέλλοντος, ἐπορεύθη μετὰ Ἐλισσαίου, καὶ ἐλθὼν εἰς τὸν Ἰορδάνην, τῇ μηλωτῇ αὐτοῦ τὸ ὕδωρ ἐπάταξε, καὶ διῃρέθη τὸ ὕδωρ, καὶ διῆλθον ἄμφω διὰ ξηρᾶς. εἶτα αἰτήσαντι, ὁ τῷ Ἐλισ-

σαιῷ

redierũt. Regis aũt cadauer Samariam relatum, ſepelitur. Sed currũ de cæde eius cruentũ, in fonte Samariæ occultarũt. Sic & canes ſanguinem eius linxerũt, & ſcorta fonte illo lauabantur, ut Elias uaticinatus fuerat. Mortuus eſt Achabus, ut Micheas prædixerat, interitu, quamuis antè audiſſet, nõ euitato, cũ regnaſſet annos II & XX, regnũ ſuſcepit filius eius Ozochias. Ioſaphatũ regem Hieroſolymitanum ab expeditione domũ redeuntẽ, Iehus propheta increpat, q homini impio opem tuliſſet: eumq́ à Deo, quãuis eare offenſo, eſſe conſeruatũ. Rex gratias agit: luſtrataq́ omni ditione ſua, leges obſeruari, & iudicib. paſsim cõſtitutis, ritè fieri iudicia edixit. Cum autẽ Moabitis & Ammanitis, qui etiam Arabes aſciuerãt, Iudæã aggreſsis, diuinam opem imploraret: propheta quidã Deum pro eo pugnaturũ ait. ac educere quidem exercitum iubet, non tamen inuadere hoſtes, ſed ſtantes diuinum auxiliũ expectare. Rex manè egreſſus, exercitũ ſtare iubet, ſacerdotes cũ tubis ante exercitum cõſiſtere, Leuitas & cantores gratiarũ actionẽ cantare Deo. Tũ hoſtes cõcitati, mutuis ſeſe cædibus confecerunt, ut ne unus quidẽ ſupereſſet. Ioſaphatus caſtra hoſtium exercitui diripienda cõcedit. Ab eo tempore Barbari, eum ut Deo adiutore nixũ ueriti, quieuerunt. Ochozias autem Iſraelitarũ rex, improbitatis parentum imitator fuit. Eius regni anno II Moabitæ uectigalia retinuerunt, quæ patri pendere ſoliti fuerant. Ipſe ægrotans ad Accaronenſem Deam, Muſcam nomine, percontatum miſit, an cõualiturus eſſet? Legatis in itinere occurrit Elias, ac domum reuerti iubet, eiq́ à quo miſsi eſſent dicere; quia miſerit ad barbarorum deum, quaſi Iſraeli Deus nõ eſſet, eum è lecto ſuo non ſurrecturũ. Illi regreſsi, audita referunt, Ochozia rogante, quis nam id dixiſſet? atq́ illis ignorare ſe dicentibus, de forma illius hominis percontatur. quem cum illi hirſutum eſſe dicerent, pelliceo cingulo cinctum: Eliam eſſe intelligit, ac centurione cum L militib. miſſo, eum adduci iubet. Qui cum eum in uertice montis inueniſſet, ad regem ire iubet. Verùm ad Eliæ preces ignis de cœlo delapſus, illũ cum ſuis omnibus cõſumpſit. Alij porrò totidẽ à rege miſsi, pari exitio perierũt. Tertius ablegatus centurio cum ſuis militib. cũ ad prophetã ueniſſet, procubuit, eumq́ adorauit, pœnã deprecatus, q inuitus ueniret, iuſſu regis coactus, & orauit ut ipſe ad eũ ueniret. Elias ab angelo, amoto metu ire iuſſus, de monte deſcendit, & regi ait: Quoniã ad alienum Deũ miſiſti, quærens nũ euaſurus eſſes, ſcito te de morbo nõ ſurrecturũ, ſed breui moriturum. Obijt igitur Ochozias ſecundũ Eliæ prædictionem, Ioramo fratri regno relicto, qui ſtatuas Baal à patre Achabo erectas cõminuit ille quidẽ, cætera impius et improbus, atq parentũ ſimilis. Elias in cœlũ aſſumẽdus, cum Eliſæo profectus ad Iordanẽ, uellere aquã pcutit, ea percuſſa dirimitur, ut ambo per ſiccũ trãſirent. deinde Eli

Ioſaphati res geſtæ.

Ochozias VII Iſraelitarum rex.

Ioramus VIII Iſraelitarũ rex

Eliæ raptus in cœlum.

ſæum petere iubet, quid ſibi fieri uellet. Tũ ille: ut gratia ſpiritus, qui in te eſt, in me conduplicetur. Elias, etſi uotum id improbũ eſſe diceret: tamen, ſi me in cœlũ aſſumi uideris, compos, inquit, eius fies. Dũ hæc loquũtur, currus igneus cum ſimilibus equis Eliã abripit. dum ſurſum ferretur, uellus ſuum Eliſæo inijcit: quo ille accepto, Eliam uidere deſijt. ac ad Iordanẽ reuerſus, periculum facit petitæ ab Elia gratiæ, aqua uellere uerberata. quæ cũ non diuideretur: Vbi eſt, inquit, Eliæ Deus? Sed cum denuò percuſſiſſet, diuiſa aqua, transijt. Eo uiſo, & filij prophetarum dixerunt, Eliæ ſpiritum in Eliſæo conſediſſe: eumq́ ſecuti ſunt, quæſituri num ſpiritus Domini Eliam ſublatum in montem aliquem deieciſſet. Id Eliſęus principiò negat, ſed inſtantibus concedit. Quare uiri L toto triduo quæſitum non repererunt.

Prophetæ filij fruſtra quærũt

Heliſæus Hierichuntis aquas medicatur.

Heliſæum Hierichunte habitantem ciues conuenerunt, rogantes, ut eius loci aquas malas & ſterilitatem inducentes mutaret. Ille ſalem in nouo ſibi uaſe afferri iubet: allatum, inuocato Dei nomine, in fontem cõijcit: quo facto, aquarum amaror in dulcedinem eſt cõuerſus, amiſſa omni ui noxia.

Eliſæus urſos immittit pueris deriſorib.

Propheta quòpiam iturus, paruos pueros per ludibriũ, Aſcende calue, clamantes, indignatus execratur. itaq́ urſi è montibus progreſsi, pueros XLII occiderunt.

Iorano & Ioſaphato aquas, et uictoriæ contra Moabitas occaſionem ſuppeditat.

Ioramus Achabi filius Moabitis bellũ illaturus, auxilium petit à Ioſaphato Iudææ rege. Ille etiam Idumæorum regem, qui ſibi parẽret, ſe aſciturum ſociũ promittit. Ita tres reges, inita concordia, ſeptem diebus per deſertũ abierunt. Exercitibus autẽ aqua deſtitutis, Eliſæum adeuntes orant, ut & ſe & milites conſeruaret. At ille Ioramo: Ad patris tui & matris prophetas, inquit, abito. & iurat, ſi abſq́ Ioſaphato eſſet, ſe ne uerbum quidem ei reſponſurũ fuiſſe. Deinde quendam uocari iubet, qui pſalleret. eo pſallente, ſpiritu Domini afflatus Eliſęus, iubet multas effodi ſcrobes iuxta torrentem. uiſuros enim torrentem plenũ, neq́ uento ſpirante, neque imbre depluente: ac poturos ad ſatietatem, & hoſtium potituros. His prædictis, poſtero die manè & torrentis alueus impletus eſt, adeò ut redundaret, & omnis illius terræ ſuperficies ſtagnaret. Sole orto, igniti eius radij in aquas incidẽtes, effecere, ut rubicũdæ apparerent. Moabitæ igitur in montibus caſtrametati, & ex alto deſpicientes, ſanguinem eſſe putauere: ſuſpicati, orto inter reges diſsidio, milites ſeſe inuicem trucidaſſe. & dum incompoſito agmine ad ſpoliorum direptionem properant, ab hoſtibus circumuenti, alij cæduntur, alij in fugam uertuntur: quos Iſraelitæ perſecuti, in Moabitidẽ impreſsione facta, & urbes euerterunt, & regionem deuaſtarunt. Rex autem Moabitarum in urbem reuerſus, filium ſuum primogenitum in murum adductum, ex deſperatione immolatum adolet Deo. Quo reges conſpecto, miſerti illius eò loci redacti, obſidionem ſoluerunt. Ioſaphatus autem Hieroſolyma reuerſus, obit:

σαι, τί ποιήσω σοι; ὁ δὲ διπλῆν τὴν ἐν αὐτῷ τοῦ πνεύματος χάριν γενέσθαι ἐπ' αὐτόν. ἠλίας δὲ φορτικὸν εἶπε τὸ αἴτημα, πλὴν εἰ ὄψει με ἀναλαμβανόμενον, γενήσεταί σοι. ἔτι δὲ λαλούντων αὐτῶν, ἅρμα ἔμπυρον σὺν ἵπποις ὁμοίοις ἐπέστη, καὶ ἥρπασε τὸν ἠλίαν. ἀναφερόμενος δὲ, τὴν μηλωτὴν αὐτοῦ ἐπέρριψε τῷ ἐλισσαιέ. καὶ ὃς λαβὼν αὐτὴν, μηκέτι τὸν ἠλίαν ὁρῶν ὑπέστρεψε· καὶ ἐλθὼν εἰς τὸν ἰορδάνην, ἀπόπειραν ἐποιεῖτο ἧς ἔλαβε τῆς χάριτος ὡς ποτιον, καὶ ἐπάταξε τὸ ὕδωρ τῇ μηλωτῇ. τὸ δὲ οὐ διέστη. καὶ εἶπε, ποῦ ὁ θεὸς ἠλιοῦ; καὶ ἐπάταξε πάλιν. καὶ διέστη τὸ ὕδωρ, καὶ διῆλθεν. ἰδόντες δὲ αὐτὸν υἱοὶ τῶν προφητῶν πεντήκοντα, ἔφησαν ἐπαναπέπαυται τὸ πνεῦμα ἠλιοῦ ἐπὶ ἐλισσαιέ. καὶ ἠκολούθησαν αὐτῷ, καὶ ἐζήτουν πορευθῆναι, ὑπονοοῦντες, μή ποτε ἦρε τὸν ἠλίαν πνεῦμα κυρίου, καὶ ἔρριψεν αὐτὸν ἐφ' ἓν τῶν ὀρέων ἢ τῶν βουνῶν. ἐλισσαιὲ δὲ οὐκ ἐπέτρεπεν. ἐγκειμένων δ' ἐκείνων, κατένευσε. καὶ ἐπορεύθησαν πεντήκοντα ἄνδρες, καὶ ἐζήτησαν τρεῖς ἡμέρας, καὶ οὐχ εὗρον. ἐλισσαιὲ δὲ ἐν ἰεριχοῦντι ἦν. καὶ ἦλθον οἱ ἄνδρες τῆς πόλεως πρὸς αὐτὸν, δεόμενοι μεταβληθῆναι τὰ αὐτόθι τὰ ὕδατα τοῦ τόπου ἐκείνου, πονηρὰ ὄντα καὶ ἀτεκνοῦντα. ὁ δὲ ἐν ἀγγείῳ καινῷ ἅλας αὐτῷ κομισθῆναι ἐζήτησε· καὶ κομισθέντος, εἰς τὴν πηγὴν τῶν ὑδάτων καθῆκεν ἅλας, ἐπικαλούμενος τὸν θεόν, καὶ τὰ ὕδατα ἐκ πικρίας εἰς γλυκύτητα μετεβλήθησαν, καὶ οὐδὲν αὖθις ἐναπέμεινε βλαβερόν. ἀπιόντος δέ ποι τοῦ προφήτου ἐλισσαιὲ, παιδάρια μικρὰ κατέπαιζον αὐτοῦ, βοῶντα, ἀνάβαινε φαλακρέ. ἀλγήσας δ' ἐπὶ τούτῳ, κατηύξατο αὐτῶν. καὶ ἐξῆλθον ἄρκτοι ἐκ τοῦ ὄρους, καὶ ἀπέκτειναν ἐκ τῶν παίδων δύο καὶ τεσσαράκοντα. ἰωρὰμ δὲ ὁ υἱὸς ἀχαὰβ μέλλων κατὰ μωαβιτῶν ἐκστρατεύειν, ἰωσαφὰτ τὸν βασιλέα τῆς ἰουδαίας ἠξίου συμμαχῆσαι αὐτῷ. ὁ δὲ καὶ τὸν ἰδουμαίων βασιλέα ὑπήκοον ὄντα αὐτῷ, προσλαβέσθαι σύμμαχον ἐπηγγείλατο. ἑνωθέντες δ' οἱ τρεῖς βασιλεῖς, διὰ τῆς ἐρήμου ἀπῄεσαν ἐφ' ἡμέρας ἑπτὰ, καὶ τὸ ὕδωρ ἐπέλειψε τοῖς στρατεύμασιν. ἦλθον οὖν πρὸς ἐλισσαιὲ οἱ τρεῖς βασιλεῖς, καὶ ἐδέοντο σῶσαι αὐτοὺς καὶ τὴν στρατιάν. ὁ δὲ τῷ ἰωρὰμ ἔφη· πρὸς τοὺς πατρός σου καὶ τῆς μητρός σου ἄπιθι προφήτας. καὶ ὤμοσεν αὐτῷ, μὴ ἂν ἀποκριθῆναι αὐτῷ, εἰ μὴ διὰ ἰωσαφάτ. εἶτα ψάλλοντά τινα κληθῆναι ἐκέλευσε. ψάλλοντος δ' ἐκείνου, πνεῦμα κυρίου ἐνέπνευσε τῷ προφήτῃ, καὶ ἐπέταξε πολλοὺς βόθρους ὀρύξαι παρὰ τὸν χείμαρρον. ὄψεσθε γὰρ ἔφη πλήρη τὸν χείμαρρον, οὔτε πνεύματος πνεύσαντος, οὔθ' ὑετοῦ γενομένου, καὶ πίεσθε εἰς κόρον, καὶ τῶν ἐχθρῶν κυριεύσετε. καὶ ὁ μὲν οὕτως προείρηκεν. ἕωθεν δὲ τῇ ἐπαύριον ὁ χείμαρρος ὑδάτων ἐνεπίπλατο. καὶ πλημμύρας γενομένης, ἅπαν τὸ πρόσωπον τῆς γῆς ἐκείνης τὸ ὕδωρ ἐκάλυψεν. ἀνατείλαντος δὲ τοῦ ἡλίου πυρώδους, καὶ προσβαλόντος τοῖς ὕδασιν, ἐρυθρὰ ταῦτα πρὸς τὴν αὐγὴν τῆς ἀκτῖνος ἐφαίνοντο. οἱ οὖν μωαβῖται ἐν τοῖς ὄρεσιν ἐστρατοπεδευκότες, καὶ ὑψόθεν κατασκοποῦντες, αἷμα τὸ ὕδωρ ὑπολαβόντες, καὶ νομίσαντες τοὺς βασιλεῖς πρὸς ἀλλήλους μαχέσασθαι, καὶ ἀνακτεῖναι ἀλλήλους τοὺς στρατιώτας αὐτῶν, ὥρμησαν ἀσυντάκτως εἰς τὴν τῶν σκύλων διαρπαγήν. καὶ τῶν ἐχθρῶν περισχόντων αὐτοὺς, οἱ μὲν ἀνῃρέθησαν, οἱ δὲ ἔφυγον. οἱ δὲ ἰσραηλῖται διώκοντες, εἰς τὴν μωαβῖτιν ἐνέβαλον, καὶ τάς τε πόλεις κατέβαλον, καὶ τὴν χώραν ἠρήμωσαν. ὁ βασιλεὺς δὲ μωὰβ εἰς τὴν πόλιν ἐπανελθὼν, τὸν πρωτότοκον υἱὸν αὐτοῦ ἐπὶ τὸ τεῖχος ἀναγαγὼν, ἐξ ἀπογνώσεως ἔθυσε, καὶ ὁλοκαύτωσε τῷ θεῷ. ὅπερ οἱ βασιλεῖς ἰδόντες, καὶ τῆς ἀπογνώσεως ἐκεῖνον οἰκτείραντες, ἔλυσαν τὴν πολιορκίαν. ἰωσαφὰτ δ' ἐπανελθὼν εἰς ἱεροσόλυμα, τελευτᾷ,

ὅπως ἐζητεῖτο ἠλίας.

ὅπως ἐν ἅλατι τὰ ὕδατα ἐγένοντο ἰάσιμα.

ὅτι ὑφ' ἄρκτων ἀπώλοντο παιδία.

ὅπως ἐν ἐρήμῳ διεσώθη ὁ στρατός.

ὅπως τὰ ὕδατα ... ἡλίῳ ἐρυθρὰ ἐφάνησαν.

ὅπως ὁ τῶν μωαβιτῶν ὁ βασιλεὺς τὸν οἰκεῖον υἱὸν ἀπέσφαξε.

λεύσας, ζήσας δὲ τὰ πάντα ἑξήκοντα, βασιλεύσας δ' ἐκ τούτων πέντε καὶ εἴκοσι, ἀνὴρ γενόμενος εὐσεβής τε καὶ δίκαιος. πολλοὺς δὲ παῖδας λιπών, διάδοχον τῆς βασιλείας τὸν πρεσβύτατον ἐποιήσατο, Ἰωρὰμ κεκλημένον, ὁμωνύμως τῷ Ἰσραηλιτῶν βασιλεῖ, μητραδέλφῳ ὄντι αὐτοῦ. ἐν Σαμαρείᾳ δὲ τῷ Ἐλισσαίῳ διάγοντι, πρόσεισι γυνή τις χήρα ἀποκλαιομένη, ὅτι χρεωστεῖ καὶ μὴ ἔχουσα τὸ χρέος ἀποδοῦναι, τοὺς υἱοὺς ἀφαιρεῖται παρὰ τοῦ δανειστοῦ, ὡς δούλους αὐτῷ ἐσομένους. ὁ δὲ προφήτης· τί ἐν τῷ οἴκῳ ἔχεις ἠρώτα αὐτήν. ἡ δέ, οὐδὲν ἕτερον ἔφη, ἢ βραχύτατον ἔλαιον. καὶ ἐντέλλεται αὐτῇ, χρήσασθαι ἀγγεῖα πολλά, καὶ ἐπιχεῖν ἐκ τοῦ ἐλαίου ἐν ἅπασι· πεποίηκε τὰ κελευσθέντα τὸ γύναιον, καὶ πάντα ἐλαίου ἐπλήσθησαν· καὶ ἀνήγγειλε τῷ προφήτῃ τὸ γεγονός. κἀκεῖνος ἐκδίδοσθαι τὸ ἔλαιον συμβουλεύει, καὶ ἐκτῖσαι τὸ χρέος, καὶ τὸ περιττεῦον εἰς διοίκησιν χρήσασθαι. ξενισθεὶς δὲ παρὰ τῆς Σουναμίτιδος, καὶ ἐν τῇ οἰκίᾳ αὐτῆς ἀναπαυόμενος, μὴ ἐχούσης παῖδας, προεῖπεν αὐτῇ συλλήψεσθαι καὶ τεκεῖν υἱόν, καὶ κατὰ τὴν τοῦ προφήτου πρόρρησιν ἔτεκεν. ἀνδρωθὲν δὲ τὸ παιδίον, τέθνηκεν. ἡ δὲ γυνὴ πρὸς τὸν Ἐλισσαῖον εἰς τὸ Κάρμηλον ἀπελήλυθε, καὶ περιβαλοῦσα τοὺς πόδας αὐτοῦ, τῇ συμφορᾷ ἀπεκλαίετο. ὁ δὲ τῷ φοιτητῇ αὐτοῦ Γιεζῇ ἐντέλλεται ἀπελθεῖν, δοὺς αὐτῷ τὴν ἑαυτοῦ βακτηρίαν, ἵνα ἐπιθήσῃ αὐτὴν τῷ τεθνεῶτι παιδί. καὶ ἡ γυνὴ ὤμοσε, μὴ ὑποστρέψαι εἰ μὴ αὐτὸς αὐτῇ συμπορεύσεται. ἐπείσθη οὖν ὁ προφήτης, καὶ ἀπελθὼν εὗρε τὸ παιδάριον ἀνακεκλιμένον ἐν τῇ κλίνῃ αὐτοῦ· καὶ προσευξάμενος ἀνέβη ἐπὶ τὴν κλίνην, καὶ συνανεκλίθη τῷ παιδαρίῳ, καὶ ἐνεφύσησεν εἰς αὐτό. καὶ ἑπτάκις τοῦτο τοῦ προφήτου ποιήσαντος, ἀνεζωώθη ὁ τεθνηκώς, καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ ζῶντα. ἐκεῖθεν ἀπῆλθεν εἰς Γάλγαλα. καὶ ἦν λιμός, καὶ οἱ υἱοὶ τῶν προφητῶν ἧκασι πρὸς αὐτόν. ὁ δὲ τῷ διακόνῳ αὐτοῦ ἐπέταξεν, ἑτοιμάσαι αὐτοῖς ἕψημα. καὶ συνέλεξεν ἐκεῖνος ἐκ τοῦ ἀγροῦ λάχανα, οἷς καὶ τολύπη συνανεμέμικτο. ἡ δὲ βοτάνη ἐστὶ δηλητήριος, καὶ ἑψήσας προσήγαγε τοῖς ἀνδράσιν· ἐσθίοντες δὲ ἐπέγνων τὴν τολύπην, καὶ πρὸς τὸν προφήτην ὡς τεθνηξόμενοι ἐξεβόησαν· ὁ δὲ ἄλευρον κελεύσας ἐμβαλεῖν εἰς τὸν λέβητα, ἐπέτρεψε φαγεῖν, καὶ οὐδέν τι γέγονεν ἐκ τῆς βορᾶς πονηρόν. ἐνεγκόντος δ' αὐτῷ τινος εἴκοσιν ἄρτους ἄνθει, καὶ παλάθας, ἐντέλλεται τῷ ὑπουργῷ αὐτοῦ, παραθεῖναι τῷ λαῷ ταῦτα. τοῦ δέ, τί ἂν γένοιτο ταῦτα πρὸς ἄνδρας ἑκατόν; ἐρωτῶντος· δός, εἶπε, ταῦτα, καὶ ἐσθιέτωσαν· κορεσθήσονται γάρ, καὶ καταλείψουσι περισσεύματα. καὶ εἰς ἔργον ὁ λόγος ἐγένετο. Νεεμὰν δὲ μέγας ὢν παρὰ τῷ βασιλεῖ Συρίας, λελέπρωτο. καὶ νεάνιδος αἰχμαλωτισθείσης Ἰσραηλίτιδος, ἣν ἡ γυνὴ Νεεμὰν δούλην εἶχεν αὐτήν, ἥ τις ἔφη πρὸς τὴν κυρίαν αὐτῆς, ὡς εἰ ἀπῆλθεν ὁ κύριός μου πρὸς τὸν προφήτην Ἐλισσαιέ, ἀπηλλάγη ἂν τῆς νόσου αὐτοῦ· ἡ δὲ τῷ ἀνδρὶ τοὺς λόγους ἀπήγγειλε τῆς νεάνιδος, καὶ Νεεμὰν τὰ λαληθέντα τῷ βασιλεῖ Συρίας ἀνήνεγκε. καὶ ὁ βασιλεὺς ἐπιστολὴν ἐκτίθησι περὶ τοῦ θεραπευθῆναι τὸν Νεεμάν, πρὸς τὸν βασιλέα τοῦ Ἰσραήλ. Νεεμὰν δὲ λαβὼν δέκα τάλαντα ἀργύρου, καὶ ἑξακισχιλίους χρυσοῦς, καὶ δέκα ἀλλασσομένας στολάς, ἐπορεύθη εἰς Σαμάρειαν, καὶ τὴν ἐπιστολὴν τῷ βασιλεῖ ἐνεχείρισεν. ὁ δὲ ἀναγνοὺς αὐτήν, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, λέγων, ὅτι πρόφασιν καθ' ἡμῶν ὁ βασιλεὺς Συρίας ζητεῖ. Ἐλισσαιὲ δὲ ταῦτα μαθών, ἐλθέτω πρός με ὁ Νεεμάν, μεμήνυκε τῷ βασιλεῖ Ἰσραήλ. καὶ ἐλθόντι στείλας διάκονον, ἀπελθεῖν εἰς τὸν Ἰορδάνην, καὶ λούσασθαι ἑπτάκις, καὶ οὕτω τῆς λέπρας ἀπαλλαγήσεσθαι. ὠργίσθη δὲ Νεεμάν, ὅτι μὴ ἐξῆλθε πρὸς αὐτὸν ὁ προφήτης, καὶ ηὔξατο, καὶ ἐπέθηκεν αὐτῷ τὰς χεῖρας. καὶ ἀγανακτῶν ὑπεχώρει, λέγων, οὐκ εἰσὶ ποταμοὶ τῆς ἡμῶν χώρας τὸν Ἰορδάνην ὄλως

Πῶς Ἐλισσαῖος ἐπηύξησε τὸ ἔλαιον τῆς χήρας γυναικός.

Πῶς ἐγερθεὶς ὁ παῖς, ὃν προφήτου εὐχαῖς ἐκ νεκρῶν ἀνέστησε.

Πῶς διὰ μετρίων ἄρτων ἱκανὸς ὄχλος ἐκορέσθη.

Πῶς ὁ Νεεμὰν ἐκαθαρίσθη τῆς λέπρας.

bit anno ætatis LX, regni XXV, uir pius & iustus. multisq́ liberis relictis, natu maximũ Ioramum successorem designauit, Israelitico regi cognominem, auunculo suo. Helisæũ Samariæ degentem mulier quædam uidua conuenit, miserabiliter cõquerens, quòd soluendo non sit, liberos suos à fœneratore in seruitutem abripi. Eam propheta rogat, quid habeat in ædibus? quæ cum se nihil habere nisi pauxillum olei, responderet: iubet ut multa uasa utẽda petat, & in omnia de oleo infundat. quo illa facto, uasa omnia plena esse oleo, prophetę nũciat. quo ille uendito, eam creditori satisfacere, & quod supersit, ad usum domesticum conferre iubet. Idem Sunamitidi, cuius hospitio utebatur, orbæ liberis prædixerat, parituram esse filium. itaq́ factũ est. uerùm puer iam grandiusculus, obijt. Itaq́ mulier ad Elisæum in Carmelum uenit, & pedibus eius aduoluta, calamitatẽ suam deplorat. Ille discipulũ Giezim, dato baculo suo, quem puero mortuo imponeret, cum ea abire iubet. Sed iurante muliere se nõ discessuram, nisi ipse secum abijsset, paret propheta, puerũ in lectulo iacentem inuenit, precatus lectum conscendit, puero incubat, in eum sufflat: quod cũ septies fecisset, mortuus reuiuiscit, & matri uiuus à propheta restituitur. Inde Galgala profectum, cum fame laboraretur, filij prophetarum conueniunt: quib. cũ à famulo aliquid elixari iussisset, ille ex agro herbas colligit, quib. & cucurbita syluestris (toxicum id est) admista erat, coctas apponit. illi cucurbita animaduersa, prophetã inclamarunt tanquam euestigiò morituri. ille farina in lebetem iniecta, eos uesci iubet. quo facto, nihil ex eo cibo incommodi senserũt. Cum quidam ei panes XX attulisset, ac palathas, ministrũ ea populo apponere iubet. Qui cũ diceret, Quid ista ad C uiros? Dato, inquit, ut uescantur. nam & saturabũtur, & aliquid supererit. & ita factũ est, ut ille dixerat. Erat quidam Neeman nomine, magnæ apud Syriæ regẽ autoritatis, lepra infectus. Cuius uxori cum mulier Israelitica bello capta seruiens, dixisset, si ad Elisæum prophetam abiret herus suus, morbum eius curatum iri: ea uerba uxor marito, maritus regi Syriæ refert. Rex literas scribit ad regem Israelis, de Neemanis curatione. Ipse Neeman sumptis X argẽti talentis, & VI mille aureis, & X stolis lautioribus, Samariam proficiscitur, literasq́ regi tradit. Quibus ille lectis, uestes suas lacerauit, Syriæ regẽ causam contra se quærere dicens. Eo cognito, Helisæus ad se Neemanẽ mitti iubet. qui cũ uenisset, septies in Iordane lauandũ esse, per nunciũ ei significat, sic lepra iri liberatũ. Neemã uerò iratus, q sibi propheta nõ obuiã egressus esset, ac manibus impositis uota fecisset, p indignationẽ discedit: quasi uerò Syria nõ haberet flumina Iordane

Ioramus VII rex Hierosolymitanus.

Helisæus Samaritanæ oleũ auget.

Sunamitidis filium à mortuis resuscitat.

Elisæus uenenum diluit, & cibũ multiplicat

Neeman Syrus leprosus curatur ab Elisæo.

ne meliora, in quib. si lauisset mundaretur? Sed inter abeundū, monitus à famulis, ut prophetæ pareret monitis, quæ nihil difficile complecterentur, obtēperat. & septies in Iordane mersus, mundatur: ac reuersus, gratijs prophetæ actis, confitetur non esse alium Deum præter Israeliticum, petens, ut muneris aliquid acciperet. Verùm illo recusante, discedit. Giezis autem eum persequēs: Propheta, inquit, me misit, ut argēti talentum, & duas stolas acciperē, quæ det egentibus, qui illum modò conuenerūt. Iis acceptis, Giezis ad Elisæum redit. qui cum factū illius cognouisset, ei dixit: Quia pecuniam & uestes à Neemane accepisti, lepra illius tibi & semini tuo adhærescet. Sic ille leprosus exit. Prophetarum autem filiis ad Iordanem ligna cæsum profectis, ut sibi tabernacula cōstituerent, Helisæo comitante: cuiusdā securis elapsa capulo, in flumen decidit. Is prophetam uocat, & locū monstrat ubi demersum esset ferrum. At ille cum lignum iniecisset, emersit ferrum: idq; supernatās aquæ, recipit is qui amiserat. Cum rex Syriæ Ioramum Israelitarū regem per insidias captaret, Elisæus misso nūcio eum monet ut caueat, nec uenatum egrediatur. Paret ille. Ad er frustratus insidijs, suos proditionis suspectos habere: illi affirmare, non se, sed Elisæum prophetā arcana regi nūciare. Mittit igitur exercitum Dothaim ad prophetam capiendum, à quo minister illius urbem circundatā uidens, perterritus rem prophetæ nunciat. At ille timere uetat, ac Deum orat, ut famulo demōstret, quomodo ipse diuinis custodiatur. Quo impetrato, uidet famulus prophetam currib. & equis igneis uallatū. qui denuò precatus, hostiū oculos perstrinxit, & ad eos egressus: Me sequimini, inquit, & tradā uobis Helisæū. Sequuntur illi & oculis & animis occæcatis. Quos cum Samariā perduxisset, regem iubet eos suis copijs circundare: & Deum orat, ut caliginem illorū oculis amoueret. quo facto, Syri se in hostium medio uersari uident. Verùm Elisæus neminē eos lædere patiebatur, sed consulebat, ut accepti hospitaliter, incolumes dimitterētur. Ioramus rex prophetæ monitis diligenter paret, illi discedunt: regi, quid accidérit, nunciant. Syrus audita re obstupescit. & post, cum omnib. suis copijs Samariā obsidet, in qua tanta fames orta est, ut caput asini L nummis argenteis uęniret, & sextarius columbini fimi, totidem. Cum autē rex Ioramus mœnia circumiret, inclamat eū muliercula, cōseruari se petens, quam ille cibum petere suspicans, cum indignatione, Mihi neq; area est, inquit, neque torcular, quomodo te cōseruem? Sed illa iudiciū petere se dicente, causam agere iubet. Ibi mulier: Pepigi, inquit, cū uicina mea, ut filios nostros mactemus, & alternis dieb. altera alterā alat. Nūc cum ego meū mactarim, illa nō stat cōuentis. His rex auditis, ingēti dolore affectus, & laceratis uestibus suis, prophetæ irascitur, quod mala ista precib.

Giezis aua-ritia lepra punitur.

… recuperata è flumine.

Syrorū exercitus cæcitate percussus.

Samariæ obsidio & fames.

Infantium deuoratio.

νειν· προσδοκῶν καὶ λουσάμενος ἐν αὐτοῖς, καὶ καθαρισθήσομαι. ἀποχωροῦντι δὲ εἶπον αὐτῷ οἱ θεράποντες πείθεσθαι τῷ τοῦ προφήτου λόγῳ, ῥᾷστον ὄντα. καὶ κατέβη Νεεμὰν καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις, καὶ ἐκαθαρίσθη· καὶ ἀναστρέψας ηὐχαρίστει τῷ προφήτῃ, καὶ μὴ εἶναι θεὸν ἕτερον ὡμολόγει πλὴν τὸν ἐν τῷ Ἰσραήλ, καὶ ἠξίου αὐτὸν λαβεῖν τι ὧν ἐκόμιζεν. ὁ δὲ ἀπηνήνατο, καὶ ὑπέστρεψε Νεεμάν. Γιεζὶ δὲ κατεδίωξεν αὐτὸν, καὶ εἶπεν· ὁ προφήτης ἀπέστειλέ με λαβεῖν ἀπὸ σοῦ τάλαντον ἀργυρίου, καὶ δύο στολὰς δοθησομένας δυσὶ νέοις ἄρτι προσελθοῦσιν αὐτῷ. καὶ ἔδωκεν αὐτῷ Νεεμάν· καὶ ὑποστρέψας Γιεζὶ πρὸς Ἐλισσαῖον. ἔγνω δὲ ὁ προφήτης ὃ εἰργάσατο ὁ Γιεζί, καὶ εἶπεν αὐτῷ· ὅτι ἔλαβες τὸ ἀργύριον καὶ τὰ ἱμάτια ἐκ τοῦ Νεεμάν, ἡ λέπρα ἐκείνου κολληθήσεταί σοι καὶ τῷ σπέρματί σου. καὶ ἐξῆλθε λελεπρωμένος. οἱ υἱοὶ δὲ τῶν προφητῶν οἱ μετὰ Ἐλισσαίου, ἀπορευθέντες εἰς τὸν Ἰορδάνην, τέμνειν ξύλα, ὡς ἂν ποιήσωσιν ἑαυτοῖς σκηνάς· καὶ Ἐλισσαῖος αὐτοῖς συνεπορεύετο. τεμνόντων δὲ τὰ ξύλα, ἑνὸς τὸ τῆς ἀξίνης σιδήριον ἐκπεσὸν εἰς τὸν ποταμόν. καὶ ὁ τῆς ἀξίνης κύριος τὸν προφήτην ἐπεκαλέσατο, καὶ τὸν τόπον ὑπέδειξεν αὐτῷ ἐν ᾧ κατέδυ ὁ σίδηρος. ὁ δὲ ξύλον λαβὼν ἐνέβαλεν ἐκεῖ. καὶ ἀνέδυ τὸ σιδήριον, καὶ ἐπιπολάσαν ἔλαβεν αὐτὸ ὁ ἀπολέσας αὐτό. ὁ δὲ βασιλεὺς Συρίας ἐνέδρας ἐκάθισεν, ἵν' ἕλῃ τὸν βασιλέα τὸν Ἰωράμ. ἐπέστειλε δὲ ὁ προφήτης πρὸς Ἰωράμ, φυλάττεσθαι αὐτῷ ἐντελλόμενος, καὶ μὴ ἀπιέναι πρὸς θήραν. καὶ ὁ μὲν οὐκ ἐξῄει. ἄπρακτος δὲ τῶν ἐνεδρῶν ἁμαρτών, τοὺς οἰκείους ὑπώπτευε γίνεσθαι προδότας τῶν βεβουλευμένων αὐτῷ. φασάντων δὲ ἐκείνων, οὐκ αὐτούς, ἀλλὰ τὸν προφήτην Ἐλισσαῖον μηνύειν αὐτῷ τὰ ἀπόρρητα, στέλλει ἐν Δωθαεὶμ στράτευμα, ἵν' αὐτὸν λάβοιεν. ἰδὼν δὲ τὸν λαὸν κύκλῳ τῆς πόλεως ὁ τοῦ προφήτου διάκονος, περιδεὴς ἐγένετο, πρὸς αὐτὸν ἀπαγγέλλων τὸ πρᾶγμα. ὁ δὲ, μὴ δέδιθι, ἔφη· καὶ ἱκέτευσε τὸν θεὸν δεῖξαι τῷ διακόνῳ αὐτοῦ, ὅπως φυλάττεται παρ' αὐτοῦ. καὶ δέδωκεν ὁ θεὸς τῷ θεράποντι τοῦ προφήτου χάριν, ἰδεῖν αὐτὸν ἅρμασι καὶ ἵπποις πυρίνοις κεκυκλωμένον. ἐπεμαύρωσε δὲ ὁ προφήτης προσευξάμενος, καὶ τὰ ὄμματα τῶν ἐχθρῶν. καὶ ἐξελθὼν πρὸς αὐτοὺς ἔφη· ἀκολουθεῖτέ μοι, καὶ δείξω τὸν Ἐλισσαῖον ὑμῖν. οἱ δὲ εἵποντο, καὶ τὰς ὄψεις βεβλαμμένοι καὶ τὴν διάνοιαν. ἀπαγαγὼν δὲ αὐτοὺς εἰς Σαμάρειαν, περιστῆσαι αὐτοῖς τὴν αὐτοῦ δύναμιν τῷ βασιλεῖ ἐνετείλατο. καὶ τὸν θεὸν ᾔτει, περιαιρεθῆναι τὴν ἀχλὺν ἐκ τῶν ὀμμάτων αὐτῶν. περιαιρεθείσης δὲ, εἶδον ἑαυτοὺς οἱ Σύροι μέσον ἐμπεριειλημμένους τῶν πολεμίων. Ἐλισσαῖος δὲ οὐδ' ἀδικεῖσθαι αὐτοῖς παρεχώρει, ξενίσαι δὲ μᾶλλον, καὶ ἀπολῦσαι ἀπαθεῖς συνεβούλευε. φιλοτίμως οὖν ὁ Ἰωρὰμ ἑστιάσας αὐτοὺς, κατὰ τὸν τοῦ προφήτου λόγον ἀφῆκεν. οἱ δὲ ἀπῆλθον, καὶ τὰ γεγονότα τῷ ἑαυτῶν βασιλεῖ διηγήσαντο. καὶ ἐξεπλάγη. μετὰ ταῦτα δὲ πανστρατιᾷ ἐπελθὼν εἰς Σαμάρειαν ὁ βασιλεὺς Συρίας, ἐπολιόρκει αὐτήν. καὶ ἐγένετο λιμὸς σφοδρότατος ἐν αὐτῇ, ὡς τὴν κεφαλὴν ὄνου πεντήκοντα νομισμάτων ἀργύρου πραθῆναι, καὶ ξέστην κόπρου περιστερῶν πεντήκοντα νομισμάτων ὁμοίως. τοῦ δὲ βασιλέως Ἰωρὰμ περιιόντος τὸ τεῖχος, ἐβόησε γύναιον· σῶσον ὦ βασιλεῦ. ὁ δὲ νομίσας τροφὴν αἰτεῖν τὴν γυναῖκα, πόθεν σε σώσω, βλασφημήσας αὐτὴν, ἔφη. μή τι ἅλωνός μοι, μή τι ληνοῦ ὑπαρχούσης; τῆς δὲ κρίσιν αἰτούσης, λέγειν ἐπέτρεψε. καὶ ἡ γυνή, συνθήκας εἶπεν ἐθέμην μεθ' ἑτέρας γυναικὸς γειτνιώσης μοι, θῦσαι τὰ τέκνα ἡμῶν, καὶ ἀνὰ μίαν ἡμέραν ἀλλήλας θρέψαι. κἀγὼ μὲν τὸ ἐμὸν ἔθυσα, ἡ δὲ παραβαίνει τὰ ὡμολογημένα. τούτων ἀκούσας ὁ βασιλεὺς ὑπερήλγησε, καὶ τὴν ἐσθῆτα διέρρηξε. καὶ κατὰ τοῦ προφήτου ἐξωργίσθη, ὅτι μὴ δέοιτο

ὅτι κατὰ λόγον τοῦ προφήτου [illegible] ἐν τῷ Ἰορδάνῃ [illegible] Νεεμάν, καὶ ἐκαθαρίσθη.

περὶ δὲ ὡς τὸ [illegible] ἀξίνης. καὶ ὅπως ἀνεδύη διὰ τοῦ ξύλου.

περὶ τοῦ [illegible] Ἰωράμ. [illegible] αὐτοὺς [illegible] πάλιν [illegible] ἅρμασι [illegible].

ὅτι ἐν λιμῷ ὁ [illegible].

περὶ δύο γυναικῶν [illegible] τέκνα [illegible].

τοῦ θεοῦ

τοῦ θεοῦ λῦσαι τὴν ἔνδειαν, καὶ τὸν ἀποκτενοῦντα αὐτὸν ἔπεμψεν. Ἐλισσαῖος δὲ τοῖς φοιτηταῖς ὁμιλῶν, προεῖπεν αὐτοῖς οἶδε τὸν φονέως υἱὸς κτανεῖν με ἀπέστειλεν, ἀλλ' ὑμεῖς τὴν θύραν κλείσαντες, κωλύσατε τὴν εἴσοδον τῷ σφαγεῖ. ἕψεται γὰρ μεταμεμελημένος ὁ βασιλεύς. καὶ οἱ μὲν κατὰ τὸν τοῦ προφήτου λόγον ἐποίησαν. Ἰωρὰμ δὲ μεταβαλλόμενος, σπουδῇ πρὸς τὸν προφήτην ἀφίκετο, καὶ ᾐτιᾶτο αὐτὸν ὅτι μὴ δέοιτο τοῦ θεοῦ λῦσαι σφίσι τὰ λυπηρά. ὁ δὲ, αὔριον ἔφη δύο σάτα κριθῆς πραθήσεται σίκλου, καὶ σεμιδάλεως σάτον σίκλου. ἐπεὶ δέ τις τῶν ἑπομένων τῷ βασιλεῖ, ἄπιστα ἔφη λέγεις προφῆτα· ὁ δὲ, ὄψει μὲν ἔφη τὰ ἐπηγγελμένα, οὐκ ἀπολαύσεις δὲ αὐτῶν, διὰ τὴν ἀπιστίαν. κατὰ δὲ τὴν νύκτα ἐκείνην κτύπον ἁρμάτων, ἵππων τε καὶ ὅπλων καὶ πλήθους ἀλαλαγμῶν γενέσθαι ἐποίησεν ὁ θεὸς τῶν Σύρων ταῖς ἀκοαῖς. οἱ δὲ συμμαχικὸν προσλαβέσθαι πολὺ τὸν Ἰωρὰμ οἰηθέντες, καὶ ἐπέρχεσθαι σφίσι, λιπόντες τὸ στρατόπεδον περιδεῶς ἀπεδίδρασκον. λεπροὶ δὲ τέσσαρες ἄνδρες ἔξω τῆς πόλεως ἦσαν, τοῦ νόμου τοὺς λεπροὺς κελεύοντος ἐξωθεῖσθαι τῶν πόλεων. οἱ γὰρ λεπροὶ ἐκεῖνοι ἤδη τῷ λιμῷ φθαρέσθαι μέλλοντες, προσελθεῖν τῇ τῶν Σύρων παρεμβολῇ ἐβουλεύσαντο, λέγοντες ὡς εἰ φείσονται ἡμῶν καὶ τραφέντες ζησόμεθα, εἰ δ' ἀναιρεθέντες, τῶν κακῶν ἀπαλλαγησόμεθα. ἧκον οὖν ὄρθρου πρὸς τὸ τῶν Σύρων στρατόπεδον, καὶ οὐδεὶς αὐτοῖς ἑωράθη. ἦλθον εἰς μίαν σκηνὴν, καὶ ἔρημον ἀνθρώπων κατέλαβον. ἐξ ἐκείνης εἰς ἑτέραν μετέβησαν, κἀκείνην ἔρημον εὗρον. καὶ εἰς πλείους δὲ μεταβάντες ὡς οὐδενὶ ἐνετύγχανον, πρῶτον μὲν ἔφαγόν τι καὶ ἔπιον, εἶτα χρυσίον τι καὶ ἀργύριον καὶ ἱμάτια λαβόντες ἐκεῖθεν, ἔκρυψαν. καὶ οὕτως εἰς τὴν πόλιν ἐλθόντες, τὸ γεγονὸς ἀνεκήρυττον. ὁ δὲ βασιλεὺς ἀκούσας, ἐνέδραν εἶπεν εἶναι τοῦτο τῶν πολεμίων, καὶ μὴ προϊέναι διεκελεύετο, τοὺς δὲ κατασκοπήσοντας ἔπεμψεν. οἱ ἀπελθόντες, ἐνέτυχον μὲν οὐδενὶ παρὰ τὴν ὁδόν, πλήρη δὲ αὐτὴν ἱματίων καὶ σκευῶν εὗρον. ταῦτα μαθὼν ὁ βασιλεὺς, διαρπάσαι τὴν παρεμβολὴν τῷ πλήθει ἐπέτρεψεν. ὅθεν τοσαύτη ἀφθονία τῶν ἀναγκαίων ἐγένετο, ὡς δύο σάτα κριθῆς σίκλου πωλεῖσθαι, σάτον δὲ σεμιδάλεως· τὸ δὲ σάτον δύναται Ἰταλικὸν ἡμιμέδιμνον. μόνος δὲ τῆς ἀφθονίας ἐκείνης οὐκ ἀπώνατο ὁ τοῦ βασιλέως ἐπιστάτης, κατὰ τὸν τοῦ προφήτου λόγον, ὃς τῇ αὐτοῦ προρρήσει ἠπίστησε· συνωσθέντος γὰρ τοῦ πλήθους ἐπὶ τὴν πύλην τῆς πόλεως, συνεπατήθη καὶ τέθνηκεν. ὁ δὲ βασιλεὺς Δαμασκοῦ μετὰ ταῦτα νοσεῖ. καὶ ὁ Ἐλισσαῖος ἀπῆλθε τότε πρὸς Δαμασκόν. καὶ ἀκούσας ὁ νοσῶν περὶ τοῦ προφήτου, καὶ ἀποστέλλει Ἀζαὴλ τὸν ἐντιμότερον τῶν θεραπόντων αὐτοῦ πρὸς αὐτὸν, ἐρωτῶν εἰ ζήσεται. ἔπεμψε δὲ αὐτῷ καὶ δῶρα πολλά. ἐρωτηθεὶς δὲ ὁ προφήτης, τεθνήξεσθαι μὲν τὸν νοσοῦντα βασιλέα προεῖπε, τῷ δὲ Ἀζαὴλ ἐνετείλατο μηδὲν ἐκείνῳ εἰπεῖν. αὐτὸς δὲ ἔκλαιε. καὶ ἐρωτηθεὶς παρὰ τοῦ Ἀζαὴλ τοῦ κλαυθμοῦ τὴν αἰτίαν, θρηνῶν ἔφη προορῶν ὅσα ἐκ σοῦ συμβήσεται τοῖς Ἰσραηλίταις δεινά. σὺ γὰρ βασιλεὺς ἔσῃ Συρίας. ὑποστρέψας δὲ Ἀζαὴλ πρὸς τὸν κύριον αὐτοῦ, ἀπήγγελλε φάναι τὸν προφήτην ὡς ζήσεται. τῇ δὲ ὑστεραίᾳ δίκτυον αὐτῷ ἐμβαλὼν διάβροχον, τὸν μὲν ἀπέπνιξεν, αὐτὸς δὲ τῆς βασιλείας ἐπελάβετο. ὁ δὲ τῶν Ἰουδαίων βασιλεὺς Ἰωρὰμ (ἡ γὰρ αὐτὴ κλῆσις ἀμφοῖν τοῖν βασιλέοιν προσῆν) εἰς ἀσέβειαν ἐξεκυλίσθη παρὰ τῆς γυναικὸς αὐτοῦ Γοθολίας, θυγατρὸς οὔσης τοῦ Ἀχαὰβ, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἀνεῖλε, καὶ τοὺς πατρῴους θεράποντας, καὶ τὸν λαὸν συνασεβεῖν αὐτῷ κατηνάγκαζεν. τούτῳ δὲ βιοῦντι ὁ προφήτης ἐπέστειλε, προμηνύων αὐτῷ τὸν ἐσόμενον ὄλεθρον, καὶ τὴν τῶν γυναικῶν αὐτοῦ καὶ τῶν τέκνων φθορὰν

διὰ

ὅτι προεῖπεν Ἐλισσαῖος τὴν τοῦ ἰωρὰμ μεταστροφήν.

ὅτι ἄδηλον αἱ σύροι ἔφυγον.

περὶ τῶν λεπρῶν τῶν κατασκοπευσάντων τὴν στρατιὰν ἐγκαταλειφθεῖσαν.

ὅτι μετὰ τὴν τῶν σύρων ἀναχώρησιν, ἀφθονία γίνεται τῶν ἀναγκαίων, ὁ δὲ ἀπιστήσας τῇ προρρήσει τοῦ προφήτου, συμπατηθεὶς ἐν θύρᾳ, ἀπέθανε κατὰ τὴν προφητείαν.

ὅτι προεῖπεν ὁ προφήτης τῷ ἀζαὴλ τὴν βασιλείαν συρίας.

ὅτι ἀζαὴλ ἀπέπνιξε τὸν βασιλέα δαμασκοῦ, καὶ ἐκράτησεν.

ὅτι προεῖπε τῷ ἰωρὰμ ὁ προφήτης τὴν ἀπώλειαν διὰ τὴν ἀσέβειαν αὐτοῦ.

non auerteret, ac percussorem contra illum mitit. Sed Helisæus cœtui discipulorum id prædixerat: Homicidæ, inquit, filius misit qui me perimat, sed uos clausis forib. aditu percussorem prohibete. sequetur enim rex, mutato consilio. itaq; factū est. Nam Ioramus omissa priore cogitatione, properanter ad prophetā uenit, expostulans, quod ærumnarū depulsionem Deum non exoraret. At ille: Cras, inquit, duo sata hordei siclo uendentur, & similaginis satum tantidem. Tum quidam ex regis comitibus: Incredibilia, ait, propheta dicis. Cui ille: Quæ pollicitus sum, inquit, uidebis: sed ob incredulitatem, ijs non frueris. Ea igitur nocte sonitū curruum equorum & armorū, & multitudinis fremitū in Syrorum auribus excitauit Deus. Qui magnas auxiliares copias aduenisse Ioramo rati, & contra se ire, castris relictis trepidè aufugiūt. Leprosi autem quatuor extra urbē erant (nam ijs habitare in urbibus, lege interdictum est) qui fame penè enecti, castra Syrorū ingredi decreuerunt. Nam aut parcent nobis Syri (inquiunt) ciboq; potiti uiuemus, aut interfecti malis liberabimur. Veniunt diluculo ad castra Syrorū, uident neminem: unum tabernaculum intrāt, uacuum id hominibus deprehendūt. ex eo in aliud transeunt, illud etiam desertum inueniunt: in plura progressi, cum in neminē incidissent, primum edunt & bibunt. Deinde aurum, argentum, uestem ablata occultant: & ingressi urbem, rem nunciant. Qua rex audita, Syrorum insidias eas esse dicit, suos ab egressu deterret: speculatores mittit, qui in itinere in neminem inciderūt, sed castra plena uestibus & uasis repererunt. Tum rex castra populo diripienda dat: unde tanta rerum necessariarum copia extitit, ut duo sata hordei siclo uenirent, & satū similaginis tantidem. Est autem satum semimedimnus Italicus. Eius ubertatis solus fructum non cœpit regis ille satelles, quemadmodū propheta dixerat, ob abrogatam uerbis illius fidem. Nam multitudine populi ad portam confluente, obtritus est. Post hæc rex Damasci ægrotauit. Elisæus autē tum Damascum abijt: cuius aduentu æger audito, misso Azaele ex honoratioribus ministris, percontatur, an uicturus esset, missis etiam muneribus multis. Respondet ille, paulo pòst moriturum esse ægrotantem, sed Azahelem uetat id illi dicere, & ipse plorat. ploratus causam sciscitanti Azaheli, respōdet, deplorare se mala, quæ ille Israelitis illaturus esset. Eum enim Syriæ regno potiturum. Azahel ad dominum suum reuersus, nunciat, prophetam incolumitatem illi polliceri. postridie madido reticulo iniecto eū suffocat, ipse regnū inuadit. At Ioramus rex Iudæorū (idem enim utriq; regi nomen erat) à Gotholia uxore, Achabi filia, ad impietatem deuolutus, & fratres sustulit, & paternos ministros, & populum eandem sequi coegit impietatem. Cui ita uiuēti nunciū misit propheta cladis imminentis, & interitus uxorū & liberorum eius,

ob

Syri strepitu nocturno pauefacti, fugā capessunt.

Elisæus Azaheli Syriæ regnū prædicit.

Ioramus VIII. Iudææ rex moritur.

ob impietatem, populiq; uexationem. Neque multo post, Arabes bello Iudaeos afflixerunt, uno tantum Ozochia ex regijs filijs non interfecto, & Ioramus etiam, ut propheta praedixerat, ex morbi grauitate interijt, anno aetatis quadragesimo, Regni octauo, Ochozia filio successore relicto. Accidit autem, ut Ioramus alter Israelitarum rex, suscepta contra Syros expeditione uulneratus, Iehu Amasis filio apud exercitum cum imperio relicto, ad curandum ictum abiret. Sed Elisaeus quendam ex discipulis ad Iehum regem inungendum mittit, ut delectum à Deo. Qui Iehu seducto, ut arcani aliquid communicaturus, & conclaue ingressus, caput eius oleo perfundēs, cum diuinitus creari regem ait, ad Achabi genus delendum. & his dictis, subitò è conclaui se proripit. Percontantibus autem suis, quid ab illo uocatus esset, qui quidē furentis gestum prę se ferret: Rectè, inquit, iudicatis, nam uerba furore plena mihi nunciauit. Dixit enim, me diuinitus creatum esse regem. quibus populus auditis, Iehum tubis inflatis regem salutat. Quo facto, ille delectis equitib. assumptis, ad Ioramum subitò opprimendū proficiscitur. Cum autem speculator Ioramo dixisset, aduentare equites, mittit quendam qui roget quid uelint. cum Iehus, nullo dato respōso, se iussit sequi. Misso & altero, nec reuerso: Ioramus ipse curru conscenso cum Ozochia sororis suę filio, qui uisendi eius gratia uenerat, Ieho in agro Nabuthis occurrit, rogans, ut se haberet exercitus? Qui eum maledictis cū insectaretur, Ioramus territus fugam capessit. Tum Iehus intento arcu eum ferit, ut curru delapsus moreretur. Sic in Nabuthis agrū est proiectus, quemadmodum Elias Achabo praedixerat. Ochoziam item fugientē sagitta icit Iehus, ex quo uulnere is quoque paulo pòst est mortuus, cum unum regnasset annum. Iezabel autem de turri prospectans, exquisitè culta, ut gratior esset: Bonus, inquit, seruus qui dominum suum sustulit. Iehus autem eunuchis mandat, ut eam supernè praecipitarent, è quo casu cruentatis parietibus illa periit. Quā cum Iehus ob genus regiū sepeliri iuberet, ministri praeter ossa nihil repererunt. Canes enim eam dilacerarant, ut Elias praedixerat. Erant Achabo Samarię LXX filij. Iehus igitur magistratibus Samaritanis & puerorum educatoribus scribit, significans, ut praestantissimum illorum regem crearent. Id autem tentandi gratia faciebat. Illi rescribunt, eum esse suum dominum. Rescribit igitur Iehus, si se seruos suos esse faterentur, capita omnium filiorū Achabi allaturos. Exequuntur illi iussa. rex capita ante portam urbis duobus poni locis iubet, eoq; facto progressus: Ego, inquit, regem sustuli: isti secundum prophetae praedictionem perierunt. & omnes Achabi cognatos conquisitos necat. Samariam aūt proficiscentē Iehum, Ionadabus obuiam egressus, collaudat ob extirpatā Achabi familiā. Ne quis autem pseudoprophetarū, & Baalis

Iehus Elisei iussu rex Israelitarum ungitur IX.

Iehus Ochoziam, Ioramũ, & omnem Achabicam familiam euertit.

Achabi 70 filij à Iehu interfecti.

διὰ τὴν ἀσέβειαν, καὶ τὴν τοῦ λαοῦ κάκωσιν, ἃ καὶ εἰς ἔργον ἐξέβησαν, Ἀράβων ἐπιστρατευσάντων τῇ Ἰουδαίᾳ, ἑνὸς τῶν υἱῶν αὐτοῦ περισωθέντος τοῦ Ὀχοζίου. καὶ Ἰωρὰμ δὲ μετὰ ταῦτα νοσήσας, ὡς ὁ προφήτης προείρηκε, βιαίως ἐξέψυξε, ζήσας μὲν ἐνιαυτοὺς τεσσαράκοντα, βασιλεύσας δ᾽ ὀκτώ. ἡ δὲ ἀρχὴ τῷ υἱῷ αὐτοῦ Ὀχοζίᾳ περιελήλυθεν. Ἰωρὰμ δὲ τοῦ ἑτέρου τῶν Ἰσραηλιτῶν βασιλέως κατὰ τῶν Σύρων στρατεύσαντος, συνέβη τρωθῆναι ἐν τῷ πολέμῳ· καὶ ὁ μὲν ἀνεχώρησε θεραπευθησόμενος τὴν πληγήν, ἡγεμόνα δὲ τῆς στρατιᾶς καταλείψας Ἰοῦν τὸν τοῦ Ἀμασῆ. Ἐλισσαῖος δὲ ἕνα τῶν μαθητῶν ἔπεμψε, χρίσοντα εἰς βασιλέα τὸν Ἰοῦν, ὡς τοῦ θεοῦ αὐτὸν ᾑρημένου. ὁ δὲ ἐλθὼν ἰδίᾳ τῶν ἄλλων ἀπολαβὼν τὸν Ἰοῦν, ὡς δή τι λέξων αὐτῷ μυστικώτερον, εἰς τὸ ταμιεῖον εἰσδύς, τὸ ἔλαιον κατέχει τῆς αὐτοῦ κεφαλῆς, φήσας αἱρεῖσθαι τὸν θεὸν εἰς βασιλέα αὐτόν, ἵν᾽ ἀφανίσῃ τὸ γένος τοῦ Ἀχαάβ. καὶ ὁ μὲν ἅμα τε εἶπε, καὶ ἐκ τοῦ ταμιείου συντόμως ἐξέδραμε. πυνθανομένων δὲ τῶν σὺν αὐτῷ, τί ἂν βούλοιτο ὁ καλέσας αὐτόν; καὶ μεμηνότι προσεικαζόντων ἐκεῖνον, ὀρθῶς ἐκρίνατε, ἔφη. ἐπεὶ καὶ λόγους μοι μεστοὺς μανίας ἀπήγγελεν· εἴρηκε γὰρ βασιλέα με χειροτονεῖν τὸν θεόν. καὶ ὁ λαὸς ἀκούσας ταῦτα, σαλπίζων ἀνηγόρευε βασιλέα τὸν Ἰοῦν. ὁ δὲ αὐτίκα τοὺς λογάδας τῶν ἱππέων παραλαβών, ἐξώρμησεν ἵν᾽ ἀθρόον ἐπέλθῃ τοῖς ποσὶ τὸν Ἰωράμ. τοῦ δὲ σκοποῦ τῷ Ἰωρὰμ ἱππέας ἥκειν φράσαντος, ἔσταλκέ τινα ἐκεῖνος ἐρωτήσοντα τί ἂν βούλοιντο; Ἰοῦς δὲ μηδὲν ἀποκριθείς, ἕπεσθαι αὐτῷ προσέταξεν· εἶτα καὶ δεύτερον ἔστειλεν· οὐδὲ ἐκείνου δὲ ἀναστρέψαντος, αὐτὸς ὁ Ἰωρὰμ τοῦ ἅρματος ἐπιβάς, σὺν Ὀχοζίᾳ ἐλθόντι πρὸς ἐπίσκεψιν αὐτοῦ, ἀδελφῆς αὐτοῦ ὄντι υἱῷ, συναντήσας ἐν ἀγρῷ Ναβουθαὶ τῷ Ἰοῦ. καὶ ἤρετο περὶ τῆς στρατιᾶς, ὅπως ἔχοι; ὁ δὲ βλασφημίας αὐτοῦ κατέχεεν. Ἰωρὰμ δὲ στραφεὶς ἀποδιδράσκει δεδιώς. καὶ Ἰοῦς τὸ τόξον ἐντείνας, βάλλει αὐτόν. καὶ τοῦ ἅρματος ἐκπεσὼν τέθνηκε, καὶ ἐρρίφη εἰς τὸν τοῦ Ναβουθαὶ ἀγρόν, κατὰ τὴν πρόρρησιν Ἠλιοῦ, ἣν πρὸς Ἀχαὰβ ἐποιήσατο. καὶ Ὀχοζίαν δὲ φεύγοντα ἐτόξευσεν Ἰοῦ, καὶ ἐκ τῆς πληγῆς μετὰ μικρὸν ἐτελεύτησεν, ἕνα βασιλεύσας ἐνιαυτόν. Ἰεζάβελ δὲ ἐκ τοῦ πύργου προκύπτουσα, κεκαλλωπισμένη πρὸς τὸ ἐπαγωγότερον, ἀγαθὸς εἶπε δοῦλος ὃς τὸν δεσπότην ἀνεῖλεν. Ἰοῦ δὲ ἄνωθεν αὐτὴν ῥῖψαι τοῖς εὐνούχοις προσέταξε. καὶ καταφερομένης αὐτῆς, περιερράνθη τὸ τεῖχος τῷ αἵματι. ἡ δὲ τέθνηκεν. Ἰοῦ δὲ ταφῆναι αὐτὴν προστάξαντος διὰ τὸ γένος αὐτῆς τὸ βασίλειον, οἱ προσταχθέντες οὐδὲν εὗρον ἐκ τοῦ σώματος αὐτῆς ἢ μόνα ὀστᾶ. ὑπὸ γὰρ κυνῶν διεσπάρακτο, ὡς Ἠλιοὺ προεφήτευσεν. ἦσαν δὲ ἐν Σαμαρείᾳ τῷ Ἀχαὰβ υἱοὶ ἑβδομήκοντα. ἐπέστειλεν οὖν Ἰοῦ τοῖς ἄρχουσι Σαμαρείας, καὶ τοῖς παιδαγωγοῖς τῶν υἱῶν Ἀχαάβ, δηλῶν τὸν κρείττω τούτων βασιλεῦσαι αὐτῶν. πειρώμενος δὲ τῶν ἀνδρῶν ἔγραψε ταῦτα. οἱ δ᾽ αὐτὸν ἔχειν δεσπότην ἀντέγραψαν. καὶ αὖθις ἐπέστειλεν Ἰοῦ, καὶ εἰ δουλείαν ὁμολογοῦσιν αὐτῷ, τὰς κεφαλὰς πάντων τῶν παίδων τοῦ Ἀχαὰβ κομίσειν αὐτῷ. κἀκεῖνοι τὸ ἐπιταχθὲν πεποιήκασιν. ὁ δὲ πρὸ τῆς πύλης τῆς πόλεως τεθῆναι τὰς κεφαλὰς ἐν δυσὶ τόποις ἐκέλευσε. καὶ τούτου γενομένου προελθών, ἐγὼ μὲν εἶπε τὸν βασιλέα ἀνῄρηκα, οὗτοι δὲ κατὰ τὴν πρόρρησιν τοῦ προφήτου ἀπώλοντο. καὶ πάντας δὲ τοὺς συγγενεῖς Ἀχαὰβ ἐρευνήσας ἀπέκτεινεν Ἰοῦ. ἀπιόντι δὲ αὐτῷ εἰς Σαμάρειαν, συναντᾷ Ἰωναδάβ, καὶ προσειπὼν εὐλόγησεν αὐτόν, ὅτι ἐξωλόθρευσε τὸ γένος τοῦ Ἀχαάβ. εἶτα ἵνα μή τις λάθῃ τῶν ψευδοπροφητῶν, καὶ τῶν

ὅτι διὰ τοῦ μαθητοῦ τοῦ προφήτου Ἐλισσαίου χρίεται εἰς βασιλέα Ἰοῦ, ἵνα τὸ γένος Ἀχαὰβ ἀπολέσῃ.

ὅτι βάλλει καὶ τὸν Ἰωρὰμ Ἰοῦ, καὶ ἐκτείνει αὐτόν.

ὅτι καὶ Ἰεζάβελ ῥιφεῖσα τέθνηκε, καὶ διεσπάρη τὸ σῶμα αὐτῆς ὑπὸ κυνῶν.

ὅτι δὲ πάντας Ἀχαὰβ παῖδας ἀνεῖλε, καὶ τοὺς συγγενεῖς αὐτοῦ.

ὅπως οἱ ἱερεῖς καὶ οἱ προφῆται τοῦ Ἀχαάβ πάντες ἀποφονευθῶσι, καὶ ὁ οἶκος τοῦ Βάαλ ἐμπρησθῇ, καὶ ὁ στύλος αὐτοῦ.

τῶν ἱερέων τοῦ Βάαλ, θυσίαν ἐκήρυξε μέλλειν θύσαι πολυτελῆ, καὶ πάντας τοὺς ἱερεῖς τοῦ Βάαλ καὶ τοὺς προφήτας παρεῖναι ἐκέλευσεν· εἰ δέ τις μὴ παρείη, θάνατον εἶναι τὸ ἐπιτίμιον. ἀθροισθεῖσι δὲ ἐνδύματα δούς, καὶ μετὰ ταῦτα εἰς τὸν οἶκον μετ᾽ αὐτῶν ἀπελθὼν τοῦ Βάαλ, μή τινα αὐτοῖς ἕτερον ἀναμεμίχθαι προσέταξεν. τῶν δὲ μηδένα παρεῖναι φησάντων ἕτερον, στρατιώτας περιστήσας ἔξω, κελεύσας ἀποκτεῖναι τοὺς ἔνδον. οἱ ἐκείνους τε πάντας ἀνεῖλον, καὶ τὸν οἶκον τοῦ Βάαλ ἐνέπρησαν, καὶ τὴν στήλην αὐτοῦ. τὰς δὲ χρυσᾶς δαμάλεις οὐ περιελεῖν. ὁ δὲ θεὸς αὐτῷ ἐπηγγείλατο, τὸν οἶκον ἐξαφανίσαντι τοῦ Ἀχαάβ, μέχρι τετάρτης γενεᾶς τῶν παίδων αὐτοῦ διαρκέσειν τὴν βασιλείαν αὐτοῦ. οὕτω μὲν οὖν τὸ γένος ἐξωλοθρεύθη τοῦ Ἀχαάβ. ἡ δὲ θυγάτηρ ἐκείνου Γοθολία, ἣ Ὀχοζίᾳ συνῴκει τῷ τῶν Ἱεροσολύμων βασιλεῖ, θανόντος ἐκείνου, τῆς βασιλείας ἰδίᾳ ἐγκρατὴς οὖσα, σπούδασμα ἔθετο καὶ αὐτὴ τὸ γένος ἐξολοθρεῦσαι τὸ τοῦ Δαβίδ. καὶ χωρὶς ἑνός, ἀπέκτεινεν ἅπαντας. ἡ γὰρ ἀδελφὴ Ὀχοζίου Ἰωσαβεὲ καλουμένη, ἀναιρουμένων τῶν υἱῶν τοῦ ἀδελφοῦ αὐτῆς, ἐδυνήθη ἕνα νήπιον ὄντα ὄνομα Ἰωὰς ἀποκρύψαι, καὶ ἔτρεφεν αὐτὸν μέχρι ἐτῶν ἓξ λεληθότως. ἐν δὲ τῷ ἑβδόμῳ Ἰωδαὲ ὁ ἀρχιερεύς, ᾧ συνῴκει ἡ Ἰωσαβεέ, προσκαλεσάμενός τινας τῶν ἑκατοντάρχων, ἐπέδειξεν ἐκείνοις τὸν Ἰωὰς, καὶ κοινολογησάμενος τοῖς ἀνδράσι, πείθει τῇ μὲν Γοθολίᾳ ἐπαναστῆναι, τῷ δὲ παιδὶ τὴν πατρῴαν βασιλείαν ἐπανασώσασθαι. οἱ καὶ ὅρκοις τὰς ὁμολογίας πιστώσαντες, ἀπῆλθον, καὶ συνήθροισαν τοὺς ἱερεῖς καὶ Λευίτας καὶ φυλάρχας πρὸς τὸν Ἰωδαέ. ὁ δὲ αὐτοῖς τὸν Ἰωὰς ἐνεφάνισε λέγων· οὗτος ὑμῶν βασιλεὺς ἐκ σπέρματος τοῦ Δαβίδ. καὶ τὸ ἱερὸν περιεκύκλωσε τῷ λαῷ. μέσον δὲ στήσας τὸν Ἰωὰς, διάδημά τε αὐτῷ περιέθηκε, καὶ τὸ τῆς χρίσεως ἔλαιον καταχέας αὐτοῦ, βασιλέα ἀπέδειξε, καὶ ὁ λαὸς ἐπευφήμησε. τῆς δὲ βοῆς ἡ Γοθολία ἀκούσασα, τῶν βασιλείων τεθορυβημένη ἐξέδραμεν, ἑπομένης αὐτῇ καὶ τῆς στρατιᾶς. ἐλθοῦσαν δὲ εἰς τὸ ἱερόν, τὴν μὲν ἐντὸς οἱ ἱερεῖς ἐδέξαντο, τοῖς δὲ περὶ αὐτὴν τὸ πλῆθος ἀπεῖρξε τὴν εἴσοδον. ἡ δὲ τὸν παῖδα ἐστεμμένον ἰδοῦσα, ἠπείλησεν τοὺς τὴν ἀρχὴν αὐτῆς ἀνελεῖν ἐπικεχειρηκότας. Ἰωδαὲ δὲ τοῖς ἑκατοντάρχαις ἐπέτρεψεν, ἔξω τὴν Γοθολίαν ἑλκύσαντας ἀναιρεῖσθαι. καὶ οἱ μὲν οὕτως ἐποίησαν. Ἰωδαὲ δὲ τόν τε βασιλέα καὶ τὸν λαὸν ὥρκωσε τιμᾶν τὸν θεόν, καὶ τοὺς νόμους τηρεῖν. καὶ ἐπελθόντες αὐτίκα τῷ τοῦ Βάαλ ναῷ, κατέσκαψάν τε αὐτόν, καὶ τὰ ἰνδάλματα τοῦ Βάαλ συνέτριψαν, καὶ τὸν ἱερέα ἀπέκτειναν. τὸν δὲ βασιλέα ἐγκαθιστᾶσιν εἰς τὰ βασίλεια, ἑπταέτη τότε τυγχάνοντα. τῷ δὲ ἀρχιερεῖ Ἰωδαὲ τήν τε πρὸς τὸν θεὸν πίστιν τηρεῖσθαι, καὶ τοὺς νόμους φυλάττεσθαι σφόδρα ἔμελεν. ἡβήσας μέντοι ὁ βασιλεύς, καὶ γυναῖκας ἠγάγετο δύο. τοῦ δὲ ναοῦ καθαιρεθέντος ἔν τισι μέρεσι παρὰ Γοθολίας, ὁ Ἰωὰς ἀνακαινίσαι αὐτὸν προεθύμητο. καὶ τὸν ἱερέα καλέσας Ἰωδαέ, ἐκέλευε πέμψας τοὺς αἰτήσοντας εἰς πάσας τὰς χώρας εἰς ἐπισκευὴν τοῦ ναοῦ, ὑπὲρ ἑκάστης κεφαλῆς ἀργυρίου ἥμισυ σίκλου. Ἰωδαὲ δὲ φορτικὸν ὄντα τῷ λαῷ συνεὶς λογισθήσεσθαι, ἑτέρως μέτεισι τῶν χρημάτων τὸν ἔρανον. κιβώτιον γάρ τι κατασκευάσας πάντοθεν κεκλεισμένον, τρῆμά τι ποιήσας ἄνωθεν ἐν αὐτῷ, καὶ ἔθετο αὐτὸ παρὰ τὸν ναόν. καὶ ἀξιοῦν ἐμβάλλειν διὰ τοῦ τρήματος, ὅσον ἑκάστῳ ᾖ πρὸς βουλῆς εἰς ἀνακαινισμὸν τοῦ ναοῦ, ὅτι γοῦν εἰς τὴν ἑκάστου προαίρεσιν ἀνῆπτο τὸ διδόμενον, ἀνεπαχθῶς τε τὴν δόσιν πεποίηνται. καὶ ἐφιλοτιμοῦντο περὶ τὴν τῶν χρημάτων καταβολήν, ὥστε πολὺ χρυσίον ἀθροισθῆναι, καὶ πλεῖστον ἀργύριον, ἐξ ὧν

ὅτι διὰ τὸν ἀφανισμὸν τοῦ γένους Ἀχαάβ ἐπηγγείλατο ὁ θεὸς μέχρι τῆς τετάρτης γενεᾶς τῆς βασιλείας τῷ Ἰηοῦ.

ὅτι ἡ Γοθολία ἀνεῖλε πάντας τοὺς τοῦ γένους Δαβίδ, πλὴν Ἰωάς.

ὅπως ὁ Ἰωὰς ἀνεφάνη βασιλεύς.

ὅπως ἀνῃρέθη ἡ Γοθολία.

ὅτι ἑπταετὴς ὢν ὁ Ἰωὰς βασιλεύειν ἤρξατο.

περὶ τῆς ἐπισκευῆς τοῦ ναοῦ.

Baalis sacerdotum latêret: Iehus se magnificê facturum esse rem diuinam denunciat, sacerdotes & prophetas omnes adesse iubet, mortem ei comminatus, qui non uenisset. Cum conuenissent, uestes eis dat: & unà templũ ingressus, edicit, ne quis alius ijs admisceret. qui cum neminem alium adesse dixissent, militibus qui foris astabant, mandat, ut omnes illos occiderent, & templum incenderẽt, & ipsam statuam. cæterùm aureos uitulos non sustulit. Promisit autem ei Deus, cum Achabi domũ excidisset, regnũ penes filios eius ad quartum usq; genus permansurum. Sic Achabi familia extirpata est. At filia eius Gotholia post obitũ Ochoziæ mariti potita regno, Dauidis & ipsa genus extirpare cõtendit, unoq; excepto interfecit omnes. Nam Iosabe Ozochiæ soror, cum filij fratris occiderentur, unum infantem nomine Ioam suffurata, clàm ad sexennium aluit. Anno autem septimo Iodaes pontifex, cui Iosabe nupta erat, quibusdam centurionib. aduocatis, Ioam monstrat, sermoneq; habito persuadet, ut á Gotholia desciscentes, regnum Ioæ paternum restituerẽt. Illi ea pactione iureiurãdo firmata, sacerdotes, Leuitas & tribunos ad Iodaem conuocãt. Ille, Ioa monstrato: Hic, inquit, rex uester est, ex semine Dauidico. populoq; circum templũ collocato, Ioam in medio statuit, diademate cingit, unctionis oleo perfundit, regem declarat, populo lætis uocibus acclamante. Gotholia clamore audito, trepidans regia erumpit, sequente exercitu. Templum ingressam sacerdotes admittũt, sed satellites eius multitudo aditu prohibuit. Illa puerum coronatum conspicata, necem comminatur ijs qui regnum suũ inuasissent. Iodaes autem centurionibus mandat, ut Gotholiam foras protractam trucident. quo facto, regẽ & populum iureiurando adigit, ut Deũ uenerentur, & leges seruent. Statim igitur Baalis ędem demoliti sunt, eiusq; simulacra comminuerunt, sacerdote interfecto. Regemq; septennem tum in regiam introducunt. Iodaes magnũ habuit studium, ut fides erga Deum & patriæ leges seruarentur. Rex cũ adoleuisset, duas uxores duxit: & partes templi quasdam à Gotholia dirutas instauraturus, Iodae accersito, mandat, ut per totam prouinciam dimitteret, qui ad templum renouandum in singula capita sicli semissem exigerẽt. Iodaes uerò, qui id populo fore graue intelligeret, aliam cogendæ pecuniæ rationẽ excogitat. Cistulã undiq; clausam, quæ supernè foramen habebat, iuxta templũ collocat, in quam quantũ quisq; uellet, ad templi instaurationem cõijceret. Quia igitur collatio illa cuiusq; uoluntati libera relinquebatur, nec grauatim cõtulere, & liberalitate inter sese certauerunt. Itaq; multum auri & plurimũ argenti est collectũ. Vnde & tem

Baalis sacerdotũ cædes.

Ioas IX rex Hierosolymorũ.

Gotholiæ & Baaliticæ religionis interitus.

Templi instauratio.

& templum refectum, & uasa multa ad sacrificia sunt parata: quæ quidē, quoad uixit Iodaes, Deo certatim offerebantur. Illo autem, anno tricesimo & cētesimo ætatis iuste legitimeq; actæ defuncto, rex Ioas circa Dei cultum factus est negligentior, unà cū illo tribunis cæterisq; magistratibus corruptis, neq; ab impietate recesserunt, quamuis à prophetis admoniti. Cū autem Zacharias propheta, Iodaæ filius regem & populū moneret, ut ex legibus uiuerent: Ioas iratus, eum lapidari iussit. Qui cum occideretur, Deum iudicem inuocauit, quòd ab eo uita priuaretur, qui patris sui beneficio uiueret. Neque diu dilatū est illud iudicium. Nam cum Syriæ rex Azahel Hierosolyma obsidione cinxisset, ille omnes & diuinos & regios thesauros, templiq; donaria ei dedit: qui pecuniæ magnitudine delectatus, obsidionē soluit. Idē Syrus Israelitas etiā grauiter afflixit. Nam & Iehus eorum rex diuina præcepta uiolarat, anno regni VII & XX defunctus. Et successit filius Ioachazus, quo regnāte Syrus regioni cladem intulit, multis urbib. occupatis, & eius exercitu cæso. Ioachazus uerò precatus Deum, salutem impetrauit, & mitigationem calamitatū, mortuus anno regni XVII filio Ioa relicto successore Iudaicæ tribus regi cognomine. Hic patri dissimilis extitit, & uir bonus. Nam Eliseum ex morbo morientem luxit, patrem uocitans, & præsidiū, ut cuius ope uictoria potiretur. At propheta eum consolatur, arcuq; sumpto sagittas eiaculari iubet. Qui cum ter eiaculatus desiisset, dixit propheta: Si plures sagittas emisisset, Syrorū imperium fuisse funditus euersurū: nunc uictorias sagittis numero pares adepturum, & agros suo regno adēptos recuperaturū. His dictis propheta extinctus, magnifice sepelitur. Sed latrones cū quendam interfectū in prophetæ sepulchrū coniecissent, reuixit occisus, & resurrexit. Obijt et Azahel Syriæ rex, Adere filio relicto successore: cum quo rex Israelitarū congressus, & ter uictoria potitus, recuperauit Israelitarum prouincias et urbes, quas eis Azahel Aderis pater ademerat. Ioas autē Iudæorū rex declaratus septennis, anno Imperij XL decessit, à famulis suis occisus: cuius filius Amesias Hierosolymitano imperio potitus est, uir pius, anno ætatis XXV, eoq; functus XXIX. Patris sui percussores supplicio affecit, corū liberos indemnes dimisit, secundum legem, cuius hæc uerba sunt: Non moriuntur patres pro filijs, neq; etiā filij pro patribus. Idem expeditione contra Idumæos et Amalecitas suscepta, socios ex Israelitis stipendio conduxit. Sed cum prophetæ cuiusdam monitu, Israelitis, condonato stipendio, dimissis, cum suis duntaxat popularib. administrato bello, barbaros superasset, socij ob missionem irati, & agros Iudæorum incursarunt, & multos occiderunt. Amesias porrò successu elatus,

Ioas Zachariam lapidari iubet.

Ioachazus X rex Israelitarum.

Ioas XI rex Israelitarum.

Helisei obitus & miraculum.

Ioas Syros uincit.

Ioas Iudæi interitus.

Amesias X rex Hierosolymorum

Amesias temere lacessito Ioa uincitur & capitur.

ὅ, τε ναὸς ἐπεσκευάσθη, καὶ σκεύη πολλὰ πρὸς τὰς θυσίας εἰργάσθησαν, αἳ φιλοτίμως μέχρις ἐβίω ἰωδαὲ προσήγοντο τῷ θεῷ. ἐκείνου δὲ δικαίως καὶ κατὰ τὸν νόμον ζήσαντος ἔτη ἑκατὸν πρὸς τριάκοντα, καὶ οὕτω τὸν βίον ἐκλελοιπότος, ἀμελῶς περὶ τὴν εἰς τὸ θεῖον διετέθη τιμὴν ὁ βασιλεὺς ἰωὰς, καὶ οἱ φύλαρχοι καὶ οἱ ἄλλως ἐξάρχοντες τοῦ πλήθους συνδιεφθάρησαν. καὶ προφητῶν δὲ διαμαρτυρομένων αὐτοῖς περὶ τῆς εἰς τὸν θεὸν ἀσεβείας, οὐδ' ὣς ἐπαύσαντο. ζαχαρίου δὲ τοῦ υἱοῦ τοῦ ἀρχιερέως ἰωδαὲ προφητεύοντος, καὶ παραινοῦντος τὸν βασιλέα καὶ τὸν λαὸν, κατὰ νόμους ζῆν, ὁ ἰωὰς χαλεπήνας καταλευσθῆναι αὐτὸν ἐκέλευσεν. ἀναιρούμενος δ' ὁ προφήτης, δικάσαι τὸν θεὸν ηὔξατο, ἀνθ' ὅτου τῆς ζωῆς στερεῖται παρὰ τοῦ εὐεργετηθέντος ἐκ τοῦ πατρὸς αὐτοῦ. καὶ μὴν καὶ ταχέως ἐδίκασεν. ὁ γὰρ τῶν σύρων βασιλεὺς ἀζαὴλ ἐπελθὼν, ἐπολιόρκει τὴν ἱερουσαλήμ· ὁ δὲ πάντας τοὺς θησαυροὺς τούς τε θείους καὶ τοὺς βασιλικοὺς ἀφελόμενος, καὶ ὅσα ἐν ἀναθήμασι, τῷ ἀζαὴλ πέπομφεν, ὃς τῷ πλήθει τῶν χρημάτων ἡσθεὶς τῆς πολιορκίας ἀπέσχετο. τοῖς δὲ ἰσραηλίταις ὁ σύρος οὗτος ἐπιτιθέμενος, ἐκάκου αὐτοὺς σφόδρα. ἰοὺ δὲ ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς παραβάτης τῶν θείων γεγονὼς νόμων, καὶ βασιλεύσας ἔτη εἴκοσι καὶ ἑπτὰ, τέθνηκεν. τῆς βασιλείας δὲ ἐπελάβετο ἰωάχαζ ὁ υἱὸς αὐτοῦ. οὗ βασιλεύοντος, ὁ τῶν σύρων ἀρχηγὸς τὴν χώραν ἐκάκωσε· πόλεις τε πολλὰς αὐτοῦ κατασχὼν, τὴν στρατιὰν αὐτοῦ μαχαίρας ἔργον πεποίηκε. ἐν τούτῳ δὲ ὁ ἰωάχαζ τὸν θεὸν δεηθεὶς, σωτηρίαν εὕρατο, καὶ ἀνακωχὴν τῶν δεινῶν. ἑπτακαίδεκα δὲ βασιλεύσας ἔτη, θνήσκει, διάδοχον τῆς βασιλείας ἐσχηκὼς ἰωὰς τὸν υἱὸν, ὁμωνυμοῦντα τῷ τῆς ἰούδα φυλῆς βασιλεύοντι. οὐχ ὅμοιος δὲ τῷ πατρὶ ὁ ἰωὰς οὗτος ἐγένετο, ἀγαθὸς δὲ, ὃς καὶ τοῦ ἐλισσαίου νοσήσαντός τε καὶ θνήσκοντος ἐθρήνει, πατέρα αὐτὸν καὶ ὅπλον καλῶν, ὡς δι' αὐτοῦ κρατῶν τῶν ἐχθρῶν. ὁ δὲ προφήτης παρεμυθεῖτο αὐτὸν, καὶ τόξον ἐκέλευε λαβόντα, βέλη βαλεῖν. τρισσάκις δὲ τοῦ βασιλέως τοξεύσαντος καὶ παυσαμένου, εἶπεν ὁ ἐλισσαῖος· εἰ μὲν πλείω ἀφῆκας βέλη, ἐξέκοψας ἂν ῥιζόθεν τὴν τῶν σύρων ἀρχήν, νῦν δ' ἰσαρίθμους τοῖς βέλεσι νίκας νικήσεις αὐτοὺς, καὶ τὴν χώραν ἣν ἐκεῖνοι ἀφείλοντο, ἐπανασώσεις σου τῇ ἀρχῇ. εἶτα ὁ προφήτης ἐξέλιπε, καὶ ἔτυχε ταφῆς μεγαλοπρεποῦς. λῃσταὶ δέ τινα ἀνελόντες, εἰς τὸν τάφον τοῦ προφήτου αὐτὸν ἔρριψαν· καὶ ἀνέζησεν ὁ ῥιφεὶς, καὶ ἀνέστη. ἀπέθανε δὲ καὶ ἀζαὴλ ὁ βασιλεὺς συρίας, τῷ διαδόχῳ τῷ υἱῷ ἄδερ. ᾧ συμβαλὼν ἰωὰς, ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς, καὶ τρισσάκις νικήσας, ἐπανεσώσατο τῷ ἰσραὴλ τὴν χώραν καὶ τὰς πόλεις ἃς ἀζαὴλ ἀφείλετο ὁ τοῦ ἄδερ πατήρ. ἰωὰς δὲ ὁ βασιλεὺς ἰούδα ἐτῶν μὲν ὢν ἑπτὰ, ὅτε ἀνερρήθη, βασιλεύσας δὲ ἐνιαυτοὺς τεσσαράκοντα, ἐτελεύτησεν, ἀναιρεθεὶς παρὰ τῶν θεραπόντων αὐτοῦ. καὶ τὴν βασιλείαν τῆς ἱερουσαλὴμ ὁ υἱὸς αὐτοῦ ἀμεσίας περιζώννυται, εὐσεβὴς γεγονὼς, ἐτῶν ὢν ὅτε τῆς ἀρχῆς ἐπέβη πέντε καὶ εἴκοσι. ἠνυκὼς δὲ τῇ βασιλείᾳ ἐπ' ἐνιαυτοὺς ἐννέα καὶ εἴκοσι, καὶ τοὺς ἀνελόντας τὸν πατέρα αὐτοῦ κολάσας, τοὺς ἐκείνων παῖδας ἀθώους ἀφῆκε, κατὰ τὸν νόμον λέγοντα, οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν, οὐδὲ μὴν οὐδὲ διὰ πατέρας υἱοί. ὃς καὶ κατὰ τῶν ἰδουμαίων καὶ ἀμαληκιτῶν στρατεύσας, συμμάχους ἐκ τῶν ἰσραηλιτῶν ἐμισθώσατο· προφήτης δέ τις καταλιπεῖν τοὺς συμμάχους αὐτῷ συνεβούλευε, καὶ μετὰ μόνων τῶν οἰκείων διαθεῖναι τὸν πόλεμον. ᾧ πεισθεὶς, ἀπέλυσε τοὺς ἰσραηλίτας, καὶ τὸν μισθὸν αὐτοῖς χαρισάμενος· συμβαλὼν τοῖς ἀλλοφύλοις νενίκηκεν. οἱ δ' ἀπελυθέντες σύμμαχοι ὀργισθέντες, τήν τε χώραν τῶν ἰουδαίων κατέδραμον, καὶ πολλοὺς ἀνεῖλον. ἀμεσίας δὲ διὰ τὸ εὐτύχημα φρονηματισθεὶς,

ὅτι ἰωαδαὲ [illegible] τοῦ ἰδίου ἰωαδαὲ.

ὅτι ὁ υἱὸς ἰωαδαὲ ζαχαρίας ἐλέγχων τὸν βασιλέα [illegible].

ὅτι θνήσκων ἐλισσαῖος, θρηνεῖται παρὰ βασιλέως ἰωάς.

περὶ τοῦ ῥιφέντος νεκροῦ [illegible] ζήσαντος.

[illegible] ἰωὰς [illegible] ἀμεσίας ὁ υἱὸς [illegible] αὐτοῦ ἀνῄρηκε.

Ὅτι ἀμεσίας ὑπερφρονήσας ἀδελφὸν ἀμεσία παρὰ τοῦ βασιλέως ἰσραήλ. ὁ δὲ ταπεινώσας αὐτὸν διὰ παραδείγματος.

θείς, καὶ ἀσεβήσας εἰς θεὸν, διαπέμψας πρὸς ἰωὰς τὸν βασιλέα, ἀπῄτει τῶν πρὸς αὐτὸν ἄξειν, ὡς ὑποκεῖσθαι οἱ ὀφείλοντα, ἐκ γένους Δαβὶδ καὶ Σολομῶντος τυγχάνοντι. ὁ δὲ ἀντεπέστειλε, μηνύων αὐτῷ, ὡς τῇ κέδρῳ ὁ ἄκανθος ἠξίου κηδεῦσαι τοῖς παισὶ τοῖς οἰκείοις προσοικειῶσθαι. ἐν τοσούτῳ δὲ τὰ θηρία τοῦ ἀγροῦ διερχόμενα, συνεπάτησαν τὴν ἄκανθον, καὶ ἀπώλετο. τοῦτο σοι ἀρκείτω εἰς παράδειγμα. καὶ μὴ ὅτι ηὐτύχησας, παρατάξας σὺ ἀλλοφύλοις, μεγάλα φρόνει, μηδὲ τὸν λαόν σου καὶ ἑαυτὸν εἰς κινδύνους συνώθει. πρὸς ταῦτα ὀργισθεὶς ἀμεσίας, στρατεύει κατὰ τοῦ ἰωάς· φόβος δ' ἐμπίπτει τῷ αὐτοῦ στρατῷ, καὶ τρέπεται εἰς φυγήν. μονωθεὶς δὲ ἀμεσίας, συλλαμβάνεται παρὰ τῶν πολεμίων, καὶ ἀπάγεται πρὸς τὸν ἰωάς. ὁ δὲ δέσμιον ἄγων αὐτὸν, ἦλθεν εἰς ἱερουσαλὴμ, καὶ καθελὼν τοῦ τείχους μέρος, εἰσήλασε διὰ τοῦ καθαιρεθέντος εἰς τὴν πόλιν ἐφ' ἅρματος, καὶ ἀφείλετο τούς τε ἱεροὺς θησαυροὺς, καὶ ὅσα ἐν τοῖς βασιλείοις ἀπέκειτο. καὶ λύσας τὸν ἀμεσίαν, ἐπανῆλθεν εἰς τὴν σαμάρειαν. καὶ βασιλεύσας τὰ πάντα ἓξ καὶ δέκα ἔτη τελευτᾷ, καὶ ἐβασίλευσεν ἱεροβοὰμ ὁ υἱὸς αὐτοῦ. ἀμεσίας δὲ μετὰ ταῦτα ἐπιβουλευθεὶς ἀνῃρέθη, ζήσας τέσσαρας ἐνιαυτοὺς καὶ πεντήκοντα, βασιλεύσας δὲ εἴκοσι καὶ ἐννέα. ἐχρίσθη δὲ βασιλεὺς ὁ υἱὸς αὐτοῦ ὀζίας, ἔτη ὑπάρχων ἑκκαίδεκα. ἱεροβοὰμ δὲ ὁ υἱὸς ἰωὰς ἀσεβὴς ἐγένετο καὶ παράνομος. καὶ ὅμως δὲ τοῦ θεοῦ τὸν ἰσραηλιτῶν λαὸν ἐλεήσαντος ταπεινωθέντα, τοὺς σύρους πολεμήσας ἐνίκησε, τοῦ προφήτου ἰωνᾶ τὴν νίκην αὐτῷ προαγορεύσαντος. τοῦτον τὸν προφήτην ἀπέστειλεν ὁ θεὸς εἰς νινευὶ τὴν πόλιν, κηρύξοντα καταστροφὴν αὐτῆς, καὶ τῶν ἐν αὐτῇ τὴν ἐξολόθρευσιν. ὁ δὲ οὐκ ἀπῄει, ἀλλ' ἀπεδίδρασκεν εἰς πλοῖον ἐμβάς. κλύδωνος δὲ γεγονότος, ἡ ναῦς ἐκινδύνευσε. καὶ κλήρῳ τῶν ἐμπλεόντων πειρωμένων γνῶναι τὸν αἴτιον, κληροῦται ὁ ἰωνᾶς· καὶ ὅστις ἦν ἀνακρινόμενος, ἐκεῖνος τὰ καθ' ἑαυτὸν διηγήσατο, καὶ ἐμβαλεῖν αὐτὸν εἰς τὴν θάλασσαν προέτρεπετο· οὐ γὰρ ἂν ἄλλως ἔλεγε τὸν κίνδυνον διαφύγειν. ὁ μὲν οὖν ἐῤῥίφη, ὁ δὲ κλύδων ἐκόπασε. κῆτος δὲ τὸν προφήτην καταπιὸν, μετὰ τρεῖς ἡμέρας καὶ ἴσας νύκτας ζῶντα καὶ σῶον αὐτὸν ἐξήμεσεν· ὁ δὲ συγγνώμην τυχὼν τοῦ θεοῦ διὰ τὴν παρακοὴν, καὶ ἐπέμφθη πάλιν κηρύξαι ἃ προσετέτακτο. ὁ δὲ ἀπελθὼν, μετὰ τρεῖς ἡμέρας τῇ νινευὶ καταστροφὴν ἐκήρυξεν. ὁ δὲ τῆς πόλεως βασιλεὺς καὶ ὁ λαὸς ἅπας τῷ προφήτῃ πιστεύσαντες, ἀπέκλιναν εἰς μετάνοιαν, καὶ τὸν θεὸν ἱκέτευον ἐλεῆσαι αὐτούς. καὶ ὃς τῇ μετανοίᾳ τοῦ πλήθους καμφθεὶς, ἀπέστρεψε τὸν ὄλεθρον ἀπ' αὐτῶν. ἱεροβοὰμ δὲ τεσσαράκοντα πρὸς τῷ ἑνὶ βασιλεύσας ἐνιαυτοὺς, θνήσκει. καὶ μετ' αὐτὸν ἐκράτησε τῆς ἀρχῆς ἀζαρίας ὁ παῖς αὐτοῦ. ὁ δὲ βασιλεὺς ἱερουσαλὴμ ὀζίας εὐσεβὴς τὰ πρὸς τὸν θεὸν, καὶ τὰ πρὸς τοὺς ὑπηκόους δίκαιος ἦν· διὸ καὶ πολλοὺς τῶν ἀλλοφύλων ἐνίκησε, καὶ ὑποφόρους ἐποίησεν. εὐδαιμονήσας δὲ καὶ τυφωθεὶς, ἐξέπεσε τοῦ καθήκοντος, καὶ ὡς ἱερεὺς στολισθεὶς, ἐπὶ τοῦ χρυσοῦ βωμοῦ θυμιάσαι τῷ θεῷ ἐπεχείρησεν· κωλυόντων δ' αὐτὸν τοῦ ἀρχιερέως ἀζαρίου καὶ τῶν ἱερέων, καὶ μὴ παρανομεῖν παραινούντων, θάνατον αὐτοῖς ἠπείλησεν, εἰ μὴ ἡσυχάσαιεν. ἐν τούτῳ φῶς οἷον ἐξέλαμψεν ἐν τῷ ναῷ, καὶ τῇ τοῦ βασιλέως ὄψει προσβαλὸν, λέπραν ἐποίησε κατ' αὐτῆς ἐξανθῆσαι. οἱ δ' ἱερεῖς τὴν συμφορὰν ἐδήλουν τῷ βασιλεῖ, καὶ ἐξιέναι τῆς πόλεως συνεβούλευον. καὶ οὕτως ζήσας χρόνον τινὰ, ὑπ' ἀθυμίας ἀπέθανε, βασιλεύσας ἔτη δύο τε καὶ πεντήκοντα, ζήσας δὲ τὰ πάντα ἑξήκοντα πρὸς ὀκτὼ, τὴν ἀρχὴν παραδοὺς τῷ υἱῷ αὐτοῦ ἰωάθαμ. ἀζαρίας δὲ ὁ τοῦ ἱεροβοὰμ, ἓξ βασιλεύσας μῆνας τῶν ἰσραηλιτῶν, ἀπέθανε, δολοφονηθεὶς ὑπὸ σελλούμ,

Ὅτι ἰωὰς νικᾷ ἀμεσίαν.

Περὶ τοῦ προφήτου ἰωνᾶ, καὶ ὅτι ἀπεστάλη εἰς νινευί, καὶ ὅτι ὁ κλύδων διὰ τὸν ἰωνᾶν ἐγένετο.

Ὅπως ὁ δὲ νινευὶ βασιλεὺς καὶ ὁ λαὸς ἐσώθησαν μετανοήσαντες.

Περὶ τοῦ ὀζίου ὅτι ὡς ἱερεὺς θυμιάσαι ἐπιχειρήσας ἐλεπρώθη.

tus, religioneq́; uiolata, ad Ioam Israelitarum regem missitauit, postulãs, ut ad se ueniret, cui deberet obedientiã, quippe à Dauide & Salomone prognato. Ille respondet ad hunc modũ: Rubus à Cedro petebat, ut ipsorũ liberi affinitate iungerentur: sed interea rubus à feris conculcatus perijt. hoc tibi pro exemplo sit satis, neq; efferaris ob feliciter cæsos barbaros, neq; populum tuum ac teipsum in pericula cõieceris. Ob hæc iratus Amesias, Ioæ bellũ infert. Sed exercitus eius metu consternatus, in fugã uertitur. ipse à suis destitutus, capitur ab hostibus, ad Ioã adducitur: quem ille uinctũ ducens, Hierosolyma uenit, partem muri diruit, eà curru inuehitur: sacros thesauros, & quicquid in regia repositũ erat, aufert. solutoq́; Amesia Samariam reuersus, XVI regni anno moritur, relicto successore filio Ieroboamo. Amesias autẽ post hæc per insidias occidit, anno ætatis LIIII, regni XXIX. Osias filius eius rex inungitur annos XVI natus. Ieroboamus autẽ Ioæ filius quamuis esset impius, & legis contemptor: tamen, Deo Israelitici populi submisse se gerentis miserto, uictoriã contra Syros est adeptus, à Iona propheta prædictã: quem Deus Niniuen misit, urbis excidiũ & populi interitum annunciaturũ. Ille uerò non abit, sed cõscensa naui fugit. Orta autem tempestate, uectorib. sortem iacientibus ad cognoscendum causam illius, sors in Ionam cecidit: qui rogatus quis esset, negocium suum exponit, seq; in mare abijci iubet, neque enim aliter periculum euasuros. Eo abiecto, tempestas sedata est: sed cetus prophetam deglutit, eumq́; post tres dies & totidem noctes, uiuentẽ & incolumem euomit. qui petita à Deo contumaciæ uenia, denuò mittitur cum eodem mandato. Profectus igitur Niniuen, post triduũ urbem euersum iri prædicat. Sed rex urbis & populus uniuersus fide prophetæ adhibita, acta pœnitentia, Deo supplicarunt, ut sui misereretur, quibus precib. lenitus Deus, excidiũ ab eis auertit. Ieroboamus autẽ cum annos XLI regnasset, moritur, ac post eum potitur imperio Azarias filius eius. Osias autem rex Hierosolymorũ, quia pius erga Deum & iustus erga subditos erat, multos barbarorũ uicit, ac tributarios reddidit. Sed rebus secũdis elatus, ab officio decessit. Nã ritu sacerdotis ornatus, in aureo altari suffire aggressus est. à qua audacia pontifici Azariæ & sacerdotib. deterrentibus, ac monentibus, ne legẽ uiolaret, mortem cõminatus est, nisi quiesceret. Interea quidam luminis instar in æde effulsit, & in regis faciẽ illapsum, effecit ut in ea lepra efflorcsceret. Eam calamitatem indicant sacerdotes, suadentes ut urbe exiret: in quo statu cum aliquandiu uixisset, præ mœrore obijt, anno regni LII, ætatis LXVIII, tradito imperio Ioathamo filio. Azarias autem Ieroboami filius sexto regni mense, uita impiè acta dolo occisus est, à Se-

Ieroboamus XII rex Israelitarum.

Osias XI rex Hierosolymitanus.

Ionas propheta.

Azarias XIII Israelitarũ rex.

Osias leprosus moritur.

Ioathamus XII rex Hierosolymorum.

Selumus XIIII. & Manaimus XV. reges Israelitarũ.

lumo, quem & ipsum Manaimus cũ XXX dieb. imperasset occidit, regno Israelitico occupato. et Phuam Assyriorũ regem bellum inferentem, datis mille talentis, quę à populo collegerat, placauit. & cũ annos X impie crudeliterq; imperasset, occisus est, regno in filiũ Phacesiam translato:

Phacesia XVI. & Phaceas XVII. reges Israelitarum.

qui patris ir gentũ & mores referens, à Phacea Romeliæ filio occiditur. qui cũ interfecto successisset, atq; imperiũ impie ac nefarie administraret: Theglapharasar Assyriorũ rex Israeliticam regionẽ aggressus, cùm multas urbes euertit, tum captiuos secum abduxit penè innumerabiles.

Theglapharasar Israelitas abducit.

Ioathamus autem Hierosolymorũ rex, uir pius & iustus, & urbis & templi curam gessit, & Ammanitas prælio uictor tributarios reddidit.

Nahumus.

Excidium Israelitarum ab Assyrijs, Nahumus propheta prædixerat, cuius uerba ad rem collata sunt, post annos C & XV. Ioathamus obijt anno ætatis XLI, regni XVI, imperio in filium eius Achazum translato.

Achazus XIII rex Hierosolymitanus.

qui impius in Deum, legibus eius uiolatis, simulacra adorauit, & altaria eis struxit, & filium suum adoleuit.

Raason. Phaceas.

Hunc Raason Syriæ dux, & Phaceas rex Israelitarum inita conspiratione diu Hierosolymis obsedẽrũt. Ac Raason quidem alijs urbib. potitus, ciuib. abductis, & Syris in eas collocatis, Damascum redijt. Achazus autem cum solo Phacea congressus, uincitur, CXX millib. amissis, atq; inter eos multis uiris illustrib. & filio. Phaceas exercitum reducit, & magnũ captiuorum numerũ. Sed propheta quidã Samaritanus ante mœnia progressus, eis persuadet, ut captiuos, q; cognati sint, missos faciant.

Theglaphalasar Achazo fert auxilium.

Assyriorum autẽ rex ab Achazo cõtra Syros & Israelitas in auxiliũ euocatus, & Syriam uastat, Raasone cæso, & in Israelitarũ regionem incursionibus factis, plurimos captiuos abducit. Quẽ Achazus remuneratus est datis thesauris regijs, & quicquid in tẽplo repositũ erat: eò progressus impietatis, ut nõ tantũ alienos deos coleret, sed et templum clauderet, & donarijs spoliaret. Obijt uita sic acta, anno ætatis XXXVI, regni XVI, relicto regno Ezechiæ filio.

Ezechias XIIII rex Hierosolymitanus. Oseas XVIII rex Israelitarum.

quo tempore Israelitarum quoq; rex insidijs Oseæ perijt, qui cũ & ipse improbus esset, à Salmanassare Assyriorum rege subactus, annua tributa pẽsitare coactus fuerat. Ezechias aũt uir pius & iustus, cõcione aduocata, sacerdotes & Leuitas templũ aperire iussit, et de more sacra facere, populũq; diuino cultu nihil habere antiquius.

Religionis instauratio

Misit etiam qui ex toto regno homines cõuocarent ad festũ Azymorũ celebrandũ, lõgo tẽpore ob regũ iniquitatẽ intermissum. Israelitas etiã cohortatus, ut patriũ Deum pro ueteri cõsuetudine uenerarẽtur. Qui adeò nõ obtẽperauere, ut et prophetas, à quib. monebantur, occiderent. Nõnulli tamen ad uerã religionem reuersi, Hierosolyma ad Deũ adorandum accurrerũt. Rex cum populi principibus

ἀσεβῶς βιούς. ἀνῃρέθη δὲ ὁ Σελλοὺμ ἐφ᾽ ἡμέρας βασιλεύσας τριάκοντα, παρὰ Μαναήμ. βασιλεύσαντος δὲ τὴν Ἰσραὴλ ἀντ᾽ αὐτοῦ, ἀραμένου δὲ πόλεμον πρὸς αὐτὸν Φουὰ τοῦ τῶν ἀσσυρίων βασιλέως, χίλια δοὺς αὐτῷ τάλαντα ἀργυρίου, ἃ ἐκ τοῦ λαοῦ ἠρανίσατο, τὸν πόλεμον διελύσατο. ἐπὶ ἔτη δὲ βασιλεύσας δέκα ὁ Μαναήμ, ἀσεβής τε καὶ ἀπηνὴς γεγονώς, ἀνῃρέθη, τὴν βασιλείαν διαβιβάσας εἰς τὸν υἱὸν Φακεσίαν. ἀσεβὴς δὲ καὶ οὗτος καὶ ὠμὸς γεγονώς, ἀνῃρέθη δολοφονηθεὶς παρὰ Φακεὲ τοῦ υἱοῦ Ῥομελίου. βασιλεύσαντος ἀντὶ τοῦ ἀνῃρεθέντος, ἀσεβῶς καὶ αὐτοῦ καὶ παρανόμως ἀνύσαντος τὴν ἀρχήν, ὁ Θεγλαφαρασὰρ ὁ τῶν ἀσσυρίων βασιλεὺς τῇ χώρᾳ τῶν Ἰσραηλιτῶν ἐπελθών, πόλεις τε πολλὰς κατέστρεψατο, καὶ αἰχμαλωσίαν ἀπήγαγεν εἰς τὴν ἑαυτοῦ χώραν, οὐκ εὐαρίθμητον. ὁ δὲ τοῦ Ὀζίου υἱὸς Ἰωάθαμ βασιλεὺς Ἱερουσαλὴμ εὐσεβὴς τυγχάνων καὶ δίκαιος, τῆς τε πόλεως καὶ τοῦ ναοῦ ἐπεμελεῖτο, καὶ τοὺς Ἀμμανίτας ὑποφόρους ἔθετο, μάχῃ νικήσας αὐτούς. Ναοὺμ δὲ τότε προφητεύων, περὶ τῆς τῶν ἀσσυρίων προεῖπε καταστροφῆς. καὶ ἡ πρόρρησις ἐκείνου ἔργον ἐγένετο, ἑκατὸν καὶ πεντεκαίδεκα παρελθόντων ἐνιαυτῶν. τῷ δ᾽ Ἰωάθαμ ἐπέλιπε τὸ βιώσιμον, ζήσαντι μὲν ἔτη πρὸς ἑνὶ τεσσαράκοντα, δέκα δ᾽ ἐπὶ ἓξ βασιλεύσαντι. μεταπίπτει δὲ ἡ Ἱερουσαλὴμ ἀρχὴ εἰς Ἄχαζ τὸν ἐκείνου υἱόν, ἀσεβήσαντα πρὸς τὸν θεόν, καὶ τοὺς αὐτοῦ νόμους παραβάντα· εἰδώλοις γὰρ προσεκύνει, καὶ βωμοὺς αὐτοῖς ἐν Ἱεροσολύμοις ἀνήγειρε, καὶ παῖδα οἰκεῖον αὐτοῖς ὡλοκαύτωσε. καθ᾽ οὗ ὁ Ῥαασὼν ὁ τῶν Σύρων ἡγεμονεύων, καὶ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς Φακεὲ συμπνεύσαντες, ἐπολιόρκουν αὐτὸν ἐν Ἱερουσαλὴμ ἐπὶ μακρόν. καὶ ὁ μὲν Ῥαασὼν πόλεων ἑτέρων κρατήσας, τοὺς αὐτῶν οἰκήτορας ἀνελών, καὶ Σύρους ἐγκατοικίσας αὐταῖς, ἐπανῆλθεν εἰς Δαμασκόν. Ἄχαζ δὲ μόνῳ προσβαλὼν (?) τῷ Φακεὲ συμμίξας αὐτῷ ἡττᾶται, δώδεκα μυριάδας ἀποβαλὼν τοῦ λαοῦ, καὶ πολλοὺς τῶν ἐπισήμων, καὶ τὸν υἱόν. Φακεὲ δὲ ἀνέζευξεν εἰς Σαμάρειαν αὐτός τε καὶ ἡ στρατιὰ αὐτοῦ, αἰχμαλώτων πλῆθος πολὺ εἰς τὴν ἑαυτοῦ μετοικίσαντες. προφήτης δέ τις ἐν Σαμαρείᾳ πρὸ τῶν τειχῶν ὑπαντήσας αὐτοῖς, ὡς συγγενεῖς αἰχμαλωτίσασι, καὶ συνεβούλευεν ἐλευθερῶσαι αὐτούς. οἱ δὲ πεισθέντες, ἀφῆκαν τοὺς αἰχμαλώτους. Ἄχαζ δὲ τὸν ἀσσυρίων βασιλέα ἠξίου συμμαχῆσαι αὐτῷ κατὰ τῶν Σύρων καὶ τῶν Ἰσραηλιτῶν. ὁ δ᾽ ἧκε, καὶ τήν τε χώραν τῶν Σύρων ἐπόρθησε, καὶ τὴν Δαμασκὸν εἷλε, καὶ τὸν Ῥαασὼν ἀνεῖλε, καὶ τὴν τῶν Ἰσραηλιτῶν χώραν καταδραμών, πλείστους αἰχμαλώτους ἀπήγαγεν. ὁ δ᾽ Ἄχαζ ἀμειβόμενος ὑπὲρ τούτων τὸν Θεγλαφαλασάρ, τούς τε βασιλικοὺς δίδωσι θησαυρούς, καὶ ὅσα τῷ ἱερῷ ἐναπέκειντο. εἰς τοσοῦτον δ᾽ ἠσέβησεν, ὡς μὴ μόνον τοὺς τῶν ἀλλοφύλων σέβειν θεούς, ἀλλὰ καὶ τὸν ναὸν ἀποκλεῖσαι, καὶ συλῆσαι τὰ αὐτοῦ ἀναθήματα. οὕτω δὲ βιοὺς ἐτελεύτησεν ἓξ καὶ τριάκοντα ζήσας ἔτη, βασιλεύσας δ᾽ ἑξκαίδεκα, Ἐζεκίαν τὸν υἱὸν τῇ βασιλείᾳ λιπών. συνέβη δὲ καὶ τὸν Ἰσραηλιτῶν βασιλέα τότε θανεῖν κατ᾽ ἐπιβουλήν, Ὠσηέ. καὶ οὗτος πονηρὸς ἦν. διὸ καὶ στρατεύσαντος κατ᾽ αὐτοῦ τοῦ τῶν ἀσσυρίων βασιλέως Σαλμανασάρ, ἐδουλώθη αὐτῷ φόρους τελεῖν ἐτησίους ἐπιταχθείς. Ἐζεκίας δὲ εὐσεβὴς ὢν καὶ δίκαιος, ἐκκλησιάσας τοὺς ἱερεῖς καὶ λευΐτας, ἀνοῖξαι τὸ ἱερὸν ἐνετείλατο, καὶ θύειν ὡς νόμος αὐτοῖς, καὶ τὸν λαὸν μηδὲν τῆς τοῦ θεοῦ λατρείας ἐκέλευε προτιμᾶν. ἔστειλε μέν τινας καὶ πρὸς πᾶσαν τὴν χώραν, μετακαλούμενος ἅπαντας τὴν τῶν ἀζύμων ἑορτὴν ἑορτάσοντας, ἐπὶ μακρὸν μὴ τελεσθεῖσαν διὰ τὰς τῶν κρατούντων παρανομίας. καὶ τοῖς Ἰσραηλίταις προὔτρεπε τὸ πατρῷον σέβειν θεόν, κατὰ τὴν πάλαι συνήθειαν. οἱ δὲ οὐκ ἐπείσθησαν, ἀλλὰ καὶ τοὺς προφήτας ταῦτα παραινοῦντας ἐφόνευσαν. τινὲς δὲ πεισθέντες μετεβλήθησαν εἰς εὐσέβειαν, καὶ εἰς Ἱερουσαλὴμ συνέδραμον εἰς προσκύνησιν τοῦ θεοῦ. καὶ ὁ βασιλεὺς Ἐζεκίας μετὰ τῶν ἡγεμόνων τοῦ λαοῦ

περὶ τοῦ προφήτου ναούμ.

ὅτι φακεὶ πολλοὺς αἰχμαλώτους εἰς σαμάρειαν ἤγαγε, ὕστερον δ᾽ ἀπέλυσεν ὡς ἐκέλευσε.

ὅτι σφόδρα ἠσέβησεν ἄχαζ.

ὅτι εὐσεβὴς ἐζεκίας.

ἐπιὼν

ἀπελθὼν εἰς τὸ ἱερόν, ἔθυσε διὰ τῶν ἱερέων θυσίας πολυτελεῖς, καὶ τῷ λαῷ μετέδωκε ζώων πρὸς εὐωχίαν πολλῶν· καὶ τοῖς ἱερεῦσιν ἐξελθεῖν εἰς τὴν χώραν, καὶ ἁγνίσαι αὐτὴν ἐνετείλατο. εἶτα κατὰ τῶν ἀλλοφύλων πόλεμον ἦρε, καὶ πόλεις εἷλεν αὐτῶν. ὁ δὲ τῶν ἰσραηλιτῶν βασιλεὺς ὠσηὲ εἰς συμμαχίαν προσεκαλέσατο σωβὰ τὸν βασιλέα αἰγύπτου κατὰ τῶν ἀσσυρίων. ὃ γνοὺς σαλμανασὰρ ὠργίσθη, καὶ ἐπὶ τρισὶν ἔτεσιν ἐπολιόρκησε τὴν σαμάρειαν, καὶ κατέσχε τὴν πόλιν, καὶ τὴν βασιλείαν ἠφάνισε, καὶ τὸν λαὸν αἰχμαλωτίσας μετῴκισεν εἰς τὴν οἰκείαν χώραν, καὶ αὐτὸν τὸν βασιλέα τῶν ἰσραηλιτῶν ὠσηέ. καὶ μετοικίσας ἐκ τῆς οἰκείας χώρας ἕτερα ἔθνη ἀπό τινος τόπου χοὺθ καλουμένου, μετῴκισεν εἰς σαμάρειαν καὶ εἰς τὴν χώραν αὐτῆς. μετῳκίσθησαν οὖν αἱ δέκα φυλαὶ τῶν ἰσραηλιτῶν, μετὰ ἐννακόσια τεσσαράκοντα ἑπτὰ ἔτη ἐξ ὅτε τὴν αἴγυπτον λιπόντες ἐξῆλθον· μετὰ τὰ διακόσια τεσσαράκοντα καὶ μῆνας ἑπτὰ ἐξ ὅτου καταλιπόντες τὸν ῥοβοὰμ, εἵλοντο ἑαυτοῖς εἰς βασιλέα τὸν ἱεροβοάμ. οἱ δὲ μετοικισθέντες εἰς τὴν σαμάρειαν, χουθαῖοι καλούμενοι, ἐκ τοῦ τόπου ἐν ᾧ κατῴκουν τὸ πρὶν ἐν περσίδι, πέντε ὄντες ἔθνη, τοὺς ἰδίους θεοὺς καὶ αὖθις ἐθεράπευον. ὡς μὲν οὖν ἡ τετάρτη τῶν βασιλειῶν λέγει, λέοντας ἐξήγειρεν ὁ θεός, καὶ διέφθειρε πολλοὺς ἐξ αὐτῶν. ὡς δὲ ἰώσηπος ἱστορεῖ, λοιμὸς αὐτοῖς ἐνέσκηψε. γνόντες δὲ κατ' ὀργὴν τοῦ θεοῦ ὑπομένειν αὐτοὺς τὰ κακά, τὸν σφέτερον βασιλέα ἐδέοντο ἱερέας στεῖλαι αὐτοῖς ἐκ τῶν ἰσραηλιτῶν, ἵν' αὐτοὺς τὴν τῶν ἑβραίων θρησκείαν μυήσωσιν. οὗ γενομένου, ἐπαύσατο ἡ φθορά. καλοῦνται δὲ παρὰ μὲν τῶν ἑβραίων χουθαῖοι, πρὸς δὲ τῶν ἑλλήνων σαμαρεῖται. ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει τῆς βασιλείας ἐζεκίου τοῦ τῶν ἱεροσολύμων βασιλέως, ὁ τῶν ἀσσυρίων βασιλεὺς σεναχηρεὶμ ἐπῆλθε τῇ ἰουδαίᾳ, καὶ πάσας εἷλε τὰς πόλεις τῶν δύο φυλῶν. δείσας δὲ ἐζεκίας περὶ τῆς ἱερουσαλήμ, διαπέμπεται πρὸς αὐτόν, ὑπισχνούμενος διδόναι φόρον, ὃν ἂν αὐτῷ ἐπιτάξοι. σεναχηρεὶμ δὲ τριακόσια μὲν ἀργύρου τάλαντα, χρυσοῦ δὲ τριάκοντα ᾔτησε, καὶ πίστεις γενομένας ὤμοσεν, ἦ μὴν ἀναχωρήσειν εἰ ταῦτα λάβοι. λαβὼν δὲ, αὐτὸς μὲν ἐπ' αἰγυπτίους ὥρμησε, καὶ αἰθίοπας. τὸν δ' ἀρχιστράτηγον αὐτοῦ ῥαψάκην σὺν δυσὶ στρατηγοῖς ἑτέροις καὶ δυνάμει βαρείᾳ κατέλιπε, τὴν ἱερουσαλὴμ ἐκπορθήσοντας. οἱ δὲ πρὸ τῶν τειχῶν βαλόμενοι χάρακα, εἰς ἐντυχίαν ἐζήτουν τῷ ἐζεκίᾳ. ἀλλ' ἐκεῖνος μὲν ἀποδειλιάσας ἐξελθεῖν, τρεῖς δὲ τῶν αὐτῷ τιμωμένων τῶν ὑπ' αὐτὸν ἔπεμψε. πρὸς ἐκείνους οὖν ἐπὶ τοῖς αἰγυπτίοις πεποιθέναι ἐζεκίας, ἔφασαν, μωραίνει ἴσως ἀνθρώπῳ κεκλασμένῃ ῥάβδῳ ἐπερειδομένῳ, καὶ αὐτῇ τεθλασμένῃ, ὃ οὐδὲν ὀνίνησι τὸν κατέχοντα, ἀλλ' αὐτός τε συμπίπτει, καὶ ὁ κάλαμος τὴν αὐτοῦ χεῖρα διατρυπᾷ. τοιοῦτος δὴ φαραὼ ὁ αἰγύπτιος. ταῦτα ἑβραϊστὶ ὁ ῥαψάκης τοῖς πεμφθεῖσιν ὡμίλει. οἱ δὲ τῇ τῶν σύρων διαλέκτῳ ὁμιλεῖν αὐτοῖς ἠξίουν αὐτόν, ἵνα μὴ τὸ πλῆθος τῶν λεγομένων συνιήσῃ. ὁ δὲ μᾶλλον τὴν φωνὴν ἐπάρας, ἑβραϊστὶ πάλιν ἔλεγεν εἰς ἐπήκοον πάντων· μὴ ἐξαπατάτω ὑμᾶς ἐζεκίας, λέγων, κύριος ῥύσεται ἡμᾶς. μὴ ἐρρύσατο σαμάρειαν; καὶ ἀπαγγελθέντων τούτων τῷ ἐζεκίᾳ, ὁ δὲ ἀκούσας, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ πεσὼν, ἐδεῖτο τοῦ θεοῦ βοηθεῖν ἐν ἀμηχανίαις αὐτῷ· καὶ πρὸς ἠσαΐαν τὸν προφήτην πέμψας, παρεκάλει αὐτὸν δεηθῆναι τοῦ θεοῦ, ἵν' ἵλεως εἴη τῷ λαῷ. ὁ δὲ ἀμαχητὶ τοὺς πολεμίους προέλεγεν ἡττηθήσεσθαι, καὶ τὸν σεναχηρεὶμ τεθνήξεσθαι, ἄπρακτον ἀπ' αἰγύπτου ἐπανελθόντα.

πολιορκία καὶ ἅλωσις σαμαρείας.

ἔθνη μετοικισθέντα ἐκ περσίδος εἰς σαμάρειαν.

ὅτι ἐγκατῳκίσθησαν ἐκεῖ χουθαῖοι.

σεναχηρεὶμ πολιορκεῖ τὴν ἱερουσαλήμ.

ῥήματα ῥαψάκου πρὸς ἰουδαίους.

templum ingressus, hostias magnificas per sacerdotes immolauit, & populo multas pecudes in uisceratione dedit, & sacerdotib. mandauit, ut regionem passim piacularibus sacrificijs lustrarẽt. Deinde Barbaros aggressus, urbes eorum cæpit. Oseas autem cum Sobã Aegypti regem contra Assyrios ad belli societatem euocasset, Salmanasar ea re comperta, iratus, Samariam per trienniũ obsedit, urbe potitus regnum deleuit, populum unà cum rege Osea in suam prouinciã captiuum abduxit, & alias suę ditionis gentes, quæ à loco quodam Chuto cognomen habent, Samariam & in regionem circumiacentem traduxit. Decẽ igitur Israeliticæ tribus, annis DCCCCXLVII, post exitum ex Aegypto: CCXL, mensibus septem, postquam relicto Roboamo, Ierobamum peculiarem sibi regem elegerant, translatæ sunt. Cæterùm Chutæorum quinque populi à Persiæ loco, in quo consederant, ita cognominati, Samaria occupata, suos pristinos deos, ut soliti fuerant, coluerunt. Deus autem, ut quartus liber Regum docet, leones excitauit, à quibus eorum multi perierunt, aut (ut Iosephus narrat) pestilentia conflictantes, cum ira numinis se premi intellexissent, regem suum orarunt, ut Israelitici generis sacerdotes sibi mitteret, à quibus Hebræorum religionem edocerentur. Quo facto, lues illa grassari desijt. Ab Hebræis Chutæi appellantur, à Græcis Samaritani. Anno Ezechiæ regis Hierosolymitani decimoquarto, Senacherib rex Assyriorum Iudæam inuasit: qui cum omnia oppida duarum tribuum cæpisset, Ezechias Hierosolymis metuens, legatos ad eum mittit, se tributum ei pensitaturum pollicens, quod iussisset. Senacherib autem argenti talenta CCC, auri XX postulauit: & sacramento interposito, ijs acceptis se discessurum pollicetur. Quibus appensis, ipse quidem contra Aegyptum & Aethiopes proficiscitur, Rabsacem autem Imperatorem cum alijs duobus ducibus & magno exercitu ad uastanda Hierosolyma relinquit. Qui aggeribus ante mœnia excitatis, ad colloquium euocant Ezechiam. Verùm is se committere illis non ausus, tres ex honoratis ministris suis ad illos misit. Tũ illi: Si Aegyptijs, inquiunt, Ezechias fretus est, delirat non minus, quàm qui confracto arundineo baculo innititur, à quo nec à lapsu defenditur, & manu uulneratur. Talis est Pharao Aegyptius. Hæc Rapsaces hebraicè cum legatis colloquebatur. qui cum rogarent, ut Assyrio sermone uteretur, ne populus ea quæ dicerentur intelligeret: ille magis etiam sublata uoce, ut ab omnib. exaudiri posset, rursus hebraicè dixit: Ne seducat uos Ezechias, dicens, Dominus nos liberabit. nũquid Samariã liberauit? His Ezechias renũciatis uestes suas lacerauit, & sacco indutus, & humi stratus, in rebus desperatis opem diuinam implorat, & ad prophetã Esaiã mittit, obtestans, ut Dei pacẽ exoret populo. Prædicit ille, hostes citra dimicationẽ superatũ iri: & Senacheribũ re infecta ex Aegypto reuersum, occubiturum.

Israelitæ Samaria capta in seruitutem a Salmanasare abducũtur.

Chutæi Samariã occupant.

Senacheribus Hierosolyma obsidet.

Rabsaces.

Esaias opẽ diuinã pollicetur Ezechiæ.

Senacheribi literæ.

Scripſit & Senacheribus ad Ezechiam, in hanc ſententiam: Ne extollat te Deus, quo fretus es, quo minus Hieroſolyma capturũ eſſe me exiſtimes: ſed illud potius cum animo tuo reputa, ubi ſint reges gentium, quos maiores mei confecerunt. Eam epiſtolã Ezechias lectam in templo repoſuit, & ſupplicauit Deo: Vide, inquit, Domine, & audi uerba Senacheribi, quę ad me ſcripſit in tuam contumeliam, uiuentis Dei, & eripe nos è manu eius. Eſaias confirmat regem, aſſerens, Deum exaudiſſe preces eius: eaq́ nocte cæſa ſunt ab angelo in caſtris Aſsyriorum C & LXXXV millia, quorum cadauera poſtridie inuenta ſunt. Exercitus reliquiæ Hieroſolymis diſceſſerunt. Coactus eſt & Senacheribus obſidionem Peluſij ſoluere, cũ mures una nocte arcus cæteraq́ Aſsyriorũ arma corroſiſſent. Hoc in libris Regum ſcriptum nõ reperitur, ſed Ioſephus ab Herodoto mutuatus refert: & Beroſum Chaldaicarum rerum ſcriptorem narrare ait, Senacheribum ab Aegyptiaco bello redeuntem, exercitum Rhapſacis Hieroſolymis repeiſſe: ac peſtilenti morbo diuinitus in Aſsyrios immiſſo, CLXXXV millia una nocte perijſſe, cũ ducibus & centurionibus. Qua clade perterriſum, & ijs qui ſupererant metuentem, cum reliquijs Niniuen profectum: & paulo poſt inſidijs maiorum filiorum ſublatũ eſſe, percuſſoribus fuga elapſis, & Nachordane filio eius regnũ adepto. Ezechias adempto metu gratias agit Deo.

Assyrij diuinitus cæsi.

Mures Pelusiaci.

Senacheribi interitus.

Ezechiæ uita prorogatur.

Verùm nõ multo poſt eum ægrotantẽ Dei iuſſu conuenit Eſaias, ac teſtamentũ facere iubet, neq́ enim uicturũ eſſe. At illi et expectatio mortis, & orbitas liberorũ, qui in regno ſuccederẽt, exaggerabant malũ. Itaq́ anxius flebiliter orat Deum, ut uita ſibi prorogetur. Cui, reuerſus Eſaias, poſt triduũ ſanitatem pollicetur, & additamentum XV annorũ uitæ. At ille miraculum quod ueri fidem excedebat reputans, ſignũ poſtulat in confirmationem pollicitationum. Quo prophetę precibus impetrato, umbra ſolarij iam decẽ uerſus occaſum progreſſa partes, totidem uerſus ortũ regreſſa eſt. Ezechia morbo iam liberato, rex Babyloniorũ Baladas legatos cum muneribus ad eum mittit, ſocietatẽ eius & amicitiam expetens. At ille, theſauros & arma, omnemq́ regiam magnificentiam legatis mõſtrat, eosq́ cum muneribus ad Babyloniũ remittit. Tum Eſaias Ezechiæ ait: Tempus erit, cum diuitiæ quas ſpectandas exhibuiſti, Babylonem transferentur, & filij tui regis Babylonij eunuchi erunt. Ezechias, qui uerbum Domini nõ irritũ eſſe poſſe ſciret: Pax, inquit, eſto mea ætate. & adiecto ſibi tempore pacatè exacto, moritur anno uitæ quinquageſimo quarto, regni nono & uigeſimo. Manaſſes autem filius eius, ſuſcepto regno, nullum flagitij & impietatis genus prætermiſit. Nam & templũ polluit, ac ne à prophetis quidẽ occidendis ſibi tẽperauit. Quamobrem iratus Deus, Babyloniorum exercitum cõtra Iudæam exciuit, qui & prouinciã uaſtauit, & Ma-

Babylonij regis societas fraudi futura Iudæis.

Manasses rex Hierosolymorũ.

Ἐπέσταλκε δὲ καὶ Σεναχηρεὶμ τῷ Ἐζεκίᾳ· μὴ ἐπαιρέτω σε ὁ θεός σου, ἐφ' ᾧ πέποιθας, μὴ παραδοθῆναι τὴν Ἱερουσαλὴμ εἰς χεῖράς μου. ἀναλόγισαι ποῦ εἰσιν οἱ βασιλεῖς τῶν ἐθνῶν, οὓς διέφθειραν οἱ πατέρες μου. ταύτην τὴν ἐπιστολὴν ἀναγνοὺς Ἐζεκίας, κατέθετο εἰς τὸ ἱερόν, καὶ ἱκέτευσε τὸν θεόν· ἴδε, λέγων, κύριε, καὶ ἄκουσον τοὺς λόγους Σεναχηρεὶμ, οὓς ἀπέσταλκεν ὀνειδίζων σε τὸν ζῶντα θεόν, καὶ σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ. Ἡσαΐας δὲ προεθάρρυνε τὸν βασιλέα, ἐπακοῦσαι φάσκων αὐτοῦ τὸν θεόν. καὶ τῇ νυκτὶ ἄγγελος ἐν τῇ παρεμβολῇ τῶν Ἀσσυρίων ἀνεῖλεν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας, καὶ μεθ' ἡμέραν νεκρὰ τὰ τούτων σώματα εὑρέθησαν, καὶ ἀπῆρε τὸ περιλειφθὲν τῆς στρατιᾶς ἐξ Ἱερουσαλήμ. Σεναχηρεὶμ δὲ πολιορκῶν τὸ Πηλούσιον, ἔλυσε τὴν πολιορκίαν, μυῶν ἐν νυκτὶ μιᾷ κατατραγόντων τὰ τόξα τῶν Ἀσσυρίων, καὶ τὰ λοιπὰ τῶν ὅπλων αὐτῶν. τοῦτο ἐν μὲν τῇ τῶν βασιλειῶν οὐκ ἀναγέγραπται βίβλῳ. Ἰώσηπος δὲ ἱστορεῖ, ἐν Ἡροδότῳ εὑρών. τὸν δὲ Βηρωσὸν τὸν Χαλδαϊκὰ συγγραψάμενον φάσκειν φησίν, ὡς ἐπανελθὼν ὁ Σεναχηρεὶμ ἀπὸ τοῦ τῶν Αἰγυπτίων πολέμου, κατέλαβε τὴν σὺν τῷ Ῥαψάκῃ στρατιὰν εἰς Ἱεροσόλυμα· καὶ τοῦ θεοῦ λοιμώδη νόσον ἐνσκήψαντος τοῖς Ἀσσυρίοις, ἐν μιᾷ νυκτὶ μυριάδας ὀκτωκαίδεκα φθαρῆναι καὶ πεντακισχιλίους σὺν ἡγεμόσι καὶ ταξιάρχαις. δείσας οὖν ἐκεῖνος καὶ περὶ τῇ λοιπῇ στρατιᾷ, ἀπαίρει ἐκεῖθεν μετὰ τῶν περιλειφθεισῶν δυνάμεων, καὶ ἄπεισιν εἰς Νῖνον, καὶ μετ' ὀλίγον ὑπ' ἐπιβουλῆς παρὰ τῶν πρεσβυτέρων παίδων αὐτοῦ ἀνῃρέθη· τῶν μὲν ἀνῃρηκότων αὐτὸν φυγόντων, Ναχορδὰν δὲ τοῦ υἱοῦ αὐτοῦ τὴν ἀρχὴν διαδεξαμένου. Ἐζεκίας δὲ τοῦ φόβου ἀπαλλαγεὶς, τῷ θεῷ ηὐχαρίστει. καὶ μετ' ὀλίγον νοσοῦντι αὐτῷ προσελθὼν Ἡσαΐας κατ' ἐντολὴν τοῦ θεοῦ, ἐκέλευσε, τάξαι περὶ οἴκου σου· οὐ γὰρ ζήσεσθαι. τὸν δὲ ἡ τοῦ θνήσκειν ἐλπὶς, καὶ ὅτι παῖδας μὴ ἔχων ἔρημον ἔμελλε τὴν βασιλείαν καταλιπεῖν γνησίας διαδοχῆς, ἐποίει μείζω τὴν συμφορὰν, καὶ ἀθυμῶν ἐπὶ τούτοις ἔκλαιε, ζωὴν ἐπιδαψιλευθῆναι αὐτῷ ἐξαιτούμενος τὸν θεόν. ἐλθὼν δὲ αὖθις Ἡσαΐας, ὑγιάσαι αὐτὸν μετὰ τρίτην ἡμέραν εὐαγγελίζεται, καὶ προσθήκην ζωῆς ἐτῶν πεντεκαίδεκα. ὁ δὲ τοῦ θαύματος τὸ ὑπερφυὲς λογιζόμενος, σημεῖον ᾔτει τὸν προφήτην δεῖξαι αὐτῷ εἰς πίστωσιν τῶν ἐπηγγελμένων. τοῦ δὲ προφήτου τὸν θεὸν ἱκετεύσαντος σημεῖον γέγονεν, ἄλλ' ἐπὶ δυσμὰς δέκα βαθμοὺς ἐκκλίναντος ἡλίου, καὶ σκιὰν ποιήσαντος, ἐπιστρέψαι εἰς τὰ ὀπίσω δέκα ἀναβαθμούς. ἐντεῦθεν Ἐζεκίας τῆς νόσου ἀπηλλάγη. ὁ δὲ τῶν Βαβυλωνίων βασιλεὺς Βαλαδὰν πρὸς Ἐζεκίαν πρεσβείαν ποιησάμενος, καὶ δῶρα στείλας, σύμμαχον αὐτὸν καὶ φίλον ἔχειν ἠξίου. ὁ δὲ τοῖς πρέσβεσι τοὺς θησαυροὺς ὑπέδειξε, καὶ τὰ ὅπλα, καὶ πᾶσαν τὴν βασιλικὴν πολυτέλειαν, καὶ ἀντιπέμψας δῶρα τῷ Βαβυλωνίῳ, ἀπέλυσεν αὐτούς. Ἡσαΐας δὲ ἔφη τῷ Ἐζεκίᾳ· ἐλεύσονται ἡμέραι, καὶ ὁ πλοῦτος ὃν ἐθεάσαντο, εἰς Βαβυλῶνα μετατεθήσεται, καὶ οἱ υἱοί σου ἔσονται εἰς εὐνούχους τῷ βασιλεῖ Βαβυλῶνος. Ἐζεκίας δὲ, ἐπεὶ μὴ διαπεσεῖν τὸν λόγον τοῦ θεοῦ δυνατὸν, ἔστω φησὶ εἰρήνη ἐν ταῖς ἡμέραις μου. ἐπιβιοὺς δὲ τὸν προστεθέντα αὐτῷ χρόνον εἰρηνικῶς, θνήσκει, πεντηκοστὸν καὶ τέταρτον ἔτος ἀνύσας ἐν τῇ ζωῇ, ἐννέα δὲ βασιλεύσας καὶ εἴκοσι. διαδεξάμενος δὲ τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ Μανασσῆς, πᾶν εἶδος κακίας καὶ ἀσεβείας πρότερον ἐπεδείξατο, μιάνας τε τὸν ναὸν, καὶ μηδὲ τῶν προφητῶν φεισάμενος· ὀργισθεὶς δὲ διὰ ταῦτα ὁ θεὸς, τὴν τῶν Βαβυλωνίων στρατιὰν κατὰ τῆς Ἰουδαίας ἐκίνησεν, ἣ τήν τε χώραν ἐληΐζετο,

ὅτι διὰ νυκτὸς ἄγγελος ἀνῄρει ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσσυρίων.

περὶ τῶν μυῶν τῶν φαγόντων τὰ τόξα τῶν Ἀσσυρίων, καὶ τὰ λοιπὰ ὅπλα.

περὶ τῶν ἐν μιᾷ νυκτὶ διὰ λοιμώδους νόσου ἀπολομένων Ἀσσυρίων μυριάδων πολλῶν. ἀναίρεσις Σεναχηρείμ.

νόσος Ἐζεκίου, καὶ προφητεία Ἡσαΐου, καὶ προσθήκη χρόνου τῆς ζωῆς. καὶ περὶ τοῦ ἀναποδισμοῦ τοῦ ἡλίου ἐν ἡμέρᾳ.

ὅτι Ἡσαΐας προεῖπε τοὺς θησαυροὺς αὐτοῦ, καὶ τὰ ὅπλα τοῖς πρέσβεσι τοῦ βασιλέως Βαβυλωνίων. καὶ ὅτι ἀπαχθήσονται ταῦτα.

θάνατος Ἐζεκίου.

ἀναίρεσις Μανασσῆ, καὶ Βαβυλωνίων ἐπέλευσις.

καὶ

καὶ τὸν Μανασσῆν ἐχειρώσατο. ὁ δὲ συνεὶς ἑαυτὸν τῆς συμφορᾶς αἴτιον, ἐπέκλινεν εἰς μετάνοιαν, καὶ ἱκέτευε τὸν θεὸν λῦσαί οἱ τὰ δυσχερῆ. καὶ ὁ θεὸς ἐπακούσας αὐτοῦ, λύει τε τῆς αἰχμαλωσίας αὐτὸν, καὶ εἰς τὴν βασιλείαν ἀποκαθίστησιν. ἐπανελθὼν δὲ ἐκεῖνος, δυσσέβειαν αὐτός τε μετέθετο, καὶ τὸν λαὸν μεταγνῶναι ἀνέπεισεν. οὕτω δὲ ζήσας, ζηλωτὸς ἐγένετο διὰ τὴν εὐσέβειαν, καὶ ἐτελεύτησε, βασιλεύσας ἐνιαυτοὺς πεντήκοντα πρὸς πέντε, βιώσας δὲ τοὺς πάντας ἑξήκοντα καὶ ἑπτά. ἡ βασιλεία δὲ πρὸς Ἀμὼς μετῆλθε, τὸν παῖδα αὐτοῦ, μεμιμημένον τὰ τῆς νεότητος τοῦ οἰκείου πατρός. ἀπέθανε δὲ ἐπιβουλευθείς, ζήσας ἐνιαυτοὺς ἐπὶ τέσσαρσιν εἴκοσι, δύο δὲ βασιλεύσας. τοὺς δὲ αὐτὸν ἀνελόντας ἐτιμωρήσατο τὸ πλῆθος, καὶ βασιλέα τὸν υἱὸν ἐκείνου ἀνέδειξεν Ἰωσίαν, ὄγδοον τῆς ἡλικίας ἀνύοντα χρόνον, ὃς εὐσεβὴς ἐγένετο, καὶ τὸν λαὸν ἀνέπεισεν εὐσεβεῖν. ἐπισκευάσαι δὲ βουληθεὶς τὸν ναὸν, ἠξίου τοὺς ὑπὸ χεῖρα διδόναι εἰς τὴν ἐπισκευὴν, ὅσον ἕκαστος βούλοιτο. καὶ οὕτω συναχθέντων χρημάτων, ὁ ναὸς ἀνεκαινίσθη, καὶ ἐκ τῶν περιττευσάντων εἰς κρατῆρας καὶ σπονδεῖα καὶ φιάλας ἐχρήσατο, τοῦ ἀρχιερέως Χελκίου τούτοις ὑπηρετοῦντος. ὃς ἐντυγχάνει ταῖς ἱεραῖς τοῦ Μωσέως βίβλοις ἐν τῷ ἐξάγειν τοῦ ἱεροῦ ταμείου τὸ ἀργύριον, ἐκεῖ κειμέναις εἰκῇ, καὶ στέλλει ταύτας διὰ τοῦ γραμματέως τῷ βασιλεῖ. ἀναγνωσθεισῶν δὲ αὐτῷ, τὴν ἐσθῆτα διέρρηξε, καὶ πρὸς τὴν προφῆτιν Ὀλδὰν γυναῖκα Σελλοὺμ, ἔπεμψε τὸν ἀρχιερέα Χελκίαν καὶ ἄλλους, ἱλεώσασθαι τὸν θεὸν ἀξιῶν αὐτήν. ἡ δὲ, τὸ μὲν θεῖον ἤδη ψῆφον ἐπενεγκεῖν κατὰ τῆς χώρας, καὶ τοῦ λαοῦ ἀσεβήσαντος, διὰ δὲ τὸν βασιλέα δίκαιον ὄντα, οὐκ ἐπάξειν νῦν τὰ κακά, ἀλλ᾽ αὐτοῦ ἀπελθόντος, γενήσεσθαι τὰ ἐψηφισμένα. ὁ δὲ ταῦτα ἀκούσας, συνήγαγε τὸν λαὸν εἰς Ἱεροσόλυμα, καὶ εἰς ἐπήκοον πάντων τὰς ἱερὰς βίβλους ἀναγνωσθῆναι πεποίηκεν. εἶτα ὅρκους ἐκ πάντων ἀπῄτησε, φυλάττειν τοὺς νόμους, καὶ σέβεσθαι τὸν θεόν. καὶ θύων ὁ λαὸς, ἐξιλεοῦτο τὸν θεόν. ἐνέπρησε δὲ καὶ τὰ ἀναθήματα τῶν εἰδώλων, καὶ τοὺς ἱερεῖς αὐτῶν ἐθανάτωσε, καὶ τὰ τῶν ψευδοπροφητῶν ὀστᾶ κατέκαυσεν ἐπὶ τοῦ βωμοῦ, ὃν ἀνέστησεν Ἱεροβοάμ, κατὰ τὴν τοῦ προφήτου πρόρρησιν, ὃς θυσιάζοντι προεῖπεν ἐκείνῳ, καὶ προεῖπε ταῦτα ποιήσειν ἀπόγονον τοῦ Δαβὶδ Ἰωσίαν μετὰ τριακόσια ἔτη καὶ ἑξήκοντα πρὸς ἑνί. καὶ πρὸς τοὺς Ἰσραηλίτας δὲ περιελθὼν Ἰωσίας, ὅσοι τὴν αἰχμαλωσίαν διέφυγον, τὸν πάτριον παρῄνει θρησκεύειν θεὸν, καὶ κατὰ νόμους βιοῦν. καὶ ἐξ ἁπάσης τῆς χώρας ἀφανίσας τὰ εἴδωλα, εἰς Ἱερουσαλὴμ τὸ πλῆθος συνήγαγε, καὶ τὴν τῶν ἀζύμων ἑορτὴν, ἣν πάσχα καλοῦσιν, ἑώρτασε. βίον δὲ εἰρηνικὸν διαγαγὼν, τοξευθεὶς ἐπὶ τέλει, τὸν βίον κατέστρεψεν. ὁ γὰρ τῶν Αἰγυπτίων βασιλεὺς Νεχαὼ, Μήδοις πολεμήσων ἀπιὼν, εἴργετο δ᾽ αὐτὸν Ἰωσίας διὰ τῆς χώρας αὐτοῦ παρελθεῖν. ὁ δὲ μὴ ἐπ᾽ αὐτὸν στρατεύειν ἔλεγεν αὐτῷ. Ἰωσίας δὲ οὐ μεθίστατο. ἤδη δὲ τῆς στρατιᾶς μαχεσομένης, καὶ Ἰωσίαν διατάσσοντα τὸν οἰκεῖον λαὸν τοξεύσαντες Αἰγύπτιοι, τὸν πόλεμον ἔλυσαν. ὁ δὲ βασιλεὺς ἀναζεύξας εἰς Ἱεροσόλυμα, τελευτᾷ, βασιλεύσας ἔτη τριάκοντα πρὸς ἑνί, ζήσας δὲ πρὸ τῆς βασιλείας ὀκτώ. ἐπὶ τούτου Ἱερεμίας ἦν ὁ προφήτης, ὃς καὶ τὰ συμβήσεσθαι μέλλοντα τῇ Ἱερουσαλὴμ δεινὰ προηγόρευσε, καὶ τὴν ὑπὸ Ἀσσυρίων αὐτῆς ἅλωσιν. οὐ μόνος δὲ οὗτος περὶ τούτων προέγραψεν, ἀλλὰ καὶ Ἰεζεκιὴλ πρῶτος περὶ τούτων δύο βιβλία κατέλιπεν. ἦσαν δὲ ἄμφω τῆς ἱερατικῆς φυλῆς. τελευτήσαντος δὲ Ἰωσίου, Ἰωάχαζ ὁ παῖς αὐτοῦ ἦρξεν, εἴκοσι πρὸς τρισὶν ἐνιαυτῶν ὤν, ἀσεβὴς

& Manassem cępit. Qui se calamitatis esse causam intelligens, ad pœnitentiã deflexus, Deũ orat, ut ærumnas depellat. ita uoti compos factus, & uinculis solutꝰ: & in regnũ restitutus, cùm ipse religionem colit, tum populo autor est ut idem faciat. et exemplum pietatis factus, obit anno regni quinquagesimoquinto, ætatis sexagesimoseptimo, regno ad filiũ eius Amosum deuoluto. qui adolescentiæ paternæ imitator, anno ętatis uigesimoquarto, regni secũdo per insidias occiditur. de cuius percussorib. supplicio sumpto, populus filium eius Iosiam annos octo natum regem appellat. Is pius fuit, & populum ad Dei cultum cohortatus, susceptaqꝫ templi refectione, monuit eos qui aderãt, ut suo quisqꝫ arbitratu ad opus aliquid conferret. Eo pacto pecunia coacta, & templum instauratum est: & quæ superfuerat, in crateres, calices, & phialas collata, Helcia pontifice administratore. qui dum pecuniam ex ærario depromit, sacros libros Mosis temerè illuc coniectos, inuenit, ac per scribam regi mittit. Qui lectis illis, uestes suas lacerat, & Chelciam sacerdotem cum alijs ad Oldam fatidicam mulierem Selumi uxorem mittit, petens, ut Deum placet. Illa respondet, "Numen iam suffragium tulisse contra "regionem, & populũ uiolatæ religionis reum, "tamen ob regis iustitiam clades non esse nunc "immissurum: sed amoto illo, tum demum sen"tentiam latam executurũ. Rex his auditis, populum Hierosolyma conuocat, et sacros libros audientibus omnibus recitandos curat. Deinde iureiurando obstringit omnes, ut leges seruent, & numen colant. Quare populus sacrificijs placat Deum. Post hæc simulacrorum donaria incendit, eorũ sacerdotes occidit, & pseudoprophetarũ ossa in ea ara cremat, quam Hieroboamus extruxerat: quemadmodum propheta ille ei immolanti prædixerat, fore Iosiam quendam è posteritate Dauidica, qui illa facturus esset. id'que factum post annos trecentos sexagintaunum. idem etiam Israelitas, qui captiuitatem effugerant, monuit, ut patrium Deum colerent, & leges obseruarẽt: & sublatis ex omni prouincia simulacris, populoqꝫ Hierosolyma cõgregato, Azymorũ festum, quod Pascha uocant, celebrauit. ac uita tranquilla acta, tandem sagitta ictus obijt. Nam rex Aegyptiorum Nechaus, bellum Medis illaturus, cum transitu per Iudæam à Iosia prohiberetur, quamuis sine maleficio transiturum promitteret, pugnam instruit: & Iosia, dum aciem ordinaret, sagitta icto, bellum soluit. rex Hierosolyma reuersus decedit, anno regni XXXI, quod annos octo natus susceperat. Sub hoc fuit propheta Hieremias, qui cladẽ Hierosolymis imminentẽ uaticinatus, fore prædixit, ut ab Assyrijs caperentꝰ. Neqꝫ hic solũ, sed & Ezechiel primus his de reb. duos libros reliqꝫ, uterqꝫ ex tribu sacerdotali. Iosia defuncto, Ioachasus filius eius annos XXIII natus, regnare incipit, homo impius,

Manassis pœnitentia.

Amosus XVI rex Hierosolymorum.

Iosias XVII rex Hierosolymorum.

Sacri libri reperti.

Olda uates.

Iosias superstitionibus infestus.

Iosiæ interitus.

Nechaus Aegyptius.

Hieremias propheta.

Ezechiel propheta.

Ioachasus XVIII rex Hierosolymorũ.

Eliacimus seu Ioachimus XIX rex Hierosolymorū.

impius, quem Aegypti rex à bello reuersus, in uincula coniecit, ac regnum seniori fratri Eliacimo dedit, mutato eius nomine in Ioacbimū: imperatoq; regioni C argenti, & unius auri talentum tributo, Ioachaium in Aegyptum abduxit, ubi & mortuus est. Tempus regni eius fuere III menses & X dies. Ioachimus autem

Nabuchodonosor grassatur in Aegypto et Iudea.

uir impius & facinorosus, cum quartū iam annum imperaret, Nabuchodonosor Babyloniū imperium suscipit, Nechaum Aegyptium uictum magna parte prouinciæ mulctat: anno Ioachimi octauo cum magnis copijs Iudæam ingressus, ita hominem perterrefacit, ut suam regionem Babylonio tributariam redderet, ac tributa per triennium soluit: pòst cum audisset Aegyptios rebellantes Babylonium inuasuros, ea inhibuit: quamuis Hieremias propheta prædixisset, fore ut Babylonius & urbem caperet, & Ioachimum tolleret: neq; prędixisset solum, sed etiam scripsisset, scripturamque populo audiente recitasset, quam duces regi obtulerunt: ille uerò iratus exussit, prophetam & Baruchum scribam eius ad supplicium quærens. Sed illi fuga iram eius declinarunt. Neq; multo pòst bellum infert Babylonius, & à Ioachimo ociose in urbem admissus, & ciuium optimum quenque, & ipsum regem occidit, & tria millia formosissimorum captiua abducit, inter quos & propheta Ezechiel fuit, puer adhuc.

Ioachimus II rex Hierosolymorum XX.

Filium autem regis interfecti, qui & ipse Ioachimus uocabatur, Iudæorum regem appellat. Hic finis Ioachimi fuit, cum uixisset annos trigintasex, imperasset undecim. At Babylonius, ueritus ne filius paternæ cædis memor, desciseeret, missis copijs eum obsedit. qui cum urbē sua causa periclitari nollet, se cum necessarijs eo pacto illi dedit, ut nec urbem nec ipsos uiolaret: quo non stetit hostis. Sed omnem pubem ciuitatis, & artifices ad se perduci iussit, quorū numerus inuentus est ad X mille, DCCC & XXXII. Ioachimum cum matre & amicis in custodia habuit:

Sedechias XXI rex Hierosolymorum.

regno Hierosolymitano Sedechiæ Ioachimi patruo tradito, quem iureiurando adegerat, ne studeret Aegyptijs, sed prouinciam ipsi conseruaret. Is uerò principatum adeptus, adolescens natus annos I & XX, fastu elatus, æquitatis & officij nulla ratione habita, Hieremiæ ab impietate & iniurijs dehortanti neq; paruit, neq; credidit eas sibi & populo clades imminere, quas & Ezechiel Babylone prædicens, literis mandatas Hierosolyma miserat.

Hieremiæ & Ezechielis oracula in speciem pugnantia.

Neutri autem fidem adhibuit, fortassis ob dissensionem. nam in cæteris quidem congruebant, de Sedechia autem uidebātur discrepare, cum Ezechiel eum Babylonem non uisurum prædixisset, Hieremias captiuum abductum iri Babylonem uaticinaretur. Sed & illa inter se consentiebant. Nam cæcatus in Iudæa, & captiuus abductus, Babylonem non uidit. Hic Sedechias Babylonijs per octo annos seruatas tum

ἀσεβὴς γεγονώς· ὃν ἐκ τοῦ πολέμου ἀναζευγνὺς ὁ τῶν αἰγυπτίων βασιλεύς, ἔδησε, καὶ τὴν μὲν βασιλείαν τῷ πρεσβυτέρῳ ἀδελφῷ ἐλιακεὶμ δέδωκεν, ἰωακεὶμ μετονομάσας αὐτόν, καὶ εἰσφορὰν τῇ χώρᾳ ἐπιτάξας ἑκατὸν ἀργυρείου τάλαντα, ἓν δὲ χρυσοῦ. τὸν δὲ ἰωάχαζ ἀπήγαγεν εἰς τὴν αἴγυπτον, ὅπου καὶ ἐτελεύτησεν. ὁ δὲ χρόνος τῆς βασιλείας αὐτοῦ, τρεῖς ὑπῆρχε μῆνες ἐπὶ δέκα ἡμέραις. ἰωακεὶμ δὲ ἀσεβεῖ τε ὄντι καὶ κακούργῳ, ἔτος ἤδη τῆς βασιλείας ἦν τὸ τέταρτον, καὶ τὴν βαβυλωνίων ἀρχὴν ναβουχοδονόσορ περιεζώσατο.

περὶ ναβουχοδονόσορ.

οὗτος τὸν αἰγύπτιον νεχαὼ νικήσας, πολὺ μέρος τῆς χώρας αὐτοῦ περιεσπάσατο. ἐν ὀγδόῳ δὲ ἔτει τῆς βασιλείας ἰωακεὶμ ἐπιστρατεύει τῇ ἰουδαίᾳ μετὰ βαρείας δυνάμεως. ἰωακεὶμ δὲ δείσας, ὑπόφορον ἔθετο τῷ βαβυλωνίῳ τὴν χώραν τὴν ἑαυτοῦ, καὶ τρισὶ μὲν ἔτεσι προσῆγε τοὺς φόρους. ἔπειτα τοὺς αἰγυπτίους ἀκούσας κατὰ τοῦ βαβυλωνίου χωρεῖν, ἐπέσχε τὴν τῶν φόρων καταβολήν, καίτοι τοῦ προφήτου ἱερεμίου προλέγοντος τὴν ὑπὸ τοῦ βαβυλωνίου τῆς πόλεως ἅλωσιν, καὶ τὴν τοῦ βασιλέως ἰωακεὶμ ἀναίρεσιν, καὶ οὐ μόνον εἰπόντος, ἀλλὰ καὶ γράψαντος, καὶ εἰς ἐπήκοον τοῦ πλήθους ἀναγνόντος τὴν συγγραφήν. ἣν λαβόντες οἱ ἡγεμόνες, τῷ βασιλεῖ προσήνεγκαν. ὁ δὲ ἐπὶ τοῖς γεγραμμένοις χολωθείς, πυρὶ τὸ σύγγραμμα κατηνάλωσε, τὸν δὲ προφήτην καὶ βαροὺχ τὸν γραμματέα αὐτοῦ κολάσαι ἐζήτει. ἀλλ' οἱ μὲν φυγόντες ἐξέκλιναν τὴν ὀργὴν αὐτοῦ.

περὶ ὧν προεῖπεν ἱερεμίας.

μετ' οὐ πολὺ δὲ κατ' αὐτοῦ στρατεύει ὁ βαβυλώνιος. ἰωακεὶμ δὲ ἀπραγμόνως αὐτὸν εἰς τὴν πόλιν εἰσδέχεται. ὁ δὲ τούς τε κρατίστους τῶν πολιτῶν, καὶ αὐτὸν τὸν βασιλέα ἐφόνευσε, τρισχιλίους δὲ τοὺς καλλίστους αἰχμαλώτους ἀπήγαγεν, ἐν οἷς ἦν καὶ ὁ προφήτης ἰεζεκιήλ, παῖς ὤν. τὸν δὲ υἱὸν τοῦ ἀναιρεθέντος βασιλέως ἰωακεὶμ ὀνομαζόμενον καὶ αὐτόν, ἀνέδειξε βασιλέα τῆς ἰουδαίας.

ὅτι ὁ βαβυλώνιος αἰχμαλώτους ἀπήγαγε, καὶ τὸν προφήτην ἰεζεκιήλ.

τοῦτο μὲν τέλος ἔσχεν ἰωακείμ, ζήσας ἓξ καὶ τριάκοντα, βασιλεύσας δὲ ἕνδεκα. ὁ δὲ βαβυλώνιος ὑποπτεύσας μνησικακῆσαι τὸν υἱὸν ἐκείνου, διὰ τὸν φόνον τὸν τοῦ πατρός, καὶ ἀποστατῆσαι, πέμψας ἐπολιόρκει αὐτόν. ὁ δὲ μὴ θέλων τὴν πόλιν δι' αὐτὸν κινδυνεῦσαι, παραδέδωκεν ἑαυτὸν καὶ τοὺς προσήκοντας αὐτῷ τοῖς πολεμίοις, ἐπὶ συνθήκαις μήτε κακῶσαι τὴν πόλιν μήτε αὐτούς. ἃς παρέβη ὁ βαβυλώνιος, κελεύσας τὴν ἐν τῇ πόλει πᾶσαν νεότητα καὶ τοὺς τεχνίτας ἀπαγαγεῖν πρὸς αὐτόν, οἳ πρὸς ὀκτακοσίοις βαίνοντα δύο εἰς δέκα χιλιάδας ἠριθμήθησαν. τὸν ἰωακεὶμ δὲ καὶ τὴν μητέρα αὐτοῦ καὶ τοὺς φίλους καθείρξας ἐφύλαττε, μῆνας τρεῖς βασιλεύσαντα καὶ ἡμέρας δέκα.

ὅτι ἰωακεὶμ παραδέδωκεν ἑαυτὸν ὑπὲρ τῆς πόλεως.

τὴν δὲ τῆς ἱερουσαλὴμ βασιλείαν τῷ τοῦ ἰωακεὶμ πατραδέλφῳ τῷ σεδεκίᾳ παραδέδωκεν, ὀμόσαντι μὴ συνεῖναι τοῖς αἰγυπτίοις, ἀλλ' αὐτῷ φυλάξειν τὴν χώραν. ὁ δὲ νέος ὤν (εἴκοσι γὰρ καὶ ἑνὸς ἦν ἔτους ὅτε παρέλαβε τὴν ἀρχήν) καὶ ὑπερόπτης τοῦ δικαίου τε καὶ τοῦ δέοντος, παραινοῦντι τῷ ἱερεμίᾳ τὰς ἀσεβείας καὶ τὰς παρανομίας λιπεῖν, οὐκ ἐπείθετο, οὐδ' ἐπίστευε λέγοντι τὰς μελλούσας ἔσεσθαι συμφορὰς αὐτῷ τε καὶ τῷ λαῷ, ἃς καὶ ἰεζεκιὴλ ἐν βαβυλῶνι προὔλεγε, καὶ γράψας ἐπέσταλκεν εἰς ἱεροσόλυμα.

ὅπως ἐν ἱερουσαλὴμ ὁ σεδεκίας ἐβασίλευσεν.

ἠπίστησε δὲ ἀμφοῖν τοῖς προφήταις ὁ σεδεκίας, ὡς τάχα διαφωνοῦσι. περὶ μὲν γὰρ τῶν ἄλλων συνεφώνουν, περὶ δὲ αὐτοῦ σεδεκίου ἐδόκουν ἐναντιοῦσθαι. ἰεζεκιὴλ μὲν γὰρ μὴ ὄψεσθαι τὴν βαβυλῶνα αὐτὸν προεφήτευε. ἱερεμίας δέ, δέσμιον αὐτὸν ἀπαχθήσεσθαι πρὸς βαβυλῶνα προὔλεγε. συνῳδὰ δὲ τοῖς προφήταις καὶ τὰ περὶ τούτου περαίνεται. τυφλωθεὶς γὰρ ἐν ἰουδαίᾳ, καὶ δέσμιος ἀπαχθείς, τὴν βαβυλῶνα οὐκ ἐθεάσατο. οὗτος ὁ σεδεκίας ἐπὶ ἔτη ὀκτὼ τηρήσας τὴν

περὶ τῶν δοκούντων διαφωνεῖν προφητῶν, ἰεζεκιὴλ καὶ ἱερεμίου, ὅτι ὁ σεδεκίας τυφλωθεὶς οὐκ εἶδε τὴν βαβυλῶνα.

θεὶς τὴν πίστιν τὴν πρὸς τὸν Βαβυλώνιον, πρὸς τοὺς Αἰγυπτίους ἀπέκλινε. διὸ στρατεύσας ὁ Ναβουχοδονόσορ ἐπολιόρκει τὴν Ἱερουσαλήμ. τῶν δ' Αἰγυπτίων εἰς συμμαχίαν ἡκόντων τοῖς Ἰουδαίοις, πρὸς ὑπαντήσας σφίσιν ὁ Βαβυλώνιος, καὶ τρεψάμενος αὐτοὺς ἐδίωκεν. οἱ δὲ ψευδοπροφῆται, μηκέτι τοὺς πολεμίους πολιορκήσειν αὐτοὺς ἔλεγον· Ἱερεμίας δὲ, καὶ ὑποστρέψαι αὐτοὺς, καὶ τὴν πόλιν αἱρήσειν καὶ κατασκάψειν, καὶ τὸν ναὸν ἐμπρήσειν, καὶ τὸν λαὸν τὸν τέως περισωζόμενον ἀπάξειν προηγόρευε δουλεύσοντα, ἐπ' ἔτη ἑβδομήκοντα, μέχρις οὗ Πέρσαι καὶ Μῆδοι τὴν Βαβυλωνίων ἀρχὴν καταλύσουσι. τότε δὲ λυθήσεσθαι τῆς αἰχμαλωσίας αὐτοὺς, καὶ τὸν ναὸν αὖθις καὶ τὴν πόλιν ἀνοικοδομήσαι. ταῦτ' ἔλεγεν Ἱερεμίας. ὁ δὲ βασιλεὺς καὶ οἱ περὶ αὐτὸν τοὺς λόγους αὐτοῦ ἐμυκτήριζον. ἀπιόντι δὲ τῷ προφήτῃ πρὸς Ἀναθὼθ τὴν πατρίδα, συναντήσας τις τῶν ἀρχόντων, καὶ κατασχὼν, ὡς αὐτόμολον ἤγαγε πρὸς τοὺς ἄρχοντας· οἱ δ' αἰκισάμενοι αὐτὸν ἐτήρουν εἰς κόλασιν. κατὰ δὲ τὸ ἔνατον ἔτος τῆς βασιλείας Σεδεκίου, ἐπῆλθε τὸ δεύτερον κατὰ τῆς Ἱερουσαλὴμ ὁ Βαβυλώνιος. καὶ ἐφ' ἕνα πρὸς τῷ ἡμίσει ἐνιαυτὸν, λεγαταῖς τὴν πόλιν πολιορκεῖ. τῇ δὲ πολιορκίᾳ καὶ λιμὸς συνῆψε, καὶ ἐπὶ τούτοις λοιμός. Ἱερεμίας δὲ καὶ καθειργμένος διεξῄει τὸν Βαβυλώνιον προσκαλεῖν τὸ πλῆθος· σωθήσεσθαι γὰρ οὕτω. εἰ δ' οὖ, μένοντας ἀπολεῖσθαι ἢ λιμῷ ἢ μαχαίρᾳ. ὁ δέ τις προσχωρήσει τοῖς πολεμίοις, τὸν θάνατον ἔλεγε διαφεύξεσθαι. οὐ μήν γε πιστὸς ὁ προφήτης λελόγιστο. οἱ δ' ἡγεμόνες, καὶ προσηρέθιζον κατ' ἐκείνου τὸν βασιλέα. ὁ δὲ διὰ τὸν καιρὸν αὐτοὺς θεραπεύων, ἐνδίδωσιν αὐτοῖς χρήσασθαι τῷ προφήτῃ ὡς βούλονται. οἱ δ' ἐξῶσαι αὐτὸν εἰς λάκκον βορβόρου ἐνέβαλον. Σεδεκίας δὲ τοῦτο μαθὼν, ἀνελκυσθῆναι αὐτὸν ἐκεῖθεν ἐκέλευσε. καὶ λάθρα καλέσας, ἤρετο τί φησι πρὸς τὰ ἐπιόντα δεινά; ὁ δὲ παραδοῦναι τὴν πόλιν συνεβούλευε τῷ Βαβυλωνίῳ. Σεδεκίας δὲ δεδιέναι ἔλεγε μὴ ἀναιρεθῇ. ὁ δὲ προφήτης, ἀλγεινὸς αὐτὸν οὕτω ποιοῦντα παρεσκευάσεσθαι δυσχερὲς, ἰσχυρίζετο. τὸν μὲν οὖν ὁ βασιλεὺς ἀπέλυσεν. ὁ δέ γε Βαβυλώνιος ἐπολιόρκει τὴν πόλιν μετὰ σφοδρότητος ἐπιμελῶς, καὶ εἷλε ταύτην ἐπὶ τῷ ἑνδεκάτῳ ἐνιαυτῷ τῆς ἀρχῆς Σεδεκίου. Σεδεκίας δὲ μετὰ τῶν γυναικῶν, καὶ τῶν τέκνων, καὶ τῶν προσηκόντων, καὶ τῶν φίλων ἔφυγεν ἐκ τῆς πόλεως. οἱ δὲ πολέμιοι κατεδίωξαν αὐτὸν, καὶ κατέλαβον μονωθέντα. οἱ γὰρ ἡγεμόνες, καὶ οἱ φίλοι αὐτοῦ διεσπάρησαν, ζωγρήσαντες οὖν αὐτὸν, καὶ τὰ τέκνα, καὶ τὰς γυναῖκας, ἤγαγον εἰς τὸν Βαβυλώνιον. ὁ δὲ ὠνείδισεν αὐτὸν εἰς ἀχαριστίαν καὶ ἀπιστίαν. ἀπέκτεινέ τε τοὺς παῖδας αὐτοῦ καὶ τοὺς φίλους ἐκτανθῆναι ἐν ὀφθαλμοῖς αὐτοῦ. εἶτα καὶ τὰ ὄμματα ἐξορύξας αὐτοῦ, δέσμιον εἰς Βαβυλῶνα ἀπήγαγε. καὶ τότε συνῆκε, καὶ ἄμφω τοὺς προφήτας ἀληθῶς προειπεῖν. οὗτος τέλος ἐγένετο τῶν ἐκ τοῦ σπέρματος τοῦ Δαβὶδ βεβασιλευκότων. εἴκοσι δὲ καὶ εἷς ἐτύγχανον ἅπαντες, ἐκ τῶν διελθόντων ἐξότου τῆς βασιλείας ἐπέβη Σαοὺλ, πεντακοσίων δέκα καὶ τεσσάρων, μηνῶν ἕξ, ἡμερῶν δέκα ἕξ. πεμφθεὶς δὲ Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος τοῦ Βαβυλωνίου, τόν τε ναὸν καὶ τὰ βασίλεια ἐνέπρησε, καὶ τὴν πόλιν κατέσκαψε, καὶ τὰ τοῦ ναοῦ πάντα ἐσύλησεν. ἐνεπρήσθη δὲ ὁ ναὸς μετὰ τετρακόσια ἔτη καὶ ἑβδομήκοντα, μῆνας τε ἓξ καὶ ἡμέρας δέκα, ἀφ' οὗ ᾠκοδομήθη καιροῦ. ἐκ δὲ τῆς ἐξ Αἰγύπτου τῶν Ἑβραίων μεταναστάσεως, μετὰ ἑξήκοντα δύο ἔτη καὶ χίλια, καὶ μῆνας ἕξ, καὶ ἡμέρας δέκα. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ, μετὰ χιλίους ἐννακοσίους πεντηκονταεπτὰ ἐνιαυτοὺς, καὶ μῆνας ἕξ,

[Greek marginal notes: [illegible] Ἱερεμίαν [illegible] ναόν. — [illegible] Βαβυλωνίων [illegible] Ἱερουσαλήμ, καὶ [illegible] — [illegible] — [illegible] Ἱερουσαλὴμ παρὰ τῶν Βαβυλωνίων. — [illegible] — [illegible]]

ta fide, ad Aegyptios inclinauit. Qua de causa Nabuchodonosor Hierosolyma obsedit, profligatis prius Aegyptijs, qui Iudaeis suppetias ueniebant. quos dum persequeretur, negabant pseudoprophetae hostes urbem porrò obsessuros. Hieremias contrà, & redituros, & capturos urbem, & euersuros affirmabat, & templum incensuros, & populi reliquias in captiuitatem abducturos, ubi seruiturus esset annos LXX, donec Persae & Medi Babyloniorum imperium destruxissent: ac tum demum captiuos dimissum iri, & templum atque urbem instauraturos. Hieremiam haec asseuerantem, rex & aulici proceres subsannabant. qui cum aliquando in patriam Anathotam iret, in uia à principe quodam pro transfuga comprehensus, ad magistratus adducitur: a quibus excruciatus, ad supplicium asseruabatur. Anno regni Sedechiae nono, secundum aggreditur Hierosolyma Babylonius. cumque urbem menses XVIII obsidione pressisset, ad hostilem metum fames & pestis accessit. Tum Hieremias in carcere multitudinem adhortatur, ut Babylonium recipiant. Sic fore incolumes: alioqui uel fame uel gladio perituros. qui autem ad hostes transisset, mortem uitaturum. Caeterum prophetae fidem habebat nemo, duces etiam regem contra eum instigabant. qui tempori seruiens, eum illis tradit, ut suo arbitratu tractent. quem illi in laeum coenosum coniecerunt. Vnde Sedechias extractum, & clam accersitum interrogat, quid de urgentibus malis sentiret. Propheta, urbem Babylonio dedendam censet, regem per metum exitij causantem confirmat, si obtemperasset, nihil ei graue euenturum. itaque dimittitur. At Babylonius magna ui urbem adortus, undecimo regni Sedechiae anno capit. Sedechias ex urbe fugiens, ab hostibus cum liberis & uxoribus capitur: à suis ducibus & amicis, alijs alio dilapsis, destitutus: Babylonius ad se perducto, ingratum animum & perfidiam exprobrat, liberos atque amicos in eius conspectu iugulari iubet, ipsum effossis oculis uinctum Babylonem abducit. Tum demum sensit, utrunque prophetam fuisse ueracem. Hic postremus fuit familiae Dauidicae regum, qui numero uigintiunus fuerant uniuersi: elapsis, ex quo Saul regnum inierat, annis quingentis & quatuordecim, mensibus sex, diebus sexdecim. Nabuzardan Nabuchodonosoris magister equitum, iussu regis & templum & regiam incendit, & urbem euertit, omni ornatu templi spoliato. Crematum est templum anno quadringentesimoseptuagesimo, mense sexto, die decimo pòst quàm conditum fuerat: post Israelitarum migrationem ex Aegypto annis millesexagintaduobus, mensibus sex, diebus X. à diluuio, annis MDCCCC, mensibus sex,

Hieremias comprehensus, et excarnificatus, deditionem suadet.

Hierosolymorum excidium.

Nabuzardan.

Chronologia Iudaici imperij.

sex, diebus decem, à primo homine condito in eum usq; diem annis ııı. MDXııı, mensib. VI, et diebus X. Nabuzardã Hierosolymis euersis, & populum & pontificem Sabçum, & sacra uasa Babylonem transfert. ea Nabuchodonosor suis dijs dedicat, captiuis in sua regiõe sedes attribuit. Qui in obsidione urbis ad Babylonios transfugerant pauperes, Nabuzardan in Iudça relinquit, pręposito eis Godolia uiro nobili, iusto & moderato: & agros colere iubet, ac Nabuchodonosori tributa pendere, Hieremiam prophetã hortatus, ut Babylonem iret. cum ille in ruinis Hierosolymorũ degere mallet, ibi relinquit, Godoliæ diligentissimè commendatum: concesso etiam Barucho scriba, in lingua patria præclarè erudito. Quotquot igitur propter obsidionem transfugerãt, cum ad Godoliã se contulissent, ab eo moniti sunt, ut agros colerent, et quas quiq; uellent urbes incolerẽt, ruinasq; instaurarent: quem ob probitatem eius mirificè dilexerunt. Cum autem inter cæteros Ismael quidã ex regio genere, qui tempore obsidionis ad Ammanitas confugerat, accessisset: quidam hominis occidendi potestatẽ à Godolia petierunt, quòd eius uitæ ab illo insidiæ struerentur. Verum Godolias fidem illis non habuit: atque etiam præstare dixit, semetipsum perire, quàm occidere hominem, qui ipsius fidei se cõmisisset. Aliquanto pòst, ille Ismael cum alijs à Godolia hospitio exceptus, tum ipsum, tum cæteros cõuiuas occidit. Deinde Babylonios in urbe relictos noctu aggressus, unà cum omnibus Iudæis qui ibi erant perimit. Postridie uiros LXXX Godoliæ dona oblaturos, paucis exceptis, qui in agris occultatam supellectilẽ, uestes & frumentũ se ei ostensuros pollicebantur, trucidat: ijsq; rebus & multis captiuis acceptis, seditum ad Ammanitas parat. His duces quidam Iudæorum cognitis, cohortati suos, & Ismaelem persequuti, captiuos recipiũt, illo cum octo uiris elapso. Qui cladi illi superfuerant, Babylonios metuentes, de petenda Aegypto deliberabant. Cum autem Hieremias eis manendi autor esset (numen enim prouisurum, ne quid mali paterentur: sin abissent, deserturũ eos) fidem prophetæ non habuerunt: sed spretis eius monitis, in Aegyptum & ipsum & Baruchũ secum abduxerunt. Quò propheta cum peruenisset, quid futurũ esset diuinitùs edoctus, popularibus prædicit, Babyloniũm Aegyptios inuasurum, Aegyptiq; potiturũ, atq; alios occisurũ, alios in captiuitatem abducturũ: eaq; de causa à popularib. suis, lapidibus obrutus occidit, sed quæ prædixerat facta sunt. Nam quinto pòst uastationem Hierosolymorum anno Nabuchodonosor Cœlesyria occupata, Moabitis et Ammanitis subactis, Aegyptoque in potestatem redacta, & rege obtruncato, alium prouinciæ præponit: Iudæos qui illic erant, Babylonem traducit. Ferunt Alexandrum regem

Godolias reliquijs Iudæorum præfectus, per insidias occiditur.

Ismael Godoliæ percussor.

Iudæorum reliquiæ in Aegyptum profugiũt.

Hieremias lapidatus, & ossa eius Alexãdriã translata.

ἕξ, καὶ ἡμέρας δέκα. ἐκ δὲ τῆς ἀρχεγονίας τοῦ πρώτου ἀνθρώπου μέχρις τότε, τρισχίλια πεντακόσια δέκα καὶ τρία ἔτη παρῆλθον, μῆνες ἕξ, καὶ ἡμέραι δέκα. ναβουζαρδὰν δὲ κατασκάψας τὴν ἱερουσαλήμ, τόν τε λαὸν καὶ τὸν ἀρχιερέα Σαβαῖον καὶ τὰ σκεύη τὰ ἱερὰ εἰς Βαβυλῶνα ἐκόμισε. ναβουχοδονόσορ δὲ τὰ σκεύη τοῦ θεοῦ τοῖς ἑαυτοῦ θεοῖς ἀνατέθεικε, τοὺς δ' αἰχμαλώτους εἰς τὴν οἰκείαν χώραν κατῴκισε. τοὺς δ' αὐτομολήσαντας ἐν τῇ πολιορκίᾳ πρὸς τοὺς Βαβυλωνίους, ἐν ἰουδαίᾳ κατέλιπεν ὁ ναβουζαρδάν, ἐπὶ τοὺς πένητας, ἡγεμόνα τούτοις ἐπιστήσας γοδολίαν, ἄνδρα τῶν εὖ γεγονότων, ἐπιεικῆ τε καὶ δίκαιον, καὶ τὴν χώραν ἐργάζεσθαι αὐτοῖς ἐνετείλατο, καὶ δασμοφορεῖν τῷ ναβουχοδονόσορ ἐπέταξε, τῷ δὲ προφήτῃ ἱερεμίᾳ εἰς Βαβυλῶνα ἀπελθεῖν προὐτρέπετο. ὁ δ' ἐν τοῖς ἐρειπίοις τῆς πατρίδος ἤθελε διατρίβειν, καὶ ἀφῆκεν αὐτὸν ἐκεῖ, τῷ γοδολίᾳ παρατάξας, ποιεῖσθαι αὐτοῦ πᾶσαν πρόνοιαν. ἀπέλυσε δ' αὐτῷ καὶ τὸν φοιτητὴν Βαρούχ, τῇ πατρῴῳ γλώττῃ διαφερόντως πεπαιδευμένον. ὅσοι δ' ἐκ τῆς ἱερουσαλὴμ διὰ τὴν πολιορκίαν ἀπέδρασαν, ἧκον πρὸς γοδολίαν. ὁ δὲ γεωργεῖν τὴν χώραν αὐτοῖς συνεβούλευε, καὶ κατοικεῖν ἣν ἕκαστος βούλεται πόλιν, καὶ ἀνοικοδομεῖν τὰ ἐρείπια. γνόντες δὲ τὸν γοδολίαν ἄνδρα χρηστόν, ὑπερηγάπησαν αὐτόν. ἐπανῆλθε δὲ σὺν τοῖς ἄλλοις καί τις καλούμενος ἰσμαήλ, ἐκ τοῦ βασιλείου γένους ὑπάρχων, ὃς πρὸς τοὺς ἀμμανίτας ἀπέδρα κατὰ τὸν τῆς πολιορκίας καιρόν. τοῦτον προσελθόντα τῷ γοδολίᾳ, τινὲς ἐπιβουλεύειν αὐτῷ ἔλεγον· ἂν δ' ἐπιτρέψῃ αὐτοῖς κτεῖναι τὸν ἄνδρα, διαφεύξεται τὴν ἐπιβουλήν. ὁ δ' ἠπίστει. ἢ καὶ βέλτιον, ἔλεγεν, ἡγεῖσθαι αὐτὸς ἀποθανεῖν, ἢ ἄνθρωπον κτεῖναι πιστεύσαντα αὐτῷ ἑαυτόν. μετὰ καιρὸν δὲ σὺν ἑτέροις ὁ ἰσμαὴλ οὗτος πρὸς γοδολίαν ἐλθών, καὶ ξενισθείς, ἀπέκτεινε τόν τε γοδολίαν καὶ τοὺς συμποσιάζοντας. εἶτα νυκτὸς ἐπιθέμενος τοῖς καταλειφθεῖσιν ἐν τῇ πόλει Βαβυλωνίοις, αὐτούς τε ἀνεῖλε, καὶ πάντας τοὺς ἐκεῖ ἰουδαίους. τῇ ἐπαύριον δὲ ὀγδοήκοντα ἀνδρῶν ἐκ τῆς χώρας σὺν δώροις πρὸς γοδολίαν ἐλθόντων, καὶ τούτους ἀνεῖλεν ὁ ἰσμαήλ, ἄνευ ὀλίγων τινῶν, οἳ κεκρυμμένα ἐν τοῖς ἀγροῖς ἔπιπλά τε καὶ ἐσθῆτας καὶ σῖτον ὑπέσχοντο δεῖξαι αὐτῷ. λαβὼν δὲ καὶ αἰχμαλωσίαν πολλήν, ἀπῄει πρὸς ἀμμανίτας. ταῦτα δὲ μαθόντες ἡγεμόνες τῶν ἰουδαίων τινές, καὶ τοὺς σὺν αὐτοῖς παραθήξαντες, κατεδίωξαν αὐτόν· καὶ τὴν μὲν αἰχμαλωσίαν ἐπανεσώσαντο, ἰσμαὴλ δὲ σὺν ἀνδράσιν ὀκτὼ διαπέφευγεν. οἱ δὲ περισωθέντες τοὺς Βαβυλωνίους δεδοικότες, ἀπιέναι πρὸς αἴγυπτον ἐβουλεύοντο. καὶ τοῦ ἱερεμίου μένειν αὐτοῖς συμβουλεύοντος (μένουσι γὰρ τὸ θεῖον αὐτοῖς προμηθεύσεσθαι, μή τι πάσχειν κακόν· ἀπιοῦσι δέ, μὴ συνέσεσθαι αὐτοῖς) οὐκ ἐπίστευον. ἀλλ' ἀπειθήσαντες, ἀπῄεσαν εἰς αἴγυπτον, ἄγοντες καὶ τὸν ἱερεμίαν καὶ τὸν Βαρούχ. ἀπελθόντι δ' ἐκεῖ τῷ προφήτῃ δηλοῖ τὸ θεῖον τὰ μέλλοντα. ὁ δὲ προὔλεγε τοῖς ὁμοφύλοις, ὡς ἐπὶ τοὺς αἰγυπτίους στρατεύσει ὁ Βαβυλώνιος, καὶ τῆς αἰγύπτου κρατήσει, καὶ ὡς τοὺς μὲν αὐτῶν κτενεῖ, τοὺς δὲ δορυαλώτους ἀπάξει. δι' ἃ καὶ καταλευσθεὶς ὑπὸ τῶν συμφυλετῶν, τέθνηκεν. ἃ δὲ προείρηκε γέγονε· πέμπτον γὰρ ἔτος μετὰ τὴν τῶν ἱεροσολύμων πόρθησιν. καὶ ναβουχοδονόσορ κατὰ τῆς κοίλης συρίας ἐξώρμησε, καὶ κατασχὼν αὐτήν, ἀμμανίτας ἐπῆλθε, καὶ μωαβίτας. κἀκεῖθεν ἐπ' αἴγυπτον ἐξεστράτευσε, καὶ ὑποτάξας αὐτήν, κτείνει τὸν βασιλεύοντα, ἕτερον δ' ἐγκαθίστησι. τοὺς δ' ἐκεῖ ἰουδαίους εἰς Βαβυλῶνα μετῴκισεν. ἱερεμίου δ' ἐν αἰγύπτῳ

ὅτι ὁ ἰσμαὴλ τὸν γοδολίαν ἀνῄρηκεν.

φυγὴ πρὸς αἴγυπτον τῶν ἰουδαίων, ἀγόντων καὶ τὸν ἱερεμίαν, καὶ τὸν Βαρούχ.

ὅτι λίθοις τέθνηκεν ἱερεμίας.

Αἰγύπτῳ ταφέντος, λέγεται ὁ βασιλεὺς Ἀλέξανδρος, κυριεύσας τῆς Αἰγύπτου μετὰ τῶν ἄλλων, ἐξυμνούντων τὸν προφήτην τῶν Αἰγυπτίων, μετενεγκεῖν τὰ ὀστᾶ ἐκείνου εἰς τὴν παρ' αὐτοῦ κτισθεῖσαν πόλιν τὴν Ἀλεξάνδρειαν. ὁ μὲν οὖν προφήτης προεῖπεν, ὡς εἴρηταί μοι, τὰ συμβησόμενα. τὸ δὲ τῶν Ἑβραίων γένος τοιοῦτον εὕρατο τέλος, πέραν Εὐφράτου μετῳκίσθη. αἱ μὲν γὰρ δέκα φυλαί, Ὠσηὲ βασιλεύοντος εἰς Σαμάρειαν παρὰ τῶν Ἀσσυρίων ᾐχμαλωτίσθησαν. αἱ δὲ δύο φυλαί, μετὰ ταῦτα παρὰ Ναβουχοδονόσορ ἐλήφθησαν δοριάλωτοι, καὶ ὅσοι μετὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν ὑπελείφθησαν. καὶ ὁ μὲν Σαλμανασάρ, τὸ τῶν Χουθαίων ἔθνος ἐκ Περσίδος μετῴκισεν εἰς Σαμάρειαν. ὁ δὲ Ναβουχοδονόσορ ἔρημον ἀφῆκε τὴν Ἰουδαίαν, καὶ ἔμεινεν ἔτεσιν ἑβδομήκοντα. ὁ μεταξὺ δὲ τῆς τῶν δέκα φυλῶν αἰχμαλωσίας ἐκ Σαμαρείας, καὶ τῆς τῶν δύο ἐξ Ἱερουσαλὴμ χρόνος ἑκατὸν τριάκοντα ἔτη, καὶ μῆνες ἕξ, πρὸς ἡμέραις δέκα ἐγένοντο. τοὺς δὲ εὐγενεστέρους τῶν αἰχμαλώτων παῖδας, καὶ τῷ βασιλεῖ Σεδεκίᾳ προσήκοντας, καὶ τῶν ἄλλων ἀκμαστοτέρους καὶ ὡραιοτέρους ἐκτομίας ποιήσας ὁ Βαβυλώνιος, καὶ παιδαγωγοῖς παραδούς, τά τε τῶν Χαλδαίων ἐδίδασκε γράμματα καὶ τὰ ἐπιχώρια, ἐκ τῆς ἰδίας τραπέζης ἀποτάξας σφίσι τὴν δίαιταν. τέσσαρες δὲ τῶν παίδων ἦσαν ἐκ τοῦ βασιλικοῦ γεγονότες γένους, καλοὶ τὰς ὄψεις, καὶ ἀγαθοὶ τὰς φύσεις· ὧν τὸν μὲν Δανιὴλ καλούμενον, Βαλτάσαρ ὁ Βαβυλώνιος μετωνόμασε. τὸν δὲ Ἀνανίαν ὀνομαζόμενον, Σεδράχ. Μισαὴλ δὲ τὸν ἕτερον κεκλημένον, Μισάκ. τὸν λοιπὸν Ἀζαρίαν, Ἀβδεναγώ. οὓς καὶ τῶν ἄλλων ἦγεν ἐντιμοτέρους, δι' εὐφυΐαν ἐπὶ σοφίᾳ προκόπτοντας. οὗτοι τοίνυν οἱ νεανίαι τὸν προεστῶτα αὐτῶν εὐνοῦχον ᾐτήσαντο, μὴ τοῖς ἐκ τῆς βασιλικῆς τραπέζης χορηγουμένοις αὐτοῖς διαιτᾶν σφᾶς, ἀλλ' ὀσπρίοις καὶ φοίνιξι καὶ τοιούτοις ἄλλοις. ὁ δέ, δεδιέναι ἔλεγε μὴ τούτοις τρεφόμενοι, λεπτυνθῶσι τὰ σώματα, καὶ παρὰ τοῦ βασιλέως δίκην αὐτὸς κακωθῇ. οἱ δὲ ἐφ' ἡμέρας δέκα οὕτω διαιτῆσαι αὐτοὺς παρεκάλουν, καὶ εἰ μὲν μὴ μεταβάλλοιτο ἡ τῶν σωμάτων ἕξις αὐτοῖς, οὕτω διαιτᾶν αὐτοὺς καὶ ἐς τὸ ἑξῆς. εἰ δ' ἴδοι τὰ σώματα αὐτῶν ἰσχναινόμενα, τῆς προτέρας ἔχεσθαι διαιτήσεως. πείθεται τοίνυν ὁ τῶν παίδων προεστηκώς, καὶ οὕτω ποιήσας, ὡς οὐδὲν αὐτοὺς ἐκ τῆς τοιαύτης τροφῆς παθόντας εἶδε, μᾶλλον μὲν οὖν καὶ τῶν ἄλλων θαλερωτέρους γεγονότας, ἀψύχους αὐτοῖς παρεῖχε τροφάς. οἱ δὲ λεπτυνθέντος αὐτοῖς τοῦ νοός, πᾶσαν κατώρθωσαν παιδείαν Χαλδαϊκὴν καὶ Ἀσσύριον. ὁ δέ γε Δανιὴλ καὶ περὶ κρίσεις ὀνείρων κατέτεινε τὴν σπουδήν. εἶτα ἐνύπνιον ὁ Ναβουχοδονόσορ ἐξαίσιον θεασάμενος, καὶ τὴν κρίσιν τούτου κατὰ τὸν ὕπνον ἐκμαθών, τοῦ τε ὀνείρου καὶ τῆς κρίσεως αὐτοῦ ἐπιλαθόμενος, ἕωθεν οὖν μεταπεμψάμενος τοὺς Χαλδαίους καὶ τοὺς μάντεις καὶ μάγους, ἀπῄτει τούτους τὸ ὄναρ τε εἰπεῖν αὐτῷ, καὶ τὴν τούτου δήλωσιν. οἱ δὲ αὐτὸν ἠξίουν πρότερον εἰπεῖν τὸ ἐνύπνιον, καὶ οὕτως αἰτεῖν παρ' ἐκείνων τὸ σημαινόμενον. ὀργισθεὶς ἐπὶ τούτοις ὁ βασιλεύς, καὶ θάνατον ἁπάντων κατεψηφίσατο, μὴ δύνασθαι λεγόντων εὑρηκέναι τὸν ὄνειρον. τούτοις, ὡς σοφοί, καὶ Δανιὴλ καὶ οἱ τρεῖς παῖδες καὶ συνεκλήθησαν καὶ συγκατεκρίθησαν. πρόσεισι τοίνυν ὁ Δανιὴλ τῷ τῶν βασιλικῶν σωματοφυλάκων ἐξάρχοντι, καὶ ἀξιοῖ ἐπὶ μίαν νύκτα τὴν ἀναίρεσιν τῶν κατακρίτων ὑπερθέσθαι. ἴσως γάρ, ἔφη, δι' εὐχῆς δεηθησόμεθα τοῦ θεοῦ, καὶ γνωσόμεθα τὸ ἐνύπνιον. ἐνέδωκε γοῦν ὁ βασιλεὺς πρὸς τὴν αἴτησιν, καὶ συμπαραλαβὼν ὁ Δανιὴλ καὶ τοὺς τρεῖς αὐτοῦ συγγενεῖς παῖδας, ἱκέτευεν δι' ὅλης τῆς νυκτὸς τὸν θεόν. δηλοῦται τὰ ἐν αὐτῷ θεόθεν

αἱ δέκα φυλαὶ ᾐχμαλωτίσθησαν ἐκ Σαμαρείας.

αἱ δύο ὑπὸ Ναβουχοδονόσορ ᾐχμαλωτίσθησαν.

περὶ τῶν ἐκτομισθέντων αἰχμαλώτων παρὰ τοῦ Βαβυλωνίου.

περὶ Δανιὴλ καὶ τῶν τριῶν παίδων.

ὅτι ὀσπρίοις ἐτρέφοντο οἱ παῖδες, καὶ ὁ Δανιήλ.

ὅτι τὴν Χαλδαϊκὴν παιδείαν ἐξέμαθον οἱ παῖδες, καὶ ὁ Δανιήλ.

περὶ τοῦ ἐνυπνίου Ναβουχοδονόσορ.

ὅπως ἱκέτευον οἱ παῖδες τὸν θεὸν ἀποκαλυφθῆναι αὐτοῖς τὸ ἐνύπνιον.

Aegypto subacta, cum Hieremias ab Aegyptijs diuinis laudibus celebraretur, ossa eius in urbem à se cōditam Alexandriam transtulisse. Propheta igitur, ut iam exposui, sicres futuras prædixit. gens autem Hebræorum talem sortita est exitum, ultra Euphratem abducta. Nam decem tribus Osea Samariæ regnante ab Assyrijs, pòst duæ tribus cum ijs qui captiuitati Hierosolymorum superfuerant, à Nabuchodonosore captæ fuerunt. At Salmanassar Chutæorum gentem Persicam Samariā transtulit: Nabuchodonosor uerò Iudęam uastam iacere passus est, itaq; mansit per annos septuaginta. Inter captiuitatem tribuum Samariæ decem, & Hierosolymorum duarum, intercesserunt anni centum triginta, menses septem, & dies decem. Captiuorum puerorum nobilissimum quenq;, & regi Sedechiæ cognatum, & è cæteris robustissimos & formosissimos, Babylonius castratos pædagogis tradidit, literis & institutis Chaldęorū erudiendos, uictu de sua mensa illis constituto. Fuerunt autē IIII pueri regij generis, & forma & ingenijs præstantes, quorum Danieli Balthasaris, Ananiæ Sedrachi, Misaeli Misaci, Azarię Abdenagi nomē fecit Babylonius, & præ cæteris honorem habuit, ob indolem disciplinarum capacem. Hi igitur adolescentes eunuchum cui parebant, rogarunt, ne sibi regiæ mensæ fercula præberentur, sed legumina, dactyli, & alia id genus. Ille cum se uereri diceret, ne illo cibo extenuatis eorum corporibus, ipse à rege malè tractetur: tamen pueris petentibus, ut decem diebus ita pascerentur, quòd si corpora sua non mutarentur, ita pergeret: sin extenuari uideret, pristinum uictum præberet: obtemperat. cumq; non modò nihil eis decedere, sed uegetiores etiam cæteris reddi uideret, cibos inanimes eis præbet. Ita subtilioribus redditis ingenijs, in omni doctrina Chaldaica & Assyriaca egregiè profecerunt. Daniel etiam somnijs conijciendis animum intendit. Cum autem Nabuchodonosor mirabile somnium uidisset, cum eiusdem enarratione: utriusque oblitus, mane Chaldæos uates & magos accersit, somnium & eius explicationem ab eis flagitat. Verum illis petentibus, ut somnium prius enarraret, ac tum demum diiudicationē postularet: Rex iratus, quòd somniū se reperire posse negassent, omnes capitis condemnat. Inter hos & Daniel & tres pueri, ut homines eruditi, & uocati & unà condemnati fuerant. Daniel igitur regiorum satellitum præfectum orat, ut cædem damnatorum unam noctem differret. Fortassis enim, inquit, precati Deum, somniū cognoscemus. Mora impetrata, tribus cognatis adhibitis, pernox precatus Deum, & somnium & eius significationem cognoscit: mane regem accedit, somniū & eius significationem

à Deo

Iudæa per annos LXX uasta.

Daniel. Ananias. Misael. Azarias.

Nabuchodonosoris somnium de statua.

à Deo sibi reuelatam esse indicat, miserto eorum, qui propterea insontes in capitis periculo essent: nec minus ipsius regis, qui tot occisurus esset sine culpa, à quibus ea postulasset, quæ sciri ab eis non potuissent, ac soli naturæ diuinæ cognita essent. Ea uerò quæ uidisti, inquit, huiusmodi sunt. Visus es uidere statuam magnam hominis stentem, cuius caput esset aureum, humeri & brachia argentea, uenter cum femoribus æreus, crura & pedes partim ferrei, partim testacei. Deinde lapis ex monte abruptus, uisus illidi statuæ, eam'que conterere, atque aurum, argentum, æs, ferrum, & testam ita comminuere, ut à uento dissiparentur. Lapis uerò in tantam molem excrescere, ut omnem terram impleret. Et hoc somnium uidisti, cum de regno & successore imperij solicitè cogitares: quæ uerò eo significantur, hæc sunt. Aureum caput tu es, & cæteri reges Babyloniorum. nam aurum imperij tui felicitatem innuit. Duæ uerò manus & humeri, duo regna repræsentant, à quibus uester principatus destruetur. Venter & femora ærea, regem significant ære indutum, qui eos opprimet, à quibus uos opprimendi estis, illius porrò regnum ab alio potentiore destruetur. Nam & auro & argento & ære ferrum est durius. Aurum enim, purum putum præsertim, est argento mollius: argentum, ut auro densius, ita ære laxius: ferrum porrò ære etiam solidius est. Caput igitur regnum Assyriorum est comparatum, ut antiquius & uetustius cæteris. Altero, Medorum & Persarum regnum intelligitur, qui Assyriorum euerterūt. Nam Cyrus, ut post narrabitur, Persa patre, matre Medica natus, utriusque gentis armis Assyrios deuicit, eorum'que regnum euertit. Duabus autem manibus duæ gentes significantur. Tertium regnum est Macedonum, æri comparatum, ut potè potentius, quod Persicum imperium destruxit. ac uenter quidem Alexandrum refert, duo femora diuisionem regni post eius obitum. Quartum regnum est Romanorum, cui ferrum attribuit ob soliditatem, & tibias, ratione temporis, quòd cæteris magnis imperijs sit posterius, quemadmodum crura & pedes extremæ sunt partes corporis. Iam testa ferro admista, significat, regnum illud etsi robustum sit, tamen fragile aliquid & imbecillum habere adiunctum, cuiusmodi est testa limo constans. Quòd si quis hanc uisionem ad priorem Reipublicæ statum, quo penes senatum, dictatores, cōsules, tribunos et plebem, summa rerum fuit, referat: uidebit plebē sæpe motis seditionibus à patribus dissensisse, alia senatu, alia plebe decernente. Vnde cum inter sese pugnarent, res eorum ex discordia nonnunquam deteriores & imbecilliores extiterunt. ac senatus cum ferro

Daniel somnium Nabuchodonosoris interpretatur.

1. Assyriorum monarchia.

2. Persarum monarchia.

3. Macedonum monarchia.

4. Romanorum monarchia.

Romani imperij pedes partim ferri, partim testacei.

διέθετο, καὶ τὸ ἐνύπνιον, καὶ τὰ δι' αὐτοῦ σημαινόμενα, καὶ μηδ' ἁμαρτίαν ἀπᾴδειν πρὸς τὸν βασιλέα. καὶ οἱ περὶ τὸν θεὸν ἔφη γνωρισθῆναι αὐτῷ καὶ τὸ ὄναρ, καὶ τὴν αὐτοῦ διάλυσιν, ἐλεήσαντος τοῦ θεοῦ ἀδίκως διὰ τοῦτο κινδυνεύοντας. ἐλεῶν δ' ἔτι καὶ σὲ τὸν κτεῖναι μέλλοντα ἀναιτίως τοσούτους ἐξ ὧν ἀπῄτεις ἀδύνατα, ἃ μόνῃ τῇ θείᾳ φύσει γνωστά. ἃ δ' ἐθεάσω, τοιαῦτά εἰσιν. ἔδοξας ὁρᾶν ἀνδριάντα μέγαν ἑστῶτα, οὗ χρυσῆ μὲν ἡ κεφαλή, οἱ δ' ὦμοι καὶ οἱ βραχίονες ἀργυροῖ, ἡ δὲ γε γαστὴρ μετὰ τῶν μηρῶν ἐκ χαλκοῦ, αἱ κνῆμαι δὲ καὶ οἱ πόδες ἦσαν μέρος μὲν τι σιδήρεοι, μέρος δέ τι ὀστράκινοι. ἔπειτα λίθος ἐξ ὄρους ἀπορραγεὶς, τῷ ἀνδριάντι ἔδοξεν ἐμπεσεῖν, καὶ συντρίψαι αὐτόν, καὶ λεπτῦναι τὸν χρυσὸν καὶ τὸν ἄργυρον καὶ τὸν χαλκὸν καὶ τὸν σίδηρον καὶ τὸ ὄστρακον ἐπὶ τοσοῦτον, ὡς ὑπ' ἀνέμου ἐκλικμηθῆναι αὐτά. ὁ δὲ λίθος ἔδοξεν αὐξῆσαι, καὶ εἰς τοσοῦτον μέγεθος προελθεῖν, ὡς πᾶσαν ὑπ' αὐτοῦ πεπληρῶσθαι τὴν γῆν. τοῦτο μὲν οὖν σοι ὄνειρος ἦν. ἃ δὲ δηλοῦται σοι δι' αὐτοῦ, φροντίζοντι περὶ τῆς βασιλείας, καὶ τίς ἄρξει μετὰ σέ, τοιαῦτά εἰσιν. ἡ μὲν χρυσῆ κεφαλή, σύ τε εἶ καὶ οἱ λοιποὶ βασιλεῖς τῶν Βαβυλωνίων. τὸ πολύολβον δ' ὁ χρυσὸς τῆς ἀρχῆς σου παραδηλοῖ. αἱ δὲ δύο χεῖρες καὶ οἱ ὦμοι δύο τινὰς αἰνίττονται βασιλείας, ὑφ' ὧν ἡ ὑμῶν ἡγεμονία καταλυθήσεται. ἡ χαλκῆ δὲ γαστὴρ, καὶ οἱ τοιοῦτοι μηροί, βασιλέα δηλοῦσι χαλκὸν ἐνδεδυμένον, ὃς τοὺς ὑμᾶς καταλύσοντας καθαιρήσει. τὴν δ' ἐκείνου βασιλείαν αὖθις ἑτέρα καταπαύσει δυνατωτέρα. τοῦ τε γὰρ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ τοῦ χαλκοῦ ὁ σίδηρος δυνατώτερος. ὁ μὲν γὰρ χρυσός, καὶ μᾶλλον ὁ καθαρώτατος, τοῦ ἀργύρου ἐστὶ μαλακώτερος. ὁ δ' ἄργυρος τοῦ μὲν χρυσοῦ στεγανώτερος, τοῦ δὲ χαλκοῦ τυγχάνει χαυνότερος. ὁ δὲ σίδηρος αὖθις καὶ τοῦ χαλκοῦ στερεώτερος. κεφαλῇ μὲν οὖν ἡ τῶν Ἀσσυρίων βασιλεία ἀπείκασται, ὡς πρεσβυτέρα τῶν ἄλλων, καὶ περὶ χρόνῳ παλαιοτέρα. δευτέραν δὲ τὴν τῶν Μήδων καὶ τῶν Περσῶν ἐκάλεσεν, αἳ τὴν τῶν Ἀσσυρίων ἀρχὴν καθῃρήκασιν. ὁ γὰρ Κῦρος, ὥσπερ ἱστορηθήσεται, Πέρσης μὲν ἦν πατρόθεν, τοῖς δὲ Μήδοις προσῆκεν ἐκ τῆς μητρός. ὃς ἄμφω τὰ ἔθνη συμπαραλαβών, καὶ πολεμήσας τοῖς Ἀσσυρίοις, τὴν αὐτῶν βασιλείαν κατέλυσε. τῇ δυάδι δὲ τῶν χειρῶν ἡ τῶν ἐθνῶν τούτων ἀμφοῖν δυὰς αἰνίττεται. τρίτην δὲ βασιλείαν τὴν τῶν Μακεδόνων καλεῖ. τῷ χαλκῷ δὲ ταύτην ἀπείκασεν ὡς δυνατωτέραν, οἷα καὶ τὴν Περσικὴν ἀρχὴν καταλύσασαν. καὶ διὰ μὲν τῆς κοιλίας ἡ Ἀλεξάνδρου μοναρχία ὑποτυποῦται· διὰ δὲ τῶν μηρῶν ἡ μετὰ θάνατον ἐκείνου τῆς βασιλείας διαίρεσις, καὶ ὁ αὐτῆς μερισμός. τετάρτην δὲ βασιλείαν τὴν τῶν Ῥωμαίων ἐκάλεσεν, ᾗ τὸν σίδηρον ἀπένειμε, διὰ τὸ στερέμνιον. ταῖς δὲ κνήμαις αὐτὴν ᾐνίξατο διὰ τὸ μετὰ χρόνον. τῶν γὰρ ἄλλων μεγάλων βασιλειῶν μεταγενεστέρα ἡ τῶν Ῥωμαίων. καὶ αἱ κνῆμαι δὲ καὶ οἱ πόδες, τελευταῖα μέρη τοῦ σώματος. τὸ δὲ περὶ σιδήρῳ συμμεμῖχθαι τὸ ὀστράκινον αἰνίττεται, τὸ ἰσχυρὰν μὲν τὴν βασιλείαν εἶναι, ἔχειν δὲ περὶ ἑαυτῇ καὶ εὔθραυστόν τι καὶ ἀσθενές. τοιοῦτον γὰρ τὴν φύσιν τὸ ὄστρακον, συγκείμενον ἐκ πηλοῦ. εἰ μὲν οὖν πρὸς τὴν προτέραν κατάστασιν τῆς Ῥωμαίων ἡγεμονίας ἀναγάγοι τις βουληθεὶς τὸ ὅραμα, ὅτε ἡ γερουσία καὶ οἱ δικτάτορες καὶ οἱ ὕπατοι καὶ οἱ δήμαρχοι καὶ ὁ δῆμος τῶν πολιτικῶν πραγμάτων ἀντείχοντο διοικήσεως, εὑρήσει πολλάκις τὸν δῆμον τῇ γερουσίᾳ διαφερόμενον, καὶ στάσεις ἐγειρομένας, ἄλλα μὲν τῆς βουλῆς διαταττομένης, ἄλλα δὲ τοῦ πλήθους ἀντιταττομένου, ὡς ἐκ τούτου μάχεσθαι τε ἀλλήλοις, καὶ σαθρὰ τὰ πράγματα, διὰ τὴν διχόνοιαν, δεῖν εὑρίσκειν ἐπὶ τὸ χεῖρον καὶ ἀσθενέστερον.

διήγησις τοῦ ἐνυπνίου καὶ κρίσις.

ποῖαι βασιλεῖαι ἐδηλοῦντο ὁ ἀνὴρ ὁ ὁραθεὶς τῷ ναβουχοδονόσορ.

εἰκὼν ὁ τῶν ῥωμαίων βασιλεία, διὰ ἰσχυρὰ ὡς τὸ πρότερον. ἀλλ' ἡ ἀσθενὴς ὁ τῶν ῥωμαίων βασιλεία σιδήρῳ ἀναμεμιγμένῳ τὰ ὄστρακα.

σιδήρῳ

σιδήρῳ μὲν οὖν ἄν τις ἀπεικάσοι τὴν σύγκλητον, διὰ τὸ τῆς γνώμης στερέμνιον. ὀστράκῳ δ' ἂν ἀπεικασθείη τὸ πλῆθος ἀναμεμιγμένον ἐν τοῖς ἐν τέλει καὶ τῇ βουλῇ, διά τε τὸ συρφετῶδες καὶ τὸ χαμαίζηλον (τοιοῦτον γὰρ ὁ πηλὸς, ὅθεν τὸ ὄστρακον γίνεται) καὶ διὰ τὸ εὐμετάβολον, καὶ διὰ τὴν ἀσθένειαν τοῦ φρονήματος. ἄνωθεν γὰρ τὸ πλῆθος ἀστατεῖν, ῥᾳδίως τε μετάγεσθαι καὶ μεταβάλλεσθαι. τοῦτο δέ τις εὑρήσει πλειστάκις τῇ ῥωμαίων πολιτείᾳ συμβεβηκότα, ἐπιὼν τὰ περὶ ταύτης ἀρχαῖα συγγράμματα. εἰ μὲν οὖν πρὸς τὴν προτέραν κατάστασιν τῆς ῥωμαϊκῆς πολιτείας ἀναφέροι τις τὴν διαφορὰν τῶν ὑλῶν, καὶ τὴν μίξιν αὐτῶν, ταῦτ' ἂν ἴσως λογίσαιτο. εἰ δὲ πρὸς τὴν ὑστέραν, ὅτε πρὸς μοναρχίαν ἐξ ἀριστοκρατίας μετῆλθε τοῖς ῥωμαίοις τὰ πράγματα, εἰ καὶ πρὸς τὴν ἐς ἅπαντα τῆς βασιλείας κατάστασιν, καὶ τότε πλείστην ἂν καταλάβοι τῇ πολιτείᾳ προξενήσασαν βλάβην, τὴν πρὸς ἀλλήλους τῶν ῥωμαίων διχόνοιαν. ὅτε γὰρ καῖσαρ τῆς μοναρχίας ὀρεχθεὶς, ἐμφυλίους πολέμους πρὸς τὸν μάγνον πομπήϊον, καὶ πρὸς τοὺς ἄλλους οἳ τῆς ἐλευθερίας ἀντεποιοῦντο τῆς παλαιᾶς, συνεστήσατο, καὶ πρὸς τοὺς ἀνελόντας αὖθις αὐτὸν ὁμοίας μάχας ὁ καῖσαρ ὁ αὔγουστος καὶ ὁ ἀντώνιος συνεκρότησαν, εἶτ' αὖθις ἄμφω πρὸς ἀλλήλους ἕνεκα τῆς μοναρχίας διαφερόμενοι, πολέμους βαρεῖς ἐκεκινήκεσαν, ἀμφοτέρωθεν ἐν πάσαις ταῖς μάχαις φθειρομένων ὁμογενῶν, κἀντεῦθεν τῆς ῥωμαϊκῆς ἠλαττωμένης δυνάμεως. καὶ οὐδ' ἐν τοῖς μετέπειτα τὰς στάσεις λωφησάσας ἴδοις ἄν. εἰ δέ τις πρὸς τὰς ὕστερον βασιλείας τὴν τοῦ σιδήρου καὶ τοῦ ὀστράκου φύσιν παραβάλλοι, εὑρήσει πῆ μὲν ἰσχυρὰν τὴν τῶν ῥωμαίων ἀρχὴν, πῆ δ' ἀσθενεστέραν ἐπὶ τὸ πλεῖστον τῆς παλαιᾶς ἀποβεβληκυῖαν ἐπικρατείας, καὶ πολλοστῷ νῦν μορίῳ τῆς παλαιᾶς ἐκείνης περιγεγραμμένην ἡγεμονίας. τὰ μὲν οὖν τῶν τεσσάρων βασιλειῶν ἐν τούτοις. ἡ δὲ λοιπή τε καὶ ἀκατάλυτος, ἣν ὁ λίθος εἰκόνιζεν, ὃς ἄνευ χειρῶν ἐτμήθη, καὶ τὰς ὕλας ἐλέπτυνεν, ἐξ ὧν συνετέθη ἡ εἰκὼν, καὶ τὴν γῆν ἐπλήρωσεν ἅπασαν, ἣν ὡς τοὺς αἰῶνας ὁ προφήτης εἴρηκε μὴ διαφθαρήσεσθαι, ἡ μέλλουσα ἐπιφάνεια ἂν εἴη τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ἣ τῆς σιδηρᾶς βασιλείας γενομένης ἀσθενεστέρας, διὰ τὴν τοῦ ὀστράκου ἐπιμιξίαν, ἀναφανήσεται· ὅτε αὐτῷ τὰ πάντα ὑποταγήσεται, τῆς βασιλείας ἀτελευτήτου τε καὶ ἀδιαφθόρου τοὺς ταύτης ἀξίους ἑαυτοὺς καταστήσαντας. λίθον γὰρ εἴωθεν ἡ γραφὴ καλεῖν τὸν χριστόν. ὅ, τε γὰρ δαβὶδ, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, ἔφη, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. καὶ ὁ ἡσαΐας ἐκ προσώπου φησὶ τοῦ θεοῦ· ἰδοὺ τίθημι ἐν σιὼν λίθον ἀκρογωνιαῖον. καὶ ὁ μέγας παῦλος ἀκρογωνιαῖον καλεῖ τὸν χριστὸν, ἐφ' ᾧ ἐποικοδομηθῆναι τοὺς πιστεύσαντας ἔγραψε. καὶ πάλιν λέγει· θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν ἰησοῦς ὁ χριστός. καὶ αὖθις ἔπινον ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ χριστός. καὶ πέτρα δὲ σκανδάλου, καὶ λίθος προσκόμματος λέγεται, καὶ πολλαχοῦ ἂν εὑρεθείη λίθος καὶ πέτρα κεκλημένος ὁ κύριος. τὸ δ' ἄνευ χειρῶν τμηθῆναι, τὴν ὑπὲρ φύσιν αὐτοῦ γέννησιν προδηλοῖ, τὴν ἄνευ σπορᾶς, τὴν γαμικῆς ὁμιλίας χωρίς. ὄρος μὲν γὰρ, ἡ τοῦ ἰούδα νομισθείη φυλὴ, ἐξ ἧς ὁ δαβίδ. λίθος δὲ ὁ χριστὸς, τμηθεὶς ἐξ αὐτῆς κατὰ τὸ ἀνθρώπινον. ἄνευ δὲ λέγει χειρῶν, ὅτι μὴ κατὰ τοὺς φυσικοὺς προῆλθε θεσμοὺς, ἀλλ' ἐξ ἀπειρογάμου καὶ ἁγίας γαστρός. ὃς μικρὸς μὲν ἐδόκει πρότερον, διὰ τὴν φύσιν

τί δηλοῖ ὁ λίθος, ὁ τμηθεὶς ἄνευ χειρῶν:

Χριστὸς ἐν τῇ γραφῇ, λίθος ἀκρογωνιαῖος.

ὄρος ὁ τοῦ ἰούδα φυλὴ καὶ λίθος ὁ χριστός. ἡ τὸ ἄνευ χειρῶν τμηθῆναι, ἡ ἄνευ ἀνδρὸς γέννησις.

ferro cōferri queat, ob animi grauitatem: plebs magistratibus & senatui admista, testæ, cùm ob uilitatem & humilitatem, cuiusmodi limus est, unde testa conficitur, tum ob leuitatem & infirmitatem consilij. Est enim multitudo leui sententia, & facilè huc atque illuc impellitur: quæ, si quis Romanorum ueteres annales euoluat, ei genti sæpissimè accidisse reperiet. Hæc igitur diuersæ materiæ mistionem ad primum Reipublicę statum referenti, in mentem uenire queant. Sin posteriorem Imperij rationem spectes, Republica ex aristocratia in monarchiam commutata, & ab Imperatoribus occupata, etiam tumè Romanorum dissensionib. multas ortas esse calamitates deprehendas. Nam & Cæsar cupiditate regni impulsus, bellum ciuile cum Pompeio & cæteris antiquæ libertatis defensoribus gessit, & Cæsar Augustus atque Antonius itidem bellum eius interfectoribus intulerunt. Quid deinde ambo inter sese, uter solus regnaret, certantes, grauia bella gesserunt, cæsis utrinque ciuibus in prælijs, & Romanorum uiribus immunitis. Imò nec deinceps quieuisse seditiones uideas. Iam si ferri & testæ qualitatem cum posterioribus regnis conferas, Romanū imperium ibi quoque partim firmū inuenies, partim imbecillum, amissa maxima parte potentiæ ueteris, uix reliquijs quibusdam retentis. Atque hæc de quatuor regnis. Restat illud, quod nō est euertendum, lapide sine manibus exciso adumbratum, comminuente materias quibus imago constabat, & uniuersam terram implente, quodque propheta dixit nullo æuo periturum. Hoc Christi Domini nostri aduētum significat, qui, cum regnum ferreum, ob testæ admistionem, factum fuerit imbecillius, apparebit, cum ei subijcientur omnia: cum regno infinito & non perituro dignabitur eos, qui se illo dignos præbuerunt. Lapidem enim scriptura Christum solet dicere. Nam & Dauid: Lapis, inquit, quem reiecerunt ædificantes, in caput anguli translatus est. & Esaias sub persona Dei dicit: Ecce pono lapidem in summo angulo. D. Paulus item, angularem lapidem Christum uocat: cui inædificatos esse credentes scribit. atque iterum: Aliud, inquit, fundamentum nemo faciet, præter id quod factum est, Iesum Christum. Item alibi: Biberunt de petra spirituali, eos secuta, qui est Christus. Adhæc petra scandali, & lapis offensionis dicitur: multa'que præterea loca inuenias, ubi Dominus petra & lapis appellatur. Quòd autem is sine manibus excisus est, id ortum eius naturam superantem indicat, sine semine & coniugali congressu. Nam mons putari queat Iudaica tribus, è qua ortus fuit Dauid. Lapis autem, Christus, secundum humanitatem ex ea excisus. Sine manibus, quia non lege naturæ prodijt, sed ex utero rudi uiri & sancto: qui primùm paruus est uisus, ob naturam

Christiana monarchia.

 huma-

» humanam, in progressu uerò terram omnē suæ
» gloriæ impleuit, magis etiam impleturus futu-
» ro suo aduentu. Propheta igitur & somnium Nabuchodonosori exposuit, & comparationē eius reuelauit. Qui coniecturæ solertiam admiratus, pronus in faciem cecidit, & sacrificari Danieli iussit. Non ipsi omnem illū honorem tribuens, homo superbus & arrogans: sed Deo, quià Daniele colebatur. Dixit enim: Verè Deus uester, Deus est Deorū, & dominus regum, & arcanorū reuelator. datisq; multis munerib. Danielē totius Babylonis principē constituit, nomine Balthassaris (sic Deus eius uocabatur) indito. Deinde auream statuā cubitos altā LX, latam VI erigit, principes ex omni suo imperio conuocat, auditaq; tuba prostratos illā adorare, qui non paruissent, in caminum ignis conijci iubet, quem ibi magnū & uehementem incenderat. Quam cum adorarent omnes, tres adolescentes, quos historia cognatos fuisse Danielis tradit, patria instituta uiolare nolentes, non adorarunt. itaq; statim in caminū coniecti sunt. Verùm ignis eos non attigit, sed stantes in medio flāmæ intolerabilis, hymnū cecinerūt Deo. astitit trib. illis & quartus, qui unà cū eis descenderat, & ardentē illū aerē in aurā roscidā commutabat. Hæc immanē & atrocē regis animū ita obstupefecerūt, ut seposito fastu accedēs, adolescētes nominatim uocaret, & eorū Deo collaudato, ipsos honore afficeret, & principes omnium Iudæorū qui Babylone erant crearet. Nō multo pòst idē Assyrius aliud somniū uidet huiusmodi. Arbor erat magna, extremitates terræ amplectēs, folijs ornata, & fructu grauis, sub qua bestiæ agrestes degebāt, & uolucres in ramis eius nidificabāt. Deinde Ir cernit cœlo egressum, qui cōtenta uoce clamaret, Excidite arborē, & ramos eius euellite, & folia decutite, et fructū eius dissipate. uerùm stirpem radicū eius relinquite, & uinculo ferreo ligate. in herba terræ, & in rore cœlesti, habitabit, deget cū bestijs, cor eius ab hominib. alienabitur, & cor bestiæ ei dabitur, & septē tēpora super eo mutabūtur. Hac uisione conspecta, rursus sapientes & magos Babylonios cōuocat, eius significationem scire cupiens. Qui cum æstuarent, nec significationē somnij reperirent: iterū ad Danielē confugit, narratoq; somnio, eius expositionē requirit: idem eum posse, cum sanctus Domini spiritus in eo sit. Tum ille: Domine mi rex, inquit, somnium istud in eos uertatur, qui te oderunt. Deinde significationem ei exponit, hoc modo: Arbor magna, quam uidisti, rex, tu es, qui magnus & potens euasisti, ac magnitudo tua cœlū attingit, & dominatus tuus ad terræ extremitates protenditur (magnitudinē aūt uocauit elationem animi & fastum) Ir autē sanctus, qui de cœlo descendit, est diuinus angelus. Nā Ir Latinis uigilantē declarat, quo natura incorporea innuitur. nā cui corpus est, is somno succumbit: qui non, natura est corporis experte.

Daniel princeps Babylonis constituitur.

Tres adolescentes ob contemptā statuam in caminū coniecti, ab angelo conseruantur.

Nabuchodonosoris somniū de arbore.

Daniel alterum quoq; somniū interpretatur.

Ir.

Quo-

φύσιν τῶν ἀνθρώπων τῆς. πρῶτον δὲ, τὴν οἰκουμένην πᾶσαν τῆς οἰκείας δόξης ἐπλήρωσε, καὶ ἔτι μᾶλλον πληρώσει κατὰ τὴν μέλλουσαν αὐτοῦ ἐπιφάνειαν. ὁ μὲν οὖν προφήτης τό, τε ἐνύπνιον τῷ Ναβουχοδονόσορ ἀπήγγειλε, καὶ τὴν τούτου σύγκρισιν ἀνεκάλυψεν. ὁ δὲ θαυμάσας, ἐπὶ πρόσωπον ἔπεσε, καὶ τὸν Δανιὴλ προσεκύνησε, καὶ θύειν αὐτῷ διετάξατο, οὐκ ἐκείνῳ τὴν ἅπασαν ἀπονέμων τιμὴν ὁ ἀλαζὼν ἐκεῖνος καὶ ὑπερήφανος, ἀλλὰ τῷ παρ' ἐκείνου θρησκευομένῳ θεῷ. ἔφη γάρ· ἐπ' ἀληθείας ὁ θεὸς ὑμῶν οὗτος ἐστὶ θεὸς θεῶν, καὶ κύριος βασιλέων, ὁ ἀποκαλύπτων μυστήρια. δόματά τε αὐτῷ παρέσχε πολλὰ, καὶ πάσης τῆς Βαβυλῶνος κατέστησεν ἄρχοντα, καὶ Βαλτάσαρ αὐτὸν ἐπωνόμασε, τὴν προσηγορίαν αὐτῷ θέμενος τοῦ οἰκείου θεοῦ. εἶτα χρύσεον ἀνδριάντα στήσας, πηχῶν μὲν τὸ ὕψος ἑξήκοντα, πλάτος δὲ ἕξ, συνεκάλεσεν ἐξ ἁπάσης αὐτοῦ τῆς ἀρχῆς τοὺς πρώτους, προστάξας, ὅταν ἀκούσωσι τῆς σάλπιγγος, τότε πεσόντας προσκυνεῖν τὸν ἀνδριάντα· τοὺς δ' ἀπειθήσαντας, εἰς τὴν τοῦ πυρὸς ἐμβληθῆναι κάμινον, ἣν ἐκεῖ μεγάλην ἐξέκαυσε καὶ σφοδράν. πάντων οὖν προσκυνούντων, οἱ τρεῖς νεανίαι οὓς συγγενεῖς τοῦ Δανιὴλ ἡ ἱστορία παραδίδωσι, μὴ παραβῆναι τὰ πάτρια θέλοντες, οὐ προσεκύνησαν. καὶ οἱ μὲν εἰς τὴν κάμινον αὐτίκα ἐβλήθησαν. τὸ δὲ πῦρ ἐκείνων οὐχ ἥψατο, ἀλλ' ἑστῶτες ἐν μέσῳ τῆς ἀνυποστάτου φλογὸς ἐκείνης, ὕμνον ἀνέπεμπον τῷ θεῷ. συνεισῆκε δὲ τοῖς τρισὶν ἐκείνοις καὶ τέταρτος· ἄγγελος δ' ἦν συγκαταβὰς αὐτοῖς, καὶ τὸν φλογερὸν ἐκεῖνον ἀέρα μεταστρέψων εἰς αὔραν δροσώδη. ταῦτα ἐξέστησαν τὴν θρασεῖαν ψυχὴν τοῦ βασιλέως ἐκείνου, καὶ ἀπηνῆ, καὶ τὸν τῦφον ἀφεὶς πρόσεισι. καὶ ἐξ ὀνόματος τοὺς νεανίας καλεῖ, καὶ τὸν θεὸν αὐτῶν εὐλογεῖ, καὶ τοὺς ἄνδρας ἐκείνους τιμῆς ἀξιοῖ, καὶ ἡγεμόνας τῶν ἐν Βαβυλῶνι πάντων Ἰουδαίων καθίστησιν. ὁρᾷ δὲ μετ' ὀλίγον ὁ Ἀσσύριος ἐκεῖνος ἐνύπνιον ἕτερον· δένδρον ἑώρα μέγα τε, καὶ τῆς γῆς περιέχον τὰ πέρατα, φύλλοις ὡραϊζόμενον, καὶ βρῖθον καρπῷ. ὑπ' αὐτὸ δὲ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ τὰ πετεινὰ ἐν τοῖς κλάδοις κατῴκει αὐτοῦ. εἶτα ἶρ ἄνδρα οὐρανόθεν ἐλθόντα, καὶ ἐν ἰσχύϊ φωνήσαντα, ἐκκόψατε τὸ δένδρον, καὶ τοὺς κλάδους αὐτοῦ ἐκτίλατε, καὶ τὰ φύλλα ἐκτινάξατε, καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ, πλὴν ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ ἐν τῇ χλόῃ τῆς γῆς, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν. ταύτην ἰδὼν τὴν ὄψιν, συγκαλεῖ πάλιν τοὺς μάγους καὶ τοὺς σοφοὺς Βαβυλῶνος, καὶ ζητεῖ μαθεῖν τὰ δι' αὐτῆς σημαινόμενα. ἠπόρουν δ' ἐκεῖνοι, καὶ οὐκ εἶχον λέγειν τοῦ ἐνυπνίου τὴν δήλωσιν, εἶτα πάλιν καταφεύγει πρὸς τὸν Δανιὴλ, καὶ διηγεῖται αὐτῷ τὸ ἐνύπνιον, καὶ ἀξιοῖ λέγειν τὸ σύγκριμα. δύνασαι γάρ φησιν, ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοί. ὁ δὲ, κύριέ μου, φησὶ, βασιλεῦ, τὸ ἐνύπνιον εἴη τοῖς μισοῦσί σε· εἶτα τὴν σημασίαν ἐξηγεῖται αὐτῷ, καί φησι· τὸ δένδρον τὸ μέγα ὃ ἑώρακας, σὺ εἶ ὦ βασιλεῦ, ὃς ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ ἡ μεγαλωσύνη σου ἔφθασεν εἰς τὸν οὐρανὸν, καὶ ἡ κυρεία σου εἰς τὰ πέρατα τῆς γῆς. μεγαλωσύνην δὲ τὴν τοῦ νοὸς ἐκάλεσεν ἔπαρσιν, καὶ τοῦ φρονήματος τὸ ὑπέρογκον. τὸν δὲ ἶρ ἅγιον ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα, τουτέστιν ἄγγελον θεῖον. τὸ γὰρ ἶρ ἐξελληνιζόμενον τὸν ἐγρηγορότα δηλοῖ, δι' οὗ τὸ ἀσώματον ὑπαινίττεται. ὁ γὰρ σῶμα περικείμενος, ὕπνῳ δουλοῦται· ὁ τούτῳ δὲ μὴ δουλεύων, ἀσώματον ἔχει φύσιν.

ὅτι δῶρα ἐδωρήσατο τὸν Δανιὴλ Ναβουχοδονόσορ, καὶ Βαλτάσαρ τοῦτον μετωνόμασεν.

περὶ τῆς εἰκόνος ἣν ἔστησε Ναβουχοδονόσορ ὡς θεὸν προσκυνεῖσθαι.

περὶ τοῦ ἀγγέλου τοῦ σὺν αὐτοῖς ἐν τῇ καμίνῳ τῶν παίδων. ὅπως ἐτιμήθησαν οἱ τρεῖς παῖδες.

ὄνειρος ἕτερος τοῦ Ναβουχοδονόσορ περὶ τοῦ δένδρου.

πάλιν ἀγνοεῖ τὸν ὄνειρον καὶ καλεῖ τοὺς σοφοὺς αὐτοῦ φλυαροῦντας, καὶ καλεῖ τὸν Δανιὴλ, ὃς καὶ λύει τοῦτο.

ὅτι τὸ ἶρ ἄγγελον δηλοῖ τὸν ἐγρήγορα.

ὅτι

ὅτι δ' εἶναι τὸν ἐγρηγορότα, φησὶ, ἐκεῖνον ἄγγελον φωνήσαντα, ἐκκόπτειναι τὸ δένδρον, ἐᾶσαι δὲ τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ, καὶ τὰ λοιπά, ἐλπίζει τῆς βασιλείας μὲν ἐκπεσεῖν, καὶ τῆς πρὸς ἀνθρώπους κοινωνίας ἐκδιωχθῆναι, θηρίοις δὲ συναυλίζεσθαι, καὶ χόρτον ἐσθίειν, μὴ μὴν τὸ παντελῶς στερηθῆναι τῆς βασιλείας, ἐπανασωθῆναι δὲ εἰς αὖθις αὐτήν. τοῦτο γὰρ ἦν σημαντικόν, τὸ τὴν φυὴν τῶν ῥιζῶν ἐαθῆναι τοῦ δένδρου. τοιαύτην μὲν ναβουχοδονόσορ ὁ Δανιὴλ τὴν ἐξήγησιν τοῦ ὁράματος ἐποιήσατο, καὶ γέγονε ταῦτα κατὰ τὸν θεῖον χρηματισμόν. ἐμμανίαν νοσήσας ὁ βασιλεὺς ἐκεῖνος, διὰ τὸ ἀλαζονικόν τε καὶ ὑπερήφανον, καὶ ἐπὶ τῆς ἐρήμου διατρίψας ἑπτὰ ἔτη, οὐδενὸς ἀντιλαβομένου τῇ βασιλείᾳ αὐτοῦ, πάλιν ἀναλαμβάνει αὐτὴν, ἱλεωσάμενος τὸν θεόν. ἔτη δὲ τρία βασιλεύσας καὶ τεσσαράκοντα, τελευτᾷ. μεμνῆσθαι δὲ αὐτοῦ ὁ ἰώσηπος λέγει καὶ πολλοὺς τῶν ἀρχαίων ἱστορικῶν, τόν τε Βηρωσὸν, καὶ τὸν μεγασθένην, καὶ τὸν διοκλέα, καὶ τὸν φιλόστρατον. τούτου δὲ τελευτήσαντος, εὐιλὰδ μαρωδὰχ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος, τὴν ἀρχὴν διαδέχεται. ὃς αὐτίκα λύει τῶν δεσμῶν τὸν βασιλέα ἰωακεὶμ, τὸν καὶ ἰεχονίαν καλούμενον, ὃν καθειργμένον εἶχεν ὁ ναβουχοδονόσορ, καὶ τιμῆς ἀξιοῖ, δίδωσι δὲ καὶ δωρεὰς αὐτῷ, καὶ ὁμοδίαιτον εἶχε διαπαντός. καὶ τούτου δὲ παρελθόντος, εἰς τὸν ἀδελφὸν αὐτοῦ μετῆλθεν ἡ βασιλεία, Βαλτάσαρ καλούμενον· καθ' οὗ κῦρος μετὰ περσῶν τε καὶ μήδων ἐστράτευσεν. οὗτος γοῦν πότον ποιήσας τοῖς μεγιστᾶσιν αὐτοῦ, καὶ μετὰ τῶν παλλακῶν κατακείμενός τε καὶ μεθυσκόμενος, ἐκέλευσεν ἐνεχθῆναι τὰ σκεύη τὰ ἱερά, ἃ ἐξ ἱεροσολύμων ὁ ναβουχοδονόσορ ἐσύλησεν, καὶ τοῖς οἰκείοις θεοῖς ἀνατέθεικε. κομισθέντων δ' ἐκείνων, οἷς ὁ πατὴρ αὐτοῦ οὐκ ἐχρήσατο, αὐτὸς ἐκέχρητο τούτοις, καὶ μεταξὺ πίνων ἐβλασφήμει κατὰ τοῦ θεοῦ. ὁρᾷ τοίνυν ἀστράγαλον ἐκ τοῦ τοίχου προϊόντα χειρὸς ἀνθρωπίνης, καὶ γράφοντα ἐπὶ τὸ κονίαμα τοῦ τοίχου, καὶ ἐξέστη, καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη· καὶ τοὺς χαλδαίους καὶ τοὺς μάγους καλέσας, τὴν τῶν γραμμάτων ἀπῄτει δήλωσιν, καὶ ἀμοιβὰς μεγάλας δώσειν ἐκήρυξε τῷ σαφηνίζοντι τὴν σημασίαν αὐτῶν. ἀλλ' ἄσημα ἠγνόουν πᾶσι τὰ γεγραμμένα. ἀθυμοῦντα δὲ τὸν βασιλέα καὶ τεταραγμένον ἰδοῦσα ἡ μάμμη αὐτοῦ, ἔφη, ὡς εἰ μεταπεμφθείη Βαλτάσαρ ὁ ἰουδαῖος, ὃς καὶ τῷ ναβουχοδονόσορ πολλὰ ἐσήμανεν, ἃ ἕτερος ἐκφράσαι οὐδεὶς ἠδύνατο, ἐκεῖνος ἂν τὸ ἀπόρρητον τούτων τῶν συλλαβῶν σημανεῖ· ἔστι γὰρ πνεῦμα ἅγιον θεοῦ ἐν αὐτῷ. αὐτίκα τοίνυν καλέσας ὁ Βαλτάσαρ τὸν Δανιὴλ, ἠξίου δηλοῦν αὐτῷ περὶ τῶν γραμμάτων, καὶ μὴ ὑποστείλασθαι, κἂν ᾖ σκυθρωπὸν τὸ ὑπ' αὐτῶν σημαινόμενον· καὶ γέρας δώσειν αὐτῷ ἐπηγγέλλετο πορφύραν ἐνδεδύσθαι, καὶ περιαυχένιον χρυσοῦν, καὶ τὸ τρίτον τῆς ἀρχῆς μέρος. Δανιὴλ δὲ τὰς μὲν δωρεὰς ἠρνεῖτο, μηνύειν δ' ἔλεγεν αὐτῷ τὰ γεγραμμένα, τοῦ βίου καταστροφὴν, ὅτι μηδ' οἷς ὁ πατὴρ αὐτοῦ δι' ἀσέβειαν ἐκολάσθη, ἐσωφρονίσθη αὐτός, ἀλλὰ τοῖς σκεύεσι τοῦ θεοῦ μετὰ τῶν παλλακῶν εἰς διακονίαν ἐχρήσατο. τὰ δὲ ἐν γράμματα ἀνεγίνωσκεν οὕτως· μανὴ, θεκὲλ, φαρές. τὴν δὲ τούτων σημασίαν ἑρμηνεύων ἔλεγεν· ἠρίθμησεν ὁ θεὸς τὸν χρόνον τῆς ζωῆς σου, καὶ τῆς ἀρχῆς σου, καὶ εἰς ἄγαν βραχὺ περιίστησιν. ἐξελληνιζόμενον δ' ἂν ἀλλ' ἐξ λέγοιτ' ἂν ἀριθμός· οὕτω γὰρ ἂν ἑρμηνευθείη τὸ μανή. τὸ δὲ θεκὲλ, σημαίνειν ἔφη σταθμόν. στήσας οὖν τὸν ὅρον τῆς βασιλείας σου ὁ θεὸς, καταφέρεσθαι ταύτην, δηλοῖ καὶ κλᾶσθαι· κλάσμα γὰρ τὸ θεκὲλ σημαίνει, καθ' ἑλλάδα διάλεκτον.

[Margin notes, Greek:] ὅτι μανεὶς ὁ ναβουχοδονόσορ ἐν τῇ ἐρήμῳ [illegible] — [illegible] τῶν ἀρχαίων ἱστορικῶν. — Τίς διαδέχεται τὸν ναβουχοδονόσορ, καὶ ὅτι περὶ βαλτάσαρ [illegible] τοῖς ἱεροῖς σκεύεσι [illegible]. — περὶ τοῦ ἀστραγάλου τῆς χειρὸς, ὃν εἶδεν ἐν τῷ τοίχῳ βαλτάσαρ. — ὅτι ὁ Δανιὴλ διεσάφησε τῷ βαλτάσαρ τὰ δηλοῦντα γράμματα. — Τί σημαίνει τὰ γραφέντα διὰ τοῦ ἀστραγάλου.

Quoniam igitur uigilantem illum clamantem uidisti, ut arbos excinderetur, & stirps radicum eius relinqueretur, &c. futurum est, ut regno excidas, & commercio hominum pulsus, inter bestias degas, gramine uescens. Regnũ tamen non penitus amittes, sed in integrum restitutus, recipies. id enim significatur, stirpe radicum relicta. Sic igitur uisionem Nabuchodonosori Daniel exposuit, omniaq́; facta sunt secũdum diuinum oraculum: & rex furore percitus, ob arrogantiam & superbiam, post septem annos in desertis exactos, regnum interea à nemine occupatum, recipit, placato Deo: & cum annos quadraginta tres regnasset, moritur. Huius multos etiam ex ueteribus historicis, Berosum, Metasthenem, Philoclem & Philostratum meminisse, Iosephus refert. Huic defuncto, filius natu maior Euilad Merochad in Imperio succedit, qui regem Ioachimum (idem & Iechonias appellatur) à Nabuchodonosore in uinculis habitum, soluit, & bonorificè tractat, muneribus afficit, & perpetuũ conuictorem habet. Eo quoque mortuo, regnum ad fratrem eius Balthasarem transit, qui Cyri ductu & auspicijs à Persis & Medis est oppugnatus. Hic proceribus ad compotationem inuitatis, cum concubinis suis accumbens, atque inebriatus, sacra uasa, quæ Nabuchodonosor Hierosolymis direpta, Dijs suis consecrarat, afferri iubet, atq; ijs utitur, quorum usu pater abstinuerat: dum'que inter pocula blasphemat Deum, uidet digitos humanæ manus è pariete prodeuntes in tectorio parietis scribere. quib. conspectis obstupefactus, toto corpore cohorruit. & Chaldæis ac magis accersitis, magnis propositis muneribus, sententiam literarum ab eis requirit. Sed scriptura illa ignota erat omnibus. Quamobrem auia regem tristem conspicata, & perturbatum, ait: Si Balthasar Iudęus accerseretur, qui & Nabuchodonosori multa significarit, quæ nemo alius explicare potuerit, eum arcanum syllabarum illarum declaraturum. esse enim sanctum Dei spiritum in eo. Statim igitur Balthasar Danielẽ accersi iubet, flagitans scripturæ illius declarationem, citra dissimulationem omnem, etsi triste aliquid portenderet: daturum pollicitus gestandæ purpuræ et torquis aurei ius, et tertiam regni sui partem. Daniel uerò munerib. recusatis, dicebat, scripturam ei obitum portendere, quòd ne paternæ quidem impietatis pœna factus esset modestior, sed diuinis uasis cum cõcubinis ad ministerium esset usus. Literas uerò ita legebat: Mani, Tekel, Phares. quarum significationem sic interpretabatur: Numerauit Deus tempus uitæ tuæ, atque imperij tui, cuius perparum superest. Nam uocabulum Mani, Latinis est numerus: Tekel, spacium: quòd Deus limitem regni eius constituisset, quod quidem deorsum uergeret & frangeretur. Nam Tekel etiam fragmen significat, lingua Latina:

[Margin notes, Latin:] Euilad Merochad successor Nabuchodonosoris. — Balthasar postremus Assyriorũ rex. — Manus in pariete scribens. — Daniel scripturam parietis interpretatur.

Phares diuisionem interpretabatur, quòd regnum eius inter Medos & Persas à Deo distribuendum esset. Scripturam igitur parietis ita legit, itaque syllabas eas inter sese comparauit: hoc est, interpretatus est, rege mœrore affecto, nec diu pòst prophetæ prædictione euentu comprobata, cum Cyrus Persarum rex bello illato.

Babylonis captiuitas. Babylonē cæpit, Balthasare in captiuitate urbis interfecto. Sunt qui asserant, eadem nocte, qua uisi essent digiti scribentes, & Babylonem captam, & regem cæsum esse.

Daniel in Mediā trāslatus, inuidia procerum leonibus obijcitur. Cæterum post urbis captiuitatem Daniel sub Dario Medo, qui & Cyaxares nominabatur, Cyri auunculus, filius Astyagis Medorum regis, in Mediam translatus, omni honore afficiebatur. Qua de causa Medorum principes ei inuidētes, insidias parant uitæ eius. Nam cum eum quotidie ter Deum adorantem uiderent, Cyaxari siue Dario autores sunt ferendæ legis, ut intra dies triginta neque Deos adoret quisquam, neque ipsum regem oret. quam legem qui uiolasset, in caueam leonum conijciendum. Rex, qui ignoraret illud in perniciem Danielis strui, edictum huiusmodi proponit. Ac cæteris secundum edictū quiescentibus, Daniel, qui de more Deo supplicabat, delatus à Satrapis, bestijs obijcitur. rex lapide, quo cauea claudebatur, signato, discedit: eamque noctem insomnem agit, solicitus & dolens. Nam etsi Danielem à bestijs non læsum iri sperabat, quippe quem sancto Dei spiritu præditum sciret: non tamen tranquillo esse animo poterat, metuens ne quid ei accideret: nec Dei potentiam, ut homo barbarus, satis intelligens. Statim uerò ut diluxerat, ad caueam leonum accedit, Danielem uocat: respondentem extrahi iubet, intactum & saluum uidens obstupescit. Sed cum delatores dixissent, leones ob saturitatē illum nō attigisse: improbitatis illorum odio, intellecta fraude atque insidijs, quas prophetæ struxerant, affatim bestias pasci iubet, ijsque iam satiatis accusatores Danielis obijci, ut cognosceretur, an leones ob saturitatem homines non tangerent. Tum improbis illis statim dilaceratis, perspicuum fuit omnibus, ui quadam diuina Danielem conseruatum esse, obturatis bestiarum faucibus. Itaque rex prophetæ Deum celebrat, eique maiores etiam honores habet. & hoc quidem posterius accidit.

Danielis somnus fatidica de Monarchijs. Cæterum primo anno regni Balthasaris, huiusmodi uisum prophetæ oblatum fuit. Quatuor animalia mari emergere uidebantur, quorum primum leænam referret, pennis aquilinis; idque à terra elatum, pedibus humanis institit, accepio etiam corde humano.

Mare. Mare autem significat uitam humanam fluctuantem, plurimis, ijsque assiduis mutationib. & inuersionib. obnoxiā.

Leæna. Leæna regnū Assyriorū repræsentabat.

λεκτον. τὸ φαρὲς, διαίρεσιν ἑρμηνεύων ὁ προφήτης (οὕτω γὰρ εἰς ἑλληνίδα φωνὴν ἡ λέξις μεταγομένη δηλοῖ) διαιρεθῆναι τὴν βασιλείαν αὐτοῦ ἔλεγεν εἰς Πέρσας καὶ Μήδους παρὰ θεοῦ. τὰ μὲν οὖν ἐν τῷ τοίχῳ γεγραμμένα οὕτως ἀνέγνω ὁ Δανιὴλ, καὶ τοιαύτην τὴν τῶν συλλαβῶν ἐκείνων ἐποιήσατο σύγκρισιν, τὴν ἑρμηνείαν δηλαδή. τὸν δὲ βασιλέα λύπη κατέσχε. καὶ μετ' ὀλίγον αὐτοῦ προφήτου ἐκβέβηκε πρόρρησις, Κύρου τοῦ Περσῶν βασιλέως ἐπ' αὐτὸν ἐλάσαντος, ὑφ' οὗ ἥ τε Βαβυλὼν ἑάλω, καὶ ὁ Βαλτάσαρ ἐν τῇ ἁλώσει ἀνῄρητο. φασὶ δ' οἱ κατὰ τὴν νύκτα ἐκείνην, καθ' ἣν τὸν ἀστράγαλον τὸν γράφοντα ἐθεάσατο, φασὶ καὶ τὴν πόλιν αἱρεθῆναι, κἀκεῖνον ἀναιρεθῆναι. μετὰ δὲ τὴν τῆς Βαβυλῶνος ἅλωσιν, ὁ προφήτης Δανιὴλ Δαρείου τοῦ Μήδου, ὃς καὶ Κυαξάρης ὠνόμαστο, καὶ μητράδελφος ἦν τοῦ Κύρου, υἱὸς ὢν Ἀστυάγους τοῦ βασιλεύσαντος Μήδων, εἰς Μηδίαν μετῴκιστο, καὶ πάσης ἠξιοῦτο τιμῆς. οὕτω δὲ ἔχων, ἐφθονεῖτο παρὰ τῶν ἐν Μήδοις ὑπερεχόντων, καὶ μηχανῶνται τρόπον καθ' ὃν ἤλπιζον ἀπολέσαι αὐτόν. ὁρῶντες γὰρ αὐτὸν τρὶς τῆς ἡμέρας προσευχόμενον τῷ θεῷ, πείθουσι τῷ Κυαξάρῃ, τῷ καὶ Δαρείῳ, ἀξιοῦντες αὐτὸν θεῖναι νόμον, ἵνα ἐπὶ τριάκοντα ἡμέρας μήτις ἢ τοῖς θεοῖς προσευχόμενος ἦν, μήτ' αὐτοῦ τοῦ βασιλέως δεόμενος, καὶ τὸν μὴ τὸν νόμον φυλάξαντα, εἰς τὸν τῶν λεόντων λάκκον ἐμβάλλεσθαι. ὁ δὲ τὸ κατὰ τοῦ Δανιὴλ παρ' αὐτῶν τυρευόμενον ἀγνοήσας, προὐτέθηκε πρόγραμμα, τὰ εἰρημένα διατεταγμένον. οἱ μὲν οὖν ἄλλοι ἠρέμουν κατὰ τὸ θέσπισμα. Δανιὴλ δὲ κατὰ τὸ ἔθος αὐτοῦ ηὔχετο τῷ θεῷ. καὶ οἱ σατράπαι κατεῖπον αὐτοῦ πρὸς τὸν βασιλέα, καὶ κατὰ τὸν νόμον ἀπῄτουν εἰς τὸν λάκκον αὐτὸν τῶν λεόντων ἐμβάλλεσθαι. βληθέντος δ' ἐκεῖ τοῦ προφήτου, τὸν ἐπὶ τοῦ στομίου λίθον σφραγίσας ὁ βασιλεὺς, ἀνεχώρησεν. ἀγωνιῶν δὲ καὶ ἀλγῶν, ἄυπνος τὴν νύκτα διήγαγεν. ἤλπιζε μὲν γὰρ, μὴ βλαβήσεσθαι τὸν Δανιὴλ ὑπὸ τῶν θηρίων, εἰδὼς ὅτι πνεῦμα ἅγιον θεοῦ ἦν ἐν αὐτῷ. ἀλλ' ὅμως δεδιὼς ἠγωνία, μή τι αὐτῷ συμβῇ κακὸν, μὴ πάνυ γινώσκων, οἷα βάρβαρος, τὴν δύναμιν τοῦ θεοῦ. ἄρτι δ' ἡμέρας ἀναλαμψάσης, τῷ λάκκῳ ἐπέστη, καὶ ἐκάλει τὸν Δανιὴλ. ὁ δὲ ἀπεκρίνατο. καὶ ὁ βασιλεὺς ἀνελκυσθῆναι τὸν προφήτην αὐτίκα ἐκέλευσε, καὶ ἀθιγῆ τοῦτον καὶ σῶον βλέπων, ἐξίστατο. τῶν δὲ κατειπόντων αὐτοῦ, τροφῆς κεκορεσμένους εἶναι λεγόντων τοὺς λέοντας, καὶ διὰ τοῦτο μὴ ψαῦσαι τοῦ Δανιὴλ, μισήσας αὐτοὺς τῆς πονηρίας ὁ βασιλεὺς, καὶ τὸ κατὰ τοῦ προφήτου μηχάνημα καὶ τὸν δόλον ἐκείνων συνεὶς, δαψιλῆ παρατεθῆναι τροφὴν τοῖς θηρίοις προσέταξε. κεκορεσμένων δ' αὐτῶν, τοὺς τοῦ προφήτου κατηγόρους εἰς τὸν λάκκον τῶν θηρῶν ἐμβληθῆναι προσέταξεν, ἵνα γνῶμεν, εἴπων, εἰ διὰ κόρον αὐτῶν οἱ λέοντες οὐ προσψαύσουσι. διασπαραχθέντων δ' εὐθὺς τῶν πονηρῶν ἐκείνων ἀνδρῶν, δῆλον ἅπασι γέγονεν, ὡς θεία τις δύναμις τὸν Δανιὴλ συνετήρησε, τοὺς θῆρας φιμώσασα. διὸ καὶ τὸν τοῦ προφήτου θεὸν ὁ βασιλεὺς ἐμεγάλυνε, κἀκεῖνον ἐν τιμῇ πεποίητο πλείονι. ταῦτα μὲν οὖν συμβέβηκεν ὕστερον. ἐν δὲ τῷ πρώτῳ ἔτει τῆς βασιλείας Βαλτάσαρ ἐνύπνιον ὁ προφήτης εἶδεν, ἦν δὲ τοιοῦτον τὸ ὅραμα. τέσσαρα ἐδόκει θηρία ἀνιέναι ἐκ τῆς θαλάσσης, ὧν τὸ πρῶτον λεαίνης εἶχε μορφὴν, καὶ πτερὰ ὡσεὶ ἀετοῦ. ὃ καὶ ἐξήρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῷ. ἡ μὲν οὖν θάλασσα, τὸν ἀνθρώπινον ἐδήλου βίον, τὸν πολυκύμαντον, καὶ πλείστας καὶ συνεχεῖς μεταβολὰς δεχόμενον, καὶ περιτροπάς. τὸ δὲ θηρίον ἡ λέαινα, τὴν τῶν Ἀσσυρίων βασιλείαν ἠνίττετο.

ὅτι Κύρου ἐπελ[illegible] Βαλτάσαρ ἀνῃρέθη.

ὅτι τὸν Δανιὴλ ὁ Δαρεῖος εἰς Μηδίαν μετῴκισε, μετὰ τὴν τῆς Βαβυλῶνος ἅλωσιν.

ὅτι ὁ Δαρεῖος ὁ Κυαξάρης ἐκαλεῖτο.

ὅτι διὰ τὸ δόξαι ἀγαθὸν τοῖς [illegible] περὶ τοῦ μὴ [illegible] ἐνεβλήθη εἰς τὸν λάκκον μετὰ τῶν λεόντων.

ὅτι οἱ κατὰ τοῦ Δανιὴλ ἀνθρώποι ἐνεβλήθησαν εἰς τὸν λάκκον τῶν λεόντων.

περὶ τοῦ ἐνυπνίου ὃ εἶδεν ὁ Δανιὴλ, τεσσάρων θηρίων τῶν ἀπὸ τῆς θαλάσσης ἀναβαινόντων, ἧς ἐστι τὸ πρῶτον λέαινα.

τὸ δ'

τὸ δ' ἐξαρθῆναι ἀπὸ τῆς γῆς, τὴν τῆς ἀρχῆς ἐκείνης ἐδήλου κατάπαυσιν, καὶ τῆς ἐξουσίας τὴν περιαίρεσιν. καὶ τὸ ἐπὶ ποδῶν ἀνθρώπου στῆναι, τὸ ἴσον τοῖς ὑπηκόοις γενέσθαι ὑπῃνίττετο. τὸ δὲ καρδίαν ἀνθρώπου δοθῆναι αὐτῷ, τὸ διὰ τῆς πείρας ἀνθρώπινα φρονεῖν διδαχθῆναι, καὶ μή τι τῶν ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἐξ ἀλαζονείας φαντάζεσθαι. καὶ τὰ πτερὰ γὰρ ἃ τῷ θηρίῳ παρὰ φύσιν προσπεφύκασι, τὴν ἔπαρσιν ἐδήλου τῶν βασιλέων ἐκείνων, καὶ τὸ ἐξ ὑπερηφανίας τοῦ νοὸς αὐτῶν ὑψηλόφρον. τὸ δὲ δεύτερον θηρίον ἄρκτῳ ὡμοίωτο, καὶ εἰς μέρος ἓν ἔστη, καὶ τρία εἶχε πλευρὰ ἐν τῷ στόματι, καὶ ἐλέγετο αὐτῷ· ἀνάστα, φάγε σάρκας πολλάς. τῆς περσῶν δὲ βασιλείας ὁ ἄρκτος ἐγένετο τύπωσις, διὰ τὸ ὠμὸν τοῦ ἔθνους, καὶ ἀπηνές. πάντων γὰρ τῶν βαρβάρων οἱ πέρσαι τιμωρεῖσθαι ἀπηνέστεροι, σκαφεύσεσί τε καὶ δορᾶς ἀφαιρέσει πικροτέρας καὶ μακροτέρας τὰς κολάσεις τιθέμενοι. εἰκὸς δὲ ἴσως ἀγνοεῖσθαι τὴν κόλασιν τῆς σκαφεύσεως· καλὸν οὖν καὶ ταύτην δῆλον θέσθαι τοῖς ἀγνοοῦσι. δύο σκάφας ἴσας ἀλλήλαις προσαρμόσαντες, καὶ ταύτας ἐγκόψαντες, ὥστε τὴν κεφαλὴν τοῦ κολαζομένου ἐκτὸς περιλελεῖφθαι τῶν σκαφῶν, καὶ τὰς χεῖρας, ἀλλὰ μὴν καὶ τοὺς πόδας, ὕπτιον ἐντὸς τὸν τιμωρούμενον ἀνακλίνουσι, καὶ οὕτω τὰς σκάφας περιηλοῦσιν ἀλλήλαις. εἶτα κρᾶμα ἐκ μέλιτός τε καὶ γάλακτος κεκερασμένον, ἐγχέουσιν εἰς τὸ στόμα τοῦ ἀθλίου ἐκείνου, μέχρις ἂν ὑπερκορὴς ὁ ἄνθρωπος γένηται· καὶ ἐκ τοῦ τοιούτου κράματος τὸ πρόσωπον αὐτοῦ καὶ τῶν ποδῶν καὶ τῶν χειρῶν καταχέουσιν, ὕπαιθρόν τε θέντες αὐτὸν, ἀντοφθαλμεῖν τῷ ἡλίῳ ποιοῦσι, καὶ οὕτως ἑκάστης ἡμέρας πεποιήκασιν ἐπ' αὐτῷ. μυῖαι μὲν οὖν καὶ σφῆκες καὶ μέλισσαι διὰ τὴν τοῦ καταχυθέντος γλυκύτητα ἀθροιζόμεναι, τῷ τε προσώπῳ αὐτοῦ καὶ τοῖς ἄλλοις ἐφιζάνουσι μέλεσιν, ὅσα τῶν σκαφῶν ἐκτὸς, ὡς εἴρηται, περιλέλειπται, ἐνοχλοῦσαι, αἳ δὲ τὸν ἄθλιον κατακεντοῦσιν. ἡ δὲ γαστὴρ ἐκείνου πληρωθεῖσα τοῦ μέλιτος καὶ τοῦ γάλακτος, ὑγρὰ προΐησι σκύβαλα, ὧν σηπομένων, σκώληκές τε καὶ σκνῖπες ἀναζέουσιν· ὁ δ' ἐγκατακείμενος τῇ ὑγρότητι, καὶ τὰς σάρκας αὐτῷ σηπόμενος, καὶ ὑπὸ τῶν σκωλήκων αὐτὰς δαπανώμενος, οὕτως οἰκτρότατόν τε θνήσκει, καὶ χρονιώτερον. ταύτῃ τῇ κολάσει χρήσασθαι ἱστορεῖται καὶ ἡ Παρύσατις ἡ Κύρου καὶ Ἀρταξέρξου μήτηρ, κατὰ τοῦ ἀνελεῖν τὸν Κῦρον αὐχήσαντος, μαχόμενον περὶ τῆς βασιλείας τῷ ἀδελφῷ, ἐπὶ τεσσαρεσκαιδεκάτην ἡμέραν τῇ τιμωρίᾳ διαρκέσαντος τῆς σκαφεύσεως. ἡ μὲν οὖν σκάφευσις τοιάδε τις ἱστόρηται. τὸ δ' ἀνάστα φάγε σάρκας, οὐκ ἐπιτρέποντος ἦν, ἀλλὰ προλέγοντος τὰ ἐσόμενα. πολλὴ γὰρ φθορὰ τῶν ἀσσυρίων καὶ τῶν συμμαχούντων ἐκείνοις, ὑπό τε περσῶν τε καὶ μήδων ἐγένετο. ἅπερ δ' αὖ καὶ τὸ φάγε σάρκας πολλάς, τῆς ὠμότητος τοῦ ἔθνους σημαντικόν. τὰ δὲ τρία πλευρὰ ἢ πτερὰ, ἃ ἐν τῷ στόματι κατεῖχε, τὴν τῶν τριῶν τμημάτων ἀρχὴν τῆς οἰκουμένης ἣν προκατέσχον αὐτοί. Κῦρος μὲν γὰρ ὁ τὴν τῶν ἀσσυρίων βασιλείαν καθῃρηκὼς, τὴν ἑῴαν ἅπασαν μέχρι τοῦ ἑλλησπόντου ὑπέταξεν. ὁ δὲ τούτου υἱὸς Καμβύσης καὶ τὴν Αἴγυπτον καὶ τὴν Αἰθιοπίαν ἔσχεν ὑφ' ἑαυτόν· νότιοι δ' αἱ χῶραι αὗται εἰσί. Δαρεῖος δὲ ὁ Ὑστάσπου καὶ τοὺς νομάδας ἐχειρώσατο Σκύθας. οὗτοι δ' οἰκοῦσι τὸ κλίμα τὸ βόρειον. ὁ δέ γε Ξέρξης ὁ τοῦ Δαρείου, ὥρμησε μὲν κατὰ τῆς Εὐρώπης, κρατῆσαι καὶ ταύτης πειρώμενος. ἀπεκρούσθη δ' ἐν ναυμαχίᾳ πρὸς Ἀθηναίων ἡττηθεὶς, καὶ ἀνέζευξε κατῃσχυμμένος. τὸ δ' ἐν μέρει στῆναι τὸ θηρίον, σημαντικὸν τοῦ μὴ παντὸς τῆς ἀρχῆς ἐκπεσεῖν, ὀλίγῳ δὲ μέρει ταύτης περιγραφῆναι. πάσης γὰρ τῆς ἀσίας πρώην κρατοῦσα ἡ βασιλεία ἐκείνη,

Τὸ δεύτερον θηρίον. — *Τί ἦν τὸ ἄρκτῳ δηλούμενον, τῶν περσῶν σκάφευσις.* — *Τίνας ὁ Κῦρος, καὶ τίνας ὁ Καμβύσης, καὶ τίνας ὁ Δαρεῖος ὑπέταξε, καὶ τίνας ὁ Ξέρξης.*

bat. sublatio à terra, imperij illius finem denotabat, & potestatis amissionē. Quia pedib. hominis insistebat, id subditis par fore, innuebatur. Quia cor hominis ei dabatur, notabat, fore ut experientia disceret se hominē esse: neq; per arrogantiam ea sibi fingeret, quæ naturam humanam excedunt. Alæ præter naturam bestiæ enatæ, elationem regum illorum significabāt, quorum animi superbia nubes transcendebat. Alterum animal ursæ erat simile, & in una parte stabat, ac tres costas in ore habebat. cui dicebatur: Surge & ede carnes multas. Ea regnum Persarum denotabat, ob sæuitiam gentis, & immanitatem. Nam Persæ atrocitate pœnarum omnes barbaros uincunt, scaphis & excoriationibus supplicia grauiora & diuturniora reddentes. Cæterùm quod de scaphis dixi, declarandum est, ob imperitiores. Duas scaphas inter sese pares coniungunt, ita incisas, ut caput, manus & pedes foras emineant, in quibus eum qui supplicio afficitur, supinum reclinant, itaq; scaphas clauis inter se compingunt. Deinde potionem ex melle & lacte in os miseri infundunt, donec ad nauseam repleatur, eademq; & faciem & pedes & brachia eius perfundunt, & sub dio ad solem exponunt. & hoc quotidie faciunt. Ita fit, ut muscæ, uespæ & apes liquorum suauitate allectæ, faciei & reliquis membris è scaphis prominentibus insideant, miserumq; uexent & pungant. At uenter eius lacte & melle distentus, liquida reijcit excrementa, è quibus putrefactis lumbrici & uermes scaturiunt: qui uerò in scaphis iacet, in sordibus illis carne putrescente, à uermibus erosus, & crudelius & tardius interit. Hoc supplicij genere Parisatis, Artaxerxis & Cyri mater, eum sustulisse fertur, qui se Cyrum cum fratre de regno pugnantem, interfecisse gloriatus fuerat, per dies quatuordecim excruciatum. Ac scapharum supplicium huiusmodi est. Cæterùm uerba ista, Surge & comede carnes: non sunt hortantis, sed futura prædicentis. Nā quatuor Assyrij, & socij illorum plurimi, sunt à Persis interfecti. Eadem etiam ad crudelitatem gentis referri queant. Tres uerò costæ uel alæ, quas ore tenebat, trium orbis terræ partium imperium denotabant. Nam Cyrus Assyrij regni euersor, orientem omnem usque ad Hellespontum subegit. Cuius filius Cambyses & Aegyptum & Aethiopiam, quæ Austro obuersæ iacent, obtinuit. Darius autem Hystaspis filius, Scythas uagos domuit: hi uersus Septentrionem habitant. Xerxes porrò Darij filius expeditione suscepta, conatus ille quidē est Europam subigere: sed ab Atheniensib. nauali pugna uictus, cum dedecore domum redijt. Iam statio in parte, significat eos regnū non prorsus amissuros: sed eius exiguā partem retenturos. Nam cum imperium illud olim totam Asiam,

Cor hominis. — *Alæ.* — *Vrsa.* — *Scaphensis supplicij Persici genus.* — *Tres costæ.* — *Cyrus.* — *Cambyses.* — *Darius.* — *Xerxes.* — *Statio in parte.*

Aethiopiam, Aegyptum Palæstinam, Phœniciam, ipsamq; Ciliciam teneret, reliquis excidit, Media & Perside retentis. Vel statio illa in parte, referri potest eô, quòd Persarum regnum ad tempus ociosum & ignauum sit futurum. nam Alexandro post id subactum mortuo, eius Monarchia in quatuor regna est distracta. Cum autem successores eius crebris inter sese prælijs uires suas attriuissent, Persæ arrepta occasione, resumpta'que fiducia, multum de suo imperio recuperarunt. Tertium animal pantheræ fuit simile, quatuor alis uolucribus in dorso præditum, quatuor etiam capitibus in eo enatis, cui propheta potestatē esse datam ait. Hoc animal imperium Macedonicum repræsentat. Nam pantheræ comparatus est Alexander ob celeritatem & agilitatem, quod ipsum & alæ innuebant: quarū quaternio quatuor mūdi partes notabat, quas instar uolucris est peruagatus, ac propè omniū potitus. Quatuor capita, diuisionem imperij post eius obitum in partes totidem declararunt. Nam Aegyptum Ptolemæus Lagi filius obtinuit, eiusque posteri usque ad Cleopatram. Syria & adiacentibus regionibus Seleucus est potitus. Antigonus Asiam subegit, Macedoniæ Antipater imperauit: uel, ut quidam narrant, Aridæus frater Alexandri ex patre Philippo. Ait enim Chæronensis, Perdiccā maxima potentia præditum, statim post mortem Alexandri Aridæum, tanquam regni munimentum attraxisse, ex muliere ignobili & uulgari ortum, & mentis parum cōpotem: non quidem ita genitum, sed ueneficio Olympiadis corruptū. Quarti animalis formam non expressit propheta, sed formidabile & terribile nominat, magnis ferreis dentibus uorans & comminuens, & reliqua pedibus conculcans, magno discrimine inter illud & cætera constituto. Verùm id Romanorum imperium innuit. Quod cum sit uarium et multiforme, propheta neq; nomen eius, neque formam posuit. Nam à Romulo usque ad Tarquinios Roma regibus paruit: quorum tyrannide euersa, optimates, senatus & consules rem publicam administrarunt: aliquando etiam ad popularis imperij formam redacta est, seditione plebis aduersus patres, pôst iterum unius potestate oppressa, & ad regij nominis appellationē reuersa. Bestiam porrò illā terribilem & formidabilem uocat, quòd Romanum imperium cæteris potentius extitit, & quæ Macedones non attigerant, ea quoq; subegit, Græciam uidelicet uniuersam, Carthaginem cum Lybia, Siciliā, Sardiniam, cæterasq; insulas, & complures gentes occidentales, quibus non imperauit Alexander: quæ cui scire studio est, is Dionis Romani et Polybij legat historias. Ferrei dentes ei bestiæ sunt attributi, quòd Romanorum principatus omnib. alijs imperijs horribilior fuit: atq; etiam in imagine per somniū oblata Nabuchodonosori, quartum regnum ferro comparatur.

Panthera. *4. Ale.* *Ptolomæus* *Seleucus.* *Antigonus.* *Antipater.* *Aridæus.* *Perdiccas.* *Romanum imperium bestia horribilis & informis.*

Ferreis

καὶ αἰθιόπων καὶ αἰγυπτίων, παλαιστίνης τε καὶ φοινίκης, καὶ τῆς λιβύης αὐτῆς, ἐξέπεσε μὲν τῶν λοιπῶν, περιελήφθη δ' αὐτῇ μηδία τε καὶ περσίς. ἢ καὶ ἄλλως τὸ ἐν μέρει εἶναι τὸ θηρίον, ἐκληφθήσεται, ὡς ἐπὶ καιρόν τινα δηλαδὴ σχολάσαι τὴν τῶν περσῶν βασιλείαν, καὶ ἀπρακτῆσαι. τοῦ γὰρ ἀλεξάνδρου καθῃρηκότος αὐτὴν, εἶτα θανόντος, εἰς τέσσαρας ἀρχὰς ἡ ἐκείνου μοναρχία διῄρητο. κατ' ἀλλήλων δὲ τῶν διαδόχων αὐτοῦ χωρησάντων, καὶ ἐν ταῖς πρὸς ἀλλήλους μάχαις ἀπειρηκότων, οἱ πέρσαι πάλιν καιροῦ λαβόμενοι ἀνεθάῤῥησαν, καὶ πολλὰ τῆς σφετέρας ἀρχῆς ἀνεκτήσαντο. τὸ δὲ τρίτον θηρίον παρδάλει ὂν ἐμφερὲς, καὶ πτερὰ εἶχε τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς. καὶ τέσσαρες κεφαλαὶ τούτῳ τῷ θηρίῳ ἐπεφύκεισαν, καὶ ἐξουσίαν λέγει δεδόσθαι αὐτῷ. τοῦτο δὲ τὸ θηρίον τὴν μακεδονικὴν εἰκονίζει βασιλείαν. παρδάλει μὲν γὰρ εἰκάσθη ἀλέξανδρος διὰ τὸ ὀξύῤῥοπον καὶ εὐκίνητον, ὃ καὶ τὰ πτερὰ ἐδήλουν. ἡ δὲ τούτων τετρακτὺς, τὰ τέσσαρα τῆς οἰκουμένης μέρη ἐνίττετο, ἃ πτηνοῦ δίκην τρόπον, καὶ σχεδὸν ἁπάντων ἐκράτησεν. αἱ δέ γε τέσσαρες κεφαλαὶ, τὴν μετὰ θάνατον ἐκείνου διαίρεσιν ἐσήμαινον τῆς ἀρχῆς. εἰς γὰρ τέσσαρας βασιλείας ἡ ἐκείνου ἐπικράτεια διῄρητο. καὶ τῆς μὲν αἰγύπτου πτολεμαῖος ὁ λάγου κεκράτηκε, καὶ οἱ ἐξ ἐκείνου μέχρι τῆς κλεοπάτρας. τῆς δέ γε συρίας καὶ τῶν αὐτῇ προσοίκων, ὁ σέλευκος ἐκυρίευσεν. ἀντίγονος δὲ τὴν ἀσίαν ὑφ' ἑαυτὸν ἐποιήσατο. τῆς δὲ μακεδονίας ἦρξεν ἀντίπατρος, ὡς δέ τινες ἱστοροῦσιν, ὁ ἀῤῥιδαῖος ἀδελφὸς ἑτεροθαλὴς ἐκ πατρὸς ὢν ἀλεξάνδρου. φησὶ γὰρ ὁ χαιρωνεύς, τὸν περδίκκαν μετὰ θάνατον ἀλεξάνδρου ἐν μεγίστῃ δυνάμει ὄντα, εὐθὺς τὸν ἀῤῥιδαῖον ὥσπερ δορυφόρημα βασιλείας ἐφελκῦσαι, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ κοινῆς, ἀτελῆ δὲ τὴν φρόνησιν ὄντα, οὐ φύσει τοιοῦτον τεχθέντα, ἀλλὰ τῆς ὀλυμπιάδος φαρμάκοις διαφθειράσης αὐτοῦ τὴν διάνοιαν. τοῦ δὲ τετάρτου θηρίου εἶδος μὲν οὐκ ἐσήμανεν ὁ προφήτης, φοβερὸν δὲ εἶπε τοῦτο, καὶ ἔκθαμβον περισσῶς, ὀδόντας ἔχον μεγάλους καὶ σιδηροῦς, ἐσθίον τε καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα συμπατοῦν, καὶ τὸ διάφορον αὐτοῦ πρὸς τὰ προηγησάμενα θηρία ἔφη τυγχάνειν πολύ. ἡ τῶν ῥωμαίων δὲ διὰ τούτου βασιλεία σημαίνεται. διὸ οὐδὲ εἶδος ὁ προφήτης τούτῳ, οὐδ' ὄνομα ἔθετο. πολυειδὴς γὰρ ἡ τῶν ῥωμαίων ἀρχὴ, πρότερον μὲν βασιλεῦσιν ἰθυνομένη ἀπὸ ῥωμύλου μέχρι τῶν ταρκυνίων. τῆς δ' ἐκείνων τυραννίδος καταλυθείσης, ἀριστοκρατουμένη, τῆς συγκλήτου καὶ τῶν ὑπάτων διοικούντων τὰ πράγματα. ἔστι δ' ὅτε καὶ δημοκρατουμένη, τοῦ δήμου πολλάκις πρὸς τὴν σύγκλητον στασιάζοντος· μετέπειτα δ' αὖθις εἰς μοναρχίαν μεταπεσοῦσα, κἀκ ταύτης εἰς βασιλείας κλῆσιν ἐπανακέκαμψε. φοβερὸν δὲ τὸ θηρίον καὶ ἔκθαμβον εἶπεν, ὅτι δυνατωτέρα τῶν ἄλλων βασιλειῶν αὕτη γεγένηται· καὶ ὅσα ἡ μακεδονικὴ μὴ ὑπέταξε βασιλεία, ὑφ' ἑαυτὴν αὕτη ποιησαμένη, τὴν ἑλλάδα δηλαδὴ πᾶσαν, τὴν καρχηδόνα σὺν τῇ λιβύῃ, τὴν σικελίαν, τὴν σαρδώ τε καὶ νήσους ἄλλας, καὶ ἔθνη ἑσπέρια διάφορα ἕτερα, ὧν οὐκ ἦρξεν ἀλέξανδρος. ἅπερ ὁ βουλόμενος γνῶναι, τὰς βίβλους τοῦ ῥωμαίου δίωνος ἀναγνώτω, καὶ τὰ τοῦ πολυβίου συγγράμματα. φοβερὸν δὲ τὸ θηρίον, καὶ ἔκθαμβον, καὶ σιδηροῦς ὀδόντας ἔχον, ὡς τῆς τῶν ῥωμαίων ἡγεμονίας τῶν ἄλλων βασιλειῶν ἁπασῶν φρικωδεστέρας γεγενημένης. καὶ ἐν τῇ εἰκόνι γὰρ τῇ κατ' ὄναρ ὀφθείσῃ τῷ ναβουχοδονόσορ, ὁ σίδηρος τέθειται τῆς τετάρτης βασιλείας εἰκόνισμα.

Τὸ δὲ τρίτον παρδάλει. *Τίνες οἱ διαδεξάμενοι τὴν ἀλεξάνδρου ἀρχήν.* *Τί τὸ τέταρτον θηρίον.*

πις

[illegible]

τοῖς δὲ σιδηροῖς ὀδοῦσιν ἐσθίειν τὸ θηρίον εἶπε, καὶ λεπτύνειν, καὶ τὰ λοιπὰ συμπατεῖν τοῖς ποσί. τὸ μὲν οὖν ἐσθίειν καὶ λεπτύνειν, εἰς τὰς τῶν δασμῶν ἐξειλῆφθαι εἰσφοράς, ὡς βαρυτέρων τοῖς ὑπηκόοις φέρειν τῶν ἄλλων, οἳ τοὺς βασιλεύοντας τρέφουσι καὶ πιαίνουσι, τοὺς δ᾽ ἀποστερουμένους αὐτοὺς καὶ λεπτύνουσι πενητεύοντας. οἱ δὲ δασμοφορεῖν οὐκ ἀνέχοντο, τῆς ἐλευθερίας ἀντιποιούμενοι, τούτους τοῖς ποσὶ συνεπάτει τὸ θηρίον, καὶ ἐξωλόθρευε. διὰ τῶν ποδῶν δὲ τὸ στρατιωτικὸν ὑπαινίττεται, ὡς ἐν τούτῳ τῆς βασιλείας ἑδραζομένης καὶ ἐπιβαινούσης, καὶ ἐξ ἑτέρων μεταβαινούσης εἰς ἕτερα. καὶ κέρατα δὲ τοῦ θηρίου δέκα φησίν, ὑπεμφαίνων, ὡς εἰς πολλὰς ἡγεμονίας ἐπ᾽ ἐσχάτων ἡ βασιλεία διαιρεθήσεται. ἐν μέσῳ δὲ τῶν δέκα μικρὸν ἀνιέναι κέρας, καὶ ἐκριζωθῆναι τὰ κέρατα τρία ὑπ᾽ αὐτοῦ, καὶ ὀφθαλμοὺς ἔχειν ἐκεῖνο τὸ κέρας, καὶ στόμα λαλοῦν μεγάλα, καὶ πολεμεῖν τοῖς ἁγίοις. τοῦτο τὸ κέρας εἰς τὸν ἀντίχριστον ἐξειλήφασί τινες. μικρὸν δ᾽ ἐκλήθη, ὡς ἐκ μικρᾶς φυλῆς τῶν ἑβραίων μέλλον φύεσθαι, τρεῖς δὲ τῶν δέκα βασιλέων καταλύσειν. διὰ δὲ τῶν ὀφθαλμῶν, τὴν πονηρίαν αὐτοῦ καὶ τὸ πανοῦργον ἠνίξατο, ὡς διὰ τούτων ἐξαπατήσοντος πολλούς. διὰ δὲ τοῦ μεγάλα λαλοῦντος στόματος, τὴν ἀλαζονείαν αὐτοῦ καὶ τὸ ἐπηρμένον ὑπανέφηνε τοῦ φρονήματος. τὸ δὲ πόλεμον μετὰ τῶν ἁγίων ποιεῖν, τὸ πᾶσαν ἐνδείξεσθαι σπουδὴν δηλοῖ, τῆς οἰκείας κακίας καὶ βλασφημίας ἅπαντας λαβεῖν κοινωνούς. τὸ δὲ κατὰ τοῦ θεοῦ βλασφημίας ἐκεῖνο ἐμφαντικόν, τὸ, λόγους εἰς τὸ ὕψος λαλήσει. ἐπὶ τούτοις ὁ προφήτης ἐπήγαγεν· ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθισε, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν, ὁ θρόνος αὐτοῦ ὡς φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον, ποταμὸς πυρὸς εἷλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ, χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν. ἃ μὲν οὖν ἔργον ποιεῖν τὸ κέρας, οὐκ ἐπὶ μακρὸν διαρκέσειν ἐδηλώθη τῷ Δανιήλ, ἕως δ᾽ ὁ αἰώνιος κριτήριον ἐκάθισεν, ἀντὶ τοῦ, κρίσεως καιρὸν ἔστησε, καὶ τὴν μνήμην τῶν ἑκάστῳ πεπραγμένων ἀνέπτυξε. βίβλους γάρ, τὰς ἀναμνήσεις ἐκάλεσε· καὶ παλαιὸν ἡμερῶν, τὸν αἰώνιον. ἡ δὲ λευκότης τῶν τριχῶν καὶ τοῦ ἐνδύματος, τὸ καθαρὸν αὐτοῦ πανταχόθεν καὶ ἄμωμον δείκνυσιν. ἵνα δὲ κατὰ συγχώρησιν θεοῦ δείξῃ γενήσεσθαι τὰ παρὰ τοῦ ἀντιχρίστου ἐσόμενα, καὶ οὐχ ὡς ἀδυνατούσης τῆς θείας φύσεως ταῦτα παῦσαι, ἢ μηδὲ τὴν ἀρχὴν συγχωρῆσαι γενέσθαι, τὰς χιλίας χιλιάδας τῶν λειτουργῶν, καὶ τὰς μυρίας μυριάδας τῶν παρεστηκότων ἀνήγαγε, καὶ τὸν πύρινον θρόνον, καὶ τοὺς ὁμοίους τροχούς, καὶ τὸν φλέγοντα ποταμόν, καὶ ἐθεώρει ἕως οὗ ἀνῃρέθη τὸ θηρίον, καὶ τὸ σῶμα αὐτοῦ εἰς καῦσιν ἐδόθη πυρός. διὰ γὰρ τὴν μανίαν τοῦ ἀντιχρίστου ὅλη ἡ βασιλεία περιαιρεθήσεται, καὶ οὐκ αὐτὸ τὸ θηρίον εἰς καῦσιν δοθήσεται, ἀλλὰ τὸ σῶμα αὐτοῦ. τοῦ γὰρ θηρίου τὴν βασιλείαν αἰνιττομένου, εἰκὸς εἶναι ἐν τῇ βασιλείᾳ πολλοὺς καὶ τὸν θεὸν σέβοντας, καὶ ἀρετὴν μετιόντας. οὐ τούτους οὖν φησὶν εἰς καῦσιν δοθῆναι, ἀλλὰ τοὺς κακίας ἐργάτας, καὶ ταῖς τοῦ σώματος ἐπιθυμίαις ἐγκειμένους διαπαντός, καὶ μή τι φροντίσαντας πνευματικόν. μετὰ δὲ τὴν τοῦ θηρίου ἀπώλειαν, ὁρᾶν ὁ προφήτης φησίν, ὡς υἱὸν ἀνθρώπου, ἐρχόμενον ἐπὶ τῶν νεφελῶν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν φθάσαντα, ᾧ καὶ δοθῆναι λέγει τὴν ἀρχὴν καὶ τὴν τιμὴν καὶ τὴν βασιλείαν, καὶ

περὶ τοῦ ἀντιχρίστου.

περὶ τῆς ὁράσεως τοῦ Δανιὴλ καὶ παλαιοῦ τῶν ἡμερῶν.

περὶ δὲ ἀπωλείας τοῦ ἀντιχρίστου.

Ferreis porrò dentibus edere & comminuere bestiam dixit, & reliqua conculcare pedibus: quorum priora ad tributorum exactionem referuntur, grauiorem cæteris, quib. reges aluntur & saginantur, subditi attenuantur, et ad egestatem rediguntur. Qui uerò tributa detrectabant, & libertatem defendebant, eos conculcabat bestia, & exterminabat. Per pedes autem intelliguntur exercitus, ut quibus regnum insistat & innitatur, & ab alijs ad alia transeat. Præterea X cornua bestiæ, significant, id imperium postremis temporib. in multa esse regna diuidendum. In medio porrò X cornuum, paruum prodire cornu, quo tria alia cornua extirpentur: & oculos habere cornu illud, et os magniloquum et infestum sanctis. Hoc cornu quidam Antichristum interpretantur. paruum autem uocatur, quòd ex parua tribu Hebræorum sit oriturum, et tres de X regibus euersurum. Per oculos, improbitatem eius, et calliditatem innuit, quibus multos sit seducturum. Per os magniloquum, eius arrogantia, et animi elatio declaratur. Iam belli aduersus sanctos susceptio, arguit, omne studium adhibiturum esse, ut omnes ad suę improbitatis et blasphemiæ communionem pertrahat. blasphemiam porrò contra Deum illa arguunt, cum ait: In sublime uerba faciet. His propheta subijcit: Spectabam, donec sellis positis, longæuus consedisset, cuius uestis erat niueo candore, capillus instar puræ lanæ, sedes ut flamma ignis, rotæ eius ignis comburens, fluuius ignitus ante eum manans euoluebatur, decies centena millia ministrabant ei, et millies centena millia astabant ei, iudicioq́ue coacto libri aperti sunt. Quæ igitur cornu facere dicitur, ea non diu esse duratura, monstratum est Danieli: sed donec longæuus iudicium coegerit, hoc est, iudicij tempus statuerit, et facta cuiusque, memoria repetierit. Recordationem enim, libros uocat: et longæuum, eum qui æternus est. candor autem capillorum et uestis, puritatem eius et integritatem ostendit. Vt autem significet ea quæ ab Antichristo agentur, Deo conniuente actum iri: non uerò ita, quasi à diuina potentia uel coherceri, uel ne prorsus non fierent, prohiberi non possent: decies centena millia ministrorum, et millies centena millia apparitorum commemorat, et sellam igneam, consimilesq́ue rotas, et fluuium ardentem. spectauitq́ue, donec bestia tolleretur, et corpus eius igni conflagraret. Nam ob furorem Antichristi, totum ab eo regnum auferetur: neque ipsa bestia igni tradetur, sed corpus eius. Nam cum bestia regnum innuat, probabile est, in eo fore multos qui Deum colant, et uirtuti studeant. Non eos igitur conflagraturos, sed maleficos, et corporis uoluptatibus assiduè deditos, spiritus prorsus negligentes.

Post interitum bestiæ, propheta ait, se quendam uidisse tanquam filium hominis in nubibus uenientem, et usque ad longæuum progressum, cui datum sit imperium, honos et regnum,

Ferrei dentes.

Pedes.

X cornua.

XI cornu Antichristus.

Oculi.

Os.

Bellum aduersus sanctos.

Iudicium.

Libri.

Longæuus.

Candor.

Ministri.

Corpus bestiæ comburendum.

Filius hominis.

eiusq́ꝫ seruituti subiecti populi omnes, linguæ & tribus: & potestatem eius æternã fore, non præterituram, nec regnum eius interiturum. Hæc aperte secundum aduentum seruatoris nostri Iesu Christi prænunciant. Filius enim hominis dicitur ob assumptam naturam nostram, uenturus in nubibus, ex promisso ipsius, cum dixit, Visuros filium hominis uenientem in nubibus cœli. Hæc Daniel edoctus est primo anno Balthasaris. *Danielis aliud uisum.* Tertio, uisum aliud uidit. Nam cum Susis, inquit, essem, sublatis oculis, uidi arietem stantem in Vbale, *Aries.* altis cornibus, altero tamen altiore: id ad extremum surgebat, & contra mare, Septentrionem & Austrum arietabat, neque ulla animalia coram eo consistere poterant. Fecit igitur omnia suo arbitratu, & magnus euasit. Hac uisione propheta rursus de regnis edocetur. *Persicū imperium.* Nam Persarum imperium ob diuitiarum affluentiam arieti comparatum est. Stabat autem is in Vbale, quæ est porta Susorum, metropolis & regiæ Persarum, in eaq́ꝫ degenti prophetæ uisio oblata erat. *Duo cornua.* Duo cornua significabãt duas familias, illius imperij gubernatrices. *Cyrus.* Minus Cyrum, & *Cambyses.* Cambysem eius filium: in quibus imperium constitit, non progresso ulterius Cyri genere. *Darius.* Maius, Darij genus portendit: quod usq́ꝫ ad eum Darium perdurauit, quem deuicit Alexander. Nam Cambyse filio Cyri mortuo, Magi per fraudem regnum sibi uendicabant: quo non diu retento, agniti, à septem Persicis familijs sunt oppressi. è quarum una Darius ortus, Hystaspis filius, regno potitus est, familia eius usq́ꝫ ad regni excidium propagata. id quod propheta innuit, cum addit, alterius cornu ad extremum creuisse: hoc est, diu & usq́ꝫ ad Persici regni excidiũ durasse. Arietabat autem is aries uersus Austrum, Septentrionem & mare. nam & Australem & Septentrionalem plagã subegit: *Mare.* & insulas pleraſq́ꝫ, quæ per mare intelliguntur, in seruitutem redegit. Est & Xerxes insulariũ auxilijs usus, bello illato Græciæ. quamobrem propheta arietem etiam mare ferire cornibus uidet, neque ullam feram consistere coram eo posse. *Feræ.* feras porrò uocat regna singularia, quippe subditis formidabilia: cuiusmodi fuerunt, regnũ Syrorum, Cilicum, Arabum, Aegyptiorum, Iudæorum, & cætera, quorum nullum tandem Persico imperio obsistere potuit, quin id subigeret omnes quos inuasisset. [Et magnus euasit.] siue quòd amplificatum est imperium, multis gentibus & prouincijs subactis: siue quòd magna quædam & natura humana maiora sibi finxit, rebus secundis elatum. Dum propheta de ijs quæ uiderat, dubitat, *Hircus.* hircum uidet ab Africo uenientem in omnem terram, cui cornu erat spectabile in medio oculorum: qui usque ad arietem progressus, ferociter illum perculit, & eius cornua comminuit, & humi prostratum conculcauit pedibus, neque erat qui arietem eriperet de manu eius. Macedonicum

καὶ αὐτῷ δουλεύσειν οἱ λαοὶ πάντες, καὶ τὰς γλώσσας καὶ τὰς φυλὰς, καὶ τὴν ἐξουσίαν αὐτοῦ αἰώνιον ἔσεσθαι, καὶ μὴ παρελεύσεσθαι, καὶ τὴν βασιλείαν αὐτοῦ μὴ διαφθαρήσεσθαι. ταῦτα σαφῶς τὴν δευτέραν ἐπιφάνειαν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προθεσπίζουσιν. *περὶ τῆς δευτέρας παρουσίας τοῦ υἱοῦ τοῦ θεοῦ.* υἱὸς μὲν γὰρ ἀνθρώπου καλεῖται διὰ τὴν ἡμετέραν φύσιν, ἣν προσελάβετο. ἐπὶ δὲ τῶν νεφελῶν ἐρχόμενος, κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ, εἰπόντος, ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. ταῦτα μὲν ἐν τῷ πρώτῳ ἔτει τῆς βασιλείας Βαλτάσαρ ἐμυήθη ὁ Δανιήλ. ἐν δὲ τῷ τρίτῳ ἑτέραν ὀπτασίαν ἑώρακεν. *περὶ τῆς ἑτέρας ὀπτασίας τοῦ Δανιὴλ, ἐν ᾗ ὁ κριὸς ἑστηκὼς φανερός, καὶ τὰ ἑξῆς.* ἐν Σούσοις γὰρ ὢν, ἦρα, λέγει, τοὺς ὀφθαλμούς μου, καὶ ἰδοὺ κριὸς ἑστηκὼς ἐπὶ τοῦ Οὐβάλ, καὶ αὐτῷ κέρατα ὑψηλὰ, καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτῳ, καὶ ἦν κερατίζων ἐπὶ θάλασσαν καὶ βοῤῥᾶν καὶ νότον, καὶ πάντα τὰ θηρία στῆναι αὐτοῦ ἐνώπιον οὐκ ἠδύναντο, καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ἐμεγαλύνθη. πάλιν κἀνταῦθα τὰ περὶ τῶν βασιλειῶν ὁ προφήτης διδάσκεται, καὶ κριῷ μὲν ἀπεικάζεται ἡ ἀρχὴ τῶν Περσῶν διὰ τὸν περιῤῥέοντα αὐτῇ πλοῦτον. ἑστὼς δ' ἦν ὁ κριὸς ἐπὶ τοῦ Οὐβάλ, ἤγουν ἐπὶ τῆς πύλης τῶν Σούσων. αὕτη γὰρ ἦν ἡ πόλις μητρόπολις τῶν Περσῶν, *ὅτι τὰ Σοῦσα μητρόπολις ἦν τῶν Περσῶν.* καὶ ἐκεῖ τοῖς βασιλεῦσιν ἦν τὰ βασίλεια. καὶ ὁ προφήτης ἐν ταύτῃ τῇ πόλει διάγων, εἶδε τὸ ὅραμα. τὰ δὲ δύο κέρατα, τὰ τὴν βασιλείαν ταύτην ἰθύνοντα, δύο γένη ἐτύπουν. τὸ μὲν γὰρ ἧττον κέρας, τὸν Κῦρον, καὶ τὸν αὐτοῦ υἱὸν τὸν Καμβύσην ᾐνίττετο, μέχρις ὧν γὰρ ἡ τῆς βασιλείας ἔστη ἀρχὴ, καὶ οὐ προῆλθε περαιτέρω τὸ Κύρου γένος. τὸ δὲ μεῖζον κέρας, τὸ Δαρείου γένος ᾐνίττετο, ὃ μέχρι τοῦ τελευταίου Δαρείου προέκοψεν, ὃν κατεπολέμησεν ὁ Ἀλέξανδρος. *ὅτι Καμβύσου τοῦ Κύρου παιδὸς θανόντος οἱ μάγοι τὴν βασιλείαν ἐσφετερίσαντο, καὶ τούτους ὁ Ὑστάσπου Δαρεῖος καθεῖλε.* Καμβύσου γὰρ τοῦ Κύρου παιδὸς θανόντος, οἱ μάγοι μετὰ δόλου τὴν βασιλείαν ἐσφετερίσαντο, οὓς ἐπ' ὀλίγον κρατήσαντας, καὶ γνωσθέντας οἵτινες ἦσαν, οἱ ἑπτὰ τῶν Περσῶν οἶκοι καθεῖλον. ἐξ ὧν ἐβασίλευσεν ὁ Ὑστάσπου Δαρεῖος, οὗ τὸ γένος μέχρι τέλους τῆς βασιλείας διήρκεσε. τοῦτο γὰρ ἐμφαίνει ὁ προφήτης, προσθεὶς, ὅτι τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτῳ, τὸ ἐπὶ μακρὸν δηλαδὴ διαρκέσαι, καὶ ἕως τέλους τῆς Περσικῆς βασιλείας τὸ κέρας τὸ ἕτερον. ἐκεράτιζε δ' ὁ κριὸς κατὰ νότον καὶ βοῤῥᾶν καὶ θάλασσαν. τό, τε γὰρ νότιον κλίμα καὶ τὸ βόρειον ἐχειρώσατο, καὶ τῶν νήσων τὰς πλείους (ταύτας γὰρ διὰ τῆς θαλάσσης ᾐνίξατο) ὑπὸ δουλείαν πεποίητο. καὶ συνεμάχουν τῷ Ξέρξῃ κατὰ τῆς Ἑλλάδος στρατεύοντι οἱ τὰς νήσους οἰκοῦντες. διὸ καὶ κατὰ θάλασσαν τὸν κριὸν κερατίζειν ὁ προφήτης ἑώρακεν. οὐδέν τε τῶν θηρίων ἐνώπιον αὐτοῦ στῆναι ὑπέμενε. θηρία δὲ τὰς μερικὰς βασιλείας ἐκάλεσεν, ὡς φοβερὰς τοῖς ὑπηκόοις. ἦσαν δ' αὗται, ἡ Σύρων, ἡ Κιλίκων, ἡ Ἀράβων, ἡ Αἰγυπτίων, ἡ Ἰουδαίων, καὶ ἕτεραι. οὐδὲ μία γοῦν τούτων ἀντιστῆναι εἰς τέλος ἠδυνήθη τῇ Περσῶν ἀρχῇ, ἀλλ' ἅπαντας οἷς προσέβαλεν ὑπέταξε. καὶ ἐμεγαλύνθη] ἢ ὅτι μεγάλη γέγονεν ἡ ἀρχὴ, πολλῶν ἐθνῶν καὶ χωρῶν κυριεύσασα· ἢ ὅτι μεγάλα, καὶ ὑπὲρ ἀνθρωπίνην ἐφαντάσθη φύσιν, ὀγκωθεῖσα τῇ εὐτυχίᾳ. ἀπορῶν δ' ὁ προφήτης περὶ τῶν ὁρωμένων, ὁρᾷ τράγον ἐκ λιβὸς ἐρχόμενον ἐπὶ πᾶσαν τὴν γῆν, καὶ αὐτῷ κέρας ἦν ἓν θεωρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. *περὶ τοῦ τράγου ἐν ᾧ ὁ Ἀλέξανδρος ἐδηλοῦτο.* καὶ ἕως τοῦ κριοῦ φθάσας, ἐξωργίσθη πρὸς αὐτὸν, καὶ ἔπαισεν αὐτὸν, καὶ συνέτριψε τὰ κέρατα αὐτοῦ, καὶ ἔῤῥιψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτὸν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ τῆς χειρὸς αὐτοῦ. τὴν Μακεδονικὴν

βασι-

βασιλείαν ὑπεδήλου ὁ τράγος· ὀξύτερος δὲ τοῦ κριοῦ, καὶ μᾶλλον δυνάμενος, ἀπὸ λιβὸς δὲ ἀρχθεὶς, ὅτι τὴν Αἴγυπτον πρότερον ὑφ' ἑαυτὸν ποιησάμενος ὁ Ἀλέξανδρος, οὕτω πρὸς Δαρεῖον τὸ δεύτερον ὥρμησε, καὶ καταστρεψάμενος αὐτὸν, τὴν τῶν περσῶν βασιλείαν κατέλυσεν. ἐν Ἰσσῷ γὰρ πρότερον τῆς Κιλικίας αὐτῷ συμβαλὼν, ἐτρέψατο αὐτὸν, καὶ τὴν μὲν γυναῖκα καὶ τὰς θυγατέρας αὐτοῦ καὶ τὸ ἅρμα καὶ τὸ τόξον κατέσχε, καὶ διήρπασε τὸ στρατόπεδον τὸ περσικόν. ἔφυγε δὲ ἐκεῖθεν ὁ Δαρεῖος, καὶ αὖθις δυνάμεις συναγαγὼν, ἐμαχέσατο τῷ Ἀλεξάνδρῳ, ἐξ Αἰγύπτου πρὸς ἐκεῖνον ὁρμήσαντι, καὶ πάλιν ἡττήθη ἐν Ἀρβήλοις, καὶ φεύγων ἀπώλετο. θεωρητὸν δὲ τὸ κέρας φησὶ, ἀντὶ τοῦ ἐπίσημον καὶ περίβλεπτον· τὴν Ἀλεξάνδρου δὲ καὶ διὰ τούτου αἰνίττεται βασιλείαν. καὶ ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ ἐκφῦναι τὸ κέρας λέγει, διὰ τὸ ἀγχίνουν καὶ τὴν σύνεσιν, καὶ τὸ γενναῖον τοῦ φρονήματος τοῦ Ἀλεξάνδρου. [καὶ ἦλθε, φησὶν, ὁ τράγος ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, καὶ εἶδον αὐτὸν φθάσαντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριώθη πρὸς αὐτὸν, καὶ ἔπαισε τὸν κριὸν, καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ, καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ, καὶ ἔρριψεν αὐτὸν εἰς γῆν, καὶ συνεπάτησεν αὐτόν. συνέτριψε δὲ, φησὶ, καὶ ἄμφω τὰ κέρατα τοῦ κριοῦ, προσαράξαντος τοῦ τράγου αὐτῷ] τουτέστι, καὶ ἄμφω αἱ δυνάμεις αὐτοῦ αἷς ἐπεποίθει, ἥ τε περσικὴ καὶ ἡ μηδική. περσῶν γὰρ καὶ μήδων ἦρχον οἱ βασιλεῖς τῶν περσῶν, ὡς τοῦ Κύρου ἐξ ἀμφοῖν, ὡς εἴρηται, φύντος, καὶ τὴν ἀμφοῖν βασιλείαν σχόντος ὑφ' ἑαυτὸν, καὶ ἄμφω ταῦτα τὰ γένη τὴν ἀσσυρίων βασιλείαν κατέλυσεν. καὶ ὁ τράγος ἐμεγαλύνθη σφόδρα. οὐ γὰρ μόνα τὰ ὑπήκοα τῇ τῶν ἀσσυρίων ἀρχῇ ὑφ' ἑαυτὸν ἐποιήσατο, ἀλλὰ καὶ ἄλλα πολλὰ ἐχειρώσατο. τῇ τε γὰρ Ἰνδίᾳ προσέβαλε, καὶ τὸν Πῶρον ἐνίκησε, καὶ τὸν Ταξίλην ᾠκειώσατο, καὶ ἄλλα μέρη τῆς Ἰνδικῆς κατέσχεν. εἶτα δηλῶν ὁ προφήτης, ὅτι καὶ οὗτος εὐδαιμονήσας μικρὸν, τελευτήσει, ἐπάγει [καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν, συνετρίβη τὸ κέρας τὸ μέγα, καὶ τέσσαρα κέρατα ὑποκάτωθεν ἐξέφυ αὐτοῦ] τοῦ γὰρ Ἀλεξάνδρου μετὰ τὴν εὐτυχίαν ἐκείνην συντόμως θανόντος, εἰς τέσσαρα ἡ ἐκείνου διῃρέθη ἀρχὴ, ὡς ἄρτι ἐδηλώθη ἐν τῷ τρίτῳ θηρίῳ, ὃ τῷ Δανιὴλ καθ' ὕπνους ὤφθη ἐκ τῆς θαλάσσης ἐξερχόμενον, ἔχον τέσσαρας κεφαλάς. [καὶ ἐκ τοῦ ἑνὸς τῶν κεράτων, ἐξῆλθε κέρας φοβερὸν, καὶ ἐμεγαλύνθη περισσῶς πρὸς νότον καὶ πρὸς ἀνατολὴν, καὶ πρὸς λίβα, καὶ πρὸς τὴν δύσιν. καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ, καὶ ἔπεσον ἀπὸ τῆς γῆς ἐκ τῆς δυνάμεως καὶ ἐκ τῶν ἀστέρων, καὶ συνεπάτησαν αὐτούς] τὰ περὶ τὸν ἐπιφανῆ Ἀντίοχον διὰ τούτων ὁ Δανιὴλ προδιδάσκει, ὃς Ἀντιόχου μὲν τοῦ μεγάλου υἱὸς ἦν, μᾶλλον δὲ τῶν πρὸ αὐτοῦ κρατησάντων βασιλέων, τῶν ἐκ Σελεύκου διαδεδεγμένων, καὶ τῆς Αἰγύπτου κρατήσας, καὶ ἑτέρων χωρῶν, καὶ ἐπὶ Ἰουδαίους ἐστράτευσε, καὶ τῆς τῶν Ἱεροσολύμων ἐκυρίευσε πόλεως, ἀλλὰ καὶ τοῦ ἔθνους παντός. καὶ τόν τε ναὸν ἐσύλησε καὶ ἐμίανε, σύας ἐν αὐτῷ θύσας, καὶ τῷ Διὶ βωμὸν ἱδρυσάμενος, τὸ ἔθνος ὅλον ἑλληνίζειν ἠνάγκαζε, κωλύων αὐτοὺς περιτέμνειν τὰ ἄρρενα. τὴν γὰρ κατὰ τοῦ θεοῦ μανίαν αὐτοῦ, τό, ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ, ὑπαινίττεται. τὸ δὲ, ἔπεσον ἐκ τῆς δυνάμεως καὶ ἐκ τῶν ἀστέρων ἐπὶ τὴν γῆν, καὶ συνεπάτησαν αὐτούς, τοὺς ἐκ τοῦ ἰουδαϊκοῦ λαοῦ ἀσεβήσαντας διὰ τὴν ἐξ ἐκείνου ἐπαγομένην αὐτοῖς ἀνάγκην δηλοῖ, οἳ τῶν νομίμων καὶ θείας διαγωγῆς ἐκπεπτώκασι, τῷ τυράννῳ ὑπείξαντες, καὶ ὑπ' ἐκείνου συμπατηθέντες. ἀστέρες δὲ ἐκλήθησαν, διὰ τὸ τῆς εὐσεβείας καθαρὸν

καὶ

imperium repræsentauit hircus, ariete celerior & agilior. Veniebat aût ab Africo, quòd Alexander Aegypto prius subacta, tum demû Darium inuasit denuò: eoq́ uicto, Persicum imperium euertit. Nã cum prius etiam ad Issum profligarat, eius uxore, filiabus, curru & arcu potitus, direptis q́ castris Persicis. sed Darius fuga elapsus, & recollectis copiis, pugna cum Alexandro ex Aegypto reuerso ad Arbela cõmissa, iterũ superatus, in fuga perijt. Spectabile porrò cornu uocat, ut insigne & cõspicuũ, regnum Alexandri per id intelligens. Et in medio oculorum eius enatũ esse cornu dicit, ob solertiam et prudentiam, ac generosum animum Alexandri. [Et uenit, inquit, hircus usq; ad arietẽ cornigerum, et uidi eum progressum ad arietem, et efferatum contra illum: quem cũ perculisset, ambo eius cornua contriuit, ut coram eo consistere non posset, sed ab hirco prostratus humi conculcaretur. Et sunt, inquit, ambo arietis cornua cõtrita ab hirco, impetu in eũ facto] Hoc est, ambæ eius copiæ, Persicæ et Medicæ, quibus fretus erat. Nam Persarum rex utriq; genti imperabat, Cyro, ut dictum est, utrinq; ducente originem, et utroq; regno potito, quæ gentes ambæ Assyriorum regnũ euerterunt. [Et hircus euasit ualde magnus.] Neq; enim ea duntaxat quæ Assyrijs paruerant, sed alia quoq; multa subegit. Indiam aggressus, Porũ deuicit, et Taxilem sibi conciliauit, et alias Indicæ regionis partes occupauit. Deinde non diu duraturam eius felicitatẽ propheta significans, subiungit. [Et inter uincendum comminutum est cornu illud magnum, et infra ipsum quatuor cornua sunt enata.] Nam Alexandro breui post successus illos mortuo, eius imperiũ in partes quatuor est diuisum: ut iam in tertia fera dictum est, quæ in somnis Danieli uisa est ẽ mari egressa, quatuor prædita capitibus. [Et ex uno cornu exiuit cornu terribile, idq; in immensum est auctum uersus Austrum, uersus Oriẽtem, uersus Africum, et uersus Occidentem: et amplificatum est usq; ad potentiam cœli, et ceciderunt stellæ etiam in terram à potentia eius, et conculcatæ sunt.] His uerbis Daniel ea prædocet, quę sub Antiocho Epiphane contigerunt, Antiochi magni filio, superiorum regum potentiã supergresso, qui Seleuco successerant. Is Aegypto et alijs prouincijs potitus, belloq; Iudæis illato, et Hierosolyma et totam gentem subegit, templum spoliauit et polluit, porcis in eo immolatis, et ara Ioui extructa, populũq; ad paganismũ adegit, et pueros mares circũcidi uetuit. Nã eius furorem contra Deum illa uerba innuũt: [Et elatus est usque ad cœli potentiam.] Illa uerò, [Ceciderunt à potentia eius & stellæ in terram, & conculcauit eas] significant eos ex Iudaico populo, qui ab illo coacti religionem uiolarunt, & tyranno cessere, legitima diuinaq; uiuendi ratione deserta, ab eo quę conculcati sunt. Stellæ autem uocantur, uel ob pietatis puritatem et splen-

Alexander Magnus.

Cornu spectabile.

Oculi.

4 cornua infra magnum enata.

Antiochus Epiphanes.

Stellae. & splendorem: uel quòd Abraamo promiserat Deus, se progeniē eius stellatum cœlestium instar amplificaturū. [Et usq; ad principē copiarū est elatus] Cōtra ipsum Deū furorē exercuit, principē cęlestiū copiarū. [Et sacrificium turbatū est cadauerib. & factū est, ac secundis rebus usus est, & datū est ad uictimā peccatū, & humi abiecta est iusticia.] Nam cū interdicta sacrificasset, turbauit sacrificium: hoc est, cōfudit, polluit. Cadauera porcos nominat: & peccatū in sacrificio, uiolatas ab eo leges. Proiectā humi iusticiā dicit, ob contēpta instituta patria. Significantur etiā iniustae caedes eorū, qui ab impietate abhorruerunt. Sed quamuis, inquit, haec ageret, tamq; impiè se gereret Antiochus, tamē reb. secundis usus est. His subijcit Daniel. [Et dixit unus sanctus Phelmuni, Quādo tandem uisio terminabitur? & sublatū sacrificiū, & peccatū uastationis cōcessum? Is dixit ei: Usq; ad uesperā & mane, dies bis mille & trecenti, tunc repurgabitur sanctū.] Ad prophetā ex uisione solicitum mittuntur angeli, qui ei significent, finē aerumnarū fore: & tēpus cū doceant, quo desiturae sint, & alius aliū interrogabat. Nā Phelmuni, aliquē significat. Rogabat aūt nō ut ignarus, sed ut Daniel cognosceret. Qui rogabatur, respondet: Dies bis mille trecēti usq; ad uesperā & mane, tum repurgabitur sanctū. *Vespera.* Vesperā igitur uocauit principiū molestiarū, aut totum tēpus earū. nā molestiae nocti et tenebris comparantur. *Mane.* Mane, pacatū statū post calamitates. Verba igitur illa hoc uolunt, à principio malorū usq; ad eorū finē, tātū tēporis elabetur. Dies aūt in annos redacti, cōficiunt sex mēses, et annos totidē, secūdū calculū Hebraeorū. Nā tandiu uiguit calamitas Iudaeis ab Antiocho illata. Haec Danieli intelligere cupienti, à Gabriele archangelo sunt reuelata. Deinde iterum sub Dario Medorum principe (qui et Cyaxares et Assuerus) Astyagis filio, prophetā populariū *LXX Hebdomadum reuelatio.* suorū captiuitatē lamentantē, et Deū deprecantē, attigit uir quidā nomine Gabriel. attigit aūt sub tēpus sacrificij uespertini (siue tēpus uespertini cultus intelligatur, siue tantū spaciū, quāto sacrificiū uespertinū peragitur) et ait Danieli: Nunc egressus sum ad tribuēdā tibi intelligentiā, et ad annūciandū, quia Desiderius es. Quare cōsidera quę dicūtur, et uisionē intellige: hoc est, attente ausculta. Nā uerba obscura sunt, maximāq; postulant attentionē. Aliquādo aūt res diuinae per ambages innuuntur, ne omniū intelligentiae expositae cōtemnantur. Desiderius autem appellatus est Daniel, siue q̄ prauis desiderijs fortiter & generose resisteret: siue quòd scire desideraret, quid populo & tribulibus suis euenturū esset, siue q̄ ob studium uirtutis desiderabilis esset atque amabilis. Deinde subijcit
» angelus: [LXX hebdomades contractae sunt
» super populū tuū, et super sanctā urbē tuā, do-
» nec inueterascat delictū, et perficiatur peccatū,
» et obsignet peccatū, et expiet iniusticia, et ęterna iusticia adducat, et obsignetur uisio et prophetia.

καὶ ὑπέρλαμπρον. ἢ ὅτι τῷ ἀβραὰμ ὁ θεὸς ἐπηγγείλατο πληθῦναι τὸ σπέρμα αὐτοῦ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ. [καὶ ἕως τοῦ ἄρχοντος τῆς δυνάμεως ἐμεγαλύνθη] καὶ κατ' αὐτοῦ γὰρ τοῦ θεοῦ ἐλύττησε τοῦ ἄρχοντος τῶν ἄνω δυνάμεων. [καὶ θυσία ἐταράχθη πτώματι, καὶ ἐγενήθη καὶ εὐοδώθη καὶ ἐδόθη ἐπὶ τῇ θυσίᾳ ἁμαρτία, καὶ ἐρρίφη χαμαὶ δικαιοσύνη] ἀπηγορευμένα γὰρ θύσας, ἐτάραξε τὴν θυσίαν. ἀντὶ τοῦ συνέχεεν, ἐμίανε. πτώματα δὲ τοὺς ὕας λέγει, καὶ ἁμαρτίαν ἐπὶ τὴν θυσίαν, τὴν ἐπ' αὐτῇ παρανομίαν. διὰ δὲ τοῦ, ἐρρίφη χαμαὶ δικαιοσύνη, ἡ τῶν νομίμων ἀθέτησις, καὶ οἱ ἄδικοι φόνοι δηλοῦνται τῶν ἀσεβῆσαι μὴ καταδεξαμένων. ἀλλὰ καὶ ταῦτα πράττων, καὶ οὕτως ἀσεβῶν ὁ ἀντίοχος, εὐωδοῦτο φησί. ἐπὶ τούτοις ἐπάγει ὁ δανιήλ, [καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνί, ἕως πότε ἡ ὅρασις στήσεται, καὶ ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία τῆς ἐρημώσεως ἡ δοθεῖσα; καὶ εἶπεν αὐτῷ· ἕως ἑσπέρας καὶ πρωί, ἡμέραι δισχίλιαι καὶ τριακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅγιον] ἀγωνιῶντι τῷ προφήτῃ διὰ τὰ ὁρώμενα, ἀποπέμπονται ἄγγελοι δηλοῦντες αὐτῷ, ὅτι τέλος ἕξουσι τὰ δυσχερῆ, καὶ τὸν καιρὸν διδάσκοντες τῆς αὐτῶν παραλύσεως. καὶ ἠρώτα ἕτερος τὸν ἕτερον. τὸ γὰρ φελμουνὶ ἐξελληνιζόμενον, τινὰ σημαίνει. ἠρώτα δὲ οὐχ ὡς ἀγνοῶν, ἀλλ' ἵνα μάθῃ ὁ δανιήλ. ὁ δὲ ἐρωτώμενος ἀπεκρίνατο· ἡμέραι δισχίλιαι καὶ τριακόσιαι ἕως ἑσπέρας καὶ πρωί, καὶ καθαρισθήσεται τὸ ἅγιον. ἑσπέραν μὲν οὖν ἐκάλεσε τὴν ἀρχὴν τῶν ἀνιαρῶν, ἢ καὶ ὅλον τὸν χρόνον αὐτῶν. νυκτὶ γὰρ καὶ σκότῳ τὰ λυπηρὰ ἔοικε. πρωὶ δὲ τὴν μετὰ τὰς συμφορὰς εἰρηναίαν κατάστασιν. εἶτα τοίνυν σημαίνει, δι' ὧν φησιν, ὅτι ἀπὸ τῆς τῶν κακῶν ἀρχῆς μέχρι τέλους αὐτῶν τόσος καιρὸς παρελεύσεται. αἱ δὲ ἡμέραι πρὸς ἐνιαυτοὺς ἀριθμούμεναι, ἓξ ἀποτελοῦσι μῆνας, καὶ ἰσαρίθμους ἐνιαυτούς, κατὰ τὴν τῶν ἑβραίων ψῆφον. ἐπὶ τοσοῦτον γὰρ ἡ ὑπ' ἀντιόχου τοῖς ἰουδαίοις ἐπενεχθεῖσα συμφορὰ ἐπεκράτησε. ταῦτα παρὰ τοῦ ἀρχαγγέλου γαβριὴλ τῷ προφήτῃ ζητοῦντι σύνεσιν, ἐμυήθη. εἶτα διὰ τὴν τῶν ὁμοφύλων αἰχμαλωσίαν, ἐπὶ δαρείου πάλιν τοῦ μήδων ἄρχοντος, ὃς καὶ κυαξάρης ὠνομάσθη, καὶ ἀσούηρος, ἀστυάγους υἱός, τοῦ προφήτου θρηνοῦντος, καὶ τοῦ θεοῦ δεομένου, ἥψατό τις ἀνήρ, ᾧ ὄνομα γαβριήλ. ἥψατο δὲ αὐτοῦ ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς, ἢ κατὰ τὸν καιρὸν τῆς ἑσπερινῆς λατρείας, ἢ ἐπὶ τοσαύτην ὥραν, ἐφ' ὅσην ἡ ἑσπερινὴ ἐτελεῖτο λατρεία. καὶ εἶπε τῷ δανιήλ· νῦν ἐξῆλθον συμβιβάσαι σοι σύνεσιν, καὶ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ· ἀντὶ τοῦ, ἀκριβῶς πρόσχες τοῖς λεγομένοις, αἰνιγματώδη γάρ ἐστι, καὶ πλείονος δεόμενα σπουδῆς. ἔστι δὲ δι' αἰνιγμάτων τὰ θεῖα δηλοῦται, ἵνα μὴ πᾶσι γίνοιντο δῆλα, καὶ διὰ τοῦτο καταφρονοῖντο. ἀνὴρ δὲ ἐπιθυμιῶν ἐκλήθη ὁ δανιήλ, ἢ ὡς κατὰ τῶν σαρκικῶν παθῶν ἀνδριζόμενος, καὶ γενναίως αὐτοῖς ἀνθιστάμενος· ἢ ὡς ἐπιθυμῶν μαθεῖν τὰ τῷ λαῷ καὶ τοῖς αὐτοῦ συμφυλέταις ἐσόμενα· ἢ ὅτι ἐπιθυμητὸς ἦν καὶ ἐπέραστος, δι' ἣν μετήρχετο ἀρετήν. εἶτα ἐπάγει ὁ ἄγγελος· ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, ἕως τοῦ παλαιωθῆναι τὸ παράπτωμα, καὶ τοῦ τελεσθῆναι τὴν ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρτίαν, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίαν, καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην,

ἑσπέρα σημαίνει τὴν ἀρχὴν τῶν ἀνιαρῶν, ἢ τὸν ὅλον χρόνον καθ' ὃν ἦσαν.

ὅτι ὤφθη τῷ δανιὴλ ὁ ἄγγελος γαβριήλ.

διὰ τί ἐκλήθη ὁ δανιὴλ ἀνὴρ ἐπιθυμιῶν.

et unga-

καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. ὁ μὲν προφήτης προσευχόμενος, ὁ λαός σου πρὸς τὸν θεὸν ἔλεγε, καὶ ἡ πόλις σου. ὁ δὲ ἄγγελος πρὸς τὸν δανιὴλ φησίν· ὁ λαός σου καὶ ἡ πόλις σου, ὡς μὴ ἀξίου ὄντος τοῦ λαοῦ, τοῦ θεοῦ καλεῖσθαι. εὕρηται δὲ ὁμοίως καὶ ἐπὶ μωϋσέως, ὅτε τὸν μόσχον ποιήσαντες οἱ ἰσραηλῖται, θυσίαν αὐτῷ προσενήνοχαν. καὶ τότε γὰρ τοῦ προφήτου δεομένου, ὁ θεὸς ἔφη ὡσαύτως. φησὶν οὖν ὁ ἄγγελος, ὅτι καὶ ἡ ἱερουσαλὴμ οἰκοδομηθήσεται, καὶ ὁ λαός σου ἐπανελεύσεται, καὶ ἐπὶ ἔτη τετρακόσια ἐνενήκοντα διαμενοῦσιν. αἱ γὰρ ἑβδομήκοντα ἑβδομάδες εἰς τοσοῦτον συμψηφίζονται ἀριθμόν, ἑκάστην δὲ ἡμέραν εἰς ἐνιαυτὸν ἐλογίζετο. τὸ δὲ συνετμήθησαν, ἀντὶ τοῦ ἐκρίθησαν καὶ ὡρίσθησαν κεῖται. ἕως τοῦ παλαιωθῆναι τὸ παράπτωμα, καὶ τοῦ τελεσθῆναι τὴν ἁμαρτίαν, τουτέστιν ἕως τοῦ χρονίσαι καὶ αὐξηθῆναι. τοῦτο γὰρ δηλοῖ τὸ παλαιωθῆναι καὶ τελείαν γενέσθαι τὴν ἁμαρτίαν. διὰ τούτων δὲ τὴν κατὰ τοῦ κυρίου τόλμαν καὶ λύτταν τῶν ἰουδαίων παρίστησιν. πολλὰ μὲν γὰρ καὶ πρὸ τούτου ἡμάρτησαν, καὶ δίκας ἔτισαν, ἀλλ' ἀνεκλήθησαν αὖθις. ἐπεὶ δὲ κατὰ τοῦ σωτῆρος ἐμάνησαν, καὶ εἰς ἔσχατον κακίας ἀφίκοντο, καὶ τὸ τέλειον τῆς ἁμαρτίας εἰργάσαντο, οὐκέτι ἀνακλήσεως ἔτυχον. τὸ δὲ σφραγίσαι ἁμαρτίας καὶ ἐξιλάσασθαι ἀδικίαν, τὴν ἄφεσιν δηλοῖ τῶν πλημμελημάτων, τὴν παρὰ τοῦ κυρίου δεδωρημένην τοῖς πιστεύουσιν εἰς αὐτόν. οὗτος γάρ ἐστιν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. τὸ γὰρ σφραγίσαι τοῦ παυθῆναι σημαντικόν. τὸ δὲ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, τὸ αὐτὸν εἰς τὸν κόσμον ἐλθεῖν, ὅς ἐστι δικαιοσύνη καὶ ἀπολύτρωσις καὶ ἁγιασμός. τὸ μέντοι σφραγίσαι ὅρασιν καὶ προφήτην, τὸ τέλος εἰληφέναι τὰς προφητείας δηλοῖ, ἢ ὅτι τὰ ὑπ' ἐκείνων περὶ τοῦ χριστοῦ λεχθέντα ἐκβέβηκεν, ἢ ὅτι τὸ τῆς προφητείας χάρισμα τοῖς ἰουδαίοις ἐκλέλοιπεν, ἢ καὶ ἀμφότερα. ἐλθὼν γὰρ ὁ χριστὸς τὰς προφητείας ἐσφράγισεν, ἐπλήρωσε δηλαδή, καὶ ἐβεβαίωσε, καὶ μέντοι καὶ ἔπαυσεν. οὐκέτι γάρ ἐστιν αὐτοῖς ἄρχων καὶ προφήτης καὶ ἡγούμενος. καὶ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, ἥτις αὐτός ἐστιν ὁ κύριος ἡμῶν καὶ σωτήρ. ὁ μὲν γὰρ ἀπόστολος, ἐδόθη σοφία ἡμῖν φησὶν ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. καὶ ἀλλαχοῦ περὶ τοῦ εὐαγγελίου γράφων, δικαιοσύνη ἐν αὐτῷ ἀποκαλύπτεται, λέγει. ὁ δὲ κύριος αἰτεῖτε, διδάσκει, τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, ἣν αὐτὸς ἤγαγε φανερώσας ἡμῖν διὰ τῆς αὐτοῦ διδαχῆς. καὶ τὸ χρῖσαι ἅγιον ἁγίων, αὐτὸν δηλοῖ τὸν δεσπότην παραγενέσθαι χριστόν. τίς γὰρ ἕτερος ἅγιος ἁγίων λεχθείη ἄν, εἰ μὴ ὁ κύριος ἡμῶν καὶ σωτήρ; ὃς ἁγιωσύνης ὑπάρχων πηγή, χρίεται μὲν τῷ ἁγίῳ πνεύματι κατὰ τὸ ἀνθρώπινον, ὡς ἡσαΐας προανεφώνησε, λέγων· πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με. καὶ ὡς δαβὶδ ἐμελῴδησεν, εἰπών· ἔχρισέ σε ὁ θεός, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως, παρὰ τοὺς μετόχους σου. καὶ ὡς ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης ὁ πέτρος ἐδίδαξε, περὶ τοῦ σωτῆρος γράψας· ὡς ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει. σφραγίζει δὲ καὶ βεβαιοῖ τὰς παλαιὰς γραφάς, ποιῶν ἅπαντα καὶ πάσχων, ὅσα δι' ἐκείνων προείρητο. καὶ ἐξιλάσκεται ἀδικίαν, καταλλάσσων τοὺς ἁμαρτήσαντας τῷ θεῷ καὶ πατρί, καὶ αὐτὸν τοῖς πταίσασιν ἱλεούμενος. εἶτα ἐπάγει ὁ θεῖος ἀρχάγγελος· καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι ἱερουσαλήμ. ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτά, καὶ ἑβδομάδες ἑξήκοντα δύο.

Ἔτη [illegible] ἐνιαυτὸν ἐλογίσαντο.

Ὅτι τὸ σφραγίσαι τοῦ παυθῆναι σημαντικόν.

& ungatur sanctus sanctorum] Propheta inter orādum ad Deū dixerat, Populus tuus & urbs tua. Angelus autem Danieli ait: Populus tuus & urbs tua. quasi indignus esset, qui populus Dei uocaretur. Eadē loquendi ratio & in Mose reperitur, cum Israelitæ uitulo à se facto sacrificarent. Nam tum etiam prophetę precanti sic respondet Deus. Ait igitur angelus Danieli, & Hierosolyma instauratū iri, & populum esse reuersurum, et ad annos CCCCLXXXX permansurum. Nam LXX hebdomades tantū cōficiunt, singulis diebus pro singulis annis supputatis. Contractæ, hoc est, decretę ac præfinitę sunt. Donec inueterascat delictū, et peccatum consummetur: hoc est, donec durarit et auctum fuerit peccatū. hoc enim significat inueterascere. ijs uerbis designat audaciā Iudæorū, et rabiē cōtra Dominū. Nam prius etiam multa scelera perpetrarant, eorumq; pœnas dederant, sed reuocati fuerunt. Postquam aūt cōtra Seruatorem insanierunt, & ad summū improbitatis peruenerunt, peccatūq; consummarunt: non amplius reuocati sunt. Obsignari peccatū, et expiari iniusticiā, significat remissionē delictorū, à Domino ijs donatam, qui ei credunt. Hic enim est, qui tollat peccatū mundi. Nā obsignari idē est, quod desinere. Adducere iusticiā æternam, est ipsum uenire in mundū, qui est iusticia, redemptio et sanctificatio. Obsignari uisionē & prophetiam, significat, Prophetiam desijsse: siue q̃ ea quæ à prophetis de Christo prædicta fuerūt, euenerint: siue quòd prophetiæ donū apud Iudæos desierit: siue utrunq;. Nam Christus cum uenisset, prophetias obsignauit, hoc est, impleuit et confirmauit, atq; etiā terminauit. neq; enim iā apud eos princeps est, propheta aut dux. Et adduci iusticiā æternā, est ipsius Domini et seruatoris nostri aduentus: qui, ut Apostolus ait, datus est nobis sapiētia à Deo, iusticia, sanctificatio et redemptio. atq; alibi de Euangelio scribens: Iusticia, inquit, in eo reuelatur. Dominus porrò docet, regnū Dei petendū esse, et iusticiā eius, quā ipse adduxit, suaq; doctrina aperuit. Vngi sanctū sanctorū, ipsum scilicet Christū dominū aduenisse significat. Quis enim sanctus sanctorū appellabitur, pręter Dominum et seruatorē nostrum: qui cum fons sit sanctitatis, ungitur ille quidem sancto spiritu secundū humanitatem, ut Esaias prænunciauit his uerbis: Spiritus Domini super me, quamobrem unxit me, et ut Dauid cecinit hoc modo: Vnxit te Deus, Deus tuus, oleo exultationis, præ cōsortib. tuis. & ut summus apostolorū apex Petrus docet, cum sic de Christo scribit: Nam unxit eum Deus spiritu sancto et potētia. Obsignat et confirmat ueteres scripturas, dum facit omnia, et patitur, quæ in illis prædicta fuerunt. Expiat iniustitiam, dum eos qui deliquerunt, Deo patri reconciliat, eumq; placat peccatoribus. Deinde subijcit diuinus archangelus [Et cognosces et intelliges ab exitu sermonum, ut separatio fiat, et ædificentur Hierosolyma, Vsq; ad Christum ducē hebdomades VII, et hebdomades LXII]

Cœpit

Cœpit igitur ędificari templum ſub Cyro, qui populo Iudaico primus reditum conceſsit: inhibitum tamen ſub Cambyſe, inuidia finitimorum populorum. Templi porrò inſtauratio denuò Iudæis conceſſa eſt, cum Darius Hyſtaſpis filius Perſis imperaret. A quocunque autem horum numerus inchoetur, non erit integer ſecundum archangeli uocem, ſed redundans. Sin à temporib. regni Artaxerxis Longimani ſupputetur, neque plus neque minus inuenietur, ab eoq́ repetendus eſt: quia tum & urbs cincta eſt mœnibus, & adiecta tẽplo quæ deerant, & urbs habitatoribus referta, cum Neemias Artaxerxis pincerna, impetrato à rege in patriam reditu, urbem munijt, & ciuibus frequentem reddidit, & templum imperfectúm adhuc abſoluit. Si quis igitur à Seruatoris aduentu, per quem ſolum remiſsio peccatorum data eſt, & iuſticia introducta, & prophetarum oracula completa ſunt, retrò tempus numeret: id expleri deprehendet anno Artaxerxis XX, quo Neemiæ conceſſum fuit redire Hieroſolyma, quæ in hiſtoriæ progreſſu ac ſerie fuſius declabuntur. Quem autẽ ſanctum appellauit ſanctis ſuperiorem, eũ rurſus Chriſtum ducem appellat, nomine humano uſurpato. Vt enim primogenitus nouæ creaturæ, & primogenitus ex mortuis, dicitur: ſic etiã dux appellatur. D. etiam Petrus apoſtolus apud Iudæos differens, ſeruatorem uitæ principem uocat, quemadmodum in Actis à D. Luca ſcribitur. Vt igitur primogenitus noſtrum & princeps à D. Paulo dicitur, ſecundum humanitatem: ita etiam dux à Gabriele archangelo nominatur. Sed dubitari queat, qua gratia ſeparatim, & non coniunctim numerentur hebdomades, in VII, LXII, & I diſtinctæ? Non hoc temerè fit ab archangelo, ſed per hæc noua quædam docet, in temporum diuiſionibus euentura. Nam ſi ab inſtauratione Hieroſolymorum, ſub Neemia facta, ut dictum eſt, tempora uſque ad Hyrcanum pontificem numerentur, ſub quo Aſamonæorum genus fungi ſacris deſtitit: LXII hebdomadum numerus expletur. Nam à uiceſimo anno regni Artaxerxis, qui Nehemiæ redeũdi Hieroſolyma poteſtatem dedit, à quo urbs mœnibus adornata eſt, uſq; ad Darium Arſamis filium, quem deleuit Alexander, anni ſunt C et XIIII. ab euerſione porrò imperij Perſici, quæ anno ſexto Aſiaticæ expeditionis Alexandri contigit, uſq; ad C. Iulium Cæſarem, qui primus Romanorum monarchiam occupauit: anni præterierunt CCLXXXII. Ab eiuſdem Cæſaris principatu uſq; ad annũ XV Tiberij Cæſaris, quo Chriſtus à Ioanne Baptiſta baptizatus, miracula cœpit edere, anni fuerunt LXXIII: ut hæc ſumma conficiat annos CCCC & LXIX. qui quidẽ Hebraica ſupputatione annorũ cõficiunt annos CCCCLXXXIII. Neq; enim quemadmodũ nos, ita et Hebræi annos ſupputant, ſed ad curſum lunarẽ diebus

Chriſtus ſanctus ſanctorum.

Hebdomades cur diſtractæ?

Hebraici anni.

ἤρξατο μὲν οὖν ὁ ναὸς ἐπὶ Κύρου οἰκοδομεῖσθαι. Κῦρος γὰρ πρῶτος τὴν ἐπάνοδον παρεχώρησε τῷ ἔθνει τῶν Ἰουδαίων, ἀλλ' ἐπεσχέθη παρὰ Καμβύσου τοῦ Κύρου παιδός, φθόνῳ τῶν αὐτοῖς ὁμορούντων ἐθνῶν. ἐπετράπη δ' αὖθις τοῖς Ἰουδαίοις ἡ τούτου ἀνέγερσις, ὅτε Δαρεῖος ὁ Ὑστάσπου ἐκράτησε τῆς βασιλείας Περσῶν. ἐξ ὁποτέρου δὲ τούτων ἀριθμούμενος ὁ καιρός, εὑρίσκεται σώζων κατὰ τὴν τοῦ ἀρχαγγέλου φωνήν, ἀλλ' ὑπερβάλλων. εἰ δ' ἐκ τῶν χρόνων τῆς Ἀρταξέρξου βασιλείας τοῦ Μακρόχειρος ὁ καιρὸς ἀριθμοῖτο, εὑρεθείη ἂν οὔτε περιττεύων οὔτ' ἐλαττούμενος. κἀκ τούτου δέον ἀριθμεῖσθαι αὐτόν, ὅτι τότε καὶ τῇ πόλει περιεβλήθη περίβολος, καὶ τῷ ναῷ προσετέθη τὰ λείποντα, καὶ οἰκητόρων ἡ πόλις πεπλήρωτο. ὅτε Νεεμίας οἰνοχοεύων τῷ Ἀρταξέρξῃ, ἐδεήθη αὐτοῦ ἐπιτραπῆναι αὐτῷ τὴν εἰς τὴν πατρίδα ἐπάνοδον. καὶ ἀπελθών, τήν τε πόλιν περιετείχισε καὶ συνῴκισε, καὶ τὸν ναὸν ἀτελῆ ὄντα ἀπήρτισεν. εἰ γοῦν ἐκ τῆς τοῦ σωτῆρος ἐπιφανείας, δι' ἧς μόνης ἄφεσις ἁμαρτημάτων ἐδόθη, καὶ δικαιοσύνη εἰσῆκται, καὶ τῶν προφητῶν αἱ προρρήσεις πεπλήρωνται, ἀναποδίζων τις ἀριθμήσει τὸν χρόνον, εὑρήσει τοῦτον συμπληρούμενον, ἕως τοῦ εἰκοστοῦ ἔτους τῆς βασιλείας τοῦ Ἀρταξέρξου, ὅτε δηλαδὴ ὁ Νεεμίας παραχωρηθεὶς εἰς Ἱερουσαλὴμ ἐπανῆλθεν· ἃ προϊοῦσα καθ' εἱρμὸν ἡ ἱστορία πλατύτερον διηγήσεται. ὃν δὲ ἅγιον εἶπεν ἀνώτερον ἁγίων, τοῦτον αὖθις χριστὸν ἡγούμενον εἴρηκεν, ὀνομάζων αὐτὸν κατὰ τὸ ἀνθρώπινον. ὡς γὰρ πρωτότοκος τῆς κτίσεως τῆς καινῆς, καὶ πρωτότοκος ἐκ νεκρῶν λέγεται, οὕτω καὶ ἡγούμενος προσαγορεύεται. καὶ ὁ θεῖος δὲ ἀπόστολος Πέτρος ἀρχηγὸν τῆς ζωῆς ὀνόμασε τὸν σωτῆρα, τοῖς Ἰουδαίοις διαλεγόμενος, ὡς ἐν ταῖς πράξεσιν ὁ θεῖος Λουκᾶς συνεγράψατο. ὥσπερ δὲ πρωτότοκος ἡμῶν καὶ πρωτεύων κατὰ τὸν μέγαν Παῦλον εἴρηται κατὰ τὸ ἀνθρώπινον, οὕτω δὴ καὶ ἡγούμενος τῷ ἀρχαγγέλῳ Γαβριὴλ προσαγορεύεται. ἀπορήσει δ' αὖ τις, ὅτου χάριν διῃρημένως, ἀλλ' οὐχ ὁμοῦ αἱ ἑβδομάδες ἠρίθμηνται. εἰς ἑπτὰ δὲ καὶ ἑξηκονταδύο διῄρηνται, καὶ εἰς μίαν ἑτέραν; οὐχ ὡς ἔτυχε δὲ τοῦτο πεποίηκεν ὁ ἀρχάγγελος, ἀλλά τινα καινὰ διὰ τούτων διδάσκων ἐν ταῖς τῶν χρόνων διαιρέσεσι συμβησόμενα. εἰ γὰρ ἐκ τῆς τῶν Ἱεροσολύμων οἰκοδομῆς τῆς ἐπὶ Νεεμίου ὡς εἴρηται γενομένης ἀριθμοῖντο οἱ χρόνοι, μέχρις Ὑρκανοῦ τοῦ ἀρχιερέως, ἐφ' οὗ τὸ τῶν Ἀσαμωναίων γένος ἐπαύθη τοῦ ἱερᾶσθαι, ὁ τῶν ἑξηκονταδύο ἑβδομάδων ἀριθμὸς συμπεραίνεται. ἐκ μὲν γὰρ τοῦ εἰκοστοῦ ἔτους τῆς βασιλείας Ἀρταξέρξου, ὃς τῷ Νεεμίᾳ τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον δέδωκε τῷ ταύτην τειχίσαντι, ἕως Δαρείου τοῦ Ἀρσάμου, ὃν καθεῖλεν Ἀλέξανδρος, ἑκατὸν ἔτη εἰσὶ καὶ τεσσαρεσκαίδεκα. ἐκ δὲ τῆς καθαιρέσεως τῆς τῶν Περσῶν βασιλείας ἐν ἕκτῳ γενομένης ἔτει τῆς Ἀλεξάνδρου πρὸς τὴν Ἀσίαν στρατείας, μέχρις Ἰουλίου Καίσαρος Γαΐου, ὃς πρῶτος τῇ μοναρχίᾳ τῶν Ῥωμαίων ἐπικεχείρηκεν, ἔτη παρῆλθε διακόσια ὀγδοήκοντα καὶ δύο. ἐκ δὲ τῆς αὐταρχίας τοῦ Καίσαρος ἕως ἔτους πεντεκαιδεκάτου Τιβερίου Καίσαρος, ἡνίκα ὁ χριστὸς ὑπὸ Ἰωάννου ἐβαπτίσθη, καὶ τῶν σημείων ἀπήρξατο, ἔτη ἑβδομήκοντα καὶ τρία· ὡς συμποσοῦσθαι ταῦτα εἰς ἐνιαυτοὺς τοὺς τετρακοσίους ἑξήκοντα καὶ ἐννέα. οἱ δὲ τοσοῦτοι ἐνιαυτοί, ἀποτελοῦσιν ἔτη τετρακόσια ὀγδοήκοντα τρία, κατὰ τὴν Ἑβραϊκὴν ἀρίθμησιν τῶν ἐτῶν. οὐ γὰρ ὡς ἡμᾶς οἱ Ἑβραῖοι ψηφίζουσι τὸν ἐνιαυτόν, ἀλλὰ κατὰ σεληνιακὸν δρόμον ἀριθμοῦντες αὐτόν, τριακο-

Πότε ἤρξατο ὁ ναὸς τῶν Ἰουδαίων οἰκοδομεῖσθαι μετὰ τὴν αἰχμαλωσίαν.

ὅτι ἡγούμενον λέγει ὁ χριστός.

ὅτι οἱ Ἑβραῖοι κατὰ τὸν σεληνιακὸν δρόμον μετροῦντες τὸν ἐνιαυτόν, ἔχουσιν αὐτὸν ἡμερῶν τριακοσίων πεντήκοντα τεσσάρων.

τριακοσίων πεντήκοντα καὶ τεσσάρων ἡμερῶν, ὡς περιττεύειν ἀφ' ἑκάστου ἐνιαυτοῦ ἡμέρας ἕνδεκα. καὶ τὸ τῶν γοῦν τῶν περιττῶν ἡμερῶν εἰς ἔτη συμποσουμένων, τὰ τετρακόσια ὀγδοήκοντα καὶ τρία ἑβραϊκὰ συνίσταντο ἔτη. ἑβραίῳ δὲ τῷ Δανιὴλ ὁ ἄγγελος ὁμιλῶν, ταῦτα τὰ αὐτῷ γνώριμα ἔλεγεν ἔτη. ἄχρι μὲν οὖν τῆς τοῦ ἀρχιερέως Ὑρκανοῦ ἀναιρέσεως, ὃν ὁ βασιλεὺς ἀνεῖλεν Ἡρώδης (ἐρρήσεται δὲ τὰ περὶ τούτου πλατύτερον) αἱ ἑξηκονταδύο ἑβδομάδες ἐξεμετρήθησαν. ἐκ τότε δὲ τῆς ἀρχιερωσύνης οὐ διὰ βίου προσούσης τοῖς γέρας κατὰ τὸν νόμον τοῖς ταύτης ἀξιουμένοις, ἀλλ' ἐνιαυσιαίας παρανόμως διδομένης, ἢ βραχυτέρῳ χρόνῳ περιοριζομένης, καὶ χρημάτων αὐτὴν ὠνουμένων τῶν βουλομένων, ὃ καὶ ὁ Ἰώσηπος ἱστορεῖ, αἱ ἑπτὰ παρῆλθοσαν ἑβδομάδες. ὅπερ δὲ δηλῶν ὁ θεῖος ἀρχάγγελος ἔλεγε, καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξηκονταδύο ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ. ἀντὶ τοῦ, διαφθαρήσεται τὸ χρίσμα τῆς ἀρχιερωσύνης. παρανόμως γὰρ χριομένων τῶν εἰς αὐτὴν προβιβαζομένων, οὐδὲ τὸ χρίσμα τὴν οἰκείαν ἰσχὺν εἶχεν, ἀλλὰ διεφθαρμένον ὄν, ἄμοιρον τῆς θείας χάριτος. διὸ καὶ ἐπήγαγε, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ. τουτέστιν, οὐ κατὰ κρίσιν καὶ δοκιμασίαν γινόμενοι ἦσαν τότε, ἀλλ' ἀκρίτως, ἢ διὰ χάριν, ἢ διὰ χρήματα. τούτων δὲ οὕτω γινομένων, καὶ αἱ ἑπτὰ παρερρύησαν ἑβδομάδες, μέχρι τῆς τοῦ κυρίου ἐπιφανείας δηλαδὴ διαρκέσασαι. ἡ μὲν οὖν διαίρεσις τῶν ἑξηκονταδύο ἑβδομάδων, καὶ τῶν ἑπτά, διὰ ταῦτα γέγονεν. ἐπεὶ δὲ πρὸς τὰς ἐξ ἀρχῆς ἀριθμουμένας ἑβδομήκοντα ἑβδομάδας ἔτι μία λοιπὴ περιελείπετο, καὶ περὶ ἐκείνης ἀγορεύει ὁ ἀρχάγγελος ταῦτα, » καὶ δυναμώσει τὴν διαθήκην πολλοῖς ἑβδομὰς μία, καὶ ἐν τῷ » ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία, καὶ σπονδή, » καὶ ἐπὶ τούτοις ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων, καὶ ἕως συντελείας καιροῦ, συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν. ἡ λοιπὴ φησὶν ἑβδομάς, ἡ μετὰ τὰς ἑξήκοντα καὶ ἐννέα, τὴν καινὴν διαθήκην εἰσάξει ἰσχυρὰν οὕτως, ὡς δι' αὐτῆς ἀρθῆναι, τουτέστιν, ἐκ μέσου γενέσθαι τὰς θυσίας, καὶ τὰς σπονδὰς ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος. μετὰ γὰρ τὸ βάπτισμα ὁ Χριστὸς ἐπὶ τριετίαν καὶ ἐπέκεινα διδάξας, καὶ σημεῖα ἐπιδειξάμενος, οὕτως ἐπὶ τὸ πάθος ἦλθε, καὶ αὐτοῦ τυθέντος ὑπὲρ τοῦ κόσμου παντός, τοῦ ἀμνοῦ τοῦ θεοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἡ κατὰ νόμον θυσία ἐπαύθη, καὶ ἡ σπονδή. καὶ ἔθυον ἔκτοτε οἱ Ἰουδαῖοι, ἐπεὶ καὶ ἔτι θύουσι παρανόμως, ἀλλ' ἀπρόσδεκτος ἦν ἡ ἐκείνων θυσία καὶ ἡ σπονδή. καὶ ἄλλως δὲ τό, δυναμώσει διαθήκην πολλοῖς, ἐκληφθείη ἂν ἀντὶ τοῦ, δυνατοὺς τοὺς ἱεροὺς ἀποστόλους εἰς τὸ κήρυγμα ἡ ἑβδομὰς ἐκείνη ἐργάσεται. εἰς δύο γὰρ τὴν ἑβδομάδα φαίνεται διαιρῶν ὁ ἀρχάγγελος, εἴς τε τὸ πρὸ τοῦ πάθους, καὶ τὸν μετὰ τὸ πάθος καιρόν. περὶ γὰρ τὰ τρία ἔτη πρὸς τῷ ἡμίσει κηρύξας ὁ κύριος, κατὰ τὸ τοῦ υἱοῦ τῆς βροντῆς εὐαγγέλιον, καὶ στηρίξας εἰς τὴν αὐτοῦ πίστιν τοὺς θείους αὐτοῦ ἀποστόλους τῇ τῶν λόγων ἀληθείᾳ, καὶ τῇ τῶν θαυμασίων ἔργων ἐπιδείξει, οὕτω πρὸς τὸ πάθος ἐχώρησε, καὶ τὸν σταυρὸν κατεδέξατο, καὶ ὑπέμεινε θάνατον. εἶτα τὸν λοιπὸν τῆς ἑβδομάδος χρόνον, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν πρὸς τοὺς κόλπους τοὺς πατρικοὺς ἄνοδον, ὧν οὐκ ἐχωρίσθη πώποτε, καὶ τὴν τοῦ παρακλήτου ἐπιφοίτησιν, καὶ θείαν ἐπίπνοιαν, οἱ ἱεροὶ αὐτοῦ μαθηταὶ ἐν Ἱερουσαλὴμ τὸ θεῖον διαγγείλαντες εὐαγγέλιον,

ὅτι τὸ παράνομον χρίσμα τῶν ἱερέων ἄκυρον.

bus CCC & L absoluunt, ut de quolibet nostro anno dies XI redundent: qui dies redundantes in annos sedacti, explent numerũ quadringentorum octogintatrium annorum hebraicorũ. Quia uerò cum Daniele Hebræo colloquebatur angelus, annos utiq; illi notos nominauit. Proinde usq; ad interitum Hyrcani pontificis, quem rex Herodes sustulit (qua de re copiosius agendũ erit) LXII hebdomades sunt expletæ. Ab eo tempore cum pontificatus nõ per omnẽ ætatem ei maneret, cui cõtigerat, sed annuo aut etiam breuiore spacio contra instituta maiorũ circumscriberetur, & pecunia cuilibet uenalis esset, id quod & à Iosepho refertur: septem præterierant hebdomades. Quod archangelus bis uerbis innuit [Et post hebdomades LXII extirpabitur unctio, nec futurum est in ea iudicium] hoc est, unctio pontificatus peribit, cum ij contra legem ungẽtur, qui potiti illo fuerint. Neq; enim unctio uim suam retinebat, sed ut corrupta, gratiæ diuinæ erat expers. quare adijcit, iudicium non esse in ea: hoc est, nullo iudicio, nullaq; exploratione adhibita pontifices creatum iri, sed citra delectũ uel ambitu, uel gratia. Dum hæc fierent, etiam septem hebdomades fuit elapsę, cum usq; ad Christi aduentum durassent. Ac LXII & VII hebdomadum diuisio hac de causa instituta est. Cum autem præter eas quæ initiò sunt expositæ, adhuc una restet hebdomas, de ea quoq; archangelus sic ait [Et confirmabit testamentum multis hebdomas una, & in semisse hebdomadis tolletur sacrificiũ & libatio, & prĕter hĕc abominatio uastitatis super templum: & usq; ad complemẽtum temporis, complementũ dabitus super uastationem] reliqua, inquit, hebdomas, LXIX secutura, nouũ testamentum introducet adeò ualidum, ut per id tollatur è medio sacrificium & libatio in semisse hebdomadis. Nam cum post baptismum Christus triennium & ultrà docuisset, & miracula edidisset, ad supplicium uenit. eoq; pro toto mundo immolato, qui est agnus Dei, tollens peccata mundi: sacrificium & libatio, constituta lege, desijt. Ac sacrificarunt tum Iudæi, ut & nunc, contra legem, neq; eorum sacrificia & libationes acceptæ fuerũt Deo. Illud porrò [confirmabit testamentum multis] etiam aliter exponi potest, quòd sanctos Apostolos illa hebdomas potentes effectura sit ad prædicationem Euangelij. Nam eam hebdomadem bipertiri uidetur archangelus, in id tempus quod passionem & antecedit & sequitur. Nam cum Dominus circiter tres annos & dimidium, secundum Euãgelium filij tonitrui, prædicasset, atq; apud sanctos suos apostolos & sermonum ueritate, & mirabiliũ operum effectione sibi fidem conciliasset: sic ad passionem psofectus est, & crucem suscepit, mortemq; perpessus est. Reliquo hebdomadis tempore post resurrectionem à mortuis, & ascensum in sinum paternum, à quo nunquam separatus fuit, & parácleti uisitationẽ, diuinum afflatum, sancti eius discipuli, cum diuinum Euangelium Hierolosymis annũciassent,

& prædicationem miraculis confirmassent, & turbas hominum ad ueri Dei agnitionem attraxissent, in gentes dispersi sunt, easq; illuminarunt. Hoc igitur archangelus præsignificans Danieli prophetæ, ait [Confirmabit testamentum multis hebdomas una] hoc est, uires suggeret multis, discipulis nimirum, tempus & antegressum & consecutū passionē Domini complexus, quo prius Hierosolymis prædicabant apostoli, post etiam orbis terrarū extremitates obeuntes docebāt. Mox eandem hebdomadē diuidit, his uerbis [In semisse hebdomadis tolletur sacrificiū & libatio] quo declarat finē umbræ legis. Deinde subijcit [& super templū abominatio uastitatis] nam cum hæc fient, templum pridem sanctum & uenerabile, abominatio iudicabitur, q̄ post hebdomadē hanc extremam aliquid abominabile in templū introducetur, in signum uastationis eius & urbis. quod sub Pilato accidit, qui noctu uexilla in eo collocauit, cum imagine Imperatoris: quę Iudæis abominanda erant, cum interdictum esset, ne quam imaginem siue humanam siue animalis alicuius haberent, aut colerēt. Dominus item: Vbi, inquit, abominationem uastitatis in loco sancto stantem uideritis, scitote instare uastitatē eius, urbis Hierosolymorū scilicet. Alibi quoq; ait Dominus: Ecce domus uestra relinquetur deserta. Hæc Danielē præmonēs archangelus, cum prædixisset legalem cultū e medio sublatū iri, subijcit [Et super templum abominatio uastitatis]Ne uerò Iudęi putarēt, uastitatē ad tempus duraturā, & urbem instaurandā, ac templum reædificandū esse, cuiusmodi & alia creberrimè urbi & tēplo acciderāt, subijcit [& usq; ad cōplementū temporis, complementū dabitur super uastitatē] hoc est, donec æuū expletū fuerit, mansura est eadē uastitas. Tum uerò & huius finis erit, cum nō erit tempus uel urbis uel templi instaurandi. Hæc Danieli de popularib. suis per uisionē oblata & reuelata sunt. Idē alijs quoq; uisionib. & somnijs diuinitùs eruditus est de futuris rerum humanarū mutationib. nec de mutationib. rerū duntaxat, sed & de temporib. quibus quæq; euenturæ essent: quæ quiuis absolutius cognoscere poterit, lecto uisionū prophetę libro: certoq; statuere, nihil accidere casu, neq; fortuitò & temerè quicq; geri, sed prouidentia diuina gubernari omnia, & perduci ad exitū. Atq; hęc ita se habent, & pijs hominib. persuasa sunt.

Iudithæ res gestæ.

Nobis aūt nec uiraginis Iudithæ res gestę sunt prætereundæ silentio, quæ Holoferne sublato, & urbem & gentē suam cōseruauit. Res uerò ita se habet, Nabuchodonosor Assyriorum rex XII. regni sui anno bellū suscepit aduersus Arphaxadū regem Medorū, finitimis gentibus in auxiliū euocatis. quod cum & alię plures & Iudęi negassent, recusata belli societate, Nabuchodonosor iratus, iurauit se confecto bello Medico inuasurum Ciliciam, Damascum, Syriam, Iudæam & Aegyptum, ferroq; & igni uastaturum

Nabuchodonosoris contra Arphaxadum Medū expeditio.

καὶ τὸ κήρυγμα πιστούμενοι θαύμασι, καὶ πλήθη ἀνθρώπων ἐφελκυσάμενοι πρὸς τὴν ἐπίγνωσιν τοῦ ὄντως θεοῦ, διεσπάρησαν εἰς τὰ ἔθνη, καὶ ταῦτα ἐφώτισαν. τοῦτο δ' οὖν ὁ ἀρχάγγελος προδηλῶν ἐπὶ τοῦ προφήτου Δανιήλ, ἔλεγε, δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία. αὐτὴ τὴν δύναμιν πορίζουσα πολλοῖς, τοῖς μαθηταῖς δηλαδή, τόν τε πρὸ τοῦ πάθους τοῦ κυρίου χρόνον, καὶ τὸν μετὰ τὸ πάθος, καθ' ὃν πρότερον μὲν ἐν Ἱερουσαλὴμ προσιέμενοι, καὶ ἐκήρυσσον οἱ ἀπόστολοι. εἶτα καὶ εἰς τὰ τῆς οἰκουμένης περιιόντες τέρματα, καὶ ἐδίδασκον, συνάψας αὖθις διαιρεῖ τὴν ἑβδομάδα ταύτην, λέγων, καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία, καὶ σπονδή. διὰ τούτου προσημαίνων τῆς παύλαν τῆς τοῦ νόμου σκιᾶς. εἶτα ἐπάγει· καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως. τούτων γάρ, φησι, γινομένων, τὸ πρὶν ἅγιον καὶ σεβάσμιον ἱερὸν βδέλυγμα λογισθήσεται, ὅτι μετὰ τὴν τελευταίαν ἑβδομάδα ταύτην βδέλυγμά τι ἐπὶ τὸ ἱερὸν ἀχθήσεται, σημεῖον τῆς αὐτοῦ τε καὶ τῆς πόλεως ἐρημώσεως, ὃ ἐπὶ Πιλάτου γέγονε, σημαίας νύκτωρ εἰσαγαγόντος, εἰκόνας ἐχούσας βασιλικάς, ἃ τοῖς Ἰουδαίοις βδέλυγμα ἐλογίζοντο· ἀπείρητο γὰρ αὐτοῖς ἀνθρωπίνην εἰκόνα, ἢ ζώου τινὸς κεκτῆσθαι, ἢ καὶ σεβάζεσθαι. καὶ ὁ κύριος δέ, ὅταν ἴδητε, εἶπε, τὸ βδέλυγμα τῆς ἐρημώσεως, ἑστὼς ἐν τόπῳ ἁγίῳ, γινώσκετε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς, τῆς Ἱερουσαλὴμ δηλαδή. καὶ ἀλλαχοῦ δὲ ἔφη ὁ κύριος· ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ταῦτα προδηλώσας τὸν Δανιὴλ ὁ ἀρχάγγελος, ἐπιφέρει μετὰ τὸ προειπεῖν, ὡς ἐκ μέσου γενήσεται ἡ νομικὴ λατρεία, τὸ καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως. ἵνα δὲ μὴ νομίζοιτο τοῖς Ἰουδαίοις πρόσκαιρος ἡ ἐρήμωσις, ὡς αὖθις τῆς πόλεως αὐτῆς ἀνοικοδομηθησομένης, καὶ τοῦ ἱεροῦ ἀνεγερθησομένου, οἷα καὶ ἄλλοτε πλειστάκις συμβέβηκεν ἐπί τε τοῦ ναοῦ, καὶ τῇ πόλει, ἐπάγει, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν, τουτέστιν, ἕως συντελεσθῇ ὁ αἰών, μενεῖ καὶ ἡ ἐρήμωσις, καὶ τότε καὶ ταύτῃ τέλος ἔσται, ὅτε οὐκ ἔστι καιρὸς ἢ τὴν πόλιν ἀναστῆναι, ἢ τὸν ναόν. ταῦθ' ὁ Δανιὴλ περὶ τῶν ὁμοφύλων αὐτοῦ τεθέαται καὶ μεμύηται, ἀλλὰ καὶ ἑτέρας ὀπτασίας ἑώρακε, καὶ ἐνύπνια, θεόθεν αὐτῷ προδηλουμένης δι' αὐτῶν τῆς μελλούσης ἔσεσθαι τῶν κοσμικῶν πραγμάτων μεταβολῆς, καὶ οὐ τῆς ἀλλοιώσεως μόνης ἐμυεῖτο τὴν πρόγνωσιν, ἀλλὰ καὶ τοὺς καιρούς, καθ' οὓς ἐκτελεσθήσεται ἕκαστον αὐτῶν, ἐδιδάσκετο, ἃ γνώσεται πάντως ὁ βουλόμενος τελεώτερον, ἀναγνοὺς τὴν βίβλον τῶν τοῦ προφήτου ὁράσεων, καὶ βεβαίαν σχοίη κατάληψιν ἐν τῷ λέγειν, ὡς οὐδὲν ἀπρονόητον, οὐδ' εἰκῇ φερόμενον, καὶ ὡς ἔτυχεν, ἀλλὰ πάντα τῇ θείᾳ προνοίᾳ καὶ κυβερνῶνται καὶ διεξάγονται. ταῦτα μὲν οὖν οὕτως ἔχει, καὶ τοῖς εὐσεβέσι δοξάζονται. ἡμῖν δὲ μηδὲ τὰ κατὰ τὴν ἀρρενόφρονα παραλειπτέον γυναῖκα Ἰουδίθ, ἣ τὸν Ὀλοφέρνην ἀνελοῦσα, καὶ τὴν πόλιν αὐτῆς καὶ τὸ ἔθνος ἅπαν διέσωσεν. ἔχει δ' οὕτω τὰ κατ' αὐτήν. ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας αὐτοῦ, ὁ τῶν Ἀσσυρίων ἀρχηγὸς Ναβουχοδονόσορ, πρὸς Ἀρφαξὰδ τὸν βασιλέα Μήδων ἤρατο πόλεμον, καὶ τὰ περίξ ἔθνη πρὸς συμμαχίαν αὐτοῦ μετεκάλει. πολλῶν δ' ἑτέρων, καὶ αὐτῶν Ἰουδαίων τὴν πρόσκλησιν μὴ καταδεξαμένων, καὶ τὸ συμμαχῆσαί οἱ ἀπαναινομένων, ὁ Ναβουχοδονόσορ ὠργίσθη, καὶ ὤμοσεν, ἢ μὴν τὸν πρὸς Μήδους ἀνύσας πόλεμον, ἐπελθεῖν κατά τε Κιλικίας καὶ Δαμασκοῦ, καὶ Συρίας, καὶ Ἰουδαίας, καὶ τῆς Αἰγύπτου, καὶ δῃῶσαι αὐτάς,

Ἰουδαῖ.

αὐτούς, καὶ ἐκπορθῆσαι, καὶ εἰς ἐρήμωσιν ἀγαγεῖν. αὐτὸ τεθραμμένου οὖν πρὸς Ἀρφαξὰδ τὸν Μῆδον, καὶ κατὰ κράτος τούτου περιγενόμενος, τῶν ἄλλων τε πόλεων αὐτοῦ κρατήσας, καὶ τῶν Ἐκβατάνων αὐτῶν, ἔνθα ἦσαν τὰ τοῦ Ἀρφαξὰδ τὰ βασίλεια, ἐκεῖνον ἑλών τε καὶ ἀνελών, τὸν ἀρχιστράτηγον τῆς οἰκείας δυνάμεως καλέσας Ὀλοφέρνην, ἐντέλλεταί οἱ, τὸν ὅρκον ὃν ὤμοσεν ἐκπληρῶσαι, καὶ κατὰ τῶν μὴ θελησάντων συμμαχῆσαι αὐτῷ ἐπιόντι κατὰ τοῦ Μήδου, ἐκστρατεῦσαι μετὰ βαρείας δυνάμεως, καὶ τοὺς μὲν ὅσοι ἑαυτοὺς αὐτῷ ὑποτάξουσι, διατηρῆσαι, καὶ τὰς πόλεις αὐτῶν ἀπορθήτους ἐᾶσαι, τῶν δ' ἀπειθούντων μὴ φείσασθαι, ἀλλὰ τοὺς μὲν ἀνθρώπους τῷ ξίφει ὑπαγαγεῖν, τὰς δὲ πόλεις αὐτῶν ἐκδοῦναι εἰς διαρπαγήν, καὶ εἰς ὄλεθρον. ὁ μὲν οὖν Ναβουχοδονόσορ τοιαῦτα τῷ ἀρχιστρατήγῳ αὐτοῦ ἐνετείλατο. Ὀλοφέρνης δ' ἐκστρατεύσας, καὶ τοῖς ἔθνεσι καθ' ὧν ἀπεστάλη τὸ ἐπελθών, τοὺς μὲν ἄλλους κατὰ τὰ ἐντεταλμένα διέθετο, ἐπὶ δὲ τοὺς Ἰσραηλίτας μέλλων στρατεύειν, καὶ ὅπλα κατ' αὐτῶν αἴρειν (οὐ γὰρ προσῄεσαν αὐτῷ, οὐδ' ὑπήκουον) ἤρετο τίνες οὗτοι, καὶ ὅτῳ θαρροῦντες ἀνθίστανται; καὶ εἶπεν αὐτῷ Ἀχιὼρ ὁ τῶν Ἀμμανιτῶν ἀρχηγός, τήν τε γενεαλογίαν αὐτῶν, καὶ ὅπως εἰς τὰς πόλεις ἐκείνας ἐξ ἀρχῆς κατῳκίσθησαν, καὶ τοῦ σφῶν θεοῦ τὴν ἰσχύν. εἶτα ἐπήγαγε· νῦν οὖν σκεπτέον, καὶ εἰ μὲν εἰς τὸν θεὸν αὐτῶν ἁμαρτάνουσιν, ἀναβησόμεθα, καὶ ἐκπολεμήσομεν αὐτούς. εἰ δ' οὐ τοῦτο, παρελθέτω ὁ κύριός μου, μή ποτε ὑπερασπίσῃ αὐτῶν ὁ θεὸς αὐτῶν, καὶ ἡττηθῶμεν. ταῦτα τοῦ Ἀχιὼρ εἰπόντος, ὁ Ὀλοφέρνης θυμῷ ληφθείς, ἐκέλευσε τοῖς παρεστῶσιν αὐτῷ δῆσαι τὸν Ἀχιώρ, καὶ ἀπαγαγεῖν, καὶ παραδοῦναι τοῖς υἱοῖς Ἰσραήλ, ἵνα σὺν ἐκείνοις ληφθεὶς κολασθῇ. οἱ δὲ συλλαβόντες τὸν ἄνδρα, ἀπήγαγον εἰς Βαιτυλουά. καὶ οἱ τῆς πόλεως σφενδόναις τοὺς προσιόντας καὶ βέλεσιν ἔβαλλον. κἀκεῖνοι τὸν Ἀχιὼρ δεδεμένον ἔρριψαν ὑπὸ τὴν ὑπώρειαν, καὶ ὑπέστρεψαν. οἱ δὲ τῆς πόλεως αὐτόθεν καταβάντες, ἔλυσαν τὸν Ἀχιώρ, καὶ εἰς τὴν σφετέραν πόλιν ἀπήγαγον, καὶ τί τὸ συμβεβηκὸς ἐπυνθάνοντο, καὶ ὃς αὐτοῖς ἅπαντα διηγήσατο. οἱ δὲ τὸν θεὸν ἐκάλουν εἰς ἄμυναν. τῇ δ' ἐξῆς Ὀλοφέρνης ἦγεν ἐπὶ Βαιτυλουὰ τὴν στρατιάν, χιλιάδας οὔσας πεζῶν ἑκατὸν ἑβδομήκοντα, καὶ ἱππέων χιλιάδας δώδεκα, χωρὶς τῶν τῆς ἀποσκευῆς, καὶ ἐστρατοπεδεύσατο πρὸς αὐτῇ. ἔγνω δὲ μὴ πολεμεῖν, ἀλλὰ τὰ ὕδατα προκαταλαβεῖν, ὅθεν ὑδρεύοντο, ἵν' ἐκλιπόντες τῇ δίψῃ, διαφθαρῶσιν, ἢ τὴν πόλιν αὐτῷ παραδώσουσι. καὶ ἐπέστησε μέρος τῆς στρατιᾶς τοῖς ὕδασι φύλακας. ἐπὶ δὲ τέσσαρσι καὶ τριάκοντα ἡμέραις παρακαθημένων τῶν ἐναντίων αὐτοῖς, ἐξέλιπε σφίσι τὸ ὕδωρ, καὶ ἠθροίσθη πρὸς τοὺς ἄρχοντας ὁ λαός, καὶ ἠξίουν ἐκδοῦναι τὴν πόλιν τοῖς ἐναντίοις, καὶ ἑαυτούς, ἵν' ἢ δουλεύσωσιν ἐκείνοις, καὶ ζήσωνται, ἢ κατασφαγέντες ἀπαλλαγῶσι τῶν ὀδυνῶν. Ὀζίας δὲ ὁ τῶν τῆς πόλεως προέχων, ἔτι, εἶπεν, ἀδελφοί, μενοῦμεν πέντε ἡμέρας, καὶ εἰ μὲν ἥξει βοήθεια ἐκ θεοῦ ἡμῖν, εὖ· εἰ δ' οὔ, ποιήσω κατὰ τὴν συμβουλίαν ὑμῶν. ἦν δὲ ἐν τῇ πόλει ἐκείνῃ γυνή, ᾗ ὄνομα Ἰουδίθ, καὶ ἡ γυνὴ χήρα, καὶ αὕτη σώφρων, καὶ συνετή, καὶ ὡραία τῇ ὄψει. ἀκούσασα τοίνυν τὰ δεδογμένα τῷ λαῷ, καὶ τοῖς ἄρχουσι, μετεπέμψατο τὸν Ὀζίαν, καὶ τοὺς λοιποὺς τῆς πόλεως ἄρχοντας. καὶ ἐμέμψατο αὐτούς, ὡς πειράζουσι τὸν θεόν, ὅτι εἶπον παραδώσειν τὴν πόλιν τοῖς ἐναντίοις μετὰ πέντε ἡμέρας, εἰ μὴ ἐν αὐταῖς ἥξει τις αὐτοῖς βοήθεια ἐκ θεοῦ. οἱ δὲ καλῶς μὲν αὐτὴν συνίεσαν λέγειν, ἀντέθεντο δὲ τὴν δίψαν τὴν τοῦ λαοῦ, καὶ τὴν βίαν τὴν ἐξ αὐτοῦ. κἀκείνη στῆναι αὐτοὺς τὴν νύκτα ἐπὶ τὴν πύλην τῆς πόλεως ἐντέλλεται. αὐτὴ δὲ ἔλεγεν ἐξελεύσεσθαι μετὰ τῆς ἅβρας αὐτῆς, μὴ μέντοι αὐτοῖς ἐρεῖν τὸ παρ' αὐτῆς μελετώμενον, ἕως ἂν πρὸς πέρας κατευθυνθῇ.

ὅτι τὰ ἐκβάτανα βασίλεια τῶν μήδων ἦσαν.

περὶ ἀχιὼρ τοῦ συμβουλεύσαντος τῷ ὀλοφέρνῃ, μὴ στρατεῦσαι κατὰ ἰουδαίων, καὶ ὅπως αὐτὸν ὁ ὀλοφέρνης ἐκδέδωκε τοῖς ἰουδαίοις, ἐπιβουλεύσας καὶ αὐτὸν συναπολέσθαι μετ' αὐτῶν καὶ κολασθῆναι.

ὅτι ἐπολιορκήθησαν οἱ ἰσραηλῖται διὰ λείψιν ὕδατος.

περὶ ἰουδίθ.

turum & euersurum. Igitur Arphaxado Medo acie superato & capto atque interfecto, cùm cæteris urbibus, tum ipsis Ecbatanis regia illius potitus, copiarum suarum imperatorē Holofernem iubet, se iureiurando quo ipse sese obstrinxerat, soluere: & cum magnis copijs ijs inferre bellum, qui Medici belli societatem detrectassent: conseruatis ijs qui se dederent, eorumque urbibus illæsis. contumacibus uerò non parcendum: sed & ipsos cædendos, & urbes eorum diripiendas ac uastandas esse. His mandatis acceptis, Holofernes cęteras gētes tractauit ut iussus erat. Israelitas autem armis aggressurus (neque enim illius fidei supplices se cōmittebāt) rogabat, quinam illi essent, & qua re freti resisterent? Tum Achior Ammanitarū princeps, & originem eorum illi, & qua ratione urbes illas initiò occupassent, & uires Dei illorum recenset. His subijcit: Nunc igitur deliberandum est. Nam si Deo suo peccauerunt, ascendemus, eosque debellabimus: sin minus, prętereat dominus meus, ne fortè illis à Deo suo defensis, nos superemur. Quæ cum Achior dixisset, Holofernes ira percitus, satellites iubet Achiorem uinctum tradere Israelitis, ut cum illis captus supplicio afficeretur. Betuliam itaque perducunt hominem, & cum ab oppidanis sagittis et fundis peterentur, Achiore uincto in montis radicibus abiecto, redierunt. Eum oppidani in urbem introduxerūt: & cognita ex eo illius facti causa, Deum uindicem inuocarunt. Postridie Holofernes copijs ad Betuliam adductis, peditum centum & septuaginta, & equitum duodecim millibus, castra locat. Deinde statuit nō gerere bellum, sed fontes occupare, unde aquarentur, ut aut siti perirent, aut urbem traderent: partemque exercitus ad custodiam aquarum mittit. Ita cum diebus trigintaquatuor ab hostibus circumsiderētur, aqua destituti ciues, magistratus adeunt, petentes ut urbem & sese dederent, ut aut conseruati seruirent hostibus, aut occisi malis liberarentur. Ozias autem ciuitatis princeps: Fratres, inquit, dies adhuc quinque expectemus. quòd si diuinitus auxilium nobis oblatum fuerit, bene erit. Sin minus, consilium uestrum exequar. Erat autem in ea urbe uidua nomine Iuditha, mulier modesta, cordata & formosa, quæ decreto populi & magistratuum audito, Oziam cæterosque magistratus accersitos obiurgat: ut qui Deum tentarēt, cum dicerent, nisi intra dies quinque auxilium diuinitùs offerretur, se urbem hostibus tradituros. Illi quamuis eam rectè dicere concederent, tamen populi sitim et uiolentiā opponebant. Tum illa, eos per noctem illam ad portas urbis præstolari iubet: se cum ancilla sua exituram, neque dicturā prius quid cœpisset consilij, quàm rem ipsam perpetrasset.

Achior Ammanita ob uerum consilium hostibus deditur ab Holoferne.

Betuliæ obsidio, & penuria commeatus.

Juditha consilium init liberandæ patriæ.

Exitu impetrato, digressis illis, ad preces conuertitur: & deposito lugubri ex uiduitate uestitu, lota, & unguentis delibuta, amictum hilarem induit, ornamenta sumit, & exornata ad amoris illecebras ancillæ in uasis ferendum dat uinum & oleum, & peram farina, ficubus & panibus plenam: & ea comite urbem egressa, in castra Assyriorum tendit: ab excubitoribus comprehensa, ad Holofernem adducitur. qui eius formam admiratus, securam esse iussit, nihil enim passuram mali. Tum illa: Audi, inquit, domine uerba mea, & quæ Achior dixit, animo tuo non excidant. Verum enim est, Israelitas, ni peccauerint, gladio non superatum iri. Nunc autem, quia cibis & aqua destituuntur, lege interdictis uesci, & primitias frumenti, uini'que decimas, quæ sacerdotibus attributa, ne attingi quidem ab aliis fas est, absumere decreuerunt. Quæ cum & Hierosolymitani statuerint, legatos eò misere, ueniam eius facti petentes. Sic igitur lege uiolata, non defensi à Deo, in exitium ruent. Quibus ego cognitis, ex urbe profugi, ut interitum uitem, & nunc apud te manebo Domine: & egressa noctu in uallem, adorabo Deum, ut cum is mihi dixerit, quando peccarint, ego tibi renunciem, & te per Iudæam Hierosolyma usque perducam, solium'que tuum in urbis medio collocem. Holofernes hac oratione delectatus, introduci eam iubet in cellam conclauis sui, & dari quod edat. At illa, se negat illorum cibis usuram, ne sibi fraudi esset: sed iis quos secū attulisset, uicturam. Cum Holofernes rogaret, ubi ii defecissent, quo uictura esset? Respondet illa: ita tu uiuas Domine, ut non prius cibi hi me deficient, quàm Deus mea manu id peregerit, quod decreuit. Media nocte petiit, ut sibi in uallem egredi liceret ad precandum: concedit Holofernes. Quum autem illa triduum ita fecisset, quarto die conuiuium apparat, & Bagoæ eunucho, qui omnibus eius opibus præerat, mandat, ut Hebrææ mulieri persuaderet, ut ad se ueniret. Sibi enim turpe fore, si talem fœminam dimisissent, nulla consuetudine cum ea habita. Bagoas Iudithæ ait: Veniat ad dominum meum, ut gloriosa sis in cōspectu eius, & nobiscum compotato, eo loco futura, quo eæ sunt, quæ degunt in ędibus Nabuchodonosoris. Iuditha igitur exornata ad Holofernem ingreditur, accumbit, ea edit & bibit, quæ ab ancilla sua sibi parata erant. Holofernes obstupefactus, amore illius inflammatur: producto'que conuiuio, & plurimo uino hausto inebriatus, in lectulo se reclinat, mero grauato capite. digressis omnibus, Bagoas tentoriū claudit, sola Iuditha in eo relicta. Mandarat autem illa ancillę, ut exitum suum obseruaret, egressuram enim esse ad orandum. Sed cum Holofernem uino demersum, & profundissimo somno oppressum

Iudithæ cũ Holoferne colloquia.

Holofernis cædes, et Assyriorum profligatio

καὶ εἶπον αὐτῇ, πορεύου, καὶ οἱ μὲν ἀπῆλθον. ἡ δὲ πρὸς προσευχὴν ἐτράπετο τὴν πρὸς θεόν. εἶτα ἐκδυσαμένη τὴν περικειμένην στολὴν τῆς χηρεύσεως, καὶ τὸ σῶμα περιλουσαμένη ὕδατι, καὶ μύρῳ χρισαμένη, στολὴν μετενέδυ εὐφροσύνης, καὶ κόσμον ἑαυτῇ περιέθετο. καὶ καλλωπισθεῖσα πρὸς τὸ ἐπαγωγότερον, δίδωσι τῇ θεραπαίνῃ φέρειν ἐν ἀγγείοις οἶνον, καὶ ἔλαιον, καὶ πήραν ἀλφίτων πλήρη, καὶ παλάθης, καὶ ἄρτων, καὶ ἐξῆλθε τῆς πόλεως αὐτὴ καὶ ἡ παιδίσκη αὐτῆς. ἀπιοῦσα πρὸς τὴν τῶν ἀσσυρίων παρεμβολὴν, καὶ ἐντυχοῦσα τῇ τῶν ἐναντίων προφυλακῇ κατεσχέθη, καὶ ἤχθη πρὸς ὀλοφέρνην. ὁ δὲ αὐτῆς τὸ κάλλος θαυμάσας, καὶ εἰπὼν αὐτῇ· μὴ φοβοῦ, ἥκεις γὰρ εἰς σωτηρίαν. ἔφη δὲ αὐτῷ ἡ γυνή· δέξαι τοὺς λόγους μου κύριε, καὶ ὁ λόγος ὃν ἐλάλησεν ἀχιὼρ, ἔστω ἐν τῇ καρδίᾳ σου· ἔστι γὰρ ἀληθὲς, ὅτι ἐὰν μὴ ἁμαρτήσωσιν οἱ υἱοὶ ἰσραὴλ, οὐ κατισχύσει ῥομφαία αὐτῶν. νῦν δὲ ἐπεὶ ἐξέλιπεν αὐτοὺς τὰ βρώματα, καὶ τὸ ὕδωρ, ἐβουλεύσαντο, καὶ τῶν τῷ νόμῳ ἀπηγορευμένων ἅψασθαι, καὶ τὰς ἀπαρχὰς τοῦ σίτου, καὶ τὰς δεκάτας τοῦ οἴνου τὰς τοῖς ἱερεῦσι τετηρημένας, ὧν οὐδὲ ψαῦσαι θεμιτὸν ἑτέρῳ, δαπανῆσαι κεκρίκασι. ταῦτα δὲ, καὶ τῶν τῆς ἱερουσαλὴμ οἰκητόρων βεβουλευμένων, ἐστάλκασι πρὸς τὴν ἐκεῖ γερουσίαν, ἄφεσιν ἐπὶ τούτοις αἰτούμενοι. κἂν οὕτω παρανομήσωσιν, οὐκ ἔσται σφίσιν ἄμυνα ἐκ θεοῦ, καὶ εἰς ὄλεθρον ἐκδοθήσονται. ἅπερ αὐτὴ ἐπιγνοῦσα, ἀπεδίδρασκον τῆς πόλεως, ἵν᾽ ἐκφύγω τὸν ὄλεθρον. καὶ νῦν μενῶ παρά σοι δέσποτα, καὶ ἐξελεύσομαι κατὰ τὴν νύκτα εἰς τὴν φάραγγα, καὶ προσεύξομαι πρὸς τὸν θεὸν, καὶ ἐρεῖ μοι πότε ἁμαρτήσωσι, κἀγώ σοι ἀναγγελῶ, καὶ ἄξω σε διὰ τῆς ἰουδαίας ἕως ἱερουσαλὴμ, καὶ θήσω τὸν θρόνον σου ἐν μέσῳ αὐτῆς. καὶ ἤρεσαν ὀλοφέρνῃ οἱ λόγοι αὐτῆς, καὶ ἐκέλευσεν εἰσαχθῆναι αὐτὴν εἰς τὴν σκηνὴν τοῦ ταμείου αὐτοῦ, καὶ δοθῆναι αὐτῇ φαγεῖν. ἡ δὲ, οὐ φάγομαι, ἔφη, ἐκ τῶν ἐδεσμάτων ὑμῶν, μή μοι γένηται σκάνδαλον, ἀλλ᾽ ἐξ ὧν ἐπιφέρομαι τραφήσομαι. καὶ εἶπεν αὐτῇ ὀλοφέρνης· εἰ δ᾽ ἐκλίποι ταῦτα, πόθεν σοι τοιαῦτα χορηγηθήσεται; ἡ δὲ, ζῇ ἡ ψυχή σου κύριέ μου, ἀντεπεκρίνατο, ὅτι οὐ πρότερον ἐκλείψει μοι τὰ ἐδέσματα, πρὶν ἂν ὁ θεὸς ἐν χειρί μου ποιήσῃ ἃ ἐβουλεύσατο. μεσούσης δὲ νυκτὸς, ᾐτήσατο ἐξιέναι τὴν φάραγγα πρὸς προσευχὴν ἐξελθεῖν, καὶ ὀλοφέρνης ἐπέτρεψε, καὶ ἐπὶ τρεῖς ἡμέρας οὕτως ἐποίει. καὶ τῇ τετάρτῃ ἡμέρᾳ πότον ἡτοίμασεν ὀλοφέρνης. καὶ εἶπε τῷ εὐνούχῳ βαγώᾳ, ὃς ἦν ἐφεστηκὼς ἐπὶ πᾶσι τοῖς αὐτοῦ, πεῖσον δὴ τὴν γυναῖκα τὴν ἑβραίαν τοῦ ἐλθεῖν πρὸς ἡμᾶς. αἰσχρὸν γὰρ ἡμῖν, εἰ γυναῖκα τοιαύτην παρήσομεν, μὴ αὐτῇ ὁμιλήσαντες. καὶ ὁ βαγώας εἶπε πρὸς ἰουδὶθ· ἐλθὲ πρὸς τὸν κύριόν μου, δοξασθῆναι κατὰ πρόσωπον αὐτοῦ, καὶ πίεσαι μεθ᾽ ἡμῶν οἶνον, καὶ γενηθῆναι ὡς μία τῶν παρεστηκυιῶν ἐν τῷ οἴκῳ ναβουχοδονόσορ. καὶ ἰουδὶθ κοσμηθεῖσα ἀπῆλθε, καὶ εἰσελθοῦσα πρὸς ὀλοφέρνην ἀνέπεσε, καὶ ἔφαγε καὶ ἔπιεν ἃ ἡτοίμασεν αὐτῇ ἡ παιδίσκη αὐτῆς. ἡ δὲ καρδία ὀλοφέρνου ἐξέστη, καὶ πρὸς ἔρωτα τῆς γυναικὸς ἐξεκέκαυτο. καὶ τοῦ πότου παραταθέντος, ἔπιεν ἐκεῖνος οἶνον σφόδρα πολὺν, καὶ ἐμεθύσθη. καὶ ὁ μὲν ἐπὶ τῆς κλίνης αὐτοῦ καρηβαρῶν ἐκ τῆς μέθης κατέκειτο. πάντες δὲ ᾤχοντο, καὶ βαγώας συνέκλεισε τὴν σκηνὴν, μόνην τὴν ἰουδὶθ ἐν τοῖς καταλελοιπώς. ἡ δὲ τῇ θεραπαίνῃ αὐτῆς ἐνετείλατο, τὴν ἔξοδον αὐτῆς ἐπιτηρεῖν, ἐξελεύσεσθαι γὰρ ἐπὶ τὴν προσευχήν. ὁ μὲν οὖν ὀλοφέρνης τῇ μέθῃ καταβεβαπτισμένος κατέκειτο, καὶ ὕπνον βαθύτατον ὑπνώττων

ἐπὶ ἱστῆσι περὶ ἐκφορ... οἷον ὁ λεῖ... γελοιοκαμέ... λαμπρὰ, ... ἀποβαλλομ... ἐν τῶν ... ρεσι γαλ...

προσφέρειν ... ἐκλείψει ... ἐκφέρειν ... γος.

ἐπὶ ἀναστ... περὶ ... φάραγγα.

ἐπὶ ἐφεστηκὼς ... ἐπὶ ... ἀνώγει ... ὑπηρετε... τοιαῦτα,

[illegible] καὶ ὅτι δι' αὐτῆς [illegible] ὁ ὀλοφέρνης.

τὸν ἀδελφόν. ἡ δὲ τὸν θεὸν ἐπικαλεσαμένη, καὶ τὸν ἀκινάκην αὐτοῦ σπασαμένη, τὴν αὐτοῦ ἀποτέμνει κεφαλήν, καὶ ἐξελθοῦσα τῇ θεραπαίνῃ δίδωσιν αὐτήν, καὶ ἀπῄει ὡς δὴ προσευξομένη κατὰ τὸ σύνηθες. ἐγγίσασα δὲ τῇ πόλει αὐτῶν, ἐβόησε τοῖς ἐπὶ τῶν πυλῶν ἀνοῖξαι αὐτῇ. καὶ εἰσελθοῦσα διηγήσατο, ὅσα δι' αὐτῆς ἐθαυμάτωσεν ὁ θεός, καὶ τὴν κεφαλὴν ὀλοφέρνου προήνεγκε, καὶ συνεβούλευσεν ἀποκρεμάσαι ταύτην ἐκ τῶν ἐπάλξεων, αὐτοὺς δὲ τὰς πανοπλίας ἐνδυσαμένους ἅμα πρωῒ ἐξελθεῖν. ἰδόντες γάρ φησιν ὑμᾶς οἱ ἀσσύριοι, δραμοῦνται ἐπὶ τὴν τοῦ σφῶν ἀρχιστρατήγου σκηνήν, καὶ εὑρόντες αὐτὸν ἀνῃρημένον, ἐκστήσονται, καὶ φόβος ἐπιπεσεῖται αὐτοῖς, καὶ τραπήσονται εἰς φυγήν, καὶ ὑμεῖς ἐφεψόμενοι ὀπίσω αὐτῶν, καὶ συγκόψετε αὐτούς, καὶ πληρώσετε τὰ πεδία νεκρῶν. ταῦτα τοῖς πολίταις αὐτῆς συμβουλεύσασα, καλέσατέ μοι τὸν ἀχιὼρ εἶπε. καὶ ἐλθόντι τὴν κεφαλὴν τοῦ ὀλοφέρνου ὑπέδειξε, καὶ ἐξέστη ὁ ἄνθρωπος, καὶ ἀνάγγειλόν μοι, ἔφη, ὅσα ἐποίησας· κἀκείνη πάντων ἐνώπιον διηγήσατο, ἃ ὁ θεὸς πεποίηκε δι' αὐτῆς, καὶ ὡς ἀμίαντον τὴν αὐτῆς σωφροσύνην καὶ χηρείαν ἐτήρησε. καὶ ὁ ἀχιὼρ ἐπίστευσε τῷ θεῷ, καὶ περιετμήθη. οἱ δὲ τῆς πόλεως ἄρχοντες καὶ τὸ πλῆθος αὐτῆς, τὴν κεφαλὴν ὀλοφέρνου τοῦ τείχους ἀπῃωρήκασι, καὶ τἄλλα κατὰ τὴν συμβουλὴν ἰουδὶθ πεποιήκασι. καὶ τοὺς ἀσσυρίους ὡς χόρτον συνέκοψαν, καὶ τὴν παρεμβολὴν αὐτῶν διαρπάσαντες, λαφύρων πολλῶν ἐνεπλήσθησαν. τῇ δὲ ἰουδὶθ ἡ σκηνὴ ὀλοφέρνου ἐξῄρητο, καὶ πάντα τὰ ἐν αὐτῇ, ἃ καὶ ἀνάθημα τῷ θεῷ ἐν ἱερουσαλὴμ ἀπελθοῦσα ἀνέθετο, καὶ ᾖσεν αὐτῷ ᾠδὴν ἐστεφανωμένη ἐλαίας θαλλῷ, καὶ πᾶς ἰσραήλ, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς, καὶ κατεγήρασεν ἐν σωφροσύνῃ, καὶ τέθνηκε, ζήσασα ἔτη ἑκατὸν καὶ πέντε. τὰ μὲν οὖν κατὰ τὴν ἰουδὶθ ἐν τούτοις. ἑξῆς δὲ ἱστορητέον ἐπιτετμημένως, καὶ τὰ κατὰ τὸν τωβίτ. τωβὶτ τοίνυν ἐκ τῆς φυλῆς μὲν κατήγετο νεφθαλείμ. ᾐχμαλώτιστο δὲ ἐν ἡμέραις ἐνεμεσσὰρ βασιλέως τῶν ἀσσυρίων. ἦν δὲ τὰ πρὸς θεὸν εὐσεβής, καὶ τὰ πρὸς ἀνθρώπους δίκαιος, καὶ τῶν συμφυλετῶν αὐτοῦ θυόντων τῇ βάαλ, αὐτὸς ἔθυε τῷ θεῷ, πορευόμενος εἰς ἱερουσαλήμ, καὶ κατὰ τὰς τοῦ νόμου διατάξεις τὴν ζωὴν ῥυθμίζων ἑαυτοῦ, καὶ αἰχμαλωτισθείς, οὐκ ἐχράνθη βρώμασιν ἐθνικοῖς, γέγονε δὲ τῷ ἐνεμεσσὰρ ἔντιμος, καὶ ἐκτήσατο περιουσίαν πολλήν, καὶ ταύτης μετεδίδου τῶν οἰκείων τοῖς χρήζουσι. πορευόμενος δὲ εἰς μηδίαν, παρέθετο ἐν τῇ ἐκεῖ καθοικούντων ὁμοφύλων τῷ γαβαὴλ ἀργυρίου δέκα τάλαντα. καὶ λαβὼν γυναῖκα τῶν ὁμοφύλων ἄνναν, υἱὸν ἐξ αὐτῆς ἐγέννησε τωβίαν. ἐνεμεσσὰρ δὲ θανόντος, καὶ τοῦ υἱοῦ αὐτοῦ σενναχηρεὶμ τὴν ἀρχὴν διαδεξαμένου τῶν ἀσσυρίων, καὶ κατὰ τῶν ἰουδαίων στρατεύσαντος, καὶ αἰσχρῶς φυγόντος ἐκεῖθεν, ἐπανελθόντος τε εἰς νινευῆ, καὶ θυμῷ διὰ τὴν ἧτταν ἀναιροῦντος πλείστους τῶν ἰσραηλιτῶν, ἔθαπτεν αὐτοὺς νυκτὸς ὁ τωβίτ. γνωσθεὶς δὲ τοῦτο ποιῶν καὶ ζητούμενος, ἔφυγε, καὶ τὰ τῆς οἰκίας αὐτοῦ διήρπαστο ξύμπαντα. οὔπω δὲ πεντήκοντα παρελθουσῶν ἡμερῶν, ὁ μὲν σενναχηρεὶμ ὑπὸ τῶν υἱῶν ἀνῄρητο, καὶ οἱ μὲν πατροκτόνοι δείσαντες ἔφυγον. ἕτερος δὲ παῖς ἐκείνου σαχερδὰν τὴν βασιλείαν τὴν πατρικὴν διεδέξατο, ὃς συγγενῆ τοῦ τωβὶτ κατέστησε τῶν αὐτοῦ πραγμάτων διοικητήν, ἀχιάχαρος καλούμενον. κἀκείνου ἐδεήθη τοῦ βασιλέως περὶ τωβίτ, καὶ ἐπανῆλθεν εἰς νινευῆ. ἐν ἑορτῇ δὲ πεντηκοστῆς, ἣν καθ' ἑπτὰ ἑβδομάδας ἑώρταζον ἰουδαῖοι, ἄριστον ἡτοίμαστο τῷ τωβὶτ δαψιλές. λέγει οὖν τῷ υἱῷ αὐτοῦ τωβίᾳ· πορευθεὶς τέκνον, καὶ ἄγαγε ὃν ἂν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐνδεῆ μεμνημένον τοῦ κυρίου, μεθέξοντα τῆς τραπέζης ἡμῶν. ὁ δὲ πορευθείς, ἀνέ-

στρεψε

fum uideret, inuocato Deo, stricto acinace illius caput resecat: egressa, ancillæ tradit: abit ut de more precatura. cumque urbi suæ propinquasset, portarũ custodes aperire iubet. intromissa, quæ miracula Deus ipsius opera edidisset, cõmemorat, Holofernis caput profert: id è propugnaculis suspendẽdũ esse monet, et armatos mane egredi. Nam, ubi uos, inquit, uiderint Assyrij, ad imperatoris sui tabernaculum concurrẽt, & eius cæde perterrefacti, fugam facient. Vos eos insecuti ita cædetis, ut campi cadaueribus impleanẽ. Quæ cum ciues suos monuisset, Achiori accersito caput Holofernis mõstrat: quo ille cõspecto, attonitus petebat, ut quid egisset, sibi recenseret. cum aũt illa in conspectu totius populi q̃ Deus per ipsam fecisset, narraret, utque castitatem & uiduitatem suam inuiolatam conseruasset: credidit Achior Deo, et circumcisus est. Magistratus uerò & populus urbis, capite Holofernis de pinnaculo suspenso, ceteraque de Iudithę consilio executi, Assyrios instar graminis cæciderunt: magnaque copia spoliorum potiti, Iudithæ tabernaculum Holofernis attribuerunt. quod illa Hierosolyma profecta, Deo consecrauit, eique cum omnibus Israelitis canticum cecinit, oleagino ramo coronata: & reuersa domum, in castitate cõsenuit, mortua cum uixisset annos v & c. Et hic euentus fuit Iudithę. Nunc series narrationis postulat, ut & Tobiti historiam breuiter percurramus. Is igitur ex tribu Nephthalia oriundus, captus fuerat temporib. Enamasaris regis Assyriorum: homo pius erga Deum, & iustus aduersus homines. cumque tribules eius Baali immolarent, ipse Hierosolyma proficiscens sacrificabat Deo, uita ex legis mandatis instituta. In captiuitate non contaminatus fuit cibis gentilibus: cõciliataque sibi Enamasaris gratia, de opibus, quas magnas pararat, impertiebat egenis populariũ suorũ. Cum autem in Mediam proficisceret, deposuit apud quendã populariũ suorum Gabaelũ x argenti talenta. ductaque uxore suæ gentis Anna, Tobiam filium ex ea suscepit. Enamasare mortuo, Sennacheribus filius regni Assyriorũ successor, cum bello Iudæis illato fœde profligatus esset, domum reuersus, per iracundiam ex dolore cladis multos Israelitarum occidit. Eos Tobitus noctu sepeliebat. Quamobrem delatus apud regem, cum quæreretur, ipse fugam capit, & facultates eius omnes diripiuntur. Necdum dies L exierant, cum Sennacheribo à suis filijs occiso, parricidæ perterriti in exilium profugiunt: & alius eius filius Nachordan regnũ paternũ suscipit, qui Tobiti cognatũ, Achiacharũ nomine, suarum rerum procuratorẽ constituit, cuius intercessione Tobitus rege exorato Niniuẽ reuertiẽ. Festo Pentecostes, quod septenis hebdomadib. Iudæi celebrabãt, Tobitus lauto prandio apparato, filio mandat, ut quẽcunque fratrum inopem & Domini memorẽ uideret, eum ad epulas adduceret. Tobias egressus reuertitur,

Achior Iudaismũ amplectitur.

Tobiti genus & mores.

Anna. Tobias.

Tobiti exilium, & restitutio.

[illegible] ἀπὸ τῶν ἐπάλξεων ἰουδὶθ μετὰ τὴν κεφαλὴν ὀλοφέρνου, καὶ [illegible] πάντα γενέσθαι.

περιτομὴ ἀχιώρ.

ὅπλα αὐτῆς ἀνάθημα [illegible].

ὅτι ἰουδὶθ ἐστεφανώθη ἐλαίας θαλλῷ, καὶ ᾖσεν ᾠδὴν τῷ θεῷ, [illegible] τωβίτ.

ὅτι ὁ [illegible] τρέφει.

titur,

titur, patri nuncians, popularium quendam strangulatum in foro iacere. Statim abit Tobitus, cadauer sublatum domum portat, & post solis occasum sepelit. à sepultura reuersus, domum non ingreditur: ut qui ex lege impurus esset, contacto cadauere. Sed iuxta parietem in aula dormit, in quo passerculi nidulati, excrementa alui in oculos eius deiecerunt. Vnde cæcatus Tobitus, & ad egestatem redactus, ab uxore nente alebatur: quæ aliquando mercede accepta, auctarijuice hœdum etiã retulerat, cuius balatu audito, rogabat, num furto sublatus esset? Respondente illa, dono sibi datum esse: instabat, si furtiuus esset, ut suis dominis restitueretur. Mulier dolore commota, & maritum ob nimium iusticię studium ueluti subsannãs: Vbi, inquit, sunt eleemosynæ tuæ, & iusticia tua? His uerbis Tobitus perturbatus & lachrymans, mortẽ à Deo exoptat. Cæterùm accidit, ut eodem die Ecbatanis Mediæ Sara filia Raguelis à paternis ancillis maledictis lacesseret, quasi maritos suos suffocaret, cum septies desponsa, neque ulli nupta fuisset. Nam dæmonium quoddã, nomine Asmodæus, illos ad eam ingredientes, suffocabat. Ea contumeliæ impatiens, de suspendio deliberabat: sed ne patri suo luctui & dedecori esset, ab eo sibi temperat: & ad preces cõuersa, Deum inuocat, mortẽ optans, & liberationem ab opprobrijs, aut clementem melioris fortunæ adeptionem, qua & ipsa ignominiam effugeret. Vtriusque autem preces exauditæ sunt: missus'que à Deo Raphael archangelus, qui & Tobiti cæcitatem curaret, & Saram Tobiæ desponderet, & Asmodæum malum dęmonium uinciret, ne quid Tobiæ noceret Sara ducta. Tobitus igitur filium Tobiam uocat, multa monet, denique exponit: Se apud Gabaelum Gobriæ filium qui Ragis Medicis degat, decem argẽti talenta deposuisse, iubet ut ea recipiat, reddito chirographo, & comitem mercede conducat. Is dum comitem quærit, in Raphaelem archangelum incidit, qui uirili specie illi oblatus, profitebatur se scire uiam & ædes Gabaeli, & eius fore comitem. Eo igitur adhibito, quasi homo esset, Azarias nomine, iter ingreditur: iuxta Tigrim fluuium pernoctant. Cum autem Tobias fluuium ingressus esset, ut se ablueret, exilijt inde piscis, adolescentẽ deuoraturus. At angelus ut piscem apprehendat, & pertractũ in terram dissecet, hortatur: eiusq́ꝫ cor, iecur & fel diligẽter asseruet. Cum prope Ecbatana uenissent, Tobias, frater Azaria, inquit, quis nobis usus est cordis, iecoris & fellis piscis? Respondet ille: cordis & iecoris suffitu, fugari dæmones, si cui sint molesti: fel inunctum oculis, albuginem detrahere, & restituere usum. Præterea Tobiæ ait, se in urbe apud Raguelem cognatum eius pernoctaturos, cui filia sit Sara, cordata & formosa: eam se illi uxorem petiturum. Tum adolescens: Audiui, inquit, puellam septem

uiris

Tobiti excæcatio.

Sara Raguelis filia infestata à dæmone Asmodeo.

Raphael archangelus, Tobiam in Mediam comitatur.

Piscis cor, iecur et fel.

στρέψας, λέγων· ὥς τις ἐκ τοῦ γένους ὑμῶν ἐστραγγαλισμένος ἔρριπται ἐν τῇ ἀγορᾷ. καὶ ὁ Τωβὶτ εὐθὺς ἀπῆλθε, καὶ ἀνελόμενος τὸν νεκρόν, εἰς τὴν οἰκίαν ἐκόμισε. δύντος δὲ τοῦ ἡλίου ἔθαψεν αὐτόν, καὶ ἐπανελθὼν οὐκ εἰσῆλθεν εἰς τὴν οἰκίαν, οἷα κατὰ τὸν νόμον ἀκάθαρτος, ὡς ἁψάμενος τοῦ νεκροῦ, ἀλλ' ἐκοιμήθη παρὰ τὸν τοῖχον ἐν τῇ αὐλῇ. στρουθία δὲ ἐν τῷ τοίχῳ διανυκτερεύοντα, ἀφώδευσαν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐξ ὧν λευκώματα συνέβησαν ἐν αὐτοῖς, καὶ τυφλὸς γέγονεν ὁ Τωβίτ. ἐν ἐνδείᾳ δὲ γεγονώς, ὑπὸ τῆς γυναικὸς μισθῷ ὑφαινούσης ἐτρέφετο. καί ποτε μισθὸν λαβοῦσα, καὶ ἐπ' αὐτῷ προσειληφυῖα καὶ ἔριφον, ἧκε πρὸς τὸν Τωβίτ. καὶ ἀκούσας τῆς κραυγῆς τοῦ ἐρίφου, ἠρώτα μή ποτε κλοπιμαῖος εἴη. ἡ δὲ, δῶρον εἶπέ μοι δέδοται ἐπὶ τῷ μισθῷ. καὶ ὃς ἐνέκειτο λέγων, εἰ κλοπιμαῖον εἴη, ἀποδοθῆναι τοῖς κυρίοις αὐτοῦ. περιαλγήσασα δὲ ἡ γυνή, καὶ οἷον εἰ τὸν ἄνδρα ἐπὶ τῇ ἀκριβείᾳ τῆς δικαιοσύνης χλευάζουσα, ποῦ εἰσὶν αἱ ἐλεημοσύναι σου, καὶ αἱ δικαιοσύναι σου, ἔφη; καὶ ὁ Τωβὶτ ἐδάκρυσε συγχυθείς, καὶ ηὔξατο τὸν θεὸν ἀπαλλαγῆναι τῆς ζωῆς. καὶ κατ' αὐτὴν τὴν ἡμέραν ἐν Ἐκβατάνοις τῆς Μηδίας συνέπεσεν, ὀνειδισθῆναι Σάρραν τὴν θυγατέρα Ῥαγουὴλ ὑπὸ παιδισκῶν τοῦ πατρὸς αὐτῆς, ὡς τοὺς ἄνδρας αὐτῆς ἀποπνίγουσαν, καὶ ἑπτὰ μὲν συζευχθεῖσαν, οὐδενὶ δὲ αὐτῶν γενομένην. δαιμόνιον γάρ τι Ἀσμοδαῖος καλούμενον, ἐθανάτου αὐτοὺς πρὸς αὐτὴν εἰσιόντας. ἡ δὲ μὴ φέρουσα τὸν ὀνειδισμόν, ἀπάγξασθαι ἐβουλεύσατο. ἀλλ' ἵνα μὴ πένθος καὶ ὄνειδος δι' αὐτὴν τῷ πατρὶ αὐτῆς, τοῦτο μὲν οὐκ ἐποίησεν, εἰς προσευχὴν δὲ τραπεῖσα, ἐπεκαλέσατο τὸν θεόν, αἰτουμένη θάνατον, καὶ ἀπαλλαγῆναι τῶν ὀνειδισμῶν, ἢ οἰκτειρηθῆναι, καὶ οὕτως αὖθις τὸ ὄνειδος ἐκφυγεῖν. εἰσηκούσθη οὖν ἡ προσευχὴ καὶ ἀμφοῖν. καὶ ἀπεστάλη πρὸς τοῦ θεοῦ Ῥαφαὴλ ὁ ἀρχάγγελος, ἰάσασθαι μὲν τὴν πήρωσιν τοῦ Τωβίτ, τὴν Σάρραν δὲ τῷ Τωβίᾳ μνηστεύσασθαι, καὶ δῆσαι τὸν Ἀσμοδαῖον τὸ πονηρὸν δαιμόνιον, ὥστε μή τι κακὸν τῷ Τωβίᾳ ἐργάσασθαι, εἰ τὴν Σάρραν ἀγάγοιτο. καλέσας δὲ ὁ Τωβὶτ τὸν Τωβίαν τὸν παῖδα αὐτοῦ, καὶ παραινέσας πολλά, τέλος ἔφη αὐτῷ· δέκα τάλαντα ἀργυρίου παρατέθειμαι Γαβαὴλ τῷ τοῦ Γαβρία ἐν Ῥάγοις τῆς Μηδίας. πορευθεὶς οὖν λάβε ταῦτα, καὶ ἐπίδειξον αὐτῷ τὸ παρ' ἐμοῦ χειρόγραφον, καὶ ἐνετείλατο ζητῆσαι ἄνθρωπον, ὃς μισθοῦ αὐτῷ συμπορεύσεται. καὶ ζητῶν συνοδοιπόρον, ἐντυγχάνει τῷ ἀρχαγγέλῳ Ῥαφαήλ, ἐν εἴδει ἀνδρὸς φανέντι αὐτῷ, καὶ ἐπαγγελλομένῳ εἰδέναι τὴν ὁδόν, καὶ τὸν οἶκον τοῦ Γαβαήλ, καὶ σὺν αὐτῷ πορευθῆναι. καὶ παραλαβὼν αὐτὸν ὡς ἄνθρωπον Ἀζαρίαν καλούμενον, ἀπῄει. καὶ ἐλθόντες ἑσπέρας ἐπὶ τὸν Τίγρην τὸν ποταμόν, καὶ ηὐλίσθησαν ἐκεῖ. Τωβίας δὲ εἰσελθὼν εἰς τὸν ποταμὸν περικλύσασθαι, καὶ ἀναθορὼν ἐκ τοῦ ὕδατος ἰχθὺς καταπιεῖν τὸ μειράκιον. ὁ δὲ ἄγγελος ἐπιλαβέσθαι αὐτῷ τοῦ ἰχθύος προσεκελεύσατο, καὶ ἑλκυσθέντα αὐτὸν εἰς τὴν γῆν ἀνατμηθῆναι εἶπε, καὶ λαβεῖν ἐκεῖθεν τὸν Τωβίαν τὴν καρδίαν αὐτοῦ, καὶ τὸ ἧπαρ καὶ τὴν χολήν, καὶ διατηρεῖν ἀσφαλῶς. ὡς δὲ ἐπορεύοντο, καὶ ἤγγιζον Ἐκβατάνοις, ἔφη Τωβίας· ἀδελφὲ Ἀζαρία, εἰς τί χρησιμεύσουσιν ἡμῖν ἡ καρδία τοῦ ἰχθύος, καὶ τὸ ἧπαρ καὶ ἡ χολή; ὁ δὲ ἀπεκρίνατο, ἡ καρδία καὶ τὸ ἧπαρ θυμιώμενα, διώκουσι δαίμονας, ἐάν τινι ἐνοχλῶσιν· ἡ δὲ χολὴ ἐγχριομένη ὄμμασι λευκώματα ἔχουσι, καθαίρει ταῦτα, καὶ δίδωσι τὸ ὁρᾶν. ἤδη δὲ τοῖς Ἐκβατάνοις προσήγγισαν. καί φησι πρὸς Τωβίαν ὁ ἄγγελος, σήμερον αὐλισθησόμεθα παρὰ Ῥαγουὴλ συγγενεῖ σου τυγχάνοντι, οὗ θυγάτηρ Σάρρα ἐστί, φρονίμη τε καὶ καλή, καὶ λαλήσω περὶ αὐτῆς δοθῆναί σοι εἰς γυναῖκα. ὁ δὲ ἐκεῖνο, ἔφη, τὸ κοράσιον ἀκήκοα δεδόσθαι

ἀνδράσιν

τύφλωσις τωβίτ.

ὅτι διακρίνει τὸ δῶρον καὶ ἐν πενίᾳ τὸ δίκαιον ἐφρόντισεν.

περὶ σάρρας δι' ἣν τοὺς ἄνδρας ἀπέπνιγε τὸ σὺν αὐτῇ δαιμόνιον, ὀνειδίζων αὐτήν.

περὶ τοῦ ἀρχαγγέλου ῥαφαήλ.

ὅπως ὁ υἱὸς τωβὶτ τωβίας ἀπεστάλη παρὰ τοῦ πατρὸς αὐτοῦ λαβεῖν τὴν παρακαταθήκην, καὶ ὅπως ῥαφαὴλ ὁ ἀρχάγγελος ὁδηγεῖ αὐτόν.

περὶ τοῦ ἰχθύος οὗ τὸ ἧπαρ καὶ τὴν χολὴν ἐκελεύσθη τωβίας φυλάττειν, καὶ ἐδιδάχθη ὡς εἰς τί ταῦτα συντελεῖ.

ὅτι ἀζαρίας μετωνόμαστο ἐκεῖ τότε ὁ ἄγγελος ῥαφαήλ.

αὐδράσιν ἑπτά, καὶ πάντες ἐν τῷ νυμφῶνι ἔθανον, ὅτι φιλεῖ τούτου δαιμόνιον, καὶ σὺν αὐτῇ μνηστευσαμένους ἀπόλλυσι, καὶ δέδοικα μὴ καὶ αὐτὸς ἀναιρεθῶ τῆς ζωῆς. καὶ ὁ ἄγγελος, ἄκουσόν μου φησί, καὶ μηδεὶς ἔσται σοι τοῦ δαιμονίου λόγος. ἐὰν γὰρ ἔλθῃς εἰς τὸν νυμφῶνα, ἀνθρακιὰν ἐπίθες ἐκ τῆς καρδίας τοῦ ἰχθύος, καὶ ἐκ τοῦ ἥπατος, καὶ φεύξεται τὸ δαιμόνιον τὴν ὀσμὴν αὐτῶν ὀσφρανθέν, καὶ οὐκέτι ἐπανελεύσεται. καὶ εἰσῆλθον εἰς τὸν οἶκον Ῥαγουήλ, καὶ μαθὼν ἐκεῖνος παῖδα Τωβίαν, ὅτι υἱὸς ἐστὶ τοῦ Τωβίτ, κατεφίλησεν αὐτόν. καὶ ἀκούσας ὅτι πεπήρωται ὁ Τωβίτ, ἔκλαυσε, καὶ ἀσμένως αὐτὸν ἐδέξατο. ὁ δὲ ἄγγελος ἔφη τῷ Ῥαγουήλ, συζεῦξαι αὐτῷ τὴν Σάρραν. ἐκεῖνος κατένευσε, καὶ καλέσας τὴν θυγατέρα, καὶ τῆς χειρὸς αὐτῆς λαβόμενος, παρέδωκεν αὐτὴν τῷ Τωβίᾳ· καὶ λαβὼν βιβλίον, ἔγραψε συγγραφήν. μετὰ δὲ τὸ δεῖπνον εἰσήγαγον εἰς τὸ ταμεῖον πρὸς αὐτὴν τὸν Τωβίαν. ὁ δὲ ἀπιών, ἔλαβε τὰς ἄνθρακας, καὶ ἐπέθηκεν ἐκ τῆς καρδίας καὶ τοῦ ἥπατος τοῦ ἰχθύος, ἐκάπνισε, καὶ ἡ ὀσμὴ τοῦ ἐφυγάδευσε τὸ δαιμόνιον. Ῥαγουὴλ δὲ μεθ' ἡμέραν ἔστειλε μίαν τῶν παιδισκῶν, ἰδεῖν εἰ ζῇ ὁ Τωβίας. τῆς δὲ ἀναστρεψάσης, καὶ ζῆν λεγούσης αὐτόν, εὐλόγησεν ὁ Ῥαγουὴλ τὸν θεόν. εἶπε δὲ πρὸς Τωβίαν· ἑορτάσωμεν σοὺ γάμους ἐφ' ἡμέρας δέκα καὶ τέσσαρας, καὶ οὐκ ἐξελεύσῃ ἐν τούτῳ πρὸ τοῦ ταύτας παρελθεῖν. καὶ τότε λαβὼν τὴν ἡμίσειαν μοῖραν τῶν ὑπαρχόντων μοι, πορεύου· τὰ δέ γε λοιπὰ λήψεσθε θανόντος ἐμοῦ, καὶ τῆς τοῦ βίου μοι κοινωνοῦ. φησὶν οὖν ὁ Τωβίας πρὸς Ῥαφαήλ· ἀδελφὲ Ἀζαρία, λάβε μοι τὸ χειρόγραφον, καὶ πορευθεὶς ἐν Ῥάγοις παρὰ Γαβαήλ, καὶ κόμισον τὸ ἀργύριον. εἰ γὰρ χρονιοῦμεν, ὁ πατήρ μου σφόδρα ὀδυνηθήσεται. καὶ ἀπῆλθεν ὁ ἄγγελος, καὶ ἐνεχείρισε τῷ Γαβαὴλ τὸ χειρόγραφον, καὶ ἔλαβε τὸ ἀργύριον, καὶ ὑπέστρεψεν. ἤδη δὲ παρελθουσῶν τῶν τοῦ γάμου ἡμερῶν, ἐξαποστελλόμενος τῷ Ῥαγουήλ, ὁ Τωβίας φησί. καὶ λαβὼν τὴν γυναῖκα αὐτοῦ, καὶ τὸ ἥμισυ τῶν ὑπαρχόντων τοῦ Ῥαγουήλ, ἀπῄει. ἤδη δὲ πλησίον γενομένων τῇ Νινευῇ, φησὶν ὁ ἄγγελος πρὸς αὐτόν· προδράμωμεν ἔμπροσθεν, ἑτοιμάσωμεν τὴν οἰκίαν. λάβε δὲ μετὰ χεῖρας τὴν χολὴν τοῦ ἰχθύος, καὶ ἀνοίξει τοὺς ὀφθαλμοὺς αὐτοῦ ὁ πατήρ σου. σὺ δὲ ἔγχρισον αὐτοὺς τῇ χολῇ, καὶ δηχθεὶς διατρίψει αὐτούς, καὶ ἐκβαλεῖ τὰ λευκώματα. ἡ δὲ μήτηρ αὐτοῦ ἐκάθητο περιβλέπουσα τὴν ὁδόν· καὶ ὡς ἔγνω τὸν υἱὸν αὐτῆς ἐρχόμενον, εὐαγγελίζεται φησὶ τῷ Τωβίτ, ἔρχεται ὁ υἱός σου. καὶ προσδραμοῦσα, κατεφίλησεν αὐτόν, καὶ εἶπεν· εἶδόν σε παιδίον, καὶ νῦν ἀποθανοῦμαι, οὐ μέλον μοι. Τωβὶτ δὲ ἐξῄει πρὸς τὴν θύραν προσκόπτων, καὶ ὁ Τωβίας αὐτοῦ ἐπελάβετο, καὶ ἐπέχρισε τὴν χολὴν ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ συνεδήχθη, καὶ διέτριψεν αὐτούς, καὶ ἐλεπίσθη ἀπ' αὐτῶν τὰ λευκώματα. καὶ ἰδὼν τὸν υἱὸν αὐτοῦ, εὐλόγησε τὸν θεόν. καὶ ὡς ἀπηγγέλη τῷ Τωβὶτ τὰ γεγονότα τῷ Τωβίᾳ ἐν Μηδίᾳ, ἐξῆλθε Τωβὶτ εἰς συνάντησιν τῆς νύμφης αὐτοῦ. καὶ ἰδὼν αὐτήν, εὐλόγησεν αὐτήν. οἱ δὲ ἐν τῇ Νινευῇ ὁρῶντες αὐτὸν βλέποντα, καὶ ἀκούοντες ὅσα ἐποίησεν ὁ θεὸς μεγαλεῖα, ἐθαύμαζον. εἶπε δὲ Τωβὶτ τῷ υἱῷ αὐτοῦ, δὸς δὴ τέκνον τὸν μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, μᾶλλον μέν τι καὶ προσθεῖναι αὐτῷ δεῖ. ὁ δὲ πατρὶ ἔφη, τὸ ἥμισυ λαβεῖν ὧν ἐνήνοχεν δίκαιός ἐστι. καὶ εἶπε τῷ Ῥαφαήλ· λάβε μοι ἀδελφὲ Ἀζαρία τὸ ἥμισυ πάντων ὧν ἐνηνόχαμεν, καὶ πορεύου ὑγιαίνων. τότε καλέσας κατὰ μόνας σὺν δύο ὁ ἄγγελος, ἀπήγγειλεν ἅπαντα τὰ μεγαλεῖα, ἃ ἐποίησε μετ' αὐτῶν ὁ θεός. καὶ

Ἰᾶται ὁ Τωβίας τὰ λευκώματα τοῦ πατρός.

Ὁ δὲ Ῥαφαὴλ ἀναγγέλλει τοῖς ἀγγέλοις [illegible] καὶ [illegible] αὐτῶν.

uiris fuisse elocatam, qui omnes in thalamo nuptiali perierunt. Nam à dæmonio adamari, quod sponsos illius perimat. Vereor itaque, ne & mihi idem usuueniat. Cui angelus: Me, inquit, audi, neque ulla dæmonij ratione habita: ubi in thalamum ueneris, portionem de corde & iecore piscis carbonibus imponito. Dæmonium enim odore illo profligatum, nunquam redibit. Cum ingressi essent ædes, & Raguel Tobiam Tobiti filium esse cognouisset, utrunque humaniter excipit, adolescentem deosculatur, & patris eius calamitatem deplorat. Angelo autem à Raguele petente, ut Tobiæ Saram desponderet: cum annuisset pater, & filiam accersisset, puellam manu prehensam Tobiæ tradit, & libellum matrimonij conficit. A' cœna Tobias in cõclaue ad illam introductus, corde & iecore piscis carbonib. imposito, cubiculum suffumigat, coque nidore fugat dæmonium. Raguel autem, cum diluxisset, ancillam misit, uisum an adhuc uiueret Tobias: quæ cum eum saluum esse renunciasset, laudato Deo Tobiæ ait: Nuptias per quatuordecim dies celebrabimus, nec ante eos elapsos te dimittam. post, accepto mearum opum semisse, discedes. reliqua, me, uitæque meæ socia defuncta, accipietis. Tobias igitur ad Raphaelem ait: Frater Azaria, Cape chirographum meum, & Raga Medica profectus ad Gabaelum, argentum affer. Nam si diu morabimur, pater meus uehementer angetur. Abit angelus, dato Gabaeli chirographo, argentoque accepto reuertitur. Elapsis nuptiarum dieb. Tobias petita à Raguele uenia, uxoreque sua, cum semisse bonorum soceri accepta, discedit. Cum autem iam Niniuæ appropinquarent, angelus ei ait: Præcurramus, & præparemus ædes: tu uerò fel piscis in manus sumito, ut aperiantur oculi patris tui. Nam ubi tu eos inunxeris, & ille ex morsu cõfricuerit, alb uginem detrahet. Mater porrò eius sedebat, reditum filij expectans: eo conspecto, aduentum eius Tobito nunciat. properèque accurrens, filium deosculata: Vidi te, inquit, fili, neque mihi posthac mors curæ est. Tobitus uerò ad ianuam exiens impingit. sed Tobias eo apprehenso, felle inunxit eius oculos: quos ubi ille cõpunctos defricuit, albugo inde squamarum instar decidit. Viso igitur filio, laudat Deum. cumque audisset, quid ei apud Medos accidisset, egressus est sponsæ obuiam, & bene precatus. Niniuitæ autem, cum eum uidere cernerent, & magnifica Dei opera audirent, mirabantur. Dixit autẽ Tobitus filio, ut suo comiti mercedem cũ auctario daret. Verùm Tobias: Pater, inquit, æquum est eum semissem eorum omnium quæ attulit, accipere. & Raphaeli ait: Mi frater Azaria, sume dimidium eorum omniũ quæ attulisti, & bene ambula. Tum angelus utrũque seducit, & eis opera Dei magnifica recensens, se Raphaelem esse ait,

Sara Tobiæ desponsatur.

Tobitus uisum recipit.

Raphaelem dicat, qui sit.

ait, nec sua sponte uenisse, sed à Deo esse missum: monet ut Deum celebrent, eiusque in se beneficentiam prædicent. Nam arcanum, inquit, regis cælare bonum est: Dei autem opera sunt celebranda & extollenda. Illi his auditis, ad pedes eius sunt prolapsi. sed cùm surrexissent, eum non uiderunt amplius, & prædicarunt miracula diuinitùs in se edita. Natus erat Tobitus, cum uisum amitteret, annos LVIII, eumque post annos VIII recuperauit, & ab eo tempore magis etiam ueritus est Deum, & maius uirtutis studium habuit. Cum planè consenuisset, Tobiæ dixit: Ego fili planè consenui, iamiam moriturus. Tu uerò cum liberis tuis proficiscere in Mediam. Persuasum enim habeo, ea quæ Ionas de Niniues excidio prædixit, euentura esse. Hierosolyma item fore deserta, & templum combustum iri: sed Deo urbi reconciliato, populum reuersurum, & eam instauraturum. Tu uerò legem obseruato, et misericors esto & iustus. His filio mandatis expirauit, annos CLVIII natus. Eo Tobias unà cum matre honorificè sepulto, cum uxore Ecbatana Mediæ ad socerum Raguelem proficiscitur: quem cum & ipsum natu grandem sepelisset, hæreditatē eius adit. Mortuus est & Tobias, annos natus CXXVII. audiuitque, priusquam obiret, excidium Niniues à Nabuchodonosore & Assyrijs captæ. Omnis igitur Hebræorum populus, ut iam expositū est, ab Assyrijs captus, & aliò translatus est, desertis Hierosolymis: neque prius dimissus, quàm Assyriorum imperium, ut prophetæ prædixerant, à Medis & Persis esset euersum, annique LXX ab Hieremia designati præterissent. Neque uerò alienum hoc loco fuerit, Assyrij regni excidium breuiter perstringere, atque ostendere, uerè prædictū fuisse à prophetis, id à Medis & Persis euersum iri. Cæterùm res ita se habet. Medorum & Persarum distincta regna fuerunt, quorum illud Astyages, hoc Cambyses tenuit, qui Mandanen Astyagis filiam in matrimonio habebat, ex eaque Cyrum filium procreauit. Is Persarum institutis educatus, in uirū fortissimum, modestissimum, cordatum & iustissimum euasit. Persarum autem instituta, Xenophonte autore, huiusmodi fuerunt. Forum habuere, quod liberum uocabatur, in quo & regia & cæteræ curiæ extructæ erant, sepulsis inde rebus uenalibus et circumforaneis hominibus, eorumque turbis & uociferationibus, ne ijs hominum bene institutorum disciplina turbaretur. Diuisum erat id forum in quatuor curias, quarum una pueris, altera adolescentibus, tertia uiris, quarta ijs qui ætatem militarem excesserant, erat attributa. Suam igitur quæque ætas curiam frequentabat. Verùm adolescentibus cum armis gymnicis iuxta curias excubare moris erat, exceptis ijs qui uxores duxerant. Iis uerò neque adesse, nisi denunciatum esset, necesse erat: neque crebrius abesse, concessum. Curia quælibet duodecim principes habebat, pro numero Persicarum tribuum. Pueri qui

Tobiti & Tobiæ obitus.

Assyrij regni euersionis occasio.

Astyages. Cambyses. Mandane. Cyrus.

Persica disciplina.

ἄγγελον εἶναι ὁ ῥαφαὴλ, καὶ μὴ ἀφ' ἑαυτοῦ παραγενέσθαι, ἀλλὰ σταλῆναι ὑπὸ θεοῦ. καὶ παρῄνεσεν αὐτοῖς εὐλογεῖν τὸν θεὸν, καὶ ἐξομολογεῖσθαι ὅσα ἐποίησε μετ' αὐτῶν. μυστήριον μὲν γὰρ βασιλέως ἔφη κρύπτειν, καλόν· τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν, ἔνδοξον. οἱ δὲ ἀκούσαντες ταῦτα, ἔπεσον ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ ἀναστάντες οὐκέτι αὐτὸν εἶδον, καὶ ἀνθωμολογοῦντο τῷ θεῷ ἀνθ' ὧν μετ' αὐτῶν θαυμασίων ἐποίησεν. ἦν δὲ τωβὶτ, ὅτε τὴν ὅρασιν αὐτοῦ ἀπώλεσεν, ἐτῶν πεντήκοντα καὶ ὀκτώ, καὶ μετὰ ἔτη ὀκτὼ ἀποκατέστη πάλιν εἰς τὸ ὁρᾶν, καὶ ἦν μᾶλλον ἔκτοτε φοβούμενος τὸν θεὸν, καὶ τὸ ἀγαθὸν ἐργαζόμενος. γεγηρακὼς δὲ εἰς ἔσχατον, λέγει τῷ υἱῷ αὐτοῦ. τέκνον ἰδοὺ γεγήρακα, καὶ πρὸς τῷ θανεῖν εἰμί, σὺ δὲ λάβε τοὺς υἱούς σου, καὶ ἄπελθε εἰς μηδίαν. πέπεισμαι γὰρ, ὅτι ὅσα περὶ ἐλάλησεν ἰωνᾶς περὶ νινευὶ ὡς καταστραφήσεται, γενήσονται, καὶ ὅτι ἱεροσόλυμα ἔρημα ἔσται, καὶ ὁ ναὸς κατακαυθήσεται, καὶ πάλιν ἐλεήσει τὴν πόλιν ὁ θεὸς, καὶ ἐπιστρέψει ὁ λαὸς, καὶ οἰκοδομήσει αὐτήν. σὺ δὲ τήρησον τὸν νόμον, καὶ γίνου ἐλεήμων καὶ δίκαιος. καὶ τοιαῦτα ἐντειλάμενος τῷ υἱῷ αὐτοῦ, ἐξέλιπεν, ἐτῶν γενόμενος ἑκατὸν πεντήκοντα καὶ ὀκτώ· καὶ ἔθαψεν αὐτὸν ἐντίμως τωβίας, καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἀπῆλθε μετὰ τῆς γυναικὸς αὐτοῦ εἰς ἐκβάτανα πρὸς ῥαγουὴλ τὸν πενθερὸν αὐτοῦ, καὶ ἔθαψε κἀκεῖνον γηράσαντα, καὶ ἐκληρονόμησεν αὐτόν. ἀπέθανε δὲ τωβίας ἐτῶν ἑκατὸν εἴκοσι καὶ ἑπτὰ ἐν ἐκβατάνοις τῆς μηδίας, καὶ ἤκουσε πρὸ τοῦ θανεῖν τὴν ἀπώλειαν νινευΐ, αἰχμαλωτισθείσης ὑπὸ ναβουχοδονόσορ καὶ ἀσσυρίων. τὸ μὲν οὖν σύμπαν τῶν ἑβραίων ἔθνος, ὡς ἤδη ἱστόρηται, δορυάλωτον παρὰ τῶν ἀσσυρίων γενόμενον, μετῳκίσθη, καὶ ἔρημος ἡ ἱερουσαλὴμ καταλέλειπτο, οὐ πρότερόν τε τῆς αἰχμαλωσίας ἐλύθη, πρὶν ἡ τῶν ἀσσυρίων καταλυθῇ ἀρχὴ, κατὰ τὴν προφητικὴν προαγόρευσιν ὑπὸ μήδων τε καὶ περσῶν, καὶ οἱ ἑβδομήκοντα παρῆλθον ἐνιαυτοὶ, οὓς ὁ προφήτης ἱερεμίας προαπεφήνατο. οὐκ ἄκαιρον δ' ἂν εἴη καὶ τῆς τῶν ἀσσυρίων βασιλείας ἐπιτετμημένως διεξελθεῖν τὴν καθαίρεσιν, καὶ δεῖξαι τὴν προφητικὴν ἀληθεύουσαν πρόρρησιν, τὴν ὑπὸ μήδων καὶ περσῶν μέλλειν αὐτὴν καταλυθήσεσθαι προθεσπίζουσαν. ἔχει δὲ οὕτως. βασιλεῖαι καθ' ἑαυτὰς ἦσαν ἥ τε μήδων καὶ ἡ περσῶν, καὶ τῶν μὲν ἦρχεν ὁ ἀστυάγης, ὁ καμβύσης δὲ τῶν περσῶν. συνῴκει δ' οὗτος τῇ ἀστυάγους θυγατρὶ καλουμένῃ μανδάνῃ, ἐξ ἧς παῖδα τῷ καμβύσῃ τὸν κῦρον ἐγένετο, ὃς τοῖς τῶν περσῶν νόμοις τραφεὶς, ἀνδρειότατός τε καὶ σωφρονέστατος, συνετώτατός τε καὶ δικαιότατος γέγονε. τὰ δὲ νόμιμα τῶν περσῶν τοιάδε ἦσαν, ὡς ξενοφῶν συγγέγραφε. ἦν αὐτοῖς ἀγορὰ ἐλευθέρα καλουμένη, καθ' ἣν τά τε βασίλεια σφίσι, καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηντο, ὅθεν τὰ ὤνια καὶ οἱ ἀγοραῖοι καὶ ἡ τούτων τύρβη καὶ αἱ φωναὶ ἀπελήλαντο, ἵνα μὴ τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ μιγνύωνται. διῄρητο δὲ ἡ ἐλευθέρα ἀγορὰ εἰς τετρακτὺν ἀρχείων, τούτων τὸ ἓν παισὶν, ἄλλο δ' ἐφήβοις ἀφώριστο, τελείοις δ' ἀνδράσι τὸ ἕτερον, τοῖς δ' ὑπὲρ τὰ στρατεύσιμα γεγονόσιν ἔτη, ἀπονενέμητο τὸ λοιπὸν, καὶ εἰς τὰς ἑαυτῶν χώρας παρῆσαν ἕκαστοι. τοὺς δ' ἐφήβους καὶ περὶ τὰ ἀρχεῖα καθεύδειν σὺν τοῖς ὅπλοις τοῖς γυμνικοῖς ἐνενόμιστο, πλὴν τῶν γεγαμηκότων. οὗτοι δὲ οὐκ ἐπεζητοῦντο εἰ μὴ προείρητο, οὐδ' ἀπεῖναι συχνάκις αὐτοῖς συνεχωρεῖτο. ἦσαν δ' ἑκάστοις ἄρχοντες δώδεκα· εἰς γὰρ δώδεκα φυλὰς οἱ πέρσαι διῄρηντο. οἱ μὲν

λέγουσι τῶν ἑβραίων τινὲς, ὅτι τὸ πάσχα κατὰ τὴν πρόρρησιν ἐν τῷ ἀπὸ τούτου ... ἐν ἱερουσαλήμ.

ἔτι ἑκατὸν πεντήκοντα καὶ ὀκτὼ γενόμενος ... ὅτι τὰ ἐκβάτανα πόλις τῆς μηδίας ἐστίν.

περὶ τῆς βασιλείας μήδων καὶ περσῶν, καὶ ὅτι ἀστυάγης ἦρχε μήδων, ὁ καμβύσης δὲ περσῶν.

ὅπως οἱ πέρσαι ἐπαιδεύοντο καὶ διῃροῦντο. ὅπως οἱ παῖδες παρὰ πέρσαις διῆγον.

οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες, δικαιοσύνην ἐμάνθανον, τῶν ἀρχόντων αὐτῶν τὸ πλεῖστον τῆς ἡμέρας δικαζόντων αὐτοῖς. γίγνονται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους ὥσπερ ἀνδράσιν ἐγκλήματα καὶ κλοπῆς καὶ βίας καὶ ἁρπαγῆς καὶ ἀπάτης καὶ ὕβρεως, καὶ ἄλλων τινῶν. οὓς δ' ἂν γνῶσι τούτων ἀδικοῦντας, ἐτιμωροῦντο· καὶ οὓς δ' ἂν εὕρωσιν ἀδίκως ἐγκαλοῦντας, ἐκόλαζον. ἐδίδασκον δὲ τοὺς παῖδας σωφροσύνην, προσέχοντας τοῖς πρεσβυτέροις σωφρόνως διάγουσιν. ἐδίδασκον δὲ καὶ τροφῆς ἐγκράτειαν, καὶ ποτοῦ. καὶ ὅτι τραφήσεσθαι ἔμελλον οἱ παῖδες, παρὰ τῷ διδασκάλῳ, οὐκ ἂν σιτόμενοι, ἄρτον φέροντες οἴκοθεν, καὶ κάρδαμον ὄψον· καὶ ποτὸν ἐλάμβανον, ποταμίου ὕδατος κώθωνα. ἐμάνθανον δὲ πρὸς τούτοις τοξεύειν καὶ ἀκοντίζειν, μέχρι δὴ ἐξ ἐτῶν ἢ ἑπτὰ πρὸς τοῖς δέκα. ταῦτα οἱ παῖδες ἔπραττον. ἐκ τούτου δ' εἰς τοὺς ἐφήβους ἐξέρχονται, καὶ δέκα ἔτη περὶ τὰ ἀρχεῖα ἐκάθευδον, παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς τοῖς ἄρχουσι χρῆσθαι, ὅπου δέοιντο σφῶν ὑπὲρ τοῦ κοινοῦ. ὅταν δ' ἐπὶ θήραν ἐξίῃ ὁ βασιλεύς, ἐξάγει τὰς μοίρας αὐτῶν τὴν ἡμίσειαν, ἐθήρων δὲ κοινῇ, ὅτι συγγενὴς αὐτοῖς ἐδόκει αὕτη ἡ μελέτη τῇ ἀσκήσει τῇ πρὸς τὸν πόλεμον. καὶ ὄρθρου ἀνίστασθαι προσεθίζει, καὶ ψύχους καὶ θάλπους ἀνέχεσθαι. καὶ ὁδοιπορίαις καὶ δρόμοις ἐγύμναζε, καὶ τοξεῦσαι θηρίον καὶ ἀκοντίσαι ἐδίδασκε· καὶ πρός τι τῶν ἀλκίμων θηρίων ἀνταγωνίσασθαι παρεσκεύαζεν. ἐφέροντο δὲ θηρῶντες ἄριστον πλεῖον μὲν τῶν παίδων, τἆλλα δὲ ὅμοιον. καὶ οὐκ ἀρίστων θηρῶντες, ἢ μὴ ἐδέοι ἢ θηρίου ἕνεκα ἐπιμεῖναι, ἢ ἄλλως διατρίψαι περὶ τὴν θήραν ἐθέλωσιν. τὸ οὖν ἄριστον τοῦτο δειπνήσαντες, τὴν ὑστεραίαν μέχρι δείπνου ἐθήρων, καὶ μίαν τὰς ἡμέρας ταύτας ἐλογίζοντο ἄμφω. τοῦτο δ' ἐποίουν, ἵνα κἂν ἐν πολέμῳ δέῃ, δύνωνται τοῦτο ποιεῖν. ὄψον δὲ ἔχουσιν ὃ ἂν θηράσωσιν· εἰ δὲ μή, τὸ κάρδαμον. αἱ δὲ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα, καὶ τοξεύειν καὶ ἀκοντίζειν, καὶ πρὸς ἀλλήλους ταῦτα διαγωνίζεσθαι. τοῖς δὲ μένουσι τῶν ἐφήβων ἐχρῶντο αἱ ἀρχαὶ πρὸς ἰσχύος ἢ τάχους ἔργα δημόσια. ἐπειδὰν δὲ τούτοις οἱ ἔφηβοι δέκα ἔτη διαγάγωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας, καὶ ἐκ τούτου πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν. καὶ ἂν δέῃ στρατεύεσθαι, τόξα μὲν οὐκέτι ἔχοντες, οὐδὲ παλτὰ ἐστρατεύοντο. τὰ δὲ ἀγχέμαχα ὅπλα καλούμενα, θώρακα περὶ τοῖς στέρνοις, καὶ γέῤῥον ἐν τῇ ἀριστερᾷ, ἐν δὲ τῇ δεξιᾷ μάχαιραν, ἢ κοπίδα. καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται. ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσι διατελέσωσιν ἔτη, εἴησαν μὲν γεγονότες πλείονος ἢ πεντήκοντα ἀπὸ γενεᾶς. ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους. οἱ δὲ γεραίτεροι ἐστρατεύοντο μὲν οὐκέτι ἔξω τῆς ἑαυτῶν· μένοντες δ' οἴκοι, ἐδίκαζον τά τε κοινὰ καὶ τὰ ἰδιωτικὰ ξύμπαντα, καὶ τὰ θανατικὰ δ' ἔκρινον ἐκεῖνοι, καὶ τὰς ἀρχὰς ἁπάσας οὗτοι ᾑροῦντο. καὶ ἤν τις ἢ ἐν ἐφήβοις ἢ ἐν ἀνδράσι παραλίπῃ τι τῶν νομίμων, οἱ γεραίτεροι αὐτὸν ἐξέκρινον. ὁ δ' ἐκκριθεὶς ἄτιμος διετέλει τὸν λοιπὸν τοῦ βίου. αἰσχρὸν δὲ παρὰ Πέρσαις λελόγισται, καὶ τὸ ἀποπτύειν, καὶ τὸ ἀπομύττεσθαι, καὶ τὸ φύσης ὀφθῆναι μεστούς, καὶ τὸ φανερὸν γενέσθαι ἢ ἀπιόντα ἢ κοιλίας ποιούμενον ἔκκρισιν. ταῦτα δ' οὐκ ἂν δύναιντο ποιεῖν, εἰ μὴ καὶ μετρίᾳ διαίτῃ ἐχρῶντο, καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον. ταῦτα μὲν τὰ ἔθη τῶν Περσῶν, καὶ τὰ νόμιμα. Κῦρος δὲ τούτοις τραφείς τε καὶ παιδευθείς, καὶ τὴν ἐφήβων ὑπερβὰς ἡλικίαν, καὶ εἰς ἄνδρας καταλεγείς, ἐν ἅπασιν εὐδοκίμησεν.

ἀλλ

ἕως μέχρι τοῦ [illegible] ἐνιαυτοῦ, παῖδες [illegible] ἔφηβοι [illegible]

[illegible] περὶ τὴν [illegible]

[illegible] ἔθος.

[illegible] ἰσχύος [illegible]

[illegible]

tí qui ludos frequentabant, iustitiam discebant, eorumque principes maximam diei partem iure dicundo consumebant. Nam inter pueros æquè ac uiros controuersiæ nascuntur, de furto, ui, rapina, dolo malo, iniuria, & alijs. Quos ex his peccasse cognorant, mulctabant: eos item, qui falsum alijs crimen intenderant. Docebant item eos temperantiam exemplo seniorum, & continentiam in cibo & in potu. Nam apud magistrum capiebant cibum, domo secum panem & obsonij uice nasturtium afferentes. potus eis erat cothon (poculi genus est) profluẽtis aquæ. ante cibum sagittare & iaculari discebant: & hæc usq; ad annum ætatis XVI, aut XVII. Ex eo inter adolescentes referebantur: & decennium iuxta curias somnũ capiebant, & interdiu quoque magistratibus, cũ opus erat, in publicis negocijs operam nauabant. Rex item uenatũ exiturus, semissem eorum educebat. Venabantur communiter, quòd illa exercitatio rei militari nõ absimilis uideretur. Assuefaciebat eos ante lucem surgere, frigus & æstum ferre: itineribus & cursibus exercebat, ferã uel sagitta uel iaculo ferire docebat, & ferociores etiam bestias subsistere. In uenatu secum ferebant prandiũ puerili copiosius, cætera simile. neq; prandebant in uenatu, nisi uel feræ causa diutius manendũ esset, uel alloqui uenatui immorari liberet. Eo prandio in cœna consumpto, postridie usque ad cœnam uenabantur, utrunq; diem pro uno numerantes. Id eò faciebant, ut & militiæ, si esset opus, idem facere possent. Obsonium erat, quod cæperant. Si nihil cæpissent, nasturtium. Tribus quæ manebant domi, præter cætera sagittando & iaculando exercebantur, & inter sese decertabant. Adolescentes qui manebãt, inseruiebant magistratibus in ijs negocijs publicis, quæ uires & celeritatem desiderabant. Sic X annis exactis, in uirorũ cœtum transferebantur, in eoq; annos XXV permanebãt. Cumq; militandum erat, non amplius gerebãt arcus & pila: sed arma quibus cominus pugnatur, pectus thorace munitum, scutum læua manu, dextra gladium aut securim. Ex his omnes magistratus legebãtur. Iis XXV annis exactis, ut iq; iam L ætatis anno superato, in seniorũ classem transibant. Ii ad extera bella non proficiscebãtur, sed domi ius dicebant, de omnibus rebus & publicis & priuatis, & causis capitalibus etiam. Iidem magistratus omnes creabant. quòd si quis siue adolescens siue uir instituta uiolasset, eum seniores curia eijciebant. eiectus, per omnẽ ætatem ignominiosus erat. Turpe habebatur apud Persas expuere, emungi, aut anhelare coram alijs, aut urinam reddere, aluumue deijcere publicè. Quę cauere nõ potuissent, nisi & moderato uictu essent usi, & labore humiditates consumpsissent. Cyrus igitur huiusmodi Persarũ disciplina enutritus & educatus, cum adolescentiæ annos egressus, in uirorum numerum relatus esset: omnibus in rebus laudem eximiã est consecutus.

Auo

Assyrius bellū aduersus Medos parat.

Auo eius materno Astyage defuncto, Cyaxares, qui & Darius dicitur, Cyri auunculus, paternum regnum suscepit. Cæterùm rex Assyriorum, imperio in immensum aucto (nam præter ingentem suæ nationis multitudinem, Arabes & Hyrcanos subegerat, & Syros tributarios fecerat; &, Hebræis iam euersis, Bactrianos obsidebat, & plurimas alias gentes in sua potestate habebat) putabat, si Medorum uires fregisset, se omnes circumiacentes populos facilius oppressurū. Hac cogitatione suscepta, suos instruit: legatos ad Crœsum Lydorum regem, & ad utrosq; Phryges, ad Paphlagones & Indos, ad Cares & Cilices mittit, petens, ut belli quod contra Medos moliretur, ipsis quoq; utile futurum, socij esse uellent. Nam eam gentem potentem esse: & affinitate cum Persis iuncta, illorum quoque uires asciuisse, & utranque ab altera firmari. Ac nisi maturè uires eorum premerentur, ordine omnes gentes oppressuros. Ille igitur huiusmodi sermonibus passim iactandis, quosdam uerbis, nonnullos muneribus, quosdam etiam metu sui adduxit, ut auxilia pollicerentur. Cyaxares eo motu cognito, & ipse sese parat, & missis ad commune & regem Persarum Cambysem legatis, auxilia petit, & Cyrum sororis filium auxiliorū ducem: nam in classem uirorum iam transierat. Persis belli societatem pollicitis, seniores Cyrum expeditionis Medicæ ducem creant, XXX millibus scutatorum, sagittariorum & funditorum delectis. Creatus Imperator, re cum patre communicata, ad Medos abit cum exercitu. Quò cum ante Assyriorum aduentum peruenisset, bellicas exercitationes suis militibus imperat. Interea à Cyaxare accersitur, ut Indicæ legationi audiendæ adesset, missa ueste pulcherrima, ut summo in splendore ab Indis conspiceretur. Cum autem Cyrus ad ianuā Cyaxaris babitu Persico uenisset, ægrè tulit ille uestis tenuitatem. Indi uocati referunt, se à suo rege missos esse, ut cognoscerent, quæ causa belli esset inter Medos & Assyrium: eademq; ex illo etiam percontarentur, & utrisque dicerent, regem Indorum, æquitate cognita, ijs fore adiutorem, qui iniurijs afficerentur. Ad hæc respondit Cyaxares, se quidem nullā Assyrio facere iniuriam: quid autem ille dicat, id eis ex ipso esse cognoscendum. Cyrus item: Si quam, inquit, Indi, Assyrius iniuriam sibi à nobis esse ortam queritur, ipsum regem uestrum iudicem sumimus. His legati auditis, abierunt. Cyrus uerò, ne suus exercitus desideret ociosus, Cyaxari ait: Memini me nuper ex te audiuisse, Armenium neque milites neque tributa tibi mittere, pactis uiolatis. Quòd si uis, mediocrem equitum numerum mihi adiungito: effecturum enim cōfido, adiutore Deo, ut & copias & tributa tibi mittat. Assenso Cyaxare, pollicitoq;, ubi ad Armeniæ fines accessisset, se illi equites missurum: Cyrus proficiscitur, quasi uenatū exiret.

Cyaxares Cyri et Persarum auxilia petit.

Cyrus Armenium fidem seruare cogit.

Nam

ἤδη δὲ τοῦ μητροπάτορος αὐτοῦ, τοῦ τῶν Μήδων βασιλεύοντος Ἀστυάγους, τὴν ζωὴν μεταλλάξαντος, ὁ παῖς ἐκείνου Κυαξάρης, ὃς καὶ Δαρεῖος ὠνόμαστο, τὴν πατρικὴν ἀρχὴν διεδέξατο, τοῦ Κύρου τυγχάνων μητράδελφος. ὁ δὲ τῶν Ἀσσυρίων κρατῶν εἰς μέγα τῆς βασιλείας αὐξηθείσης αὐτῷ, καὶ ἄρχων μὲν τοῦ φύλου τῶν Ἀσσυρίων, ὄντος πολυπληθοῦς, ὑφ' ἑαυτὸν δὲ πεποιημένος τοὺς Ἄραβας, ὑπηκόους δὲ καὶ τοὺς Ὑρκανίους κτησάμενος, καὶ τοὺς Σύρους ὑποφόρους, τούς γε μὴν Βακτρίους πολιορκῶν, καὶ τὸ τῶν Ἑβραίων γένος ἤδη καταστρεψάμενος, καὶ ἄλλα δὲ πλεῖστα τῶν ἐθνῶν θέμενος ἑαυτῷ ὑποχείρια, ᾤετο εἰ τοὺς Μήδους ἀδρανώσει, πάντων γε τῶν περιξ ῥᾷον κρατήσειν. ταῦτα δὲ διανοηθείς, τούς τε ὑφ' ἑαυτὸν ἡτοίμαζεν· ἔπεμψε δὲ καὶ πρὸς Κροῖσον τὸν βασιλέα Λυδῶν, καὶ πρὸς ἄμφω τοὺς Φρύγας, πρὸς Παφλαγόνας τε καὶ Ἰνδούς, καὶ πρὸς Κᾶρας καὶ Κίλικας, αἰτῶν συμμαχῆσαι αὐτῷ κατὰ Μήδων ὡρμημένῳ, ὡς καὶ αὐτοῖς τοῦ πολέμου συμφέροντος, δυνατὸν εἶναι τὸ ἔθνος λέγων, ἐπιγαμίαν τε πρὸς Πέρσας πεποιημένον, ἐκ τῆς ἐκείνων προσκτήσασθαι ἀρωγήν, καὶ θάτερον συγκροτεῖσθαι παρὰ θατέρου. ὥστε εἰ μή τις αὐτοὺς φθάσας ἀδρανώσει, ἑκάστῳ τῶν ἐθνῶν ἐπιόντας κρατήσειν αὐτῶν. ὁ μὲν οὖν τοιούτους λόγους πρὸς ἕκαστον τῶν ἐθνῶν διεπέμπετο· τῶν δὲ τὰ μὲν τοῖς λόγοις τούτοις παρακινούμενα, τὰ δὲ καὶ χρήμασι καὶ δώροις ἀναπειθόμενα, ἔνια δὲ καὶ φόβῳ τοῦ Ἀσσυρίου κρατούμενα, συμμαχῆσαι κατέθεντο. Κυαξάρης δὲ ταῦτα μαθών, αὐτός τε παρεσκευάζετο, καὶ εἰς Πέρσας ἀπέστελλε πρός τε τὸ κοινόν, καὶ πρὸς τὸν σφῶν βασιλέα Καμβύσην, συμμαχίαν αἰτῶν, καὶ τὸν Κῦρον τὸν ἀδελφιδοῦν ἄρχοντα τῶν συμμάχων ἐλθεῖν ἀξιῶν· ἤδη γὰρ ἐν τοῖς τελείοις ἠρίθμητο. συμμαχῆσαι οὖν τῶν Περσῶν καταθεμένων, οἱ γεραίτεροι ἄρχοντα τὸν Κῦρον αἱροῦνται τῆς εἰς Μήδους στρατιᾶς, καὶ τρισμυρίους αὐτῷ ἔδοσαν πελταστὰς καὶ τοξότας καὶ σφενδονήτας· ὡς οὖν ᾑρέθη, τῷ πατρὶ συνταξάμενος, ἀπῄει πρὸς Μήδους σὺν τῷ στρατεύματι. ἐπεὶ δὲ ἀφίκετο (οὔπω δὲ παρῆν ὁ Ἀσσύριος) ἀσκεῖν ἐπέταττε τοῖς ἑαυτοῦ τὰ πολέμια. ἐν τούτοις δὲ παρὰ Κυαξάρου ἧκεν ἄγγελος, λέγων, ὅτι Ἰνδῶν παρείη πρεσβεία, καὶ δεῖ παρεῖναι κἀκεῖ σε, φέρω δέ σοι καὶ στολὴν τὴν καλλίστην· βούλεται γάρ σε προσάγειν ἐστολισμένον λαμπρότατα, ἵν' οὕτω τοῖς Ἰνδοῖς ὀφθείης. ὡς δὲ ἀφίκετο ἐπὶ τὰς Κυαξάρου θύρας μετὰ τῆς στρατιᾶς, καὶ Περσικῶς ἐσταλμένος εἰσῄει πρὸς αὐτόν, ἤχθετο ἐκεῖνος τῇ λιτότητι τῆς στολῆς. κληθέντες δὲ οἱ Ἰνδοὶ ἔλεγον· ἐστάλθαι παρὰ τοῦ σφετέρου βασιλέως, ἐρωτῶντες, ἐξ οὗ ὁ πόλεμος εἴη Μήδοις τε καὶ τῷ Ἀσσυρίῳ· τὰ αὐτὰ δὲ πυθέσθαι κἀκείνου, καὶ ἀμφοτέροις εἰπεῖν, ὅτι ὁ Ἰνδῶν βασιλεὺς τὸ δίκαιον σκεψάμενος, μετὰ τοῦ ἀδικουμένου ἔσεται. πρὸς ταῦτα ὁ Κυαξάρης ἔφη· ἡμεῖς μὲν ἀδικοῦμεν οὐδὲν τὸν Ἀσσύριον. ἐκεῖνον δὲ ὅ, τι λέγει πυνθάνεσθε. ὁ δὲ Κῦρος εἶπεν· εἰ παρ' ἡμῶν ἀδικεῖσθαί φησιν ὁ Ἀσσύριος, ὦ Ἰνδοί, αὐτὸν αἱρούμεθα δικαστὴν τὸν βασιλέα ὑμῶν. οἱ μὲν δὴ ταῦτα ἀκούσαντες, ᾤχοντο. ὁ δὲ Κῦρος μὴ θέλων ἄπρακτον καθῆσθαι τὴν ἑαυτοῦ στρατιάν, τῷ Κυαξάρῃ φησίν· ἔναγχος μέμνημαί σου ἀκούσας, ὡς ὁ Ἀρμένιος οὔτε στράτευμα πέμπει, οὔτε τὸν δασμὸν δίδωσι, τὰς συνθήκας ἀθετηκώς. εἰ οὖν βούλει, πέμψον ἐμέ, ἱππέας μοι μετρίους προσθέμενος· καὶ οἶμαι σὺν τοῖς θεοῖς ὡς καὶ τὸ στράτευμα πέμψαι, καὶ ἀποδοῦναι καὶ τὸν δασμόν. ὡς δὲ ἐφῆκεν ὁ Κυαξάρης, ὑπισχόμενος ὅτε τοῖς ὅροις πλησιάσει τῆς Ἀρμενίας, πέμψαι αὐτῷ τοὺς ἱππέας, ἀπῄει ὁ Κῦρος ὡς πρὸς θήραν ἐξιών.

ὅτι μητροπάτορος κύρου ἀστυάγους ἄρχοντος μήδων, πατρὸς δὲ καμβύσου ἄρχοντος περσῶν ἦν ἀδελφὸς κύρου, ὁ ἐπὶ ἑβραίων ἀσσύριος, καὶ ἐπολιόρκει.

ὅτι ὁ τῶν ἀσσυρίων βασιλεὺς πολλῶν κρατήσας ἐθνῶν, καὶ κατὰ μήδων ἐστράτευσεν.

ὅτι πρὸς κυαξάρην ἄρχοντα μήδων τὸν καὶ δαρεῖον ὁ καμβύσης ὁ ἄρχων περσῶν κῦρον τὸν υἱὸν ἀπέστειλε σύμμαχον κατὰ ἀσσυρίων.

ὅτι ἰνδῶν οἱ πρέσβεις παρῆσαν.

ὅπως ὁ κῦρος ἠθέλησε κατὰ ἀρμενίων ἐλθεῖν.

καὶ

καὶ γὰρ εἰώθει θηρᾶν μέσον τῶν ὁρίων ἀμφοῖν, τῶν τε Μήδων φημὶ καὶ τῶν Ἀρμενίων. καὶ ἀπελθὼν ἐθήρα, καὶ ἐπέβαινε τῶν ὀρῶν τῆς Ἀρμενίας, καὶ τὸ πρόσω χωρῶν ἠρέμα. ὡς δ' ᾔσθετο ταῦτα ὁ Κυαξάρης, ἐπέσταλκεν αὐτῷ σὺν ἱππεῦσιν. ἐλθόντων δ' ἐκείνων, συγκαλέσας τοὺς ταξιάρχας, ἐξεῖπε τὸ ἀπόρρητον, καὶ ἥκειν ἔφη διὰ τὸν Ἀρμένιον ἀγνωμονήσαντα πρὸς τὸν Κυαξάρην. καὶ τῷ μὲν Χρυσάντᾳ ἐνετέλλετο σὺν ἡμίσει λαβόντα τῶν Περσῶν, καὶ εἰς τὰ ὄρη τῶν Ἀρμενίων γενέσθαι, φυλάττεσθαί τε μὴ γνωσθῆναι ὅτι στράτευμα εἴη ἐν τούτοις, ἀλλ' ὥσπερ προπέμπειν λῃστὰς ἐοικότας, καὶ τὸ πλῆθος καὶ τὰς στολάς. ὥστε εἴ τινες τούτοις ἐντύχοιεν, κλῶπας νομίζειν εἶναι. καὶ ὁ μὲν Χρυσάντας μετὰ τῶν Περσῶν ἀνῆλθε τὰ ὄρη ἐχώρει. ὁ δὲ Κῦρος πέμψας πρὸς τὸν Ἀρμένιον, ἐκέλευεν ὡς τάχιστα οἴσειν καὶ τὸν δασμὸν καὶ τὸ στράτευμα, καὶ αὐτὸς ἐπῄει συντεταγμένος. ὡς δ' ἤκουσε ταῦτα ὁ Ἀρμένιος, ἐξεπλάγη, καὶ ἔπεμπε μὲν ἀθροίζων τὴν ἑαυτοῦ στρατιάν, ἔπεμπε δὲ καὶ τὰς γυναῖκας, τόν τε νεώτερον υἱὸν καὶ τὰ χρήματα εἰς τὰ ὄρη· οὐ γὰρ τεῖχος τῇ σφῶν κατοικίᾳ περιεβέβλητο. ἐπεὶ δὲ οἱ πρὸς τὰ ὄρη πεμφθέντες ἐνέπεσον τοῖς ἐκεῖ ἐφεδρεύουσι, καὶ αἵ τε γυναῖκες καὶ ὁ υἱὸς τοῦ Ἀρμενίου, καὶ αἱ θυγατέρες ἑάλωσαν, ἀπορῶν αὐτὸς καὶ ἑαυτὸν τῷ Κύρῳ παρέδωκεν. ἐν τούτοις δὲ ὁ πρεσβύτερος τοῦ Ἀρμενίου παῖς Τιγράνης ἀπόδημος ὢν, ἐπανῆκεν, ὅς ποτε συνθηρὸς τῷ Κύρῳ ἐγένετο, καὶ γνοὺς τὰ συμβάντα, εὐθὺς ὡς εἶχε πρὸς τὸν Κῦρον ἀπῄει· καὶ ἰδὼν τόν τε πατέρα καὶ τὴν μητέρα καὶ τὰς ἀδελφὰς καὶ τὴν ἑαυτοῦ γυναῖκα αἰχμαλώτους, ἐδάκρυσεν. ὁ δὲ Κῦρος εἰς καιρὸν ἥκεις, ἔφη. καὶ πολλὰ τῷ Ἀρμενίῳ διαλεχθείς, καὶ ἀδικοῦντα ἐλέγξας, τέλος ἔφη· λέγε μοι, πόση σοι δύναμίς ἐστι, πόσα δὲ χρήματα; τοῦ δ' εἰπόντος, ἱππεῖς μὲν ὀκτακισχιλίους εἶναι, πεζῶν δὲ μυριάδας τέσσαρας, χρήματα δὲ εἰς ἀργύριον λογισθέντα πλείω τρισχιλίων ταλάντων· ὁ Κῦρος, τὸ μὲν στράτευμα ἔφη τὸ ἥμισύ μοι σύμπεμψον, τῶν δὲ χρημάτων ἀντὶ μὲν τῶν πεντήκοντα ταλάντων τοῦ ἐτησίου δασμοῦ, διπλάσια Κυαξάρῃ ἀπόδος, ἐμοὶ δ' ἔφη ἄλλα ἑκατὸν δάνειον. καὶ ταῦτα εἰπών, τήν τε γυναῖκα τῷ Ἀρμενίῳ, καὶ τοὺς παῖδας δῶρον ἔδωκε, καὶ τῷ Τιγράνῃ τὴν οἰκείαν νεογάμῳ ὄντι, καὶ ἀφῆκε πάντας. Ἀρμενίοις δὲ καὶ Χαλδαίοις ὁμόροις οὖσι, διαφοραὶ ἦσαν ἀεὶ καὶ μάχαι. τούτους δ' ἀλλήλοις ὁ Κῦρος κατήλλαξε, καὶ οὕτως ἀπῄει· καὶ τὸ μὲν στράτευμα, ὃ ἐκ τοῦ Ἀρμενίου ἔλαβεν, ἔπεμψε πρὸς Κυαξάρην. ἐπεὶ δ' ἀφίκετο εἰς Μήδους, μετέδωκε τῶν χρημάτων τοῖς αὐτοῦ ταξιάρχαις. εἶτα σὺν τῷ Κυαξάρῃ ἐνέβαλεν εἰς τὴν πολεμίαν, καὶ ἐστρατοπεδεύσαντο, καὶ λείαν πολλὴν ἐκεῖθεν συνήγαγον. ὡς δὲ προσιόντας καὶ τοὺς Ἀσσυρίους ἐπύθοντο, συντεταγμένοι προσῄεσαν, καὶ ἐστρατοπεδεύσαντο, ἀλλήλων παρασάγγην ἀπέχοντες. τῇ δ' ὑστεραίᾳ ἐξαγαγὼν Κῦρος τὸ ἑαυτοῦ στράτευμα, παρετάξατο, καὶ καθ' ἕτερον κέρας σὺν τοῖς Μήδοις ὁ Κυαξάρης, ἐτάχθησαν δ' οἱ Ἀσσύριοι καὶ οἱ συμμαχοῦντες αὐτοῖς. καὶ παραθαρσύναντες ἀλλήλους οἱ Πέρσαι, δρόμῳ ἐφέροντο, καὶ ὁ Κῦρος αὐτός. οἱ γε μὴν πολέμιοι οὐκ ἔμενον, ἀλλ' ἔφευγον εἰς τὸ ἔρυμα. καὶ οἱ Πέρσαι αὐτοῖς ἐφεπόμενοι, ἀθυμούντων αὐτῶν, πολλοὺς κατεστρώννυσαν, τοὺς δὲ εἰς τὰς τάφρους ἐμπίπτοντας ἐπικαταπηδῶντες ἐφόνευον. καὶ οἱ τῶν Μήδων δὲ ἱππεῖς εἰς τοὺς τῶν πολεμίων ἱππέας ἤλαυνον. οἱ δ' ἐνέκλινον, ἔνθα δὴ καὶ ἵππων διωγμὸς ἦν καὶ ἀνδρῶν, καὶ φόνος δὲ ἀμφοτέρων.

ἐπ' ἐγγίζουσι τὰ ὄρια Μήδων καὶ Ἀρμενίων.

περὶ Χρυσάντα, καὶ ἱππεῖς περὶ τῶν Ἀρμενίων ἀπολ... ὁ Κῦρος.

ὅτι ἀτείχιστος ἦν ἡ Ἀρμενία.

ὅτι ἑάλωσαν οἱ παῖδες τοῦ Ἀρμενίου καὶ αὐτὸς προσῆλθεν.

ὅσον ὁ Κῦρος λαβὼν χρημάτων παρὰ τοῦ Ἀρμενίου, καὶ συμμαχίαν, διέλυσε τὴν μάχην.

ὅτι ὁμοροῦσιν Ἀρμένιοι καὶ Χαλδαῖοι.

συνέλαβον Μήδων καὶ Ἀσσυρίων εἰς τὰς λύσεις. νίκη παρασάγγαι. συμβολὴ Περσῶν καὶ Μήδων κατὰ Ἀσσυρίων, καὶ ἧττα Ἀσσυρίων.

Nam uenari consueuerat intra fines amborum, Medorum inquam, & Armeniorum. Inter uenandum igitur montes Armeniæ conscendit, & paulatim ulterius progreditur. Quo Cyaxares cognito, equites illi mittit. Quibus acceptis, tribunos cōuocat, arcanum profert: se adesse propter Armenij iniquitatē, qui datam Cyaxari fidem uiolet. Chrysantæ mandat, ut semisse Persarum accepto, Armeniæ montes occupet: & caueat, ne cognoscatur, exercitū in eis uersari, sed quosdam præmittat & numero & habitu prędonibus similes: ut si qui fortè in illos inciderint, latrones esse existiment. Ita Chrysantas mōtes conscendit. Cyrus legatis ad Armeniū missis, imperat, ut quamprimum & tributa & milites adducat, ipse instructo exercitu proficiscit̄. Armenius his auditis perculsus, & copias contrahit, & uxores ac filium iuniorem cum pecunijs in montes mittit. neque enim regiam habebat munitam. Qui cum in eos incidissent, qui illic in insidijs erant, capiuntur uxores regiæ, filius & filiæ, ipse quoque animo æstuans, Cyro se dedit. Interea natu maior etiam Armenij filius Tigranes, qui peregrè abfuerat, & aliquando in uenatione cum Cyro fuerat, reuersus, cognito suorum casu, statim sine ulla cunctatione Cyrum conuenit. cumq́ patrem & matrem & sorores, uxoremq́ suam captiuas uidisset, lachrymat. Cui Cyrus: Tempestiuè, inquit, ades, longoq́ sermone cū Armenio habito, eiusq́ perfidia conuicta, tandem dicere iubet, quantas habeat copias, quantum item pecuniæ? Cum ille responderet, equitum VIII, peditum XL millia: pecuniæ, si ad argenti rationem computaretur, ultra III millia talentūm: ibi Cyrus, exercitus semissem secum mitti iubet: de pecunia, pro quinquaginta talentis annui tributi, duplum Cyaxari mitti, & sibi tantundem mutuò dari. His dictis uxorem & liberos Armenio donat, Tigrani item coniugem suam reddit, recens nuptam, & omnes dimittit. Inter Chaldæos porsò & Armenios, ut inter uicinos solet, assiduæ contentiones & pugnæ erant: quib. inter se reconciliatis, Cyrus recedit, ac milites ab Armenio acceptos ad Cyaxarem mittit: & in Mediam reuersus, pecuniaq́ inter suos tribunos distributa, cum Cyaxare impressionem in agrum hostilem facit, castrisq́ positis, magna præda potitur. Vt autem Assyrios etiam accedere cognouerunt, instructa acie progressi, interuallo parasangæ ab hostibus castrametantur. Postridie Cyrus suos milites eductos ordinat, Cyaxares cum Medis alterū cornu occupat. Ex aduerso idem & Assyrij cum suis fœderatis faciunt. Persæ inter sese cohortati, ipseq́ Cyrus, cursu feruntur in hostes. at illi uitato illorum impetu, ad munitiones se recipiunt. instant Persæ, & dum alij alios urgent, multos sternunt: & eos etiam qui in fossas inciderant, saltu consecuti cædunt. Medorum item equites, hostium equites inuadunt: cedunt illi, fit fuga & equorum & uirorum, & utrorumque cædes.

Armenij mulcta, & pacis conditiones.

Assyriorū fuga.

Quæ cum Assyriorum & fœderatorum uxores uiderent, exclamant, & consternatę currunt, & uestes lacerantes plangentesq́;, uiros obtestantur, ut semetipsos, ut uxores, ut liberos defendant. Ibi reges cum fidissimis aditu castrorum occupato, pugnam & ipsi cient, & cæteros cohortantur. Veritus igitur Cyrus, ne si ui penetrarent in hostile uallum, pauci à multis circumuenirentur, signum receptui dat, ut milites paulatim extra teli iactum recederēt. quod cum celeriter fecissent, suos tantū abducit, quantum rectum esse uidebatur, & castra locat. Assyrij uerò, cum & Imperator & fortissimus quisque cecidisset, animis angi, Crœsus & alij fœderati dolere, castrisq́; noctu desertis discedere.

Cyrus Assyrios persequitur. Manè cum uiderent uallum hostium esse uacuum, Cyrus Persas primos traducit, Cyaxaris copijs sequentibus: cumq́; persequi hostes consultum putaret, Cyaxares autem quiduis mallet: petit, ut Medos qui sponte sequi uellent, sibi traderet. Annuit Cyaxares, & præconem cum Cyro mittit, qui Medis ea nunciet.

Hyrcani se cum Cyro coniungūt. Interea nuncij ab Hyrcanis ueniunt: Assyriorum hi uicini sunt, gens ob paucitatem subiecta Assyrijs, qui ita eis utebantur, ut nec in laboribus nec in periculis eis parcerent. Tum autem agmen claudere iussi erant, equites circiter mille, ut si quid à tergo periculi esset, id in eos primos uerteretur. Hi igitur ærumnis suis consideratis, legatos ad Cyrum mittunt, qui dicerent, Assyrios sibi iure inuisos esse: si uellet, se duces fore & adiutores ad eos persequendos. Cyrus rogat, an eos adipisci possit? Respondent Hyrcani, si uel postridie manè cum expeditis copijs proficiscatur, assecuturum illos. Tum Cyrus petit firmari sibi fidem ab eis: pollicentur illi se obsides daturos, si uicissim dexteras daret, & sacramento firmaret fidem. Annuit Cyrus: Quòd si re præstarent, quæ uerbis profiterentur, se eis pro fidis amicis usurū: neq; deteriore loco futuros, quàm Persas aut Medos. His actis, cum adhuc luceret, educit exercitum, Tigrane cum Armenijs comitante: & Hyrcanos etiam expectare iubet, ut unà irent. Medi uerò ferè omnes Cyrum sequebantur. Iubet igitur Hyrcanos præcedere, multoq́ue itinere confecto, eorum exercitui appropinquat: de quo à legatis admonitus, iubet, si amici sint, citra moram occurrere sublatis dexteris. Faciunt illi, ut iussi erant: quos Cyrus benignè acceptos, dicere sibi iubet, quantum absint hostium duces & uniuersæ copiæ? cum responderent, paulò plus parasanga: iubet ducere. ipse cum Persis in medio proficiscitur, alis equitum utrinque adiunctis. Cum diluxisset, hostes re cognita, partim fugere, partim sine pugna cædi. Crœsus autem Lydorum rex mulieres cum curribus noctu ablegarat, ut in frigore proficiscerentur (æstas enim erat) & ipse cum equitibus sequebatur. Idem & Hellespontiacæ Phrygiæ ducem fecisse memorant.

Quos

ἰδοῦσαι δὲ αἱ γυναῖκες τῶν ἀσσυρίων καὶ τῶν συμμάχων ταῦτα, ἀνέκραγον, καὶ ἔθεον ἐκπεπληγμέναι, καὶ τοὺς πέπλους περιῤῥηγνύμεναι καὶ δρυπτόμεναι, ἱκέτευον πάντας ἀμύναι καὶ αὐταῖς καὶ τέκνοις καὶ σφίσιν αὐτοῖς. φύλακα δὲ καὶ οἱ βασιλεῖς αὐτοὶ σὺν τοῖς πιστοτάτοις στάντες ἐπὶ τὰς εἰσόδους ἐμάχοντο, καὶ τοῖς ἄλλοις διεκελεύοντο. δείσας δ' ὁ κῦρος, μὴ ὀλίγοι ὄντες εἰ βιάσαιντο εἰς τὸ χαράκωμα εἰσελθεῖν, ὑπὸ πολλῶν σφαλῶσι, παρηγγύησεν ὑπὸ πόδα ἀνάγειν ἔξω βελῶν. καὶ τάχυ τὸ κελευσθὲν ἐποίησαν. ὁ δ' ἀπήγαγε τοὺς οἰκείους, ὅσον ἐδόκει καλῶς ἔχειν, καὶ ἐστρατοπεδεύσατο. οἱ δ' ἀσσύριοι καὶ τεθνηκότος τοῦ ἄρχοντος, καὶ χιλίων σὺν αὐτῷ τῶν βελτίστων, ἀθύμουν. ὁρῶντες δὲ ταῦτα ὅ, τε κροῖσος καὶ οἱ ἄλλοι σύμμαχοι σφῶν, πάντες ἤλγουν. ἐντεῦθεν ἐκλείπουσι τὸ στρατόπεδον, καὶ ἀπέρχονται τῆς νυκτός. ὡς δὲ μεθ' ἡμέραν ἔρημον ἐφάνη τὸ τῶν πολεμίων χαράκωμα, διαβιβάζει οὖν πρώτους ὁ κῦρος πέρσας, ἔπειτα καὶ οἱ ἀμφὶ κυαξάρην διέβαινον. τῷ μὲν οὖν κύρῳ διώκειν τοὺς πολεμίους ἐδόκει, τῷ δέ γε κυαξάρῃ τοὐναντίον ἅπαν ἦν ἀρεστόν. καὶ ὁ κῦρος, δὸς δή μοι τῶν μήδων, ἔφη, τινὰς συμπορευσομένους μοι, ἑκόντας δὲ, ὅσοι μοι ἐθέλοντες συνέψεσθαι προθυμοῦνται. καὶ ὁ κυαξάρης ἐφῆκε, καὶ τὸν ἀγγελοῦντα ταῦτα τοῖς μήδοις, τῷ κύρῳ συνέπεμψεν. ἐν τοσούτῳ δὲ ἄγγελοι ἐκ τῶν ὑρκανίων ἀφίκοντο. οἱ δ' ὑρκάνιοι ὅμοροι τῶν ἀσσυρίων εἰσίν, ἔθνος οὐ πολὺ, διὸ καὶ ὑπὸ τῶν ἀσσυρίων ὑπήκοοι, ἐχρῶντο δ' αὐτοῖς οὔτ' ἐν πόνοις, οὔτ' ἐν κινδύνοις αὐτῶν φειδόμενοι. καὶ τότε δὲ οὐραγεῖν ἐτετάχατο, ἱππεῖς ὄντες ὡς χίλιοι, ὅπως ἄν τι ὄπισθεν ᾖ δεινὸν, ἐκείνοις τοῦτ' ἐνσκήψαι πρὸ αὐτῶν. οἱ δὲ ἃ ἔπασχον ἐννοούμενοι, ἔπεμψαν ἀγγέλους πρὸς κῦρον, φάντες, ὡς μισοῖντο δικαίως παρ' αὐτῶν οἱ ἀσσύριοι· καὶ εἰ βούλοιτο ἰέναι ἐπ' αὐτοὺς, καὶ σφεῖς ἔσοιντο σύμμαχοι, καὶ ἀγήσοιντο. ὁ δ' ἤρετο, εἰ καταλήψοιτο αὐτούς; καὶ οἱ ὑρκάνιοι εἶπον, ὅτι κἂν αὔριον ἑωθινοὶ πορεύοιντο εὔζωνοι, καταλήψοιντο σφᾶς. καὶ ὁ κῦρος πίστεις ᾔτει, ὡς ἀληθεύοιεν. οἱ δὲ ὁμήρους κατένευον παρέχειν, εἰ καὶ αὐτὸς αὐτοῖς δεξιὰν δοίη, καὶ πίστιν ποιήσαιτο. καὶ ὁ μὲν κῦρος δέδωκεν αὐτοῖς πίστιν, ἢ μὴν ἐὰν ἃ λέγουσιν ἐμπεδώσωσιν, ὡς φίλοις καὶ πιστοῖς χρήσεσθαι αὐτοῖς, καὶ μήτε περσῶν μήτε μήδων μεῖον ἔχειν τι παρ' αὐτῷ. ἀλλ' εὐθὺς ὁ κῦρος ἔτι φάους ὄντος ἐξῆγε τὸ στράτευμα, καὶ ὁ τιγράνης μετὰ τῶν ἀρμενίων συνῆν, καὶ τοὺς ὑρκανίους δὲ περιμένειν ἐκέλευσεν, ἵν' ἅμα ἴοιεν. τῶν δὲ μήδων σχεδὸν ἅπαντες συνεξῄεσαν τῷ κύρῳ. ἐπειδὴ δ' οὖν τοὺς ὑρκανίους προϊέναι ἐκέλευε, καὶ πολλὴν ὁδὸν διανύσας, πλησίον γίνεται τοῦ τῶν ὑρκανίων στρατεύματος. καὶ οἱ ἄγγελοι τοῦτο τὸν κῦρον ἐδίδασκον, καὶ ὃς ἐκέλευσεν, εἰ φίλοι εἰσὶν, ὡς τάχιστα ὑπαντᾶν τὰς δεξιὰς ἀνατείναντας. καὶ οἱ ὑρκάνιοι ταῦτα ἐντεταλμένοι, παρῆσαν εὐθὺς τὰς δεξιὰς, ὥσπερ εἴρητο, ἀνατείναντες. δεξιωσάμενος δὲ αὐτοὺς, εἴπατέ μοι, φησί, πόσον ἀπέχει ἐνθένδε, ἔνθα αἱ ἀρχαὶ τῶν πολεμίων εἰσί, καὶ τὸ ἄθροον αὐτῶν; οἱ δ' ἔφασαν, ὀλίγῳ πλέον ἢ παρασάγγην. ἡγεῖσθαι οὖν τοὺς ὑρκανίους ἐπέταξε. καὶ οἱ μὲν ἡγοῦντο. αὐτὸς δὲ σὺν τοῖς πέρσαις τὸ μέσον ἔχων ἐπορεύετο, τοὺς δ' ἱππεῖς ἑκατέρωθεν εἶχεν. ἐπεὶ δὲ φάος ἐγένετο, καὶ ἔγνωσαν τὰ δρώμενα οἱ πολέμιοι, οὐδεὶς ἐμάχετο, ἀλλ' οἱ μὲν ἔφευγον, οἱ δὲ καὶ ἀμαχεὶ ἀπώλλυντο. κροῖσος δὲ ὁ λυδῶν βασιλεὺς τὰς γυναῖκας σὺν ταῖς ἁρμαμάξαις νυκτὸς προέπεμψεν, ὡς ῥᾷον κατὰ ψῦχος πορεύοιντο. θέρος γὰρ ἦν, καὶ αὐτὸς σὺν ἱππεῦσιν ἐπηκολούθει, καὶ τὸν τῆς παρ' ἑλλήσποντον ἄρχοντα φρυγίας τὰ αὐτὰ ποιῆσαι φασίν.

ὅτι ἀφίστανται οἱ ἀσσυρίων σύμμαχοι, καὶ ὁ κῦρος σὺν κυαξάρῃ διαβαίνουσι τὸ τῶν ἀσσυρίων χαράκωμα, καὶ ὁ κῦρος διώκει αὐτούς, προσελθόντων αὐτῷ καὶ τῶν ὑρκανίων, οἳ συνεμάχουν ἀσσυρίοις.

ὅτι κατέλαβε τὸ τῶν ἀσσυρίων ὁ κῦρος, οἱ δὲ καὶ ἐτράποντο.

ὅτι καὶ γυναῖκες ἀπῆσαν κροίσου τοῦ συμμάχου τῶν ἀσσυρίων.

ὡς

ὡς δ' οἱ φεύγοντες αὐτοὺς κατελάμβανον, καὶ τὸ γινόμενον ἔγνων, ἔφευγον καὶ αὐτοί. τὸν δὲ τῶν Καππαδοκῶν βασιλέα ἐγγὺς ὄντα ἤδη, κατακαίνουσιν οἱ Ὑρκάνιοι. καὶ οἱ μὲν ἄλλοι ἐδίωκον, ὁ δὲ Κῦρος τοὺς σὺν αὐτῷ περιελαύνειν ἐκέλευε τὸ στρατόπεδον, καὶ κτείνειν μὲν τοὺς ἐξιόντας σὺν ὅπλοις, τοῖς δὲ μένουσιν ἐκήρυξεν ἀποφέρειν τὰ ὅπλα συνδήσαντας, τοὺς δ' ἵππους ἐπὶ ταῖς σκηναῖς καταλείπειν. τὸν δὲ μὴ οὕτω ποιοῦντα, τῆς κεφαλῆς στερηθήσεσθαι. οἱ μὲν δὴ τὰ ὅπλα ἔχοντες ἐξέφερον ἀποφέροντες εἰς τὸ χωρίον, καὶ ταῦτα οἱ τεταγμένοι κατέκαιον. ὁ δὲ Κῦρος ἐννοήσας ὡς ἦλθον οὔτε σῖτα οὔτε ποτὰ ἔχοντες, ἐκήρυξε τοὺς τῶν σκηνῶν ἐπιτρόπους ἥκειν πάντας, καὶ ὡς ἧκον, ἅ γε τοίνυν αὐτοί, ἔφη, διπλάσια τῇ ἑκάστῃ σκηνῇ σῖτα παρασκευάσατε, ἢ τοῖς δεσπόταις καὶ τοῖς οἰκέταις αὐτῶν καθ' ἡμέραν ἐποιεῖτε. καὶ οἱ μὲν ὡς παρηγγέλθησαν, ἐπεστάτουν. τῶν δὲ Μήδων τινὲς οἱ μὲν ἁμάξας προωρμημένας καταλαβόντες καὶ ἀποστρέψαντες μεστὰς ὧν δεῖται στρατιά, προσήλαυνον, οἱ δὲ καὶ ἁρμαμάξας γυναικῶν τῶν βελτίστων προσῆγον, καὶ ἐπιδεικνύντες Κύρῳ ἃ ἦγον, πάλιν ἀπήλαυνον. ὁ δὲ Κῦρος ἐπὶ τούτοις ἐδάκνετο, καὶ κατεμέμφετο ἑαυτόν· καὶ συγκαλέσας τοὺς ταξιάρχας, συνεβούλευεν ἱππικὸν καὶ τοὺς Πέρσας κτήσασθαι, ἵνα τούτῳ τοὺς ἱππότας διώκοιεν, καὶ τοὺς φεύγοντας καταλαμβάνοιεν, καὶ οἱ ἄλλοι συνῄνεσαν. ἤδη δὲ ὑπὸ μεσοῦσαν ἡμέρας, προσήλαυνον οἵ τε Μῆδοι καὶ οἱ Ὑρκάνιοι, ἵππους τε ἄγοντες αἰχμαλώτους καὶ ἄνδρας. τοῖς μὲν οὖν αἰχμαλώτοις ἀνδράσιν, ἄπιτε, εἶπε, τήν τε χώραν ὑμῶν ἐργαζόμενοι, καὶ τὰς οἰκίας οἰκοῦντες, καὶ γυναιξὶ ταῖς ὑμετέραις συνοικοῦντες, καὶ παίδων τῶν ὑμετέρων ἀπολαύοντες, καὶ τοῖς ἄλλοις δὲ ἐξαγγέλλετε ταῦτα. τὸ γὰρ καινὸν ἔσται ὑμῖν, ὅτι οὐχ ὁ αὐτὸς ὑμῶν ἄρξει, ὥσπερ καὶ πρότερον· τὰ δ' ἄλλα τὰ αὐτὰ ἔσται πάντα ὑμῖν. οἱ μὲν οὖν προσκυνοῦντες ἀπῄεσαν. ὁ δὲ Κῦρος ἔφη, ὥρα δὴ ὦ Μῆδοί τε καὶ Ἀρμένιοι δειπνεῖν· παρεσκεύασται δὲ ὑμῖν δεῖπνα, ὡς ἡμεῖς, ὦ βέλτιστοι, ἐδυνάμεθα. καὶ ὑμεῖς δὲ ὦ Ὑρκάνιοι, ἔφη, ἐξαγάγετε αὐτοὺς ἐπὶ τὰς σκηνάς, τοὺς μὲν ἄρχοντας ἐπὶ τὰς μεγίστας, τοὺς δ' ἄλλους ὡς ἂν δοκῇ κάλλιστα ἔχειν, καὶ αὐτοὶ δὲ δειπνεῖτε· σῶαι γὰρ ὑμῖν αἱ σκηναί, καὶ ἀκέραιοι. καὶ οἱ μὲν ταῦτα ἐποίουν ὡς ἐκελεύσθησαν. ὁ δὲ Κῦρος πολλοὺς τῶν Περσῶν διέπεμψε κύκλῳ τηρεῖν τὸ στρατόπεδον, ἵνα εἴ τις τῶν ἔξωθεν προσίοι, μὴ λάθοι, καὶ εἴ τις τῶν ἔνδον ἀποδιδράσκοι, ἁλίσκοιτο. καὶ οἱ μὲν Πέρσαι οὕτω διῆγον. τῇ δ' ἑξῆς ἡμέρᾳ τὰ λάφυρα τοῖς στρατιώταις διανεμηθῆναι προσέταξε, τοὺς δ' ἵππους τοῖς Πέρσαις δοθῆναι, ἵνα ἱππεῖς καὶ αὐτοὶ γένοιντο, καὶ τῷ Κυαξάρῃ δὲ ἐξελέσθαι ἔφη ὁποῖα οἴοιντο κεχαρισμένα αὐτῷ. Πέρσας δὲ ἔφη τοῖς μετ' ἐμοῦ ὄντας τὰ περιόντα ἀρκέσει. οὐ γὰρ ἡμᾶς ἐν χλιδῇ τεθράμμεθα, ὥστε ἴσως ἂν καὶ καταγελάσαιτε ἡμῶν, εἴ τι σεμνὸν ἡμῖν περιθείητε. ὥσπερ οἶδ' ὅτι πολὺν ὑμῖν γέλωτα παρέξομεν, καὶ ἐπὶ τῶν ἵππων καθήμενοι, οἶμαι δὲ καὶ ἐπὶ τῆς γῆς καταπίπτοντες. καὶ τοὺς ταξιάρχας καλέσας, τοὺς ἵππους λαμβάνειν ἐκέλευσε, καὶ κληρωσαμένους ἴσους λαμβάνειν ἑκάστους. ἐν τούτῳ δὲ ἧκεν Γωβρύας Ἀσσύριος, πρεσβύτης ἀνὴρ σὺν ἱππικῇ θεραπείᾳ, καὶ τὸν Κῦρον ἠξίου θεάσασθαι. ἤχθη οὖν πρὸς αὐτόν, καὶ εἶπεν· ὦ δέσποτα, ἐγώ εἰμι τὸ μὲν γένος Ἀσσύριος, ἔχω δὲ καὶ τεῖχος ὀχυρόν, καὶ χώρας ἄρχω πολλῆς. ἔχω δὲ καὶ ἵππον εἰς χιλίαν, ἣν τῷ τῶν Ἀσσυρίων βασιλεῖ παρειχόμην, καὶ φίλος ἦν ἐκείνῳ ὡς μάλιστα. ἐπεὶ δ' ὁ μὲν τέθνηκεν ὑφ' ὑμῶν, ὁ δὲ παῖς ἐκείνου τὴν ἀρχὴν ἔχει, ἔχθιστος ὢν ἐμοί, ὅτι τὸν μόνον μοι καὶ φίλον παῖδα φθονήσας ἀπέκτανεν, ἥκω πρός σε, καὶ δίδωμί σοι ἐμαυτὸν δοῦλον καὶ σύμμαχον, σὲ δὲ τιμωρὸν αἰτοῦμαι γενέσθαι μοι.

ἁμάξαι καὶ ἁρμάμαξαι.

[illegible]

[illegible]

[illegible]

[illegible]

Quos cum ij qui fugerant, assecuti, quo loco res esset, docuissent, & ipsi fugere incipiũt. Hyrcani autem, Cappadocũ regem in propinquo adhuc deprehensum occidunt. Ac cæteri quidẽ persequendis hostib. intenti erant. Cyrus autẽ suos castra circumuehi iubet, & qui armati egrederentur, occidere, qui intra munitiones erant, ut arma in unum conferrent, & equos ad præsepia relinquerẽt, per præcones edicit: qui secus fecerit, capitale fore. Itaq; arma abijciunt: ea in unũ aceruũ congesta, quibus id negocij datũ erat, cremant. Deinde recordatus Cyrus, se neq; cibaria neq; potũ attulisse, omnes tentoriorũ curatores cõuocat, & in omnib. tabernaculis duplũ eius quod dominis, eorumq; seruitijs pararint, instruere iubet. Dũ illi iussa exequũtur, Medi qui longius excurrerãt, alij currus cõmeatu plenos adducũt, alij carpenta in quib. lectissimæ fœminæ erant: ijsq; Cyro ostensis, ad prædã redeũt. Mordebat ea res Cyrum: & ipse sibi iratus, tribunos cõuocat, suadet ut & ipsi equitatũ instituãt, quo equites persequi & fugientes capere possint. Assensere cæteri. Interea Hyrcani & Medi, cũ iam ultra meridiẽ esset, captiuos & uiros & equos adducunt. Captiuos iubet, relictis equis, domũ reuerti, agros colere, ædes suas tenere, & suis uxoribus liberisq; frui, ac idem nunciare cęteris. Vnum duntaxat eis fore nouũ, quod non idem imperaturus esset qui prius, cætera futura eadem esse omnia. Illi adorato rege, discedunt. Cyrus autẽ, Medis & Armenijs: Cœnę, inquit, tempus est, eaq; parata, uiri optimi, ut licuit. Vos autẽ Hyrcani, deducite eos in tabernacula, principes in maxima, cæteros prout rectũ uobis uidebitur. Cœnatote & ipsi, nã uestra tẽtoria salua sunt, & inuiolata. Dum hi iussa exequuntur, Cyrus Persarum multos mittit, qui castra undiq; seruarẽt, ut & si quis foris accederet, nõ laterẽt: & qui intus aufugerẽt, deprehenderẽtur. Postridie spolia diuidi iubet inter milites, & equos Persis dari, ut & ipsi equites euaderent: & Cyaxari ea eximi, quæ ei grata esse scirent: Persas suos ijs fore contentos, quæ superessent. Neq; enim nos, inquit, delicatè sumus educati: & fortasse derideretis nos, si quid elegans nobis tribueretis, quẽadmodum noui multã risus materiã præbituros, ubi equis insederimus, atq; etiã in terram deciderimus. Vocatis tribunis, equos sorte ęqualiter inter eos distribui iubet. Interea uenit Gobryas Assyrius, homo senex, cũ equestri comitatu, se ad Cyrũ spectandũ admitti petens. Ad eũ adductus: Domine, inquit, ego sum genere Assyrius, arcẽq; ualidã habeo, & amplę ditioni impero. Sũt mihi & ad M equites, quos regi Assyriorũ prębere fui solitus, cuius summa amicitia sui usus. Postquã uerò is à uobis interijt, eius uerò filius mihi inimicissimus, ob filiũ meũ unicũ & charissimũ ex inuidia interfectũ, regnum suscepit: ad te uenio, meq; tibi trado seruũ & cõmilitonem, petens ut iniuriam mihi factã ulciscaris.

Cyrus deditis parcit.

Cyrus Persicum equitatum instituit.

Victis tantũ domini mutatio proposita.

Castrorum custodia.

Diuisio prædæ.

Gobryas se ad Cyrum confert.

Cyrus respondet: Si Gobrya ita sentis, ut loqueris, te & supplicē suscipio: & cædem filij tui me ulturum, Deo iuuante, polliceor. Tū Gobryas, Quia hęc uerè dico, do tibi meā dextram, & accipio tuam. His actis, & Gobrya cum armis dimisso, Medi aderant, qui Cyro pulcherrimū tabernaculū, & Susiam mulierē, quæ Asianarum pulcherrima fuisse traditur, & duas musicas pręstantissimas: Cyaxari uerò secundaria munera elegerāt. Superuacua tabernacula Cyro tradiderunt, ut eis Persæ uterentur. Cyrus quę Cyaxari destinarāt, ab illius intimis asseruari iubet: quæ sibi data essent, grato animo se accipere ait: et Araspi Medo à pueroamico custodiēda tradit, & tabernaculū & mulierē. Erat ea uxor Abradatæ Susiorum regis, qui dum castra caperētur, abfuerat legatus, ad petendam Bactrianorum regis societatem, hospitis sui. Mane Cyrus eques cum Persarū duobus millibus, qui & ipsi equites facti erant, ad Gobryā proficiscitur, ac die altero & ipsi & eorum socij in Gobryæ arcem perueniunt. Ibi cum didicisset, Assyrios Babylone longè maiores copias, quàm prius habuissent, cōparasse, Babylonē se duci iubet. Quarto die cum ad fines Gobryanæ ditionis peruenissent, & iam in hostili agro uersarentur: pedites & equitum nōnullos apud se retinet. reliquos equites excurrere iubet, & quos armatos inuenerint, occidere, cæteros & omnem prædam ad se adducere: cum ijs Persarū etiam quosdā emisit, quorum multi equis deuoluti, multi etiam maxima præda parta redierunt. Deinde uersus Babylonem progreditur, instructa uelut ad prœliū acie. Cum Assyrij nō egrederentur, iubet Gobryam adequitare ad mœnia, et dicere: Si uelit rex egredi in aciē, & pro regione dimicare, se illi pugnę copiam facturū. Sin regionem nō defenderit, necesse fore, ut pareat uictoribus. Quæ cum Gobryas dixisset, Assyrius misit qui ei diceret, Dominus tuus Gobrya respondet: Si pugnare uelitis, ut in diem XXX redeatis. nondū enim nobis esse ociū qui adhuc instruamur. His renunciatis, Cyrus exercitu reducto, Gobryā de Gadata rogat: qui cum regis filius, & Assyrij sodalis esset, in conuiuio ab illo comprehensus & castratus, patre mortuo regnū eunuchus tenebat. Ad eum igitur adducendū mittit Gobryā, qui iussa & mandata regis executus redijt. Gadatas autem cum Assyrij societatem simularet, & castellum quoddā Assyrij occupasset, bellum inferenti impedimēto futurū: eo tradito, humaniter à Cyro excipitur, cum hac oratione: Assyrius tibi Gadata procreandi liberos facultatem ademit, non etiam parandi amicos. Eo castello subacto, Caddusij, Sacæ, & plures Hyrcani se ad Cyrum conferunt. Sed Gadatas nunciat, Assyrium ob iacturam illam iratum, suæ ditioni bellum illaturū. Si dimitteretur, se loca munita defensurum, de cæteris minus esse solicitum. Rogatus quanto tempore suum regnum attingere posset, atque ipse cum exercitu consequi: respon-

Panthia Abradatæ Susiani uxor, donata Cyro, Araspi Medo custodienda traditur.

Assyrius pugnam detrectat.

Gadates se ad Cyrum confert.

Caddusij et Sacæ ad Cyrum deficiunt.

κῦρος δὲ ἀπεκρίνατο· εἰ οὕτω φρονεῖς ὦ γωβρύα, ὥσπερ φῂς καὶ φρονεῖς, δέχομαί σε ἱκέτην, καὶ τιμωρήσειν σοι τὸν τοῦ παιδὸς φόνον σὺν θεοῖς ὑπισχνοῦμαι. ὁ δέ, ταῦτα δὲ τοίνυν ἔφη ἀληθεύων ἐγώ, δίδωμί σοι τὴν ἐμὴν, καὶ λαμβάνω τὴν σὴν δεξιάν. ἐπεὶ δὲ ταῦτα ἐπράχθη, ἀπιέναι ἐκέλευσε τὸν γωβρύαν, ἔχοντα καὶ τὰ ὅπλα. καὶ ὁ μὲν ἀπῄει. οἱ δὲ μῆδοι παρῆσαν ἐξῃρηκότες κύρῳ τὴν καλλίστην σκηνὴν, καὶ τὴν σουσίδα γυναῖκα, ἣ καλλίστη λέγεται ἐν τῇ ἀσίᾳ γυνὴ γενέσθαι, καὶ μουσουργοὺς δὲ δύο τὰς κρατίστας. καὶ κυαξάρῃ τὰ δεύτερα, τὰς δὲ περιούσας σκηνὰς κύρῳ παρέδοσαν, ὡς τοῖς πέρσαις γένοιντο. ὁ δὲ κῦρος τὰ μὲν τοῦ κυαξάρου φυλάττειν ἐκέλευσε τοὺς ἐκείνου οἰκειοτάτους, καὶ ὅσα ἐμοὶ δέδοται, ἡδέως (ἔφη) δέχομαι. καλέσας δὲ ἀράσπην μῆδον, ὃς ἦν αὐτῷ ἐκ παίδων ἑταῖρος, ἐκέλευσε διαφυλάξαι αὐτῷ τὴν γυναῖκα καὶ τὴν σκηνήν. ἦν δὲ αὕτη μὲν γυνὴ ἀβραδάτου τοῦ σούσων βασιλέως, ὃς ἁλισκομένου τοῦ στρατοπέδου οὐ παρῆν, πεμφθεὶς περὶ συμμαχίας παρὰ τοῦ ἀσσυρίου πρὸς τὸν βακτρίων βασιλέα, ξένος ὢν ἐκείνῳ. πρωῒ δὲ ἀναστάντες ἐπορεύοντο πρὸς γωβρύαν κῦρος ἔφιππος, καὶ περσῶν ἱππεῖς, γενόμενοι εἰς δισχιλίους. δευτεραῖοι δὲ ἀμφὶ δείλην γίνονται εἰς τὸ γωβρύα χωρίον αὐτοί τε καὶ οἱ σύμμαχοι. μαθὼν οὖν ἐκεῖ, ὅτι τοῖς ἀσσυρίοις ἐν βαβυλῶνι πολλαπλασία τῆς πρώην δυνάμεως παρεσκεύασται, ἄγε ἡμᾶς πρὸς τὴν βαβυλῶνα, ἔφη. ὡς δὲ πορευόμενοι τεταρταῖοι πρὸς τοῖς ὁρίοις τῆς γωβρύου χώρας ἐγένοντο, καὶ ἐν τῇ πολεμίᾳ ἤδη ἐτύγχανον, τοὺς μὲν πεζοὺς καί τινας τῶν ἱππέων κατεῖχε πρὸς ἑαυτὸν, τοὺς δ' ἄλλους ἱππεῖς ἀφῆκε καταθεῖν, κελεύσας τοὺς μὲν ὅπλα ἔχοντας τῶν ἐντυγχανόντων αὐτοῖς κατακαίνειν, τοὺς δ' ἄλλους καὶ λείαν ὅσην ἂν λάβωσι πρὸς αὐτὸν ἄγειν· ἐκέλευσε δὲ καὶ τοὺς πέρσας συγκαταθεῖν. καὶ ἧκον πολλοὶ μὲν αὐτῶν κατακεκυλισμένοι ἀπὸ τῶν ἵππων, πολλοὶ δὲ λείαν ὅτι πλείστην ἄγοντες. μετὰ πρὸς βαβυλῶνα ᾔει, ὥσπερ ἐν μάχῃ παραταξάμενος. ὡς δ' οὐκ ἀντεξῄεσαν οἱ ἀσσύριοι, ἐκέλευσεν ὁ κῦρος τὸν γωβρύαν προσελάσαντα εἰπεῖν, εἰ βούλεται ὁ βασιλεὺς ἐξιὼν ὑπὲρ τῆς χώρας μάχεσθαι, καὶ αὐτὸς σὺν ἐκείνῳ μαχεῖται. εἰ δὲ μὴ ἀμυνεῖ τῇ χώρᾳ, ὅτι ἀνάγκη τοῖς κρατοῦσι πείθεσθαι. ὁ μὲν δὴ γωβρύας προσελάσας ταῦτα εἶπεν. ὁ δ' ἀσσύριος πέμψας ἔλεγεν· ὁ δεσπότης ὁ σὸς ὦ γωβρύα αὐτὰ ἀποκρίνεται, ἐὰν βούλησθε μάχεσθαι, ἥκετε εἰς τριακοστὴν ἡμέραν· νῦν δ' οὔπω ἡμῖν σχολὴ, ἔτι γὰρ παρασκευαζόμεθα. καὶ ὁ μὲν ἀπήγγειλε ταῦτα τῷ κύρῳ. ὁ δὲ ἀπήγαγε τὸ στράτευμα, καὶ τὸν γωβρύαν περὶ τοῦ γαδάτα ἠρώτα. ὁ δὲ γαδάτας βασιλέως τινὸς ἦν υἱός, ἑταῖρος τοῦ ἀσσυρίου, ὃν συμπίνοντα αὐτῷ συλλαβὼν ἐξέτεμε, καὶ ἐκτομίαν ἐποίησεν, ὃς τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος, τότε τὴν βασιλείαν ἦρχεν εὐνοῦχος ὤν. πρὸς αὐτὸν οὖν ἀπιέναι τὸν γωβρύαν ἤθελε, καὶ ἄγειν πρὸς ἑαυτόν. ὁ δὲ ἀπῆλθε, καὶ ἐντυχὼν, καὶ ὅσα παρὰ κύρου ἐντέταλτο εἰπὼν, ὁ μὲν ἐπανῆλθεν. ὁ δὲ γαδάτας τὴν τοῦ ἀσσυρίου συμμαχίαν προσποιούμενος, καὶ φρούριον τι τοῦ ἀσσυρίου, προβολὴν ὂν τῷ πολεμοῦντι κατασχὼν, καὶ τῷ κύρῳ αὐτὸ παραδοὺς, ἦλθε καὶ αὐτὸς πρὸς κῦρον. καὶ δεξιωθεὶς, ὦ γαδάτα, ἀκούσῃ, παῖδας μὲν ὡς ἔοικε ποιεῖσθαί σε ἀφείλετο ὁ ἀσσύριος, οὐ μὴν καὶ κτᾶσθαι φίλους ἐκώλυσεν. ὁ μὲν οὖν ταῦτα εἶπε. τοῦ δὲ φρουρίου ὑπὸ τὸν κῦρον γεγενημένου, καὶ καδούσιοι καὶ σάκαι καὶ ὑρκάνιοι πλείους συνεστρατεύοντο αὐτῷ. μετὰ τοῦτο προσέρχεται κύρῳ ὁ γαδάτας λέγων, ὡς ὁ ἀσσύριος περὶ τοῦ φρουρίου πυθόμενος καὶ χαλεπαίνων, συσκευάζοιτο εἰς τὴν ἐμὴν ἐμβαλεῖν χώραν. ἐὰν οὖν ἀφῇς με, τὰ τείχη ἂν πειραθείην διασῶσαι. τῶν δ' ἄλλων μείων μοι λόγος. ἤρετο οὖν ὁ κῦρος, ἐὰν ἴῃς, πότε ἔσῃ οἴκοι· ὁ δέ,

ὅρα δὲ ἐμοῦ τύπον τὸ λαμβάνειν καὶ διδόναι τὴν δεξιάν.

τὰ ἐπίλοιπα δοῦναι τῷ κύρῳ λάφυρα, ἐν οἷς ἦν καὶ ἡ ἀβραδάτου γυνή.

ὅτι δὲ βαβυλῶνα ἤρχετο πάλιν κῦρος κατὰ ἀσσυρίων.

ἐπεξέρχεται κῦρος μονομαχῆσαι μετὰ τοῦ ἄρχοντος βαβυλῶνος, ὁ δὲ ἀπεῖπε, μὴ εἶναι παρεσκευασμένος, καὶ αἰτεῖ καιρὸν παρασκευάσασθαι.

περὶ γαδάτα, ὃς εὐνοῦχος ὢν ἦρχεν.

προσέλευσις πρὸς κῦρον τοῦ γαδάτα ἐκ τῶν ἀσσυρίων ὄντος.

ἑτέρων ἐθνῶν προσέλευσις πρὸς κῦρον.

ὁ δ', εἰς τρίτην, ἔφη, δειπνήσοιεν ἐν τῇ ἡμετέρᾳ. ἐγὼ δ', ἔφη ὁ Κῦρος, ποσταῖος ἂν ἐκεῖσε ἀφικοίμην σὺν τῷ στρατεύματι; καὶ ὁ Γαδάτας, σὺν ἂν δύναιο (ἐπιεικεῖ τοῦ) διανύσαι, ἐν μὲν ἓξ ἢ ἑπτὰ ἡμέραις ἐλθεῖν. καὶ ὁ Κῦρος, σὺ τοίνυν, ἔφη, ἄπιθι τάχιστα· ἐγὼ δ' ὡς ἂν δυνώμεθα πορευσόμεθα. καὶ ὁ μὲν Γαδάτας ἀπῄει. ὁ δὲ Κῦρος τοὺς ἄρχοντας τῶν συμμάχων εἶπε, δεῖν τῷ Γαδάτᾳ ἐπαμῦναι παρὰ τοῦ Ἀσσυρίου πολεμουμένῳ, ἀνδρὶ εὐεργέτῃ. καὶ πάντες συνηρέσκον. ὁ δέ, ἐπεὶ καὶ ὑμῖν συνδοκεῖ, ἔφη, ἄγετε παρασκευασώμεθα, ἵππον τε καὶ ἀνδρῶν τοὺς δυνατωτάτους λαβόντες, καὶ τριῶν ἡμερῶν τὰ ἐπιτήδεια, ἵν' εὔζωνοι ἴωμεν. οὕτω δὲ συσκευασάμενοι, μέσων νυκτῶν ἐξήχοντο, τοῦ Γωβρύου σφῶν ἡγουμένου. καὶ ὁ μὲν Κῦρος οὕτως ἀπῄει. ἀπιόντι δὲ τῷ Γαδάτᾳ τῶν τις περὶ αὐτὸν δυνατῶν ἐπιβουλεύσας ἐκείνῳ, καὶ πέμψας πρὸς τὸν Ἀσσύριον, ἐδήλου τὴν τοῦ Γαδάτα δύναμιν, καὶ ὡς ὅκοιν καὶ ἐνεδρεύσας αὐτῷ ἐπιτίθοιτο, ἵν' οὕτως αὐτόν τε συλλάβοι τὸν Γαδάταν, καὶ τοὺς σὺν αὐτῷ. ἐπεὶ δὲ ταῦτα ἤκουσεν ὁ Ἀσσύριος, ἐνήδρευσεν. ὡς δ' ἐγγὺς ὁ Γαδάτας τῶν ἐνεδρῶν ἐγένετο, καὶ ἤδη ἐδόκει τοῦ ἁλώσιμος, ἀνίσταται ἐκ τῆς ἐνέδρας. ὁ δὲ τοῦ Γαδάτα ἐπιβουλεύων ἐν τούτῳ παίει αὐτόν, καὶ πλήττει κατὰ τὸν ὦμον, οὐ μέντοι καιρίως. ποιήσας δὲ τοῦτο πρὸς τὸν Ἀσσύριον παραχρῆμα ἀποχωρεῖ, καὶ ἐδίωκε σὺν αὐτῷ. οἱ μὲν οὖν τοῦ Γαδάτα ἡλίσκοντο, οἱ δ' ἔφευγον τοὺς χαλινοὺς τρέψαντες, καὶ ἤδη προσιόντα καθορῶσι τὸν Κῦρον. ὁ δέ, ὡς ἔγνω τὸ πρᾶγμα, ἐναντίος αὐτοῖς ἦγε τὴν στρατιάν. καὶ οἱ πολέμιοι ἐπειδὴ ἰδόντες, ἐτράποντο εἰς φυγήν, καὶ ὁ Κῦρος διώκειν ἐκέλευσεν. ἁλίσκονται τοίνυν καὶ ἄνδρες καὶ ἅρματα, καὶ πολλοὶ δ' ἐκτείνοντο, καὶ αὐτὸς ὁ τὸν Γαδάταν πλήξας. οἱ δ' ἄλλοι, καὶ αὐτὸς ὁ Ἀσσύριος, εἰς πόλιν αὐτοῦ τινὰ μεγάλην κατέφυγον. καὶ ὁ Κῦρος ταῦτα διαπραξάμενος, εἰς τὴν Γαδάτα χώραν ἀνεχώρει, καὶ ᾔει τὸν Γαδάταν ἐπισκεψόμενος. καὶ οἱ ὁ Γαδάτας ἀπήντησεν, ἐπιδεδεμένος τὸ τραῦμα, καὶ χάριτας ὡμολόγει λέγων· ὡς ἐγώ γε τὸ μὲν ἐπ' ἐμοὶ οἴχομαι, τὸ δ' ἐπὶ σοὶ σέσωσμαι, προθύμως οὕτω μοι βοηθήσαντι. οἱ δέ γε Καδούσιοι ὀπισθοφυλακεῖν τεταγμένοι τότε παρὰ τοῦ Κύρου, καὶ μὴ μετασχόντες τῆς διώξεως, βουλόμενοι δὲ καὶ αὐτοὶ λαμπρόν τι ποιῆσαι, οὐδὲν τῷ Κύρῳ κοινωσάμενοι, καταθέουσι τῆς Βαβυλωνίας. ἀπιὼν δ' ὁ Ἀσσύριος ἐκ τῆς πόλεως οἷ κατέφυγε, συντυγχάνει αὐτοῖς καὶ μόνοις οὖσιν, ἐπιτίθεται, καὶ τόν τ' ἄρχοντα σφῶν ἀποκτείνει, καὶ ἄλλους πολλούς. καὶ διώξας μέχρι τινός, ἀπετράπετο. οἱ δὲ τῶν Καδουσίων ἐσώζοντο, περὶ δείλην ἦλθον εἰς τὸ στρατόπεδον. ὁ δὲ Κῦρος τοὺς μὲν θεραπεύσοντας τοὺς τετρωμένους παρεδίδου, τοὺς δ' ἄλλους αὐτὸς προσῆγεν ἐν λόγοις παρακαλῶν. καὶ ἄρχοντα ἑαυτοῖς ἐξ ἑαυτῶν παρῄνει αἱρεῖσθαι, καὶ οἱ μὲν οὕτως. ὁ δὲ Γαδάτας ἧκε κομίζων τῷ Κύρῳ δῶρα παντοῖά τε καὶ πολλά, καὶ πλείστους ἵππους. ὁ δὲ Κῦρος τοὺς μὲν ἵππους ἔφη δέχεσθαι, ἵν' ἐκπληρώσῃ τὸ Περσικὸν ἱππικόν, καὶ εἰς μυρίους παρέσονται αὐτῷ οἱ ἱππεῖς. τὰ δὲ χρήματα ἀπάγειν αὐτὸν ἐπέτελλε, καὶ φυλάττειν ἕως ἂν καὶ αὐτὸς ἀντιδωρεῖσθαι γνοίη δυνάμενος. καὶ παρῄνει τὴν πόλιν αὐτοῦ ὡς τὸ φυλακὴν ποιεῖσθαι ἀσφαλῆ, αὐτὸν δὲ αὐτῷ συστρατεύεσθαι. καὶ ὁ Γαδάτας ἥδετο τῇ συμβουλῇ, συσκευαζόμενός τε τῷ Κύρῳ συνῄει. ἐπεὶ δὲ πορευόμενος οὕτως εἰς τὰ μεθόρια τῶν Σύρων καὶ Μήδων ἀφίκετο, ἐνταῦθα τρία ὄντα τὰ τῶν Σύρων φρούρια, τὸ μὲν ἓν αὐτὸς προσβαλὼν καὶ βιασάμενος εἷλε· τὰ δὲ δύο φοβῶν μὲν ὁ Κῦρος, πείθων δὲ ὁ Γαδάτας, παρασκευάζει παραδοῦναι τοὺς φυλάσσοντας. εἶτα πέμπει πρὸς Κυαξάρην, ἀξιῶν ἥκειν εἰς τὸ στρατόπεδον, ὅπως περὶ ὧν ἂν δέοιντο, βουλεύσαιντο. καὶ ὁ μὲν ἄγγελος ᾤχετο. ὁ δὲ Κῦρος ἐκέλευσε τὴν σκηνήν, ἣν οἱ Μῆδοι τῷ Κυαξάρῃ ἐξεῖλον, κατασκευάσαι ὡς βέλτιστα τοῖς τε ἄλλοις παρασκευῇ, καὶ τὴν γυναῖκα εἰσαγαγεῖν εἰς τὸν γυναικῶνα τῆς σκηνῆς, καὶ σὺν ταύτῃ τὰς μουσουργούς.

[illegible]

respondet, se quidē intra triduū ibi cœnaturum: ipsum uerò, ante VI aut VII dies còperuenire nō posse. Tum Cyrus: Tu, inquit, q̄ celerrimè abi, ego uerò ut potero proficiscar: & conuocatis sociorū principib. Gadatæ, homini bene merito, qui ab Assyrio oppugnaretur, opem esse ferendam ait. Iis assensis: Quia, inquit, uobis idem uidetur, eamus, sumptis & uiris & equis fortissimis, ac tridui cōmeatu, ut expediti simus. Sic parati, media nocte, Gobrya duce, iter ingrediuntur. Gadatę uerò quidam ex eius magnatib. insidiatus, Assyrio uirēs eius nūciat, monet ut eum per insidias cū suis cōprehendat. Assyrius his audins, insidias ponit: ad quas cū Gadatas peruenisset, tamq̧ capi posse uideretur, insidiator exurgit, & humerū eius ferit, non tamen lethali uulnere illato: & statim ad Assyriū profectus, cum eo Gadatā persequitur. cuius equites partim capiuntur, partim cōuersis frenis fugientes, Cyrū aduentare uident. Is re cognita, ducit contra hostes, qui illū conspicati uertūtur in fugam. Cyrus persequitur, capiūtur multi & currus & uiri, multi occidūtur: & inter alios is etiam, qui Gadatā uulnerarat. Reliqui, et ipse Assyrius, in urbem quandā magnā se recipiūt. His peractis, Cyrus in Gadatæ regionē pergit, eū inuisurus. sed Gadatas obligato uulnere ei occurrit: & gratijs actis, se, quantum in se fuerit, perijsse, sed sine nua illius ope conseruatū esse, profitet. Cadduſij uerò à Cyro in subsidijs collocati, cū persecutioni hostiū non interfuissent, uolētes & ipsi egregium facinus edere, Cyro incōsulto, In prouinciam Babyloniā incursionem faciūt. At Assyrius egressus urbē, quò cōfugerat, obuiam factus, cum solos esse uidisset, eos inuadit, & principem eorū cū multis alijs occidit, atq; aliquandiu persequitur. Qui ex Cadduſijs euaserāt, sub uesperā in castra reuertuntur. Cyrus uulneratos tradit medicis: alios ipse consolatus, monet, ut suæ gentis ducem eligant. Interea Gadatas multa & omnis generis munera offert, & equos plurimos. Cyrus equos se accipere ait, ut equitatū Persicum ad numerum X milliū expleat: pecuniam auferre iubet, & seruare, donec et ipse eum remunerari posset. suadet, ut urbē suam accuratè custodiat, ipse uerò secū proficiscatur. Gadatas consilio delectatus, compositis suis rebus, Cyrum comitatur. Cum ad cōfinia Syrorū & Medorum peruentū esset, ubi tria erant Syrorū castella, unū Cyrus ui capit: reliqua duo ipse perterrefacit. Gadatas uerò custodib. psuadet, ut ea tradāt. His factis ad Cyaxarē mittit, ut in castra ueniat, quo quid facto opus esset, deliberarēt, & tabernaculū ei à Medis attributum cùm cęteris reb. tū muliere cū duab. musicis in peculiare cō claue introducta, q̄ pulcherrimè exornari iubet.

Gadatas à quodā suorum proditus, Cyri interuētu liberatur.

Cadduſij temeritatis sue dāt pœnas.

III Syriaca castella capta.

Cyaxares Cyro studia Medorū & gloriam inuidet.

Accepto nuncio Cyaxares, cum Medis equitibus, qui manserāt, proficiscitur. Eius aduētu cognito, Cyrus cū Persicis equitib. qui multi iam erant, & Medis qui aderāt, & Armenijs, cęterorumq; sociorū equitib. optimis obuiam progreditur, ut copias Cyaxari ostētaret. Is uerò cum illum multos uiros pręstantes sequi, sibi uero exiguū & uilem esse comitatū uideret, ignominiosum quiddā esse ratus, præ dolore in manifestas lachrymas erupit. Cyrus eo seducto, causam irę & doloris quærit, & multis uerbis ultrò citroq; factis: Deniq; per deos, inquit, auūcule, desine me in præsentia culpare. sed ubi expertus fueris, quomodo erga te affecti simus, tum mihi uel gratias agito, uel iniuriam exprobrato. His uerbis delinitū hominē osculatur. quo uiso Medi, Persæ & cęteri supra modum sunt gauisi. Cyrus autē & Cyaxares conscensis equis in castra peruenerunt. Cyaxari in tabernaculū suū perducto, Medi ordine munera offerunt, unū saltem ex ijs quæ quisq; pulcherrima nactus erat. Cū cœnæ tēpus esset, Cyaxares epulis indulgebat: Cyrus autē de retinēdis socijs solicitus, cōuocatis amicis ad rem bene gerendā idoneis, petebat ut elaborarent, ne socij discederent: sed diutius manerent, atq; auxilio essent. Postridie ad Cyaxarem omnes cōueniunt, quem prius q̃ alloquerentur, Cyro amici alius aliam gentē adducebant, orantes ut permanerent, & belli conficiendi adiutores essent. Interea Cyaxares tabernaculo egressus: Socij, inquit, deliberandū est, utrū adhuc militandi tēpus esse uideat̄, aut exercitus iam sit dimittendus? Singuli igit̄ progressi sententias dixere, & omnes militandū esse decreuerūt. Post omnes Cyrus: Nō me latet, inquit, uiri, si copias dimiserimus, nostras opes tenuiores, hostiū auctiores fore. Sed uideo nos ab hostibus inuadi, quibus pares esse non poterimus. Instat enim hyems, & penuria cōmeatus. Nam alia sunt à nobis absumpta, alia propter nos ab hostib. in munitiones cōportata. Quis aūt, si cū frigore & fame pugnandum sit, militare queat? Ego uerò arces hostiū intercipiēdas, nobis uerò q̃ plurimas munitiones parandas esse censeo. Nā si nos castella habuerimus, ea & prouinciā hostibus adiment, & nobis opportuna erunt. His & plurib. in hanc sententiā dictis, omnes se strenuos fore adiutores dixerunt: ipseq; Cyaxares. & machinas obsidionales moliri decreuerunt. Cyrus uerò qui eam rem breui confici nō posse uideret, exercitū in tuta deductum, prædatū eduxit, ut & uictus abūdè suppeteret, & labore ualetudo militum firmaretur, & disciplina militaris cōseruaretur. Interea transfugæ Babylonij nunciāt, Assyrium in Lydiā proficisci, & multū auri argentiq; & omnis generis ornamenta secū auehere. Id cum turba militaris ita interpretaretur, quasi metuēs sibi, opes suas apud amicos deponeret: Cyrus contrà, eum socios quæsitū abisse dicēs, se ad pugnā instruebat, exploratorē in Lydiam missurus Araspem (nam is eam ad rem aptissimus uidebatur) qui amore captus formosæ mulieris, quam custodiebat, frustra illam appellarat, fidei.

Cyrus dat operam, ne copiæ dilabantur.

Hyems & fames, hostes inuicti.

Araspes frustra tentata Pātheæ pudicitia, transfugæ habitu cōsilia & uires hostiū explorat.

ἀπὸ τῶν Κυαξάρου διῆρειν. ἐν τούτῳ δὲ ὁ ἄγγελος τὰ παρὰ τοῦ Κύρου τῷ Κυαξάρῃ ἀπήγγειλε· καὶ ὃς ἐπορεύετο σὺν τοῖς παραμείνασιν αὐτῷ τῶν Μήδων ἱππεῦσιν. ὡς δ᾽ ἔγνω προσιόντα αὐτὸν ὁ Κῦρος, λαβὼν τούς τε τῶν Περσῶν ἱππέας, πολλοὺς ἤδη ὄντας, καὶ τοὺς Μήδους παρόντας, καὶ τοὺς Ἀρμενίους, καὶ τῶν ἄλλων συμμάχων τοὺς εὐιπποτάτους, ἀπήντα, ἐπιδεικνὺς τῷ Κυαξάρῃ τὴν δύναμιν. ὁ δὲ ἰδὼν τῷ Κύρῳ μὲν πολλούς τε καὶ ἀγαθοὺς ἑπομένους, ἑαυτῷ δὲ ὀλίγην τε καὶ ὀλίγου ἀξίαν θεραπείαν, ἄτιμόν τε αὐτῷ ἔδοξεν εἶναι, καὶ ἄχος αὐτὸν ἔλαβε, καὶ ὡς φανερὰ κατεῖβε δάκρυα. ὁ δὲ Κῦρος ἰδίᾳ τοῦτον ἀπολαβόμενος, καὶ παρακαθίσας διελέχθη, καὶ τῆς ὀργῆς καὶ τῆς λύπης ἠρώτα τὸ αἴτιον, καὶ πολλά τε εἰπὼν καὶ ἀκούσας, τέλος, πρὸς θεῶν, ἔφη, ὦ θεῖε, παῦσαι τὸ νῦν ἔχον μεμφόμενός μοι. ἐπειδὰν δὲ πεῖραν ἡμῶν λάβῃς πῶς ἔχομεν πρός σε, τότε μοι ἢ χάριτας ὁμολόγει, ἢ μέμφου. καὶ ὁ Κυαξάρης κατετίθετο· ὁ δ᾽ ἐφίλησεν αὐτὸν προσλαβών. καὶ ὡς εἶδον οἱ Μῆδοί τε καὶ οἱ Πέρσαι καὶ οἱ λοιποί, ὑπερήσθησαν. ἀναβάντες οὖν τοὺς ἵππους ὁ Κῦρος καὶ ὁ Κυαξάρης, ἐπανῆσαν ἐπὶ τὸ στρατόπεδον, καὶ ἐπὶ τὴν διῃρημένην αὐτῷ σκηνὴν τὸν Κυαξάρην ἀπήγαγον. οἱ δὲ Μῆδοι διῄεσαν πρὸς αὐτόν, δῶρα ἄγοντες, ἕκαστος ὧν ἔτυχεν ἂν λαβὼν τὸ κάλλιστον. ἐπεὶ δὲ ὥρα δείπνου ἦν, ὁ μὲν Κυαξάρης ἀμφὶ δεῖπνον εἶχεν. ὁ δὲ Κῦρος ὡς ἂν αὐτῷ παραμένοιεν οἱ σύμμαχοι, ἐφρόντιζε, καὶ συλλέξας τῶν φίλων τοὺς ἱκανοὺς τὰ δέοντα συμπράττειν αὐτῷ, μηχανᾶσθαι ἀξιοῖ ὅπως πείσαιεν τοὺς συμμάχους μὴ ἀπελθεῖν αὐτοῦ, ἀλλ᾽ ἐπιμένειν. τῇ δ᾽ ὑστεραίᾳ πρὸς Κυαξάρην ἅπαντες συνελέγοντο, καὶ πρὶν ἐντυχεῖν ἐκείνῳ, προσῆγον οἱ φίλοι τῷ Κύρῳ ἄλλος ἄλλο τῶν ἐθνῶν τῶν συμμάχων, δεόμενοι αὐτῶν μένειν, καὶ συμμετέχειν τοῦ πολέμου αὐτῷ. ἐν τούτῳ δὲ Κυαξάρης τῆς σκηνῆς ἐξελθών, ἄνδρες σύμμαχοι, ἔφη, σκοπεῖν δέον, πότερον στρατεύεσθαι ἔτι καιρὸς ἡμῖν δοκεῖ, ἢ διαλύειν ἤδη τὴν στρατιάν. ἕκαστος οὖν παριὼν ἔλεγε, καὶ πάντες στρατεύεσθαι δεῖν γνώμην ἐδίδοσαν. ἐπὶ πᾶσι δὲ ὁ Κῦρος ἀπεῖπεν· οὐδὲ ἐμὲ λανθάνει, ὦ ἄνδρες, ὅτι εἰ διαλυσόμεθα τὸ στράτευμα, τὰ μὲν ἡμέτερα γένοιτ᾽ ἂν ἀσθενέστερα, τὰ δὲ τῶν πολεμίων αὐξήσεται. ἀλλ᾽ ὁρῶ ἡμῖν αὐτοὺς ἐπελεύσεσθαι προσιόντας, οἷς οὐ δυνησόμεθα μάχεσθαι. προσέρχεται γὰρ χειμών, καὶ τῶν ἐπιτηδείων ἔλλειψις. τὰ μὲν γὰρ ἀνάλωται παρ᾽ ἡμῶν, τὰ δὲ δι᾽ ἡμᾶς ὑπὸ τῶν ἐναντίων ἀνακεκόμισται ἐς ἐρύματα. τίς οὖν λιμῷ καὶ ῥίγει μαχόμενος στρατεύεσθαι δύναιτ᾽ ἄν; δοκεῖ δὲ χρῆναι τὰ μὲν τῶν ἐναντίων παραιρεῖν ὀχυρώματα, ἡμῖν δὲ ὅτι πλεῖστα ποιεῖσθαι ὀχυρά. ἐὰν γὰρ φρούρια ἡμῖν γένηται, ταῦτα τοῖς μὲν πολεμίοις ἀλλοτριώσει τὴν χώραν, ἡμῖν δὲ ὡς λυσιτελοῦντα ἔσται. ὡς δὲ ταῦτά τε καὶ πλείω ἐρρέθη ὑπὲρ τούτων, πάντα συμπροθυμήσεσθαι τοῦτ᾽ ἔφασαν, καὶ ὁ Κυαξάρης αὐτός, καὶ μηχανὰς ποιήσειν κατένευσε πολιορκητικάς. Κῦρος δὲ γνοὺς διατρίβειν ἔσεσθαι ἀμφὶ ταῦτα, τὸ μὲν στράτευμα ἐν ἀσφαλεῖ ἐποιήσατο, ἐξῆγε δὲ ἐς προνομάς, ἵνα τά τε ἄφθονα ἔχοιεν τὰ ἐπιτήδεια, καὶ ἵνα μᾶλλον ὑγιαίνοιεν πονοῦντες, καὶ ὅπως τὰς τάξεις ὑπομιμνήσκοιντο. ἐκ δὲ Βαβυλῶνος ἰόντες αὐτόμολοι, ἔλεγον ὡς ὁ Ἀσσύριος οἴχοιτο ἐπὶ Λυδίαν, πολλὰ τάλαντα χρυσίου καὶ ἀργυρίου ἄγων, καὶ κόσμον παντοδαπόν. ὁ μὲν οὖν ὄχλος ὁ στρατιωτικὸς ἔλεγεν, ὑπεκτίθεσθαι αὐτὸν ἤδη δεδιότα τὰ χρήματα. ὁ δὲ Κῦρος ἔλεγεν, οἴχεσθαι τὸν Ἀσσύριον, συμμάχους ζητοῦντα, καὶ ὡς μαχούμενος παρεσκευάζετο. ἐδόκει δὲ αὐτῷ καὶ κατάσκοπον ἐπὶ Λυδίαν πέμψαι, ἵν᾽ εἰδῇ τί πράττει ὁ Ἀσσύριος. καὶ πρὸς τοῦτον ἐπιτήδειος αὐτῷ ὁ Ἀράσπας ἐδόκει, ὁ τὴν καλὴν γυναῖκα φυλάττων, ὃς ληφθεὶς ἔρωτι τῆς γυναικός, προσῆγεν λόγους αὐτῇ. ἡ δ᾽ ἀπέστρεφε,

Ὅτι ἀχθεσθεὶς ὁ Κυαξάρης ἰδὼν τῷ Κύρῳ τὴν συμμάχων παρουσίαν καὶ δύναμιν ὑπὲρ τὴν ἑαυτοῦ, [illegible]

[illegible] συμβουλεύει, [illegible] χειμῶνος [illegible]

[illegible] ἵνα [illegible] ὑγιαίνοιεν.

περὶ ἀράσπα καὶ ὅπως ἠράσθη γυναικὸς [illegible]

καὶ ἦν πιστὴ τῷ ἀνδρὶ καίπερ ἀπόντι. ὅμως οὐ κατεῖπε τοῦ ἀράσπου πρὸς κῦρον. ἐπεὶ δὲ ὁ ἀράσπας ἠπείλει αὐτῇ, ὡς εἰ μὴ ἑκοῦσα ἐθέλοι, ἄκουσα ποιήσει ταῦτα· δείσασα τὴν βίαν, πέμπει τὸν εὐνοῦχον πρὸς τὸν κῦρον, καὶ κελεύει λέξαι πάντα. ὁ δὲ ἀκούσας ἐγέλασε, καὶ πέμπει ἀρτάβαζον σὺν τῷ εὐνούχῳ, κελεύσας εἰπεῖν αὐτῷ, μὴ βιάζεσθαι τοιαύτην γυναῖκα, πείθειν δὲ εἰ δύναιτο, οὐκ ἔφη κωλύειν. ὁ δὲ ἀράσπας ἀκούσας ταῦτα, τὸ μὲν ὑπ' αἰσχύνης, τὸ δὲ ὑπὸ φόβου τῇ λύπῃ κατεβιβάζετο. ὁ οὖν κῦρος γνοὺς ταῦτα, ἐκάλεσεν αὐτὸν ἰδίᾳ, καὶ ἔφη· παῦσαι ἀράσπα φοβούμενός τε καὶ αἰσχυνόμενος. ἐγὼ γὰρ θεούς τε ἀκούω ἔρωτος ἡττᾶσθαι, καὶ ἀνθρώπους οἶδα καὶ μάλα φρονίμους οἷα πεπόνθασιν ὑπὸ ἔρωτος. καὶ σοὶ δὲ τούτου ἐγώ εἰμι αἴτιος, ὅς σε τούτῳ ἀμάχῳ συγκαθεῖρξα πράγματι. καὶ ὁ ἀράσπας ὑπολαβὼν εἶπεν, ἀλλὰ σὺ μὲν ὦ κῦρε καὶ ταῦτα πρᾶος εἶ, καὶ συγγνώμων τῶν ἀνθρωπίνων ἁμαρτημάτων. ἐμὲ δὲ οἱ ἄλλοι ἄνθρωποι καταδύουσι τῷ ἄχει. οἱ μὲν γὰρ ἐχθροὶ ἐφήδονταί μοι, οἱ δὲ φίλοι συμβουλεύουσιν ἐκποδὼν γενέσθαι, μὴ καὶ πάθω ὑπὸ σοῦ. καὶ ὁ κῦρος εἶπεν· εὖ τοίνυν ἴσθι, ὅτι ταύτῃ τῇ δόξῃ ἐμοί τε χαρίσασθαι δύνασαι, καὶ τοὺς συμμάχους ὠφελῆσαι. εἰ γάρ, ὁ ἀράσπας ἔφη, γενοίμην σοί ποτε χρήσιμος ἐν καιρῷ. εἰ τοίνυν, ἔφη, προσποιησάμενος ἐμὲ φεύγειν, ἐθέλοις εἰς τοὺς πολεμίους ἐλθεῖν, πιστευθείης ἂν ὑπ' ἐκείνων. ναὶ μὰ Δί', ἔφη ὁ ἀράσπας, καὶ ὑπὸ τῶν φίλων. ἔλθοις ἂν τοίνυν, ἔφη, πάντα ἡμῖν τὰ τῶν πολεμίων ἀγγέλλων. ἀράσπας μὲν οὖν οὕτως ἐξελθὼν, καὶ παραλαβὼν τοὺς πιστοτάτους θεράποντας, ᾤχετο. ἡ δὲ πάνθεια μαθοῦσα ταῦτα, πέμψασα πρὸς τὸν κῦρον εἶπε· μὴ λυποῦ ὦ κῦρε, ὅτι ἀράσπας εἰς τοὺς πολεμίους προσοίχεται. ἂν γὰρ ἐμὲ ἐάσῃς πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἥξει σοι φίλος ἀράσπου πιστότερος. καὶ ὁ κῦρος ἐκέλευσε πέμπειν. ἡ δὲ ἔπεμψε, καὶ ὁ ἀβραδάτας ὡς ἔγνω τὰ παρὰ τῆς γυναικὸς σύμβολα, ἄσμενος πρὸς τὸν κῦρον ἐχώρησεν. ὡς δὲ ἦν πρὸς τοῖς σκοποῖς, πέμπει πρὸς τὸν κῦρον ἀπαγγελῶν ὃς ἦν. ὁ δὲ κῦρος ἄγειν αὐτὸν πρὸς τὴν γυναῖκα ἐκέλευσεν. ὡς δὲ εἶδον ἀλλήλους ἥ τε γυνὴ καὶ ὁ ἀβραδάτας, ἠσπάζοντο ἀλλήλους ὡς εἰκὸς ἐκ δυσελπίστων. ἔπειτ' ἔφη ἡ πάνθεια τοῦ κύρου τὴν ὁσιότητα, καὶ τὴν σωφροσύνην, καὶ τὴν πρὸς αὐτὴν κατοίκτισιν. ἐκ τούτου ἔρχεται πρὸς τὸν κῦρον ὁ ἀβραδάτας, καὶ λαβόμενος τῆς αὐτοῦ δεξιᾶς εἶπεν, ἀνθ' ὧν εὖ πεποίηκας ἡμᾶς ὦ κῦρε, φίλον σοι ἐμαυτὸν δίδωμι, καὶ θεράποντα καὶ σύμμαχον. καὶ ὁ κῦρος εἶπε· κἀγὼ δέ σε δέχομαι. ἦλθον δὲ παρὰ κῦρον παρὰ τοῦ ἰνδοῦ χρήματα. καὶ οἱ ἄγοντες αὐτὰ ἀπήγγελλον αὐτῷ, ὅτι ὁ ἰνδὸς λέγει, ἥδομαι ὦ κῦρε, ὅτι μοι ὧν δέει ἐδήλωσας, καὶ βούλομαί σοι ξένος εἶναι. καὶ πέμπω σοι χρήματα, κἂν ἄλλων δέῃ, μεταπέμπου. ἐντέταλται δὲ τοῖς παρ' ἐμοῦ ποιεῖν ὅ,τι ἂν σὺ κελεύῃς. ὁ δὲ κῦρος εἶπε· κελεύω τοίνυν ὑμᾶς τοὺς μὲν ἄλλους μένοντας ἔνθα κατεσκηνώκατε φυλάττειν τὰ χρήματα. τρεῖς δέ μοι ἐλθόντες ὑμῶν εἰς τοὺς πολεμίους, ὡς παρὰ τοῦ ἰνδοῦ περὶ συμμαχίας, καὶ τἀκεῖ μαθόντες, ὅ,τι ἂν λέγωσί τε καὶ ποιῶσιν, ὡς τάχιστα ἀπαγγείλατε ἐμοί τε καὶ τῷ ἰνδῷ. οἱ μὲν δὴ ἰνδοὶ συσκευασάμενοι, τῇ ὑστεραίᾳ ἐπορεύοντο. ὁ δὲ κῦρος τὰ πρὸς τὸν πόλεμον παρεσκευάζετο μεγαλοπρεπῶς. καὶ οἱ πέρσαι ἱππεῖς ἐκπλήρωτο ἦσαν εἰς τοὺς μυρίους, καὶ ἅρματα δρεπανηφόρα εἰς ἑκατὸν, καὶ ὁ ἀβραδάτας ἕτερα κατεσκευάσατο ἑκατὸν, καὶ τὰ μηδικὰ ἅρματα ἕτερα συνέστησεν ἑκατὸν, μετασκευασθέντα εἰς τὸν αὐτὸν τρόπον ἐκ τῶν τρωϊκῶν καὶ τῶν λιβυκῶν διφρείων. καὶ ἐπὶ τὰς καμήλους δὲ τεταγμένοι ἦσαν δύο ἐφ' ἑκάστης τοξόται. τούτου δὲ διατριβομένου παρὰ κύρῳ

ὅτι κατὰ συμβουλὴν κύρου [illegible] ὁ ἀράσπας [illegible]

ἀποστολὴ χρημάτων τῷ κύρῳ παρὰ τοῦ ἰνδοῦ καὶ φιλίας αἴτησ.

ὅτι ἄχρι μυρίων ἱππέων [illegible] ἅρματα δρεπανηφόρα ἑκατὸν [illegible]

fidei coniugalis erga maritū etiam absentē, non oblitam. Neq; tamē id Cyro mulier antè dixit, quàm amator comminatus esset, si ultrò nolles obsequi, uel inuitam facturam. Tum demū uim uerita, per eunuchum Cyro nunciat omnia: qui re audita, risit, & Artabazo cum eunucho misso, mandat, ne tali matronæ uim inferret: sed si persuadere posset, se non obstare. Ob hæc Araspem partim pudore, partim metu perturbatū, & mœrore oppressum, Cyrus aggressus: Araspa, inquit, desine timere & uerecūdari. Ego enim & deos amori cedere audio, & quò is uel cordatissimos homines impellere soleat, noui: atq; istius culpæ ipse tibi sum autor, qui te cum re tam inuicta cōcluserim. Ad hęc Araspes: Tu quidē, inquit, Cyre, in his facilis es, & ad errata humana coniuere soles: uerum alij homines dolore me opprimunt. Nam & inimici insultant, & amici autores mihi sunt excedēdi è medio, ne tu quid grauius in me consulas. Cui Cyrus: Scito, inquit, te ista opinione & mihi gratificari, & exercitui prodesse posse. Vtinā uerò, inquit Araspes, in tēpore tibi utilis esse possim. Si igitur, inquit Cyrus, te iram meam fugere simulans, ad hostes abieris, fides tibi ab illis habebitur. Imò, inquit Araspes, etiam ab amicis; atque omnia, inquit Cyrus, hostium consilia nobis renunciabis. Sic Araspes cum fidissimis suorū ministrorum abit. Panthia uerò discessu illius cognito, Cyrum nuncio misso hortatur, ne defectione illius doleat. Nā si se ad maritū mittere nuncium pateretur, uenturū ei amicum Araspe fideliorē. Quod cū Cyrus permisisset, atq; Abradates notas uxoris agnouisset: cupidè profectus, cū prope speculas uenisset, Cyro nunciandum curat, quis sit: Cyrus eū ad uxorē deduci iubet. Cum sese uidissent coniuges, & post desperatam coniunctionem cōsalutassent: Panthia marito Cyri sanctitatem, modestiā, & clementiā erga se prędicat. Deinde Cyrū cōuenit Abradates, eiusq; dextera prehensa ait, Pro beneficijs in me collatis, meipsum tibi amicū ministrum et socium trado. Cui Cyrus: Et ego, inquit, te recipio. Eodē tempore legati ab Indo uenere, qui se gaudere aiebat, quòd quibus reb. egeret, significasset, & pecuniam mittere: si maiore opus esset, ut peteret, & hospitiū suū illi offerebat. Mandarat pręterea suis, ut quicquid à Cyro iuberentur, facerent. Ad hęc Cyrus cęteros in suis tabernaculis pecuniam custodire iubet, tres autem ex eorum numero ꝓficisci ad hostes, quasi ab Indo ad expetendam illorū societatē missos, rebus illorum cognitis, quāprimum & sibi & Indo renunciare quid molirentur. Igitur Indis, compositis rebus suis, postridie profectis: Cyrus omnia quæ ad rem bellicā pertinerent, magnificè apparat. Erat numerus Persicorum equitum ad decies mille iam expletus, & falcati currus circiter c confecti, Mediciq; totidem ad eandem redacti formam, cum prius ad Troianam & Libycam aurigationem accommodati essent, camelis etiam bini sagittarij attributi. Cyro his rebus occupato,

Abradates à Pāthia accersitus se ad Cyrum confert.

Indorum legati pecuniam Cyro afferunt, et operam nauant.

Cyrus se parat ad pugnā denuò cū Assyrijs committendam.

Indi ab hostibus reuersi nunciant, Crœsum imperatorem exercitus esse delectum, multosq́ reges & populos, atq; etiā Grecos paratos esse ad opē illi ferendā. His in exercitu uulgatis, milites soliciti esse cœperūt: sed Cyrus ut metū p castra uagari sensit, habita cōcione suos animosiores reddidit, consultū sibi uideri dicēs, ut hostes q̄primū inuaderet. Assensis omnib. Cyaxares cū tertia Medorū parte remāsit, ne suū regnū omni prȩsidio destitutū esset. Cyrus aūt summa celeritate proficiscit̃. cumq́ speculatores præmissi fumū aut puluerē excitatū, et homines sibi uidere uiderētur, qui pabulū & ligna colligerent: hostilē exercitū in ppinquo esse cōiecerunt, idq́ Cyro nunciarunt. Is eos in speculis manere, & p̄missa equitū ala ab ijs decursione in planiciē facta, capi aliq̄s iussit. e quib. ubi cognouit, exercitū in q̄ et ipsi fuerint, ad duas parasangas abesse, & de se multa uerba fieri ab hostib. aduentu suo minime lȩtis, atq; aciē instrui à Crœso et Grȩco ac Medo q̄dā, q̄ pfugisse à suis diceret̃: Cyrus, Utinā, inq̄t, illū ita capiam, ut uolo. & captiuos abire iubet, neq; multo pòst de reditu exploratoris Araspis fit certior, eūq́ lȩticia exultās obuiā egressus amplectit̃. Quod cū omnes mirarentur: Amici, inquit, adest uir optimus, qui nulla turpi de causa, nec mei metu abierat, sed à me ablegatus, ut hostiū res cognitas, nobis certò renūciaret. Ab omnib. igit̃ ei honos est habēdus, q̄ nostri boni causa et ignominiā & pericula subijt. Ita salutatus ab omnib. Araspes, quȩ uidisset exponit, copias hostiū, stationes, cōsilia. Quib. auditis, Cyrus quenq; arma sua & equos curare iubet, & manè ad pugnā paratos esse. Parēt illi. cumq́ postridie omnes armarētur, Abradaten, cui forte obuenerat, ut cōtra Aegyptios locaret̃, Panthia galea aurea exornat, & armillis, purpureaq́ ueste ad talos usq; demissa, et conobyacinthini coloris, quæ ipsa ei fecerat, suis ornamētis cōflatis, q̄ maritū sibi maximū esse ornamentū diceret. Dūq́ ei arma inducret, etsi ploratū dissimulare studebat, tamē lacbrymȩ p genas manabant. iamq́ conscensuro currū, cȩteris discedere iussis: Abradate, ait, te, uitæ etiā meȩ anteponi à me, nosse arbitror: tamē mutuū amorē nostrum testos, malle me, si te uirū fortē præbueris, eadē terra tecū tegi, quàm ignominiosam cum ignominioso uiuere. Nam Cyro quidem magnā debemus gratiā, q̄ me captiuā, & sibi attributam, non pro ancilla, aut ingenua parū honorata tractauit, sed tibi conseruauit, haud secus ac si fratris uxorem cæpisset. Præterea cum Araspes custos meus ab eo defecisset, pollicita ei fui, si te arcessi pateretur, te illo multo & meliorē & fideliorem ei futurū. His uerbis delectatus Abra-

Cyaxares ad custodiā sui regni manet.

Araspes à Cyro & exercitu honorificè excipitur.

Panthiæ ad Abradatem oratio.

τοῦ πολέμου, ἧκον οἱ Ἰνδοὶ ἐκ τῶν πολεμίων, καὶ ἔλεγον, ὅτι Κροῖσος ἡγεμὼν ἐπὶ στρατηγὸς ᾕρηται· καὶ πολλοὶ μὲν βασιλεῖς, πολλὰ δ' ἔθνη καὶ Ἕλληνες συμμαχήσειν ἡτοίμασαι. ὡς οὖν ταῦτα ἤκουσεν ὁ τοῦ Κύρου στρατὸς, ἐν φροντίσιν ἐγένετο. ὡς δ' ᾔσθετο ὁ Κῦρος φόβον διαδύοντα ἐν τῷ στρατῷ, διαλέχθη αὖθις, καὶ μετέβαλε πρὸς τὸ εὐθυμότερον. ἔπειτα εἶπε· δοκεῖ μοι, ὦ ἄνδρες, ἐπ' αὐτοὺς ἰέναι ὡς τάχιστα. καὶ ἅπαντες συνεγνωσθέντων, Κυαξάρης μὲν οὖν τῶν Μήδων ἔχων τὸ τρίτον μέρος, κατέμεινεν, ὡς μηδὲ τὰ οἴκοι ἔρημα ᾖ. ὁ δὲ Κῦρος ἐπορεύετο ὡς ἠδύνατο τάχιστα. ὡς δ' οἱ προϊόντες σκοπεῖν ἐδόκουν μανθάνειν μετεωριζόμενον καπνὸν, ἢ κονιορτὸν, καὶ ἀνθρώπους ὁρᾶν χιλὸν καὶ ξύλα λαμβάνοντας, εἴκαζον εἶναί που πλησίον τῶν πολεμίων τὸ στράτευμα, καὶ τῷ Κύρῳ κατήγγελλον. ὁ δὲ ἐκείνους μὲν ἐκέλευσεν ἐπὶ ταῖς σκοπιαῖς μένοντας, ὅ,τι ἂν ὁρῶσιν, ἀπαγγέλλειν. τάγμα δ' ἱππέων ἐκπέμψας εἰς τὸ πρόσθεν, ἵνα τινὰς συλλάβοιεν. οἱ καταδραμόντες εἰς τὸ πεδίον, συνέλαβον ἀνθρώπους, καὶ ἤγαγον. καὶ ἔλεγον οἱ συλληφθέντες, ὡς ἐκ τοῦ στρατοπέδου εἶεν. καὶ ὁ Κῦρος, πόσον, ἔφη, ἀπέχει ἐντεῦθεν τὸ στράτευμα; οἱ δ' ἔλεγον, ὡς δύο παρασάγγας. καὶ προσεπήρετο, ἡμῶν δὲ λόγος τίς ἐστι παρ' αὐτοῖς; ναὶ, νὴ Δί', ἔφασαν, καὶ πολύς γε, ὡς ἤδη ἐγγὺς εἴητε προσιόντες. τί οὖν, ἔφη ὁ Κῦρος, καὶ ἔχαιρον ἀκούοντες ὑμᾶς προσιόντας; οὐ μὰ Δί' οὔπουν ἐκεῖνοι, ἀλλὰ καὶ μάλα ἠνιῶντο. τίς δὲ ὁ τούτους τάττων ἐστὶν, ὁ Κῦρος ἤρετο. οἱ δὲ, αὐτός τε Κροῖσος, ἀπεκρίναντο, καί τις Ἕλλην ἀνὴρ, καὶ Μῆδός τις, ὃς λέγεται φυγὰς εἶναι παρ' ὑμῶν. καὶ ὁ Κῦρος πρὸς θεῶν· ἀλλ' ὦ Ζεῦ λαβεῖν μοι γένοιτο αὐτὸν, ὡς ἐγὼ βούλομαι. τοὺς μὲν οὖν αἰχμαλώτους φυλάττειν ἐκέλευσεν. οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ ὁ πεμφθεὶς πάλαι κατάσκοπος, ὁ Ἀράσπας δηλαδὴ, ἠγγέλλετο προσελαύνων. ὁ μὲν οὖν Κῦρος ὡς ἤκουσεν, ἀναπηδήσας ὑπήντα αὐτῷ, καὶ ἐδεξιοῦτο. οἱ δ' ἄλλοι τῷ πράγματι ἐξεπλήττοντο, ἕως ὁ Κῦρος ἔφη· ἄνδρες φίλοι, ἥκει ἡμῖν ἀνὴρ ἄριστος, ὃς οὐκ αἰσχροῦ τινος ἀπελθὼν ᾤχετο, ὡς ἐμὲ δεδιὼς, ἀλλ' ὑπ' ἐμοῦ πεμφθεὶς, ὅπως μαθὼν τὰ τῶν πολεμίων, σαφῶς ἡμῖν διαγγέλλῃ. δεῖ οὖν πάντας αὐτὸν τιμᾶν. οὗτος γὰρ τῷ ἡμετέρῳ ἀγαθῷ καὶ ἀτιμίαν ὑπεῖχε, καὶ ἐκινδύνευσεν. ἐντεῦθεν πάντες ἠσπάζοντο τὸν Ἀράσπαν. εἶτα ὁ Κῦρος, διηγοῦ, ἔφη, Ἀράσπα ὅποσα εὕρηκας. κἀκεῖνος διηγεῖτο τό,τε πλῆθος τῶν πολεμίων, καὶ τὸν τρόπον τῆς παρατάξεως, καὶ τὰ τῶν ἐναντίων βουλεύματα. εἶτα ὁ Κῦρος ἀπιέναι ἕκαστον ἐκέλευσε, καὶ τά,τε ὅπλα καὶ τοὺς ἵππους ἑαυτοῦ ἐπισκέψασθαι, ἕωθεν δὲ πρὸς πόλεμον ἑτοιμάζεσθαι. τότε μὲν οὖν ἀπῆλθον. τῇ δ' ὑστεραίᾳ ἐξωπλίζοντο ἕκαστοι, καὶ ὁ Ἀβραδάτης κλήρῳ λαχὼν ἀντίος τετάχθαι τοῖς Αἰγυπτίοις. ὁπλιζομένῳ δὲ προσῆγεν ἡ Πάνθεια χρυσοῦν κράνος καὶ περιβραχιόνια, καὶ ψέλλια περὶ τοὺς καρποὺς τῶν χειρῶν, καὶ χιτῶνα ποδήρη πορφυροῦν, καὶ λόφον ὑακινθινοβαφῆ, ἃ αὐτὴ πεποίηκε τῷ ἀνδρί. ὁ δὲ ἰδὼν ἔφη· σὺ δ' εἰπὲ ὦ γύναι συγκόψασα τὸν σαυτῆς κόσμον, τὰ ὅπλα μοι ἐποιήσω. μὰ Δί' ἔφη ἡ Πάνθεια. σὺ γὰρ ἐμοί γε κόσμος μέγιστος εἶ. καὶ ταῦτα λέγουσα, ἐνέδυε τὸν ἄνδρα τὰ ὅπλα, καὶ λανθάνειν κλαίουσα ἐπειρᾶτο, ἐλείβετο δὲ τὰ δάκρυα κατὰ τῶν αὐτῆς παρειῶν. ὡς δ' ἤδη ἐπὶ τὸ ἅρμα ἀναβῆναι ἡτοίμαστο ὁ Ἀβραδάτης, ἀναχωρῆσαι κελεύσασα τοὺς παρόντας ἡ Πάνθεια εἶπεν· ὅτι μὲν ὦ Ἀβραδάτα, καὶ εἴ τις ἄλλη ἑαυτῆς πρὸ τιμᾷ σε ψυχῆς, οἶμαί σε γινώσκειν. ὅμως οὕτως ἔχουσα πρὸς σὲ, ἐπόμνυμι τὴν ἐμὴν καὶ σὴν φιλίαν, ἦ μὴν βούλεσθαι μετὰ σοῦ ἀνδρὸς ἀγαθοῦ γενομένου κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον, ἢ ζῆν μετὰ αἰσχυνομένου αἰσχυνομένη. καὶ Κύρῳ δὲ δοκῶ μεγάλην ἡμᾶς χάριν ὀφείλειν, ὅτι μοι γενομένῃ αἰχμαλώτῳ, καὶ ἐξαιρεθείσῃ αὐτῷ, οὔτε ὡς δούλῃ ἐχρήσατο, οὔτε ὡς ἐλευθέρᾳ ἐν ἀτίμῳ ὀνόματι. διεφύλαξε δέ σοι, ὥσπερ ἀδελφοῦ γυναῖκα λαβών. πρὸς δὲ, καὶ ὅτι Ἀράσπας ἀπέστη ἀπ' αὐτοῦ ὁ ἐμὲ φυλάσσων, ὑπεσχόμην αὐτῷ, εἴ με ἐάσει πρὸς σὲ πέμψαι, ἥξειν σοι ἄνδρα, καὶ πολὺ Ἀράσπου πιστότερόν σοι καὶ ἀμείνονα ἔσεσθαι. ἡ μὲν οὖν ταῦτα εἶπεν. ὁ δ' Ἀβραδάτης

πάλιν αὐτοὺς [illegible] μέρος.

ὅτι χιλὸς [illegible] τροφή.

ἐπέστρεψε Ἀράσπας καὶ ἐτιμήθη αὐτὸς ὑπὸ Κύρου.

ὅτι ἡ Πάνθεια τὸν ἑαυτῆς κόσμον συγκόψασα ὅπλα ἐποίησε τῷ ἀνδρί.

ὅτι κόσμον ἡγεῖτο τὸν ἄνδρα, καὶ εἶπεν αὐτῷ ἀριστεῦσαι [illegible], καὶ ἵνα εὐχαριστῇ τῷ Κύρῳ ὡς συντηρήσαντι ταύτην ἀνύβριστον.

οἷα εἶπε πρὸς Πάνθειαν ὁ ἀνήρ.

δεάσας ἀγαθοῖς τοῖς λόγοις, ἐπεύξατο, δός μοι ὦ Ζεῦ φανῆναι ἀξίῳ μὲν Πανθείας ἀνδρί, ἀξίῳ δὲ Κύρου φίλῳ. ταῦτ' εἰπὼν, ἐπὶ τὸ ἅρμα ἀνέβαινεν. ὁ δὲ Κῦρος συγκαλέσας τοὺς ἡγεμόνας, [illegible] παρακελευσάμενος αὐτοὺς εἰς τὸν πόλεμον, καὶ οὕτως ὡρμᾶτο ἀπιέναι. ἐπεὶ δὲ προσήγγιζον τοῖς ἀντιπολεμίοις, ὡς ἀλλήλους ὁρᾶν, συνέταξε τοὺς οἰκείους ὁ Κῦρος ὡς κάλλιστα· καὶ περιιὼν τὰς τάξεις, λόγοις τοὺς ἄνδρας πρὸς τὴν μάχην παρεθάρρυνεν. ὁ δὲ Κροῖσος τὴν αὐτοῦ στρατιὰν ἀντίαν στήσας πρὸς τὸ τοῦ Κύρου στράτευμα, ἐκέλευεν αὐτοῖς πρὸς τοὺς πολεμίους πορεύεσθαι. καὶ προσῄεσαν τρεῖς φάλαγγες, ἡ μὲν μία κατὰ πρόσωπον, τῶν δὲ δύο ἡ μὲν κατὰ τὸ δεξιόν, ἡ δὲ κατὰ τὸ εὐώνυμον, ὥστε φόβον παρεῖναι πάσῃ τῇ Κύρου στρατιᾷ. πάντοθεν γὰρ περιείχετο ὑπὸ τῶν πολεμίων, πλὴν ἐξόπισθεν. ὅμως δὲ καὶ οἱ τοῦ Κύρου, ἐπεὶ παρήγγειλε, πάντες ἐστράφησαν ἀντιπρόσωποι τοῖς πολεμίοις, καὶ ἦν μὲν πολλὴ πανταχόθεν σιγή. ἐπεὶ δὲ ἔδοξε τῷ Κύρῳ καιρὸς εἶναι, ἐξῆρχε παιᾶνα, συνεπήχησε δὲ πᾶς ὁ στρατός, καὶ ἐξανίσταται ὁ Κῦρος, καὶ μετὰ τῶν ἱππέων τοῖς ἐναντίοις συμμιγνύουσιν. οἱ δὲ πεζοὶ αὐτῷ συντεταγμένοι ἐφείποντο. καὶ Ἀρταγέρσης δὲ ὁ τῶν ἐπὶ ταῖς καμήλοις ἄρχων, ἐπιτίθεται κατὰ τὰ εὐώνυμα, προεὶς τὰς καμήλους, ὡς Κῦρος ἐκέλευσεν. οἱ δὲ ἵπποι πόρρωθεν αὐτὰς οὐκ ἀνείχοντο, ἀλλ' οἱ μὲν ἔφευγον, οἱ δὲ ἐξήλλοντο, οἱ δ' ἀλλήλοις ἐνέπιπτον. καὶ τὰ ἅρματα δὲ κατὰ τὸ δεξιόν, καὶ τὸ εὐώνυμον ἅμα ἐνέβαλε, καὶ πολλοὶ τούτοις φεύγοντες, ἡλίσκοντο ὑπ' αὐτῶν. καὶ Ἀβραδάτας βοήσας ἄνδρες φίλοι ἕπεσθε, οὐδὲν φειδόμενος τῶν ἵππων. συνεξορμῶσι δὲ καὶ οἱ ἄλλοι ἁρματηλάται. καὶ ὁ μὲν Ἀβραδάτας εἰς τὴν τῶν Αἰγυπτίων φάλαγγα ἐμβάλλει, συνεισέβαλον δὲ αὐτῷ καὶ οἱ ἐγγὺς τεταγμένοι. οἱ δ' ἄλλοι ἐξέκλιναν κατὰ τὰ φεύγοντα ἅρματα. οἱ δὲ ἀμφὶ Ἀβραδάταν τοὺς μὲν τῇ ῥύμῃ τῶν ἵππων παιόντων ἀνέτρεπον, τοὺς δὲ πίπτοντας κατήλοων. ὅσων δὲ τὰ δρέπανα ἐπελάβοντο, πάντα βίᾳ διεκόπτετο καὶ ὅπλα καὶ σώματα. ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ ὑπὸ τῶν παντοδαπῶν σωρευμάτων ἐξαλλομένων τῶν τροχῶν, ἐκπίπτει ὁ Ἀβραδάτας, καὶ ἄλλοι δὲ τῶν συνεισβαλόντων. καὶ οὗτοι μὲν κατεκόπησαν. οἱ δὲ Πέρσαι συνεπισπόμενοι, τοὺς μὲν ταραχθέντας τῶν Αἰγυπτίων ἐφόνευον. οἱ δὲ συνεστῶτες, ἐναντίον τοῖς Πέρσαις ἐχώρουν, ἔνθα δὴ δεινὴ μάχη ἦν. ἐπλεονέκτουν δὲ οἱ Αἰγύπτιοι, καὶ πλήθει καὶ τοῖς ὅπλοις. οἱ δὲ Πέρσαι οὐκ ἐδύναντο ἀντέχειν, ἀλλ' ἐπὶ πόδα ἀνεχάζοντο, παίοντες καὶ παιόμενοι, ἕως ὑπὸ ταῖς μηχαναῖς ἐγένοντο. ἐπεὶ δ' ἐν τούτῳ ἦλθον, ἐπαίοντο αὖθις οἱ Αἰγύπτιοι ἐκ τῶν πύργων. ἦν δὲ πολὺς μὲν ἀνθρώπων φόνος, πολὺς δὲ κτύπος ὅπλων, πολλὴ δὲ βοή. ἐν δὲ τούτῳ Κῦρος διώκων τοὺς κατ' αὐτὸν, παραγίνεται, καὶ ἰδὼν τοὺς Πέρσας ἐκ τῆς χώρας ἐωσμένους, ἤλγησε, καὶ παραγγείλας τοῖς μετ' αὐτοῦ ἕπεσθαι, περιελαύνων εἰς τὰ ὄπισθεν, καὶ εἰσπεσόντες, πολλοὺς κατέκανον. ὡς δ' ᾔσθοντο οἱ Αἰγύπτιοι, ἐστρέφοντο, καὶ φύρδην ἐμάχοντο καὶ πεζοὶ καὶ ἱππεῖς. πεπτωκὼς δέ τις ὑπὸ τοῦ Κύρου, καὶ πατούμενος, παίει μαχαίρᾳ κατὰ τὴν γαστέρα τὸν ἵππον αὐτοῦ. ὁ δὲ ἵππος ἐκ τῆς πληγῆς σφαδάζων, ἀποσείεται τὸν Κῦρον· καὶ εὐθὺς ἀνεβόησαν ἅπαντες, καὶ προσπεσόντες ἐμάχοντο. καί τις τῶν τοῦ Κύρου ὑπηρετῶν καταπηδήσας, ἀναβάλλει αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ ἵππον. ὡς δ' ἀνέβη, κατεῖδε πάντοθεν ἤδη παιομένους τοὺς Αἰγυπτίους. ὡς δ' ἐγγὺς ἦν παρελαύνων παρὰ τὰς μηχανάς, ἐπί τινα τῶν πύργων ἀνέβη, καὶ κατεῖδε μεστὸν τὸ πεδίον ἵππων, ἀνθρώπων, ἁρμάτων, φευγόντων, διωκόντων, κρατούντων,

[illegible] συνέταξε [illegible] ὁ κῦρος.

ὅτι ὁ παιὰν [illegible].

ὅτι αἱ κάμηλοι [illegible].

συμβολὴ περσῶν καὶ αἰγυπτίων, ἐν ᾗ καὶ ὁ ἀβραδάτας [illegible] τοῦ ἅρματος [illegible].

ὅτι [illegible] τὸν ἵππον τοῦ κύρου [illegible].

dates, Iouem precatus, ut sibi daret, ut & Panthiæ coniugio, & Cyri amicitia dignus uideretur, currum conscendit. Cyrus autem duces ad rem fortiter gerendam cohortatus, proficiscitur. Cum in hostium cõspectum uentum esset, suis quàm pulcherrimè instructis, singulos ordines obiens, milites ad pugnã acuit. Crœsus contrà suas copias Cyri exercitui opponit, & signa canere iubet. Procedunt igitur tres phalanges, una à fronte, altera dextrà, tertia læuà, ut omnis Cyri exercitus terreretur, undiq; prę ter quam à tergo circumuentus: nihilo tamen secius signo dato, omnes se ad hostes conuertunt. Ac magnum erat silentium, donec Cyro, cum tempus uideretur, pæanem auspicato, omnis exercitus succinuit. Eundem cum equitibus hostes aggressum, pedites instructi sequuntur. Artageries porrò camelis pręfectus, læuam hostium aciem emissis belluis aggreditur. equi uerò eas ne eminus quidem ferentes, alij fugere, alij exilire, alij inter sese permisceri. Eodem tempore & currus dextrà læuáque irruebant, à quibus in fuga multi capiebantur. Abradates milites cohortatus, nihil equis parcens instat, prouectis unà cum eo cæteris quoque curribus, & cum sibi proximis in Aegyptiorum phalangem irrumpit. ac cæteri quidem ad currus fugientes persequendos declinarunt. Qui uerò cum Abradate erant, obuios impetu equorum prosternunt, prostratos cædunt. Nam quocunque falcati currus agebantur, omnia & arma & corpora dissecabant. In eo inexplicabili tumultu, rotis in tam uaria strage exilientibus, Abradates cæteri'que curribus excussi, cæduntur. At Persæ insecuti, Aegyptiorum turbatos cędunt, ijs qui ordines seruabant resistentibus. Ibi uerò atrox prælium exoritur. Nam Aegyptij & multitudine & armis superiores erant, neque Persæ stare poterant: sed paulatim recedentes, & cædebant, & cędebantur, donec ad machinas esset uentum. Ibi rursus Aegyptij è turribus cædebantur, & multa hominum cædes edebatur, magnus armorum strepitus, magnus clamor. Interea Cyrus aciem aduersam persequens, cum Persas loco motos uideret, indoluit: & ijs quos secum habebat sequi iussis, hostes à tergo aggressus, multos cædit. quo animaduerso, Aegyptij conuertuntur. Ita confusa pugna oritur equitum & peditum: ac Cyrum, equus à quodam iacente, in uentre uulneratus, exiliens, excutit. Quo facto, statim exclamant omnes, & cum impetu cient pugnam. Sed quidam è Cyri ministris, dominum in suum equum attollit: quo is conscenso, uidet Aegyptios passim cædi. & ad machinas prouectus, turri conscensa, prospicit campum plenum equorum, hominum, curruum, fugientium, persequentium, uincentiũ, uictorum:

Crœsi & Cyri pugna.

Abradatis interitus.

uictorum, neque quicquam amplius cernere poterat, quod maneret, præter aciem Aegyptiorum, qui undique circundati, sub clypeis sedebant: cum'que iam nihil agerent, multa acerba perpetiebantur. Miratus igitur, & misertus eorum, quod uiri fortes interirẽt, suos à pugna cohibet, ac præconibus dimissis rogat, num perire malint, an conseruari. Iis quærentibus, qua mercede salutem redimere possent: Respondet Cyrus, si arma sibi traderent, qui cum eos perdere posset, conseruatos mallet. quo Aegyptij audito, fidem dederunt & acceperunt. His rebus gestis, Cyrus iam tenebris obortis, reducto exercitu, in castra se recipit, milites cœnati somnum capiunt. Verùm Crœsus cum exercitu statim Sardes fugit: cæteræ gẽtes noctu, quo quæque poterat, abierunt. Mane Cyrus persus Sardes ducit. cum urbem attigisset, machinas erigit, scalas profert. insecuta nocte Chaldæos & Persas adducit ad præruptissimam petram propugnaculi Sardianorum, uia monstrata per quendam Persam, qui cuiusdam ex arcis Sardianæ custodibus seruus fuerat. Arce occupata, Lydi mœnia deserunt. Cyrus orta luce urbẽ ingreditur, atque edicit, ne quis aciem deserat. Crœsus autem in regia cõclusus, Cyrum inclamat, qui nonnullis ad illius custodiam relictis, & suis in castra deductis, ad illũ redit. quo uiso Crœsus: Salue, inquit, Domine & tu Crœse, inquit Cyrus. Verùm, nunquid consilij mihi dare uelis? Velim, inquit ille, modò possim. Tũ Cyrus: Milites meos, inquit, Crœse fatigatos, & plurimis periculis defunctos, capta urbe post Babylonem Asianarum opulentissima, spẽ habere uideo emolumentorũ. Ego uerò etsi eos remunerari cupio, tamen urbem diripiendam nõ dabo. Ad hæc Crœsus: Si me apud Lydos quosdam dicere siueris, me impetrasse à te urbis incolumitatem, scito eos ultrò quicquid Sardibus est preciosum, ad te allaturos. in primis autem ex meis thesauris sumito, quantum uoles. Cyro assenso, ea re occupati diẽ transegerunt. Postridie alios ex amicis thesauros, alios pecunias quę à Crœso prębcrentur, accipere iubet. Inde percontatur: Nunquis Abradaten uidisset: cumq; ex ministris quidam dixisset, eum in pręlio cecidisse: femore percusso, cõscensoq; equo ad illum properat. Vbi Panthiam humi sedentem iuxta mariti cadauer uidet, lachrymans ait. O' fortem & fidelem animũ. Ad hæc mulier: Hoc, inquit, ei accidisse, pptr me scio. & forsitan etiam propter te Cyre. Nam & ego demens sedulò eum hortabar, ut amicitia tua se dignum pręberet: & ipse cogitabat, qua re gratum tibi faceret. Ac ille quidem honestè occubuit, ego uerò hortatrix illius uiua assideo. Cyrus cum aliquandiu tacitè lacrymasset, multaq; deinde ad leuandum luctum attulisset, discedit. Mulier eunuchis secedere iussis, nutrici mandat, ut se mortuam eadem cum marito ueste tegat: eaq; plorante, seipsam iugulat, et capite suo pectori

Aegyptij Cyro se dedunt.

Crœsus Sardibus capitur.

Panthia cũ eunuchis tribus se ob mariti interitum iugulat.

κρατουμένων, μόνον δὲ ἑώρα μένον, ὃ δὴ ἔτι ἑώρα, τὸ τῶν αἰγυπτίων. οὗτοι δὲ πάντοθεν κυκλωθέντες, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο, ποιοῦντες μὲν οὐδὲν ἔτι, πάσχοντες δὲ πολλὰ καὶ δεινά. ἀγασθεὶς δὲ ὁ Κῦρος αὐτοὺς, καὶ οἰκτείρων, ὅτι ἄνδρες ἀγαθοὶ ὄντες ἀπώλλυντο, μάχεσθαι κωλύει ἐπιόντας αὐτοῖς. διακηρυκευσάμενος δὲ πρὸς αὐτοὺς, ἤρετο, πότερον βούλονται ἀπολέσθαι πάντες, ἢ σωθῆναι; οἱ δὲ, πῶς ἂν ποιοῦντες σωθείημεν, ἔφασαν; καὶ ὁ Κῦρος, εἰ τὰ ὅπλα ἡμῖν παραδοίητε τοὺς αἱρουμένους ὑμᾶς σῶσαι, ἐξὸν ἀπολέσαι. ἀκούσαντες δὲ ταῦτα οἱ αἰγύπτιοι, ἔδοσαν πίστεις, καὶ ἔλαβον. ταῦτα διαπραξάμενος ὁ Κῦρος, ἤδη σκότους ὄντος, ἀναγαγὼν, ἐστρατοπεδεύσατο, καὶ οἱ ἀμφὶ τὸν Κῦρον δειπνήσαντες ἐκοιμήθησαν. Κροῖσος μὲν οὖν εὐθὺς εἰς Σάρδεις σὺν τῷ στρατεύματι ἔφυγε, τὰ δ᾽ ἄλλα φῦλα ἐν τῇ νυκτὶ, ὅποι ἐδύναντο, ἀπεχώρουν. ἅμα δὲ ἡμέρᾳ ἐπὶ Σάρδεις καὶ ὁ Κῦρος ἦγε, καὶ πρὸς τῇ πόλει γενόμενος, τάς τε μηχανὰς ἀνίστη, καὶ ἐποίμαζε κλίμακας. τῆς δ᾽ ἐπιούσης νυκτὸς ἀναβιβάζει Χαλδαίους τε καὶ Πέρσας κατὰ τὰ ἀποτομώτατα δοκοῦντα εἶναι τοῦ Σαρδιανῶν ἐρύματος. ἡγήσατο δὲ τῆς ὁδοῦ τούτοις Πέρσης ἀνὴρ, δοῦλος τῶν ἐν τῇ ἀκροπόλει φρουρῶν τινός. ὡς δὲ τὰ ἄκρα εἴχετο, ἔφευγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν. Κῦρος δὲ ἅμα τῇ ἡμέρᾳ εἰσῄει εἰς τὴν πόλιν, παραγγείλας ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι. ὁ δὲ Κροῖσος κατακλεισάμενος ἐν τοῖς βασιλείοις, Κῦρον ἐβόα. ὁ δὲ Κῦρος τῷ μὲν Κροίσῳ κατέλιπε φύλακας· καταστρατοπεδεύσας δὲ τοὺς ἑαυτοῦ, ἀπῄει πρὸς Κροῖσον. καὶ ἰδὼν αὐτὸν ὁ Κροῖσος, χαῖρε ὦ δέσποτα, ἔφη. καὶ σύ γε, ὁ Κῦρος εἶπεν, ὦ Κροῖσε. ἆρ᾽ ἐθελήσεις ἄν συμβουλεῦσαί μοι ἄν τι; βουλοίμην ἄν, ἔφη. ὦ Κῦρε, ἔφη, τοίνυν ἐγὼ Κροῖσε τοὺς στρατιώτας ὁρῶν πεπονηκότας, καὶ πλεῖστα κεκινδυνευκότας, καὶ νῦν νομίζοντας πόλιν ἔχειν τὴν πλουσιωτάτην τῶν ἐν Ἀσίᾳ μετὰ Βαβυλῶνα, ἀξιῶ ὠφεληθῆναι τοὺς στρατιώτας, ἐφεῖναι δ᾽ αὐτοῖς διαρπάσαι τὴν πόλιν οὐ βούλομαι. ὁ δὲ Κροῖσος, ἀλλ᾽ ἐμὲ, ἔφη, ἔασον λέξαι, πρὸς οὓς ἂν ἐγὼ Λυδῶν ἐθέλω, ὅτι μὴ γενέσθαι ἁρπαγὴν παρὰ σοῦ διαπέπραγμαι, καὶ ἥξει σοι ἑκόντων Λυδῶν, πᾶν ὅτι ἐν Σάρδεσι τίμιον. πρῶτον δὲ τοὺς ἐμοὺς, εἶπε, θησαυροὺς πέμπε, καὶ λάμβανε ὅσα βούλῃ. ταῦτα μὲν οὖν οὕτω ποιήσειν ὁ Κῦρος κατέθετο, καὶ περὶ ταῦτα τούτοις τὴν ἡμέραν διήγαγον. τῇ δ᾽ ἑξῆς καλέσας ὁ Κῦρος τῶν φίλων τινὰς, τοὺς μὲν τοὺς θησαυροὺς παραλαμβάνειν ἐκέλευσε, τοὺς δὲ ὁπόσα παραδιδοίη ὁ Κροῖσος χρήματα. εἶτα εἴ τις ἑώρακε τὸν Ἀβραδάταν ἤρετο; εἰπόντος δέ τινος τῶν ὑπηρετῶν, ὅτι ἐν τῇ μάχῃ ἀπέθανεν, ἐπαίσατο τὸν μηρὸν, καὶ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, ἤλαυνεν ἐπ᾽ ἐκεῖνον. καὶ ὡς εἶδε τὴν Πάνθειαν χαμαὶ καθημένην, καὶ τὸν νεκρὸν κείμενον, ἐδάκρυσε καὶ εἶπε, φεῦ ὦ ἀγαθὴ καὶ πιστὴ ψυχή. ἡ δὲ γυνὴ, οἶδ᾽ ὅτι δι᾽ ἐμὲ, ἔφη, ταῦτα ἔπαθεν, ἴσως δ᾽ ὦ Κῦρε καὶ διὰ σέ. ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ διεκελευόμην αὐτῷ, ὅπως σοι φίλος ἄξιος λόγου φανείη, αὐτός τε τί ἂν ποιήσας χαρίσοιτό σοι ἐνενόει· καὶ οὕτως μὲν ἀμέμπτως τετελεύτηκεν, ἐγὼ δ᾽ ἡ παρακελευομένη, ζῶσα παρακάθημαι. καὶ ὁ Κῦρος χρόνον μέν τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα πολλὰ τοῦ πένθους ἀποπαρηγορήματα, ᾤχετ᾽ ἀπιών. ἡ δὲ γυνὴ τοὺς μὲν εὐνούχους ἐκέλευσεν ἀποστῆναι, τῇ δὲ τροφῷ εἶπε παραμένειν, καὶ ἀποθανοῦσαν περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἐνὶ ἱματίῳ. ἡ μὲν οὖν τροφὸς ἱκέτευε κλαίουσα· ἡ δὲ σφάττει ἑαυτὴν, καὶ ἐπιθεῖσα ἐπὶ τὰ

στέρνα

θεῖσα τοῦ ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν, ἀπέθνησκεν. ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε, καὶ περιεκάλυψεν ἄμφω. καὶ οἱ εὐνοῦχοι γνόντες τὸ γεγενημένον, ξίφη ἑλόντες, ἀπεσάμενοι σὺν ἐκείναις σφᾶς ἀπέσφαξαν. ὁ δὲ Κῦρος ὡς ἔμαθε τὸ ἔργον τῆς γυναικός, ἠγάσθη τε αὐτὴν καὶ κατωλοφύρατο, καὶ μνῆμα αὐτοῖς ἔχωσεν ὑπερμέγεθες, θάψας αὐτοὺς μεγαλοπρεπῶς. οἱ δὲ Κᾶρες στασιάσαντες καὶ πολεμοῦντες ἀλλήλοις, ἐξέδοσαν ἑαυτοὺς τῷ Κύρῳ ἑκάτεροι. καὶ οἱ ἐπὶ Φρυγίαν δὲ τὴν ἐπὶ Ἑλλήσποντον δῶρα πλεῖστα ἐπὶ Κύρῳ ἐπιχορηγοῦντες, ὥστε μὴ εἰς τὰ τείχη βαρβάρους εἰσδέξασθαι, δασμὸν δὲ ἀποφέρειν αὐτῷ, καὶ στρατεύειν ὅποι Κῦρος κελεύοι. ὁ δὲ τῶν Φρυγῶν βασιλεὺς παρεσκευάζετο, ὡς οὐ σπεισόμενος. ἐπεὶ δὲ ἀφίσταντο αὐτοῦ οἱ ὕπαρχοι, εἰς χεῖρας ἦλθεν Ὑστάσπα. καὶ ὁ Ὑστάσπας καταλιπὼν ἐν ταῖς ἄκραις φρουρὰς Περσῶν, ἀπῄει ἄγων σὺν ἑαυτῷ, καὶ Φρυγῶν πολλοὺς ἱππέας καὶ πελταστάς. ὁ δὲ Κῦρος ὡρμᾶτο ἐκ Σάρδεων, φρουρὰν μὲν λιπὼν ἐν Σάρδεσι. Κροῖσον δὲ ἔχων σὺν ἑαυτῷ, ἄγοντα πλείστας ἁμάξας μεστὰς πολλῶν καὶ παντοδαπῶν χρημάτων, καὶ γεγραμμένα ἔχοντα ἀκριβῶς, ὅσα ἦν ἐν ἑκάστῃ ἁμάξῃ, ἃ καὶ ἐδίδου τῷ Κύρῳ τὰ γράμματα. ὁ δὲ Κῦρος εἶπε· σὺ μὲν καλῶς ἐποίησας ὦ Κροῖσε· οἱ δὲ τὰ χρήματα ἄγοντες, πάντως μοι ἄξουσι, ταῦτα ἢν δέ τι καὶ κλέψωσι, τὰ ἑαυτῶν κλέψονται. ἦγε δὲ καὶ Λυδῶν ὁ Κροῖσος πολλούς, καὶ λαμπρῶς ὡπλισμένους. ἰὼν δὲ ὁ Κῦρος τὴν ἐπὶ Βαβυλῶνα, κατεστρέψατο Φρύγας τοὺς ἐν τῇ μεγάλῃ Φρυγίᾳ. κατεστρέψατο δὲ Καππαδόκας, ὑποχειρίους δὲ ἐποιήσατο Ἀραβίους, ἐξ ὧν πλεῖστα δὲ ἐκ πάντων τῶν Περσῶν μὲν ἱππέας οὐ μείους τετρακισμυρίων, καὶ πᾶσι δὲ τοῖς συμμάχοις ἵππους πολλοὺς τῶν αἰχμαλώτων δέδωκεν. ἀφίκετο μέντοι πρὸς Βαβυλῶνα, πολλοὺς μὲν ἱππέας ἄγων, πολλοὺς δὲ τοξότας καὶ ἀκοντιστάς, σφενδονήτας δὲ ἀναριθμήτους. ἐπεὶ δὲ ἐν Βαβυλῶνι ἐγένετο, περιέστησε μὲν τὴν στρατιάν. αὐτὸς δ' ἐθεᾶτο σὺν τοῖς ἄρχουσι τῶν συμμάχων καὶ τοῖς φίλοις κατεθεᾶτο τὰ τείχη. εἶτα ἐπάγει τὴν στρατιάν, καὶ περὶ τὴν πόλιν ἐστρατοπεδεύσατο. ἰδὼν δὲ τὸν ἐκεῖ ποταμὸν ἔνδον τῆς Βαβυλῶνος εἰσρέοντα, καὶ μέσην διιόντα τὴν πόλιν, ἐνδῷ μὲν τὸ βούλευμα ἐξεκάλυψε· τάφρον δὲ ἐκέλευσεν ὀρύσσειν περὶ τὸ στρατόπεδον εὐρεῖαν καὶ βαθεῖαν τήν, ἵν' ἐλαχίστου τάχα τοῦ φυλάκων ἐν τῷ στρατοπέδῳ δέοιντο. οἱ μὲν οὖν τὴν τάφρον ποιοῦντες, ὤρυσσον, μέτριόν τι τοῦ ποταμοῦ ἀφιστάμενοι, τὸν δὲ χοῦν ἀνέβαλον πρὸς τὸ στρατόπεδον. οἱ δέ γε Βαβυλώνιοι κατεγέλων τῆς πολιορκίας, ὡς πλεῖον ἢ ἐτῶν εἴκοσι τὰ ἐπιτήδεια ἔχοντες. ἤδη δὲ τῆς τάφρου ὀρωρυγμένης, φυλάξας ὁ Κῦρος νύκτα ἐν ᾗ ἑορτὴν ἔγνω τοὺς Βαβυλωνίους ἄγειν, ὅλην τὴν νύκτα πίνοντας καὶ κωμάζοντας, ἐν ταύτῃ πλῆθος ἀνθρώπων ἀνεστόμωσε τὰς τάφρους πρὸς τὸν ποταμὸν (Εὐφράτης οὗτος ἦν, ὡς Ἡρόδοτος ἱστορεῖ) καὶ τὸ ὕδωρ εἰς τὰς τάφρους ἐχώρει ἐν τῇ νυκτί. ἡ δὲ διὰ τῆς πόλεως τοῦ ποταμοῦ ὁδὸς, πορεύσιμος ἀνθρώποις ἐγένετο, μετοχετευθέντος τοῦ ὕδατος. τότε δὴ καταβιβάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ ὑπηρέτας καὶ πεζοὺς καὶ ἱππέας, ἐκέλευσε σκέψασθαι εἰ πορεύσιμόν ἐστι. ἐν τούτῳ δὲ διαλεχθεὶς τοῖς ἡγεμόσι τοῦ πλήθους, καὶ διεγείρας πρὸς τοὔργον, ἴθ' ἔφη· ἀλλ' ἄγετε, λαμβάνετε ὅπλα, ἡγήσομαι δ' ἐγώ, ὑμεῖς δ' ὦ Γωβρύα καὶ Γαδάτα δεικνύετε τὰς ὁδούς, εἰδότες ταύτας. ὅταν δὲ ἐν τοῖς γενώμεθα, τὴν ταχίστην ἄγετε ἐπὶ τὰ βασίλεια. ἐπὶ τούτοις ἐπορεύοντο. καὶ ἰόντες, ὡς ἐγένοντο τάχιστα, ἐπὶ τοῖς βασιλείοις ἧκον οἱ σὺν τῷ Γωβρύᾳ καὶ Γαδάτᾳ, καὶ τὰς πύλας κεκλεισμένας εὑρίσκου

Κῦρος ὁ κῦρος ἀγασάμενος καὶ τὴν γυναῖκα θάπτει μεγαλοπρεπῶς.

σφᾶς αὐτοὺς καὶ οἱ ἐπὶ Φρυγίας παρ' ἐκδόντες λύονται.

περὶ τῶν ἁμαξῶν τῶν Κροίσου χρήματα ἐπιφερόντων, ὁ Κροῖσος, ὧν αὐτὸς λόγον ὁ Κῦρος.

περὶ δὲ μεγάλης Φρυγίας.

πολιορκία Βαβυλῶνος, καὶ μετοχέτευσις τοῦ ποταμοῦ Εὐφράτου, καὶ κατάληψις αὐτῆς.

ἔσω πρῶτον τὰ βασίλεια κατειλήφασιν.

pectori mariti impoſito, moritur. quo facto nutrix ſublata uoce lamentatur, ambos'que tegit. tres autem eunuchi dominæ cæde cognita, ſtrictis gladijs & ipſi ſeſe perimunt. Cyrus cognita cæde, mulierem admiratus deplorat, ac ingenti tumulo excitato, magnifice & ipſam & maritum ſepelit. Interea Cares, ſeditione inter ipſos orta, utrique Cyro ſeſe dedunt: Phryges item ad Helleſpontũ habitantes, plurima dona obtulerunt, ne Barbaros intra mœnia recipere cogerentur, ſed tributa duntaxat penderent. Phrygiæ uerò rex ſe parabat, ut pacem repudiaturus. Cum autem præfecti deficerent, Hyſtaſpæ ſe dedidit. qui præſidio caſtellis impoſito, multos etiã Phryges equites & parmatos cum ſuis adduxit. Cyrus quoque relicto Sardibus præſidio, Crœſo'que ſecum abducto, qui plurimos currus uehebat, plenos magnis & uarijs opibus, & accuratè deſcriptũ habebat quid in quolibet curru eſſet, diſceſsit. eaq; deſcriptione accepta: Tu quidẽ, inquit, rectè feciſti Crœſe, ſed qui pecunias acceperunt, ij omnino eas mihi uehent. Quod ſi quid furati fuerint, ſua furabuntur. Idem Crœſus plurimos etiam Lydos, ſplendidis armis exornatos, ſecum duxit. Cyrus autem dum Babylonem proficiſcitur, magna Phrygia, Cappadocia & Arabia ſubactis: è ſpolijs deuictorum equites Perſicos haud pauciores quadragies mille inſtruxit, & omnibus ſocijs multos captiuorum equos diſtribuit, & multis equitibus, multis ſagittarijs et ferentarijs, ac funditoribus innumerabilibus Babylonem adductis, urbem copijs cingit. & cum principibus atque amicis mœnia contemplatus, adducit exercitum, & circũ urbem caſtra locat. Cum autem uidiſſet flumen Babylonem perfluere mediam: conſilio ſuo cum nemine communicato, caſtra cingi iubet foſſa lata & profundiſsima, forſitã ut cuſtodibus quàm paucisſimis eſſet opus. Ei operi milites intenti, mediocri à flumine ſpacio fodiunt, egeſtamq; humum uerſus caſtra conijciunt. Babylonij uerò deridebant obſidionem, ut qui amplius uiginti annorum commeatum haberent. Foſſa iam abſoluta, Cyrus obſeruato tempore quo Babylonios per totam noctem potare & comeſſari cognouerat, foſſam uerſus fluuium (is Euphrates eſt, ut Herodotus tradit) aperuit, aquáque in eam nocte traducta, factum eſt, ut alueus fluminis in urbe ab hominibus tranſiri poſſet. Tunc igitur miniſtros & pedites & equites uadum periclitari iuſsit, atque interea duces multitudinis ad rem capeſſendam exhortatus, arma capere, ac ſe ducem ſequi: Gobryam & Gadatam, quibus urbs nota eſſet, ubi in eam perueniſſent, uiam monſtrare, qua rectà ad regiã iretur, iuſsit. Summa igitur feſtinatione Gobryas & Gadatas cũ ſuis ad regiam uſq; progreſsi, portas clauſas reperis

Cares & Phryges Cyro ſe dedũt.

Babylonis captiuitas.

periunt, & custodes potantes opprimunt. Sublato clamore & strepitu, qui in regia erãt, iussu regis uisuri quid rei esset, portas aperiũt: irrumpunt hostes, ad regem usq; penetrant, cum stricto iam acinace astantem Gobryas & Gadatas capiũt: satellites partim repugnantes, partim fugientes cædunt. Cyrus turmas equitum in uias dimittit, cum mandato, ut quos foris deprehenderint, occidant: cæteris per Syriæ linguæ peritos denuncient, ut intra ædes se contineãt. Qui egressus fuerit, occisum iri. Interea Gadatas & Gobryas adsunt, atq; nefarij regis ultionẽ primùm dijs immortalibus acceptam ferunt. Deinde Cyri pedes & manus deosculantur. Xenophon in Cyri historia, capti Assyriorum regis nomen haud ponit Sed Iosephus libro X Antiquitatum, Balthasarem illum esse tradit, cui manus uisa sit, quæ ex pariete extiterit, eaq; scripserit quæ iam exposita sunt, & à Daniele declarata. Cum diluxisset, & castellani urbis captiuitatem, & sui regis cædem cognouissent: arces Cyro tradunt, qui præfectos & præsidia in eas misit. Deinde magis accersitis, ut urbe expugnata Dijs primitias immolat, ædes & curias, rerum gestarum socijs assignat, atq; ipse etiam uitæ rationem rege dignam instituit: eamq;, quo minus inuidiosa esset, de amicorum sententia inchoat: ac dicendo consequitur, ut ipsi id à se postularent. Regiam ingressus, satellites legit, sui corporis ministros castrat ac eunuchos facit. satellites Persarum circiter X millia legit, urbẽ iusto præsidio firmat. His factis, qui honoratiores erant in exercitu, eos ita ornat, ne ignauam & luxuriosam uitam agerent. ac aliarum rerum curam alijs mandat, alios reditus accipere, alios sumptibus, alios operis præesse, alios possessiones custodire, alios commeatus & annonam, alios equos & canes curare iubet. Eorum autem curam, qui felicitatẽ tueri debeant, ipse suscipit. Eas porrò facultates consecutus, ut liberalis in alios esse posset, nullum mortalibus beneficiũ iucundius esse cogitans cibi & potus communione, plurima sibi fercula ijs similia quibus ipse uesceretũ, apponi iussit, quàm plurimis suffectura: eaq;, exceptis ijs quibus ipse cum conuictoribus suis frueretur, distribuebat. Ac cum liberalissimum & munificentissimum fuisse, minus est in tantis opibus mirandum: sed regem obseruãtia & cura superare amicos, id uerò magis est memorabile. Qua de re dictũ eius quoddam referẽ, Consimilia esse munera boni pastoris & regis. Nam & pastorem decere saginatis in primis à se iumẽtis uti: & regi urbes & homines, quos bearit, inseruire. Fertur & Crœsum, qui eum ob crebras donationes pauperem fore dixerat, rogasse, quantũ sibi pecuniæ esse putaret, si aurum, ut ipse censeat, ex quo regnare cœperit, collegisset: cumq; ille ingentem summam nominasset, dixisse: Age igitur Crœse, mitte

Balthasaris cædes.

Cyrus pro rege se gerit.

Vbi amici, ibi opes.

εἰσιᾶσι, πίνουσι δὲ τοῖς φύλαξιν ἐπεισπίπτουσιν. ὡς δὲ κραυγὴ καὶ θροῦς ἠγέρθη, αἰσθόμενοι οἱ ἔνδον, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι τί εἴη τὸ πρᾶγμα, ἀνοίξαντες τὰς πύλας, ὡς ἃς εἰσπίπτουσιν οἱ πολέμιοι, καὶ ἀφικνοῦνται πρὸς τὸν βασιλέα. καὶ ἤδη ἑστηκότα αὐτὸν, καὶ ἐσπασμένον ἔχοντα ἀκινάκην, ἀναιροῦσι. καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ Γωβρύᾳ ἐχειροῦντο. οἱ δὲ σὺν αὐτῷ ἔθνησκον, οἱ μὲν ἀμυνόμενοι, οἱ δὲ φεύγοντες. ὁ δὲ Κῦρος διέπεμπε τὰς τῶν ἱππέων τάξεις κατὰ τὰς ὁδοὺς, προειπὼν, οὓς μὲν ἔξω λαμβάνοιεν, κτείνειν, τοὺς δὲ ἐν ταῖς οἰκίαις κηρύττειν τοὺς συριστὶ ἐπισταμένους, ἔνδον μένειν. ὡς εἴ τις ἔξω ληφθείη, ὅτι θανατωθήσεται. ἐν τούτῳ δὲ Γαδάτας καὶ Γωβρύας ἧκον, καὶ ὅτι τὸν ἀνόσιον βασιλέα ἐτιμωρήσαντο, πρῶτον μὲν θεοὺς προσεκύνουν, ἔπειτα Κύρου κατεφίλουν χεῖρας καὶ πόδας. ὁ μὲν οὖν Ξενοφῶν τὰ περὶ τοῦ Κύρου ἱστορῶν, τὸ ὄνομα τοῦ ἁλόντος βασιλέως τῶν Ἀσσυρίων οὐ λέγει. ὁ δὲ Ἰώσηππος ἐν τῷ δεκάτῳ λόγῳ τῆς ἀρχαιολογίας, τὸν Βαλτάσαρ τοῦτον εἶναι ἱστορεῖ, ᾧ καὶ ἡ χεὶρ ἐφάνη ἐκ τοῦ τοίχου προελθοῦσα, καὶ γράψασα τὰ ἤδη προγραφέντα γράμματα, ὧν τὴν δήλωσιν ἡρμήνευσεν ὁ Δανιήλ. ἡμέρας δὲ γενομένης, ὡς ᾔσθοντο οἱ τὰς ἄκρας ἔχοντες, ἑαλωκυῖαν τὴν πόλιν, καὶ τὸν βασιλέα σφῶν τεθνηκότα, παραδιδόασι καὶ τὰς ἄκρας. ὁ δὲ Κῦρος εἰς αὐτὰς φρουράρχους καὶ φρουροὺς ἐπέμπεν. εἶτα τοὺς μάγους καλέσας, ὡς δορυαλώτου τῆς πόλεως οὔσης, ἀκροθίνια τοῖς θεοῖς ἐκέλευσεν ἐξελεῖν, καὶ οἰκίας δὲ διέδωκε, καὶ ἀρχεῖα τοῖς κοινωνήσασι τῶν πεπραγμένων αὐτῷ, καὶ ἑαυτῷ δὲ κατασκευάσαι διενοεῖτο δίαιταν πρέπουσαν βασιλεῖ. ἵνα δὲ μὴ τοῖς φίλοις ἐπίφθονος γένηται, σὺν γνώμῃ αὐτῶν τοῦτο ποιῆσαι ἠθέλησε. καὶ διαλεχθεὶς αὐτοῖς, δι' ὧν ἀπῄτει πᾶσιν ἐκείνοις τοῦτο αὐτὸν αἰτήσασθαι, κἀντεῦθεν εἰς τὰ βασίλεια εἴσεισι, καὶ φύλακας περὶ ἑαυτὸν ποιεῖται, καὶ τοὺς περὶ τὸ ἑαυτοῦ σῶμα θεράποντας ἐξέτεμε, καὶ εὐνούχους πεποίηκε. δορυφόρους δὲ ἄλλους Περσῶν περὶ μυρίους, καὶ ἐν τῇ πόλει δὲ φρουροὺς ἔταξεν ἱκανούς. ταῦτα δὲ ποιήσας, τοὺς ἐντιμοτέρους τῆς στρατιᾶς ἐξήσκει, μὴ ἀπόνως βιοῦν, καὶ καθ' ἡδυπάθειαν· καὶ τῶν μὲν ἄλλων πραγμάτων τὰς ἄλλας ἐπιμελητὰς κατεστήσατο, προσόδων ἀποδεκτῆρας φημί, καὶ δαπανῶν ταμίας, ἔργων τε ἐπιστάτας, καὶ κτήσεων φύλακας, καὶ τῶν ἐπιτηδείων ἐπιμελητὰς τῶν πρὸς δίαιταν, καὶ ἵππων καὶ κυνῶν φροντιστάς. οὓς δὲ αὐτὸν χρῆναι φύλακας τῆς εὐδαιμονίας ἔχειν ἑαυτῷ, τὴν τούτων προσέταξεν ἐπιμέλειαν. ἐπεὶ δὲ καὶ χρήμασιν εὐεργετεῖν αὐτῷ προσεγένετο, ἔγνω ὡς οὐδὲν εὐεργέτημα ἀνθρώποις εὐχαριστότερον, ἢ σίτων καὶ ποτῶν μετάληψις. διὸ καὶ ἐπεποίητο πολλὰ αὐτῷ παρατίθεσθαι ὅμοια, οἷς αὐτὸς ἐσιτεῖτο, καὶ ἱκανὰ παμπόλλοις ἐσόμενα· καὶ τὰ περιλειπόμενα, πλὴν οἷς αὐτὸς καὶ οἱ σύνδειπνοι χρήσαιντο, διεδίδου, καὶ φιλοδωρότατος ἀνθρώπων ἐγένετο. ἀλλ' οὐ τὸ μὲν μεγάλα δωρεῖσθαι ὑπερβάλλον πλουσιώτατον ὄντα, οὐ θαυμαστόν· τὸ δὲ τῇ θεραπείᾳ καὶ ἐπιμελείᾳ τῶν φίλων βασιλεύοντα περιγίνεσθαι, τοῦτο ἀξιολογώτερον. καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ καὶ βασιλέως. τόν τε γὰρ νομέα ἔλεγε χρῆναι εὐπραγοῦντα τὰ κτήνη ποιοῦντα, χρῆσθαι αὐτοῖς ἤδη· τόν τε βασιλέα ὡσαύτως εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα, χρῆσθαι αὐτοῖς. λέγεται δὲ καὶ τὸν Κροῖσον εἰπόντα ποτὲ πρὸς αὐτὸν, ὡς διὰ τὸ πολλὰ διδόναι πένης ἔσοιτο, ἐρωτηθῆναι παρὰ Κύρου· πόσα ἂν ἤδη μοι χρήματα οἴει εἶναι, εἰ χρυσίον ὡς σὺ κελεύεις συνέλεγον, ἐξ ὅτου ἐν τῇ ἀρχῇ εἰμί; καὶ τὸν Κροῖσον εἰπεῖν, πολύν τινα ἀριθμόν. τὸν δὲ Κῦρον φάναι, ἄγε δὴ ὦ Κροῖσε, σύμ-

ὅτι ὁ ἁλοὺς βασιλεὺς ἀσσυρίων ἦν βαλτάσαρ, ᾧ καὶ ἡ χεὶρ ὤφθη κατὰ τοῦ τοίχου, ὡς φησὶ Δανιὴλ ὁ προφήτης.

ὅτι ἐκτομίας ἔσχεν ὁ Κῦρος ὑπουργούς. διὰ τί δὲ δεῖ γεγονέναι ... τὴν περὶ αὐτὸν ὡς λέγουσι.

ὅτι τὸν χρυσὸν ὁ Κῦρος ἐν τοῖς φίλοις ... αὐτοῦ.

συμπέμψας ἄνδρα σὺν Ὑστάσπᾳ τούτῳ. σὺ δὲ Ὑστάσπα, περιελθὼν τοὺς φίλους, λέγε αὐτοῖς, ὅτι δέομαι χρυσίου πρὸς πρᾶξίν τινα, καὶ κέλευε αὐτούς, ὁπόσα ἂν ἕκαστος δύναιτο, πορίσαι μοι χρήματα, καὶ γράψαντας καὶ κατασημηναμένους δοῦναι τὰς ἐπιστολὰς τῷ Κροίσου θεράποντι. ταῦτα δὲ ὅσα εἶπε, γράψας καὶ σημηνάμενος, ἐδίδου τῷ Ὑστάσπᾳ φέρειν πρὸς τοὺς φίλους. ἔγραψε δὲ πρὸς πάντας, καὶ Ὑστάσπαν ὡς φίλον αὐτοῦ δέχεσθαι. ἐπεὶ δὲ περιῆλθε, καὶ ἤνεγκεν ὁ Κροίσου θεράπων τὰς ἐπιστολάς, ὁ Ὑστάσπας εἶπεν· ὦ Κῦρε βασιλεῦ, καὶ ἐμοὶ ἤδη ὡς πλουσίῳ χρῆ. πάμπολλα γὰρ ἔχων πάρειμι δῶρα, διὰ τὰ σὰ γράμματα. καὶ ὁ Κῦρος· εἷς μὲν τοίνυν ὦ Κροῖσε, ἔφη, καὶ οὗτος ἡμῖν θησαυρός. τοὺς δὲ ἄλλους κατάθεο, καὶ λόγισαι πόσα μοι ἐστὶν ἕτοιμα χρήματα, ἤν τι δέωμαι χρῆσθαι; λέγεται δὲ λογιζόμενος ὁ Κροῖσος πολλαπλάσια εὑρεῖν, ἢ ἔφη Κύρῳ ἂν εἶναι ἐν τοῖς θησαυροῖς, εἰ συνέλεγεν. ἐπεὶ τοίνυν δὲ τὸν Κῦρον εἰπεῖν· ὁρᾷς ὦ Κροῖσε, ὡς εἰσὶ καὶ ἐμοὶ θησαυροί. δόξαν δὲ αὐτῷ ὡς τὰ τοῖς θεοῖς ἐξῃρημένα τεμένη, ποιήσασθαι προπομπήν, καλέσας τοὺς τὰς ἀρχὰς ἔχοντας Περσῶν τε καὶ τῶν ἄλλων, διέδωκεν αὐτοῖς στολὰς Μηδικάς, καὶ τότε πρῶτον Πέρσαι Μηδικὴν στολὴν ἐνεδύσαντο. ἐπεὶ δὲ τοῖς κρατίστοις διέδωκε τὰς κρατίστας στολάς, ἐξέφερε καὶ ἄλλας Μηδικὰς στολάς, πάμπολλας γὰρ παρεσκευάσατο, οὔτε πορφυρίδων φειδόμενος, οὔτε ὀρφνίνων, οὔτε φοινικίδων, οὔτε καρυκινῶν ἱματίων· νείμας δὲ ἑκάστῳ τῶν ἡγεμόνων μέρος αὐτῶν, ἐκέλευσε τούτοις τοὺς ἑαυτῶν φίλους κοσμεῖν. καί τις τῶν παρόντων ἐπήρετο αὐτόν. σὺ δὲ ὦ Κῦρε, πότε κοσμήσῃ; ὁ δὲ, οὐ γὰρ νῦν, ἔφη, δοκῶ ὑμῖν αὐτὸς κοσμεῖσθαι, ὑμᾶς κοσμῶν; ἢν γὰρ δύνωμαι τοὺς φίλους ποιεῖν εὖ, ὁποίαν ἂν ἔχω στολὴν ἐγώ, ἐν ταύτῃ καλὸς φανοῦμαι. ποιήσας δὲ τὴν προπομπήν, καὶ θύσας τοῖς θεοῖς, μετὰ τῶν φίλων ἐδείπνει, οὓς μὲν μάλιστα ἐτίμα, παρὰ τὴν ἀριστερὰν χεῖρα καθίσας, ὡς εὐεπιβουλευτοτέρας ταύτης οὔσης ἢ τῆς δεξιᾶς. τοὺς δὲ ἄλλους παρὰ τὴν δεξιάν. μετὰ δέ γε τὸ δεῖπνον τοὺς ἐθελουσίως αὐτῷ συμμαχήσαντας ἀπέπεμψεν οἴκαδε, πλὴν τῶν βουληθέντων παρ' αὐτῷ καταμεῖναι. τούτοις δὲ καὶ χώραν καὶ οἴκους ἔδωκε. τοῖς δὲ ἀπιοῦσι καὶ στρατιώταις καὶ ἄρχουσι πολλὰ ἐδωρήσατο, ὅτε καὶ τοῖς περὶ αὐτὸν στρατιώταις καὶ ἡγεμόσι πολλὰ διένειμεν, ὅσα ἐκ Σάρδεων ἔλαβε χρήματα, πρὸς τὴν ἀξίαν ἑκάστῳ. ὡς δὲ ἀπηλλάγησαν τὰ δοθέντα, ἔλεγον περὶ τοῦ Κύρου ὅτι αὐτός γε πολλὰ ἔχει, ὅτι καὶ ἡμῶν ἑκάστῳ τοσαῦτα δέδωκεν. οἱ δὲ ἔλεγον, οὐχ ὁ Κύρου τρόπος τοιοῦτος, ὡς χρηματίζεσθαι, ἀλλὰ διδοὺς μᾶλλον ἢ κτώμενος ἥδεται. αἰσθόμενος δὲ ταῦτα ὁ Κῦρος, συνέλεξε τοὺς φίλους καὶ τοὺς ἐπικαιρίους ἅπαντας, καὶ εἶπεν· ἀπολαύετέ μοι δοκεῖ τῶν ἠθῶν, τὸ τὴν δύναμιν τὸν ἄρχοντα φανερὰν ποιησάμενον, ἐκ ταύτης ἀγωνίζεσθαι περὶ καλοκαγαθίας. κἀγὼ οὖν, ἔφη, βούλομαι ὑμῖν, ὅσα μὲν δυνατὰ ὄντα ἐμοὶ ἰδεῖν, δεῖξαι· ὅσα δὲ μὴ οἷόν τε ἰδεῖν, διηγήσασθαι. ταῦτα εἰπών, τὰ μὲν ἐδείκνυε πολλὰ καὶ καλὰ χρήματα, τὰ δὲ κείμενα, ὡς μὴ ῥᾴδιον εἶναι ἰδεῖν, διηγήσατο. καὶ εἶπεν, ὦ ἄνδρες, ταῦτα δεῖ μὲν μᾶλλον ἐμὰ δεῖν ἡγεῖσθαι, ἢ καὶ ὑμέτερα. ἐγὼ γὰρ ταῦτα ἀθροίζω, ὅπως ἔχω, ἐάν τις καλὸν ὑμῶν ποιῇ, διδόναι· καὶ ὅπως, ἤν τις ὑμῶν τινὸς δέηται, λαβὼν παρ' ἐμοῦ ἴῃ. ὅτε δὲ τὰ ἐν Βαβυλῶνι εὖ κατέστησε, ὡς πορείαν ἐπιλαβεῖν ἡτοιμάζετο. ἐπεὶ δὲ πορευόμενος γίνεται κατὰ τὴν Μηδικήν, ἐπέστρεψεν ὁ Κῦρος πρὸς Κυαξάρην, καὶ ἀσπασάμενος αὐτὸν εἶπεν, ὅτι οἶκος αὐτῷ ἐν Βαβυλῶνι ἐξήρηται· καὶ δῶρα παρεῖχεν αὐτῷ πολλὰ καὶ καλά. ὁ δὲ Κυαξάρης προσέπεμψεν αὐτῷ τὴν

θυγα-

ὅτι κόσμον ἐνόμιζεν ὁ Κῦρος ἀγαθόν, τὸ κοσμεῖν τοὺς ἑταίρους. καὶ διὰ τί παρὰ τὴν ἀριστερὰν τοὺς τιμιωτάτους καθίζει.

ὅτι πολλὰ λαβόντες ὑπὸ Κύρου χρήματα, ὅσα οὐκ ἄξια αὐτοῦ ἐνόμιζον, ἐθαύμαζον αὐτοῦ τὸν τρόπον.

ὅτι ὡς τὰ ... Κῦρος ἐπιδείκνυσι τοῖς φίλοις ... ἀλλὰ καὶ τὰ δῶρα ... οὐ μόνον τὰ ἑαυτοῦ ... ὅτι ... ἐν Βαβυλῶνι ... δῶρα πολλά.

mitte aliquē cum Hystaspe. Tu uerò Hystaspe adito amicos meos, eis que dicito, mihi ad rem quandā conficiendā auro esse opus, ut quisq; quā plurimū posit cōparet, idq; literis inscribat atque obsignet, & epistolas Crœsi ministro tradat. Eadē quę mādarat, literis inscripta omnia, & obsignata, Hystaspæ tradidit. eumq; ab omnib. ut amicū suū tractari iussit. Cum circumisset, & Crœsi minister epistolas attulisset, Hystaspes dixit: Rex Cyre, me quoq; nūc utere ut diuite. Nam propter cōmendationē tuā & ipse plurimis affectus sum munerib. Tum Cyrus, et hic, inquit, Crœse unus est ex thesauris nostris. Tu uerò cæteros contēplatus, supputa, quanta mihi pecunia sit, si fuerit opus. Is uerò longè maiorē summā reperisse fert, quā in thesauris cū habiturū fuisse dixerat, si collegisset. ac Cyrum dixisse, Viden' Crœse et mihi thesauros esse? Cum autē in animo haberet, ad puluinaria deorū immortaliū supplicatū ire: uocatis principib. Persarū & cæterorū, stolas Medicas inter eos distribuit, quas Persæ tum primū induerūt. Stolis optimis inter optimos distributis, etiā alijs Medicis stolis prolatis (ut enim plurimas pararet, neq; purpureis, neq; Orphninis, neq; Caryccinis, neq; puniceis pānis pepercerat) cuiq; ducū partē earū tradidit, quib. & illi suos exornarent. Rogatus aūt à quodā, quando ipse sese ornaturus esset? Nónne, inquit, uobis nūc ornatus esse uideor, cū uos ornaui? Nam ubi de amicis fuero benè meritus, qualibet in ueste formosus ero. Supplicatione absoluta, et uictimis immolatis cum familiarib. cænatus est, amicis honoratissimis ad læuā collocatis, ut q̄ magis opportuna sit insidijs: cæteris ad dextrā. A cœna, eos qui ultro in bellis secuti fuerāt, dimisit domū, præter eos qui sponte manere uellent: ijs uerò & agros & ędes dedit, discedentib. tam militib. quā ducibus plurima donauit. Dedit & suis militibus multa de Sardianis pecunijs, pro dignitate cuiusq;. Qui ut ea acceperāt, alij dixere, nimirū ipsum Cyrū habere plurima, qui tam multa largitus esset: alij, nō id esse Cyri ingeniū, ut pecuniā faceret, qui dando quā accipiēdo delectet magis. Quibus Cyrus animaduersis, amicis & alijs idoneis aduocatis: Apertissimi, inqt, ingenij mihi esse uidetr, ut princeps copijs suis palàm expositis, de laude bonitatis certet. Et ego igit, quicquid mearū opū est, quod mōstrari possit, ostendā: quę ostendi nequeūt, enarrabo. His dictis res multas & præclaras deprōpsit. Quæ uerò reposita erant, nec proferri facilè poterāt, recensuit. Et hæc, inquit, uiri nō tam mea sunt existimāda, quā etiā uestra. Nam ea colligo, ut qui honestè se erga nos gesseris, eum remunerari queam: & si cui uestrūm quid opus fuerit, à me uti petat. Rebus Babylone compositis, reditum in Persiam parat. In Mediē progressus, se ad Cyaxarem conuertit: eoq; salutato, & multis egregijs muneribus affecto, ais, domum etiam illi Babylone assignatā esse. At Cyaxares

filiam

Persæ Medicis stolis exornantur.

Cyri reditus in Persiam, & nuptiæ.

filiam ad eum mittit, cum aurea corona, armillis, torque & ueste Medica pulcherrima. ea Cyrum coronat: rex uerò, Hãc, inquit, Cyre filiã meam, uxorem tibi do, & totam Mediam doti dico. Neq; enim mihi sunt mares liberi germani. Ad hæc Cyrus, se & genus laudare, & puellã & munera, sed eã de sentẽtia patris & matris ductur ũ esse. His dictis, in Persiã cõtendit, relictoq; in finib. exercitu, ipse cũ amicis urbẽ ingredit̃, uictimas adducẽs, quæ & ad sacrificandum & ad conuiuandũ Persis omnib. satis essent: parentib. atq; amicis munera affert, qualia par erat, & qualia magistratus ac seniores decebãt, necnõ Persis omnib. eorumq; uxorib. & liberis. Aliquãdiu apud parentes cõmoratus, in Mediã reuertit̃: probatoq; à patre cõiugio, Cyaxaris filiã ducit. Celebratis nuptijs, statim cum

Satrapæ missi in prouincias.

ea Babylonẽ proficiscit̃. Inde satrapas ad gẽtes subactas mittit, ut in Arabiam, Cappadociam, Phrygiã maiorẽ, Lyciã, Ioniam, Cariã, Phrygiã, Hellespontiacã & Aeoliã. Ad Cilices uerò, Cyprios & Paphlagones satrapas nõ misit, eo quod ultrò se ad illũ contulisse uidebant̃: nihilominus tamen & hi tributa pensitabant.

Equi certis locis dispositi ad nuncios celeriter perferẽdos.

Vt aũt in tanta imperij amplitudine nuncij celeriter ad se perferrent̃, cõsiderauit, quantũ itineris equus uno die cursu cõficere posset. ac tãto interuallo distincta diuersoria struxit, equis & equisonib. in ijs collocatis, quorũ cuiq; præfecit uirũ ad recipiẽdas literas q̃ afferrent̃ idoneũ, q & traderet & acciperet fatigatos equos, et alios mitteret integros. Anno iam elapso, expeditionem suscepit, in qua omnes gentes q̃ ab ingressu Syriæ usq; ad mare rubrũ incolunt, subegisse fert̃.

Persici imperij fines.

Deinde Aegyptũ etiã, ut eius Imperiũ uersus Orientẽ rubro mari, uersus Septentrionem, Ponto Euxino: ab occasu, Cypro & Aegypto, uersus meridiẽ Aethiopia terminaret̃. Ipse in medio cõstitutus, septenos menses hyberno tẽpore, ob regionis teporem, Babylone degit: ternos menses uernos, Susis: Ecbatanis binos æstiuo tẽpore. Vita igitur sic acta, senex admodũ in Persiã septimùm uenit, parentib. iã olim defunctis. Ibi in regia dormiẽti, uisus est in somnis

Cyri ante obitum oratio.

apparere uir quidã humana cõditione maior, qui diceret: Para te Cyre. nam dij te nũc accersunt. Vnde conijciebat, sibi uitæ finem instare: ac tertio die pòst, filijs (nam eũ comitati fuerãt) amicis & Persarũ magistratib. accersitis: Mihi, inquit, iam uitæ finis instat. Est autem declarandum, cui relinquam imperiũ, ne cõtrouersiæ de eo ortæ uobis negociũ facessant. Tu igitur Cambyse, qui natu maior es, regnũ teneto, quod tibi & à Dijs & à me tribuitur. Te uerò Tanaoxare satrapam constituo Medorum, Armeniorum & Caddusiorum. Hæc ubi filijs mandarat, multaq; preceperat, affatus eos qui aderãt, ac dextra porrecta omnib. cõtecta facie, expirauit. Eo defuncto, statim filij seditionẽ mouerunt, urbes ac prouinciæ defecerũt, ac in peius ruebant omnia.

θυγατέρα στέφανόν τε χρυσοῦν, καὶ ψέλλια φέρουσαν, καὶ στρεπτόν, καὶ στολὴν μηδικὴν καλλίστην. καὶ ἡ μὲν πρὸς ἐστεφάνου τὸν Κῦρον, ὁ δὲ Κυαξάρης· δίδωμί σοι, ἔφη, ὦ Κῦρε, καὶ αὐτὴν ταύτην γυναῖκα, θυγατέρα οὖσαν ἐμήν, ἐπιδίδωμι δὲ αὐτῇ καὶ φερνὴν μηδίαν πᾶσαν· οὐ γάρ ἐστί μοι ἄρρεν παῖς γνήσιος. ὁ δὲ Κῦρος· τὸ μὲν γένος ὦ Κυαξάρη ἐπαινῶ, εἶπε, καὶ τὴν παῖδα, καὶ τὰ δῶρα. βούλομαι δὲ σὺν γνώμῃ τοῦ πατρός τε καὶ τῆς μητρὸς γῆμαι αὐτήν. καὶ ταῦτα εἰπών, εἰς Πέρσας ἐπορεύετο. ἐν δὲ τοῖς Περσῶν ὁρίοις ἐλθών, τὸ μὲν στράτευμα ἐκεῖ κατέλιπεν. αὐτὸς δὲ σὺν τοῖς φίλοις τὴν πόλιν εἰσῄει, ἱερεῖα ἄγων πᾶσι Πέρσαις ἱκανὰ θύειν καὶ ἑστιᾶσθαι· δῶρα δὲ τῷ πατρὶ καὶ τῇ μητρὶ ἔφερεν οἷα εἰκὸς ἦν, καὶ τοῖς φίλοις, οἷα δὲ ἔπρεπεν ἀρχαῖς καὶ γεραιτέροις. ἔδωκε δὲ καὶ πᾶσι Πέρσαις, ἀλλὰ μὴν καὶ Περσίσι, καὶ χρόνον τινὰ τοῖς τοκεῦσι συνδιατρίψας, ἀπῄει. καὶ γενόμενος ἐν Μήδοις, συνδόξαν τῷ πατρί, γαμεῖ τὴν Κυαξάρου θυγατέρα. γήμας δὲ εὐθὺς ἔχων αὐτὴν ἀνεζεύγνυεν, ὡς δὲ ἧκεν εἰς Βαβυλῶνα, σατράπας ἐπὶ τὰ κατεστραμμένα ἔπεμπεν ἔθνη, εἰς Ἀραβίαν δηλαδὴ καὶ Καππαδοκίαν, εἰς Φρυγίαν τὴν μεγάλην, εἰς Λυκίαν τε καὶ Ἰωνίαν, εἰς Καρίαν, εἰς Φρυγίαν τὴν παρ' Ἑλλήσποντον, καὶ Αἰολίδα. Κίλιξι δὲ καὶ Κυπρίοις καὶ Παφλαγόσιν οὐκ ἔπεμψε σατράπας, ὅτι ἑκόντες ἐδόκουν αὐτῷ συστρατεύεσθαι. δασμοὺς μέντοι καὶ οὗτοι ἀπέφερον.

ὅτι πάλιν εἰς βαβυλῶνα [illegible], καὶ [illegible] καὶ κῦρος.

ἵνα δέ, μεγάλης αὐτῷ τῆς ἀρχῆς οὔσης, ταχέως καὶ πόρρωθεν οἱ κομίζοιντο ἀγγελίαι, ἐσκέψατο πόσην ἂν ὁδὸν ἵππος ἐλαυνόμενος ἀνύσῃ· καὶ ἱππῶνας τοσοῦτον ἀλλήλων διέχοντας ἐποιήσατο, καὶ ἵππους κατέστησεν ἐν αὐτοῖς, καὶ τοὺς αὐτῶν ἐπιμελομένους, καὶ ἄνδρα ἐφ' ἑκάστῳ ἔταξε τὸν ἐπιτήδειον παραδέχεσθαι τὰ φερόμενα γράμματα, καὶ παραδιδόναι, καὶ παραλαμβάνειν τοὺς ἀπειρηκότας ἵππους, καὶ ἄλλους πέμπειν νεαλεῖς.

περὶ τῶν [illegible]

ἔτους δὲ περιελθόντος ἐνιαυτοῦ, στρατείαν ἐποιήσατο, ἐν ᾗ λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη, ὅσα Συρίαν ἐκβάντι οἰκεῖ, μέχρις Ἐρυθρᾶς θαλάσσης. μετὰ δὲ ταῦτα στρατεύει ἐπ' Αἴγυπτον, καὶ καταστρέφεται καὶ αὐτήν, ὡς ἐντεῦθεν ὁρίζειν αὐτοῦ τὴν ἀρχὴν πρὸς ἕω μὲν τὴν Ἐρυθρὰν θάλασσαν· πρὸς ἄρκτον δέ, τὸν Πόντον τὸν Εὔξεινον· πρὸς δὲ ἑσπέραν, Κύπρον καὶ Αἴγυπτον, τὴν δὲ Αἰθιοπίαν πρὸς μεσημβρίαν. αὐτὸς δὲ ἐν μέσῳ τούτων πεποιημένος τὴν δίαιταν, ἐν Βαβυλῶνι μὲν μῆνας διῆγεν ἑπτά, τὸν χρόνον διὰ τὸν χειμέριον· ἀλεεινὴ γὰρ αὕτη ἡ χώρα. τρεῖς δὲ μῆνας τοὺς ἀμφὶ τὸ ἔαρ ἐν Σούσοις. ἐν δὲ Ἐκβατάνοις δύο διῆγε μῆνας τὴν τοῦ θέρους ἀκμήν. οὕτω δὲ ζήσας ὁ Κῦρος, καὶ μάλα πρεσβύτης γενόμενος, ἀφικνεῖται εἰς Πέρσας τὸ ἕβδομον, πάλαι τῶν τοκέων τετελευτηκότων αὐτῷ. καὶ κοιμωμένῳ κατὰ τὰ βασίλεια, ἔδοξεν αὐτῷ κατ' ὄναρ τις προσελθὼν κρείττων ἢ κατὰ ἄνθρωπον, λέγειν· συσκευάζου ὦ Κῦρε, ἤδη γάρ σε μεταπέμπονται οἱ θεοί. ἐκ τούτου δὲ ᾔκαζεν, ὅτι παρείη τοῦ βίου ἡ τελευτή, καὶ τριταῖος τοὺς παῖδας ἐκάλεσε (συνείποντο γὰρ αὐτῷ) καὶ τοὺς φίλους καὶ τὰς Περσῶν ἀρχάς, καὶ εἶπεν· ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστι, δεῖ δὲ σαφηνίσαι περὶ τῆς βασιλείας, τίνι ἔσται μετ' ἐμέ, ἵνα μὴ πράγματα ὑμῖν παρέχῃ, γενομένη ἀμφίλογος. σὺ μὲν οὖν ὦ Καμβύση πρεσβύτερος ὤν, τὴν βασιλείαν ἔχε, θεῶν διδόντων, κἀμοῦ. σοὶ δὲ ὦ Ταναοξάρη, σατραπείαν δίδωμι Μήδων τε καὶ Ἀρμενίων καὶ Καδουσίων. ταῦτα τοῖς παισὶν ἐντειλάμενος, καὶ παραινέσεις πολλά, καὶ προσειπὼν τοὺς παρόντας, καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐξέλιπεν. ἐπεὶ δὲ ἐκεῖνος ἀπῄει, εὐθὺς οἱ παῖδες αὐτοῦ ἐστασίαζον, πόλεις δὲ καὶ ἔθνη ἀφίσταντο, πάντα δὲ ἐπὶ τὸ χεῖρον ἐτρέπετο.

ὅτι τὰ περὶ συρίαν ἔθνη διαπάντα ὑπέταξε, καὶ αἴγυπτον. καὶ [illegible] αὐτῷ ἡ ἐξουσία. καὶ [illegible] καὶ ὅτι γέρων γέγονεν, [illegible] καὶ τὴν [illegible] διαδέχεσθαι.

ταῦτα

ταῦτα μὲν οὖν τῷ Ξενοφῶντι περὶ Κύρου ἱστόρηται. ὁ δ' Ἁλικαρνασσεὺς Ἡρόδοτος ἄλλα περὶ τοῦ Κύρου φησὶν ἀναγωγῆς τε καὶ τελευτῆς, καὶ τοῦ λοιποῦ βίου, ἃ μακρὸν ἂν εἴη διηγήσασθαι. ἐμοὶ δ' ἐπιτομὴν ἱστορίας πεποιημένῳ, οὐκ ἔοικε τὴν πραγματείαν εἰς ὄγκον πολὺν ἐξάγειν, ἀλλ' αὐτὸς μὲν τὰ πιθανώτερα ἔγραψα. ὅτῳ δὲ ἀναγνῶναι βούλημα, καὶ ἅπερ Ἡρόδοτος περὶ αὐτοῦ συνεγράψατο, τὴν ἐκείνου μεταχειρισάμενος βίβλον, εὑρήσει ταῦτα κατὰ τὸν πρῶτον λόγον, ᾧ τὴν πρώτην τῶν μουσῶν ἐπέγραψε τῇ βίβλῳ τὴν Κλειώ. Κῦρος μὲν οὖν οὕτω τὴν τῶν Ἀσσυρίων ἀρχὴν κατέλυσε. τῷ δὲ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἑβδομηκοστῷ ὄντι ἐξ οὗ τοὺς Ἑβραίους εἰς Βαβυλῶνα ἐξ Ἱερουσαλὴμ μετῳκίσθησαν, ἐπέτρεψε τοῖς ἐν Βαβυλῶνι οὖσιν Ἰουδαίοις ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ ἀνοικοδομῆσαι τήν τε πόλιν καὶ τὸν ναόν, ὡς ὁ προφήτης Ἱερεμίας προανεφώνησε, καὶ πρὸ ἐκείνου ὁ Ἠσαΐας προείρηκεν. ὁ μὲν γὰρ ἦν, ὅτε ἡ πόλις ἑάλω, καὶ ὁ ναὸς κατεσκάφη, ὁ δ' Ἠσαΐας ἔτεσιν ἑκατὸν καὶ τεσσαράκοντα πρότερον ἦν, ἢ τὴν πόλιν ἁλῶναι, καὶ κατασκαφῆναι τὸ ἱερόν· οὐ μόνον δ' ἐφῆκε τοῖς αἰχμαλώτοις τὴν ἐπάνοδον, καὶ τὴν τῆς πόλεως καὶ τοῦ ναοῦ ἐξανάστασιν, ἀλλὰ καὶ τὰ σκεύη τὰ τοῦ ναοῦ, ἃ Ναβουχοδονόσορ εἰς Βαβυλῶνα ἐκόμισε, συνέπεμψε, παραδοὺς ταῦτα Μιθριδάτῃ τῷ αὐτοῦ γαζοφύλακι, καὶ τῷ Ζοροβάβελ. ἐπέστειλε δὲ καὶ τοῖς ἐν Συρίᾳ σατράπαις, συναίρεσθαι αὐτοῖς ἐν τῇ τῶν ἔργων οἰκοδομῇ, καὶ τὴν δαπάνην αὐτοῖς χορηγεῖν πᾶσαν ἐκ τῶν βασιλικῶν χρημάτων. ταῦτα τοῦ Κύρου διατάξαντος, ἐξώρμησαν οἱ τῶν δύο φυλῶν ἄρχοντες τῆς τε τοῦ Ἰούδα καὶ τῆς Βενιαμίτιδος, οἵ τε Λευῖται καὶ οἱ ἱερεῖς. πολλοὶ δὲ ἐν τῇ Βαβυλῶνι κατέμειναν, τὰς κτήσεις καταλιπεῖν οὐχ αἱρούμενοι. παραγενομένοις δὲ εἰς Ἱεροσόλυμα, οἱ τοῦ Κύρου πάντες συνήργουν αὐτοῖς εἰς τὰς οἰκοδομὰς, καὶ συνέπραττον. ἦσαν δ' οἱ ἐπανελθόντες μυριάδες τέσσαρες, δισχίλιοί τε καὶ ἑξακόσιοι. ἤδη δὲ περὶ τὴν οἰκοδομὴν τῆς πόλεως σπουδαζόντων, καὶ τοῦ ναοῦ, τὰ πέριξ ἔθνη, καὶ μάλιστα οἱ Χουθαῖοι, οὓς Σαλμανασὰρ μετῴκισεν εἰς Σαμάρειαν, ὅτε τοὺς Ἰσραηλίτας ᾐχμαλώτισε, φθονοῦντες, τοὺς σατράπας ἐδεξιώσαντο πρότερον, μὴ ἐπαρήγειν τοῖς Ἰουδαίοις εἰς τὴν οἰκοδομήν. εἶτα τοῦ Κύρου τὴν ζωὴν καταλύσαντος, Καμβύσου δὲ τοῦ παιδὸς ἐκείνου τὴν ἀρχὴν διαδεξαμένου, γράφουσι τῷ Καμβύσῃ, διαβάλλοντες τοὺς Ἑβραίους ὡς ἔθνος ἀποστατικόν τε καὶ ἀνυπότακτον, καὶ εἰ τὴν πόλιν καὶ τὸν ναὸν ἐκτελέσουσι (λέγοντες) οὔτε φόρους δώσουσιν, οὔθ' ὑπακούσονται. ταῦτα, καὶ πλείω τοιαῦτα γράψαντες, ἔπεισαν αὐτὸν κωλῦσαι τὴν τῆς πόλεως καὶ τοῦ ναοῦ ἀνοικοδόμησιν, καὶ ἐπεσχέθη τὰ ἔργα μέχρι τοῦ δευτέρου ἔτους τῆς βασιλείας Δαρείου τοῦ Ὑστάσπου, ἐπ' ἔτη ἐννέα. Καμβύσης γὰρ ἑπτὰ βασιλεύσας ἔτη, καὶ καταστρεψάμενος τοὺς Αἰγυπτίους, ὑποστρέψας ἐν Δαμασκῷ ἐτελεύτησε, τῶν μάγων τῆς βασιλείας ἐγκρατῶν γενομένων. καλὸν δὲ καὶ τὴν περὶ τούτων διήγησιν ποιήσασθαι ἐν ἐπιτομῇ. τῷ Καμβύσῃ ἦν ἀδελφὸς, κατὰ μὲν τὸν Ξενοφῶντα Τανυοξάρης, κατὰ δὲ τὸν Ἡρόδοτον Σμέρδις ὀνομαζόμενος. ἔδοξεν οὖν ἐν Αἰγύπτῳ τῷ Καμβύσῃ τυγχάνοντι καθ' ὕπνους τις ἐπιστὰς λέγειν, ὡς εἰς τὸν βασιλικὸν καθίσας θρόνον ὁ Σμέρδις, τῇ κεφαλῇ τοῦ πόλου προσψαύσειε. δείσας οὖν περὶ τῇ βασιλείᾳ, τὸν Πρηξάσπην αὐτίκα ἀποστέλλει εἰς Σοῦσα, κτενοῦντα λάθρα τὸν ἀδελφόν. καὶ ὁ μὲν οὕτω διέφθαρτο, ὁ δὲ Καμβύσης τὸ χρεὼν οὐκ ἐξέφυγε. δύο γὰρ ἦσαν ἀδελφοὶ Μῆδοι, μάγοι κεκλημένοι, ὧν τῷ μὲν Πατιζείθης, τῷ δὲ Σμέρ-

ὅτι ὁ Ἡρόδοτος ἄλλως τὰ κατὰ τὸν Κῦρον ἱστόρησεν.

δύο μόναι αἱ φυλαὶ ἀνέβησαν εἰς Ἱερουσαλήμ.

περὶ τῆς διαβολῆς τῶν Χουθαίων. ὅτι Καμβύσης κωλύει τὴν ἀνοικοδομὴν τοῦ ναοῦ, πεισθεὶς αὐτοῖς.

περὶ Καμβύσου, καὶ ὅπως αὐτὸν διεδέξατο ὁ μάγος. καὶ ὅπως ὁ Καμβύσης τὸν ἀδελφὸν Σμέρδιν ἀνεῖλεν.

Atque hæc à Xenophonte de Cyro prodita sunt. Sed Herodotus Halicarnasseus ea de Cyri educatione, obitu, totaque uita narrat, quæ recensere prolixum fuerit. Mihi uerò compendium historiarum scribenti, non conuenit uerbosum opus contexere: sed satis est ea consectari, quæ probabiliora uidentur. Cui uerò etiã Herodoti de illo narrationes euoluere libet, is hæc libro primo, cui Clionis Musæ primæ titulum indidit, inueniet. Cyrus igitur Assyriorum regnum sic euertit, & primo sui imperij anno, à captiuitate Hebraicæ gentis septuagesimo, Iudæis qui Babylone degebant, redire Hierosolyma, urbemque & templum instaurare permisit, id quod propheta Hieremias prædixerat, & ante illum Esaias. Nam ille tum uixit, cum urbs caperetur: hic ante captiuitatem urbis, & templi euersionem, annis centum quadraginta. Neque uerò hæc duntaxat concesisit, sed & sacra uasa, à Nabuchodonosore Babylonem translata, per Mithridatem quæstorem suum & Zorobabelem unà remisit. Et Syriacis satrapis mandauit, ut eis ad ædificationem adiumento essent, & omnes sumptus de regia pecunia suppeditarent. His à Cyro constitutis, duarum tribuum Iudaicæ & Beniamiticæ principes, Leuitæ & sacerdotes Hierosolyma contenderunt. Multi etiam Babylone manere, quàm suas possessiones relinquere maluerunt. Quò cum peruenissent, Cyri satrapæ omnes ad ædificationem eis (fuere autem quadraginta duo millia & sexcenta) adiumento fuerunt. Iam in urbis & templi instaurationem intentis, finitimæ gentes, Chutæi præsertim, quos Salmanassar, captis Israelitis Samariam traduxerat, inuidentes, Satrapas in primis sibi conciliant, ne ædificationem promouerent. Deinde Cyro defuncto, apud Cambysem filium & successorem eius Hebræos, ut gentem perfidam & rebellem, per literas criminantur. Quód si urbem & templum perfecerint, neque tributa pensuros, neque dicto audientes futuros. His & pluribus alijs scriptis ei persuaserunt, ut urbis & templi instaurationem prohiberet. Ita opus impeditum est usque ad secundum annum Darij regis, filij Hystalpis per annos nouem. Nam Cambyses eum septem regnasset annos, & Aegyptum subegisset, inde reuersus Damasci obijt, regno à Magis occupato. de quibus & hic breuiter est dicendum. Cambyses fratrem habuit, quem Xenophon Tanaoxarem, Herodotus Smerdim appellat. Visus igitur est in somnis Cambysi in Aegypto agenti quidam dicere, Smerdim regio throno occupato, capite cœlos attingere. Regno igitur metuens, Prexaspem Susa mittit, qui fratrem clanculum perimeret. Ac ille quidem ita perijt, sed Cambyses fati uim non effugit. Fuerunt enim duo fratres Medi, quorũ alter Catizithes, alter Smer-

Cyri ergà Iudæos benignitas.

Cambyses Chutæorũ criminationibus impulsus, urbis instauratione Iudæis interdicit.

Magorum tyrannis.

Smerdis filij Cyri cædes.

dis uocabatur, professione Magi. Ac Smerdis non tantum nomen, sed formam etiam cum Smerdi Cyri filio communem habebat. Alterum Cambyses suarum rerum curatorem delegerat. Dum igitur rex in Aegypto morabatur, Catazithes cæde Smerdis, quam pauci norant, cognita, regnum inuadere destinat: idque fratri qui Smerdi & nomine & lineamentis corporis persimilis esset, tradit, non ut fratri suo, sed ut Cyri filio, fratri Cambysis. & præcones passim dimittit, qui Smerdim Cyri filium regem proclament. Ea re cognita, Cambyses Prexaspen incusat, ut mandata non executum: qui cum affirmaret, fratrem, quem ipse & occidisset & sepelisset, ei non mouere seditionem: præconem qui Smerdim, Cyri filium, regem in exercitu proclamabat, comprehensum rogat, num ipse Smerdim uiderit, & num de illius mandato ista proclamet? Respondet homo, se Smerdim nō uidisse, sed iussu Magi regiæ magistri ea proclamare. Cambyses igitur ueritate inde cognita, fratrem à se temerè occisum luget, & bellum inferre Magis parat. Sed dum in equū insilit, elapso uagina gladio lethaliter in femore uulneratus, quod illius loci nomen esset, rogat? Cum Ecbatana dici, responsum esset: ibi sibi fatale esse mori, respondet. Acceperat enim oraculum, se Ecbatanis moriturum. & hactenus putarat, se Ecbatanis Medicis obiturum, cum oraculum de Ecbatanis Syriæ loquutum esset. Ita moritur orbus liberis, cum annos septem & quinque menses regnasset. Eo mortuo, Magus securus tenebat imperium, usurpans Smerdis Cyri filij nomen: & missis in omnes prouincias legatis, triennij immunitatem proclamat. Cum autē iam menses septem regnasset, hoc modo est agnitus. Otanes nobilitate & opibus Persicorum principum nullo inferior, filiam habebat Phædymiam, Cambysi nuptam. eadem Magus, ut & cæteris regijs concubinis, utebatur. Ab ea pater clam per internuncium quærit, num cum Smerdi Cyri filio concumbat: illa respondet, se nec uidisse Cyri Smerdim, neque scire quis sit is cū quo dormiat. Pater denuò ad eam mittit, ut suum mandatum uel cum periculo exequatur, si sit opus: ac monet, ut quando cum rege dormiat, eius dormientis aures contrectet. Nam si habeat aures, sciendum, eam cum Smerdi Cyri filio concumbere: sin minus, Magum Smerdim existimandum esse. Paret Phædymia patri: eumque carere auribus, qui rem secum haberet, patri significat. Præciderat autem ei Cyrus aures, ob delictum quoddam. Otanes arcanum illud cum amicis, Aspathine & Gobrya, Persarum principibus communicat: qui cum idem prius essent suspicati, statim fidem habent. Statuunt igitur, alios quoque sibi adiungere: Otanes Intaphernem, Gobryas Megabyzum, Aspathines Hydarnem, & Darium Hystaspis filium, qui recens ex Persia Susa

Cambysis interitus.

Otanis filia Magorū imposturā detegit.

Persicorū septem uirorum coniuratio contra Magos.

ἀλεξὴν τὰ ὀνόματα. ὁ δὲ σμέρδης οὐ τοῦ ὀνόματος ἐκοινώνει μόνον σμέρδῃ τῷ κύρου παιδί, ἀλλὰ καὶ τοῦ εἴδους αὐτοῦ. τοῦτον τὸν ἕτερον φροντιστὴν τῶν ἑαυτοῦ πραγμάτων ὁ καμβύσης κατέλιπεν. χρονίζοντος δ' ἐν αἰγύπτῳ αὐτοῦ, γνοὺς τὸν φόνον τοῦ σμέρδου τοῦ κύρου παιδὸς ὁ πατιζείθης, ὃν ὀλίγοις ὁ ἐκείνου θάνατος ἐγνώσθη, ἐπιβουλεύει τῇ βασιλείᾳ· καὶ τὸν ἀδελφὸν ὁμωνυμοῦντα τῷ σμέρδῃ, καὶ πολλὴν πρὸς ἐκεῖνον ἐμφέρειαν ἔχοντα, εἰς τὸν θρόνον ἐκάθισε τὸν βασίλειον, οὐχ ὡς οἰκεῖον ὁμαίμονα, ἀλλ' ὡς τοῦ κύρου υἱόν, καὶ τοῦ καμβύσου ὁμόγνιον· καὶ κήρυκας διέπεμψε πανταχοῦ, βασιλέα τὸν κύρου σμέρδην ἀγγέλλοντες. μαθὼν οὖν ταῦτα καὶ ὁ καμβύσης, τὸν πρηξάσπην αἰτιᾶται, ὡς μὴ πληρώσαντα εἰς τὸ κελευσθέν. ὁ δὲ διεβεβαίου, μὴ τὸν ἀδελφὸν ἐπαναστῆναι αὐτῷ· ἐκεῖνον γὰρ ἐγώ, ἔλεγεν, ὡς σύ μοι ἐπέταλας, ἔκτεινά τε καὶ ἔθαψα. συλληφθῆναι δὲ τὸν κήρυκα καμβύσης τὸν ἐν τῷ στρατῷ κηρύσσοντα, τὸν τοῦ κύρου σμέρδην βασιλεῦσαι περσῶν. καὶ συλληφθεὶς ἠρωτᾶτο, εἰ αὐτὸς τὸν σμέρδην ἑώρακε, καὶ εἰ ἐκεῖνος αὐτῷ ἐπετείλατο λέγειν ἃ ἐκήρυττεν. ὁ δὲ μὴ θεάσασθαι τὸν σμέρδην ἀντεπεκρίνατο, παρὰ δὲ τοῦ μάγου τοῦ τῶν βασιλείων ἐπιτροπεύοντος, ταῦτα λέγειν ἐντεταλμένος. γνοὺς οὖν ἐντεῦθεν ὁ καμβύσης τὸ ἀληθές, ἐθρήνει μὲν ὡς μάτην κτείνας τὸν ἀδελφόν, ὥρμησε δ' αὐτίκα κατὰ τῶν μάγων στρατεύσασθαι. ἀναπηδῶντι δὲ οἱ ἐπὶ τὸν ἵππον, τοῦ κολεοῦ τοῦ ξίφους ὁ μύκης ἀπέπεσε, καὶ γυμνωθὲν τὸ ξίφος παίει αὐτοῦ τὸν μηρὸν καιρίως. ἤρετο οὖν, ὅπως ἡ πόλις καλοῖτο· καὶ μαθὼν ὡς ἐκβάτανα, εἶπεν, ὡς ἐν ταύτῃ μοι πέπρωται τελευτᾶν. ἐκέχρηστο γὰρ αὐτῷ ἐν ἐκβατάνοις μέλλειν θανεῖν. καὶ ὁ μὲν περὶ τοῖς ἐν μηδίᾳ ἐκβατάνοις ἐδόκει πρότερον τὸ τέλος αὐτὸν καταλήψεσθαι. ὁ δὲ χρησμὸς οὐκ ἐκεῖνα ἐδήλου, ἀλλὰ τὰ ἐν συρίᾳ ἐκβάτανα. ὁ μὲν οὖν μεθ' ἡμέρας τινὰς τελευτᾷ ἄπαις, βασιλεύσας ἔτη ἑπτά, καὶ πέντε μῆνας. ὁ δὲ μάγος τοῦ καμβύσου θανόντος, ἀδεῶς ἐβασίλευεν, ἑαυτῷ τὸν τοῦ κύρου σμέρδην ἐπιγραφόμενος· καὶ πέμψας εἰς πᾶν ἔθνος ὧν ἦρχεν, ἀτέλειαν πᾶσιν ἐπ' ἔτη τρία ἐκήρυξεν. ἑπτὰ δὲ μῆνας ἄρξας ἑπτά, ὅτε πως ἂν ἐγνώσθη, ἐγνώσθη δ' οὕτως. ὀτάνης εὐγενείᾳ καὶ πλούτῳ περσῶν τοῖς πρώτοις ἐνάμιλλος. τούτου θυγατέρα καμβύσης ἔσχεν, ἣ φαιδυμίη ἐκέκλητο. ταύτῃ καὶ ὁ μάγος ἐκέχρητο, ὥσπερ καὶ ταῖς λοιπαῖς ἃς εὗρεν εἰς τὰ βασίλεια. πέμψας οὖν ὁ πατήρ, ἐρώτα αὐτὴν λάθρα, εἰ τῷ κύρου σμέρδῃ, εἰ δ' ἑτέρῳ τινὶ συνευνάζοιτο. ἡ δὲ μήτ' ἰδέσθαι τὸν κύρου σμέρδην ἀντεπεκρίνατο, μήτ' εἰδέναι ᾧ τινι συγκοιτάζοιτο. ὁ δὲ καὶ πάλιν στέλλει παρ' αὐτήν, κινδυνεύειν αὐτῇ ἐντελλόμενος, εἰ δέοιτο, ἵνα πληρώσῃ πατρικὴν ἐντολήν. καὶ ὑποτιθείς, ὁπηνίκα συγκοιμῷτο τῷ βασιλεῖ, καὶ ὑπνώττοντα αὐτὸν γνῷ, ψαῦσαι τῶν ὤτων αὐτοῦ. καὶ εἰ μὲν ἔχοντα ὦτα γνοίη, εἰδέναι ὡς τῷ κύρου σμέρδῃ συγγίνεται· εἰ δὲ μὴ ἔχοι, τὸν μάγον σμέρδην αὐτὸν νομίζειν. πείθεται τῷ πατρὶ ἡ φαιδυμίη, καὶ γνοῦσα τὸν αὐτῇ συγγινόμενον ὦτα μὴ ἔχοντα, ἐσήμανε τῷ πατρί. οὐκ εἶχε δ' ὦτα, ὅτι ὁ κῦρος αὐτοῦ ταῦτα δι' ἁμάρτημά τι ἀπέτεμεν. ὁ δὲ ὀτάνης ἀσπαθίνῃ καὶ γωβρύᾳ πρώτοις οὖσι τῶν περσῶν καὶ αὐτῷ φιλτάτοις, κοινοῦται δὴ τὸ ἀπόρρητον. οἱ δὲ καὶ πρώην ἐν ὑποψίᾳ ὄντες τοῦ πράγματος, εὐθὺς τοὺς λόγους ἐδέξαντο. ἔδοξεν οὖν αὐτοῖς καὶ ἑτέρους προσεταιρίσασθαι. καὶ ὀτάνης μὲν ἰνταφέρνην, γωβρύας δὲ μεγάβυζον, ὑδάρνην δ' ἀσπαθίνης, καὶ δαρεῖον δὲ τὸν ὑστάσπου ἥκοντι ἄρτι πρὸς

σοῦσα

ἴωνες δ' ἐκβατάνας ἀκούσαντες ἐκβατάνοις δὲ συρίας, ἐν χρηματισμῷ ...

ἦν ὁ μάγος σμέρδης ... ὃν τῶν ὤτων ... ἀπέτεμεν ... παρὰ τῷ λόγῳ.

κοινοῦται κατὰ σμέρδου.

σοῦσα ἐκ Περσίδος ἐλθόντι, τὸ ἀπόρρητον ἐκοινώσαντο. ὁ δὲ Δαρεῖος ἐδέξατο τὸν λόγον, καὶ πρὸς τὴν πρᾶξιν αὐτίκα ὁρμᾶν συνεβούλευεν. εἰ δὲ παρήσουσιν ἡμέρας διὰ κενῆς παρερχομένας, αὐτὸς ἔλεγε γενέσθαι τῷ μάγῳ μηνυτὴς τῆς ἐπιβουλῆς. ἐπείσθησαν τῇ συμβουλῇ τοῦ Δαρείου καὶ οἱ λοιποί, καὶ τοῦ ἔργου ἤρχοντο. συνέβη δέ τι καὶ ἕτερον, ὃ ἐπιταχῦναι αὐτοὺς ἠνάγκασε τὴν ἐγχείρησιν. εἰδότες γὰρ οἱ μάγοι, ὅτι Πρηξάσπης ἐχειρούργησε τὸν Σμέρδιος φόνον τοῦ Κύρου παιδός, καὶ ὅτι διὰ τοῦτο καὶ ὑπ' αἰτίας τοῖς Πέρσαις ἦν, προσκαλεσάμενοι αὐτὸν, φίλον τε ἐποιοῦντο, καὶ ὅρκοις προκατελάμβανον, καὶ λαμπραῖς ὑποσχέσεσι, μή τινι αὐτὸν ἐκφῆναι τὸ σόφισμα. κατατιθεμένου δ' ἐκείνου ποιήσειν ταῦτα, προσέπειγον συγκαλέσειν τὸ πλῆθος ὑπὸ τὸ τεῖχος τῶν βασιλείων, αὐτὸν δ' ἐπὶ πύργον ἀναβάντα, εἰς ἐπήκοον πᾶσιν ἐκβοῆσαι, ὡς ὑπὸ Σμέρδιος τοῦ Κύρου υἱέος, οὐχ ὑφ' ἑτέρου δὲ, βασιλεύονται. φάσκειν γὰρ αὐτὸν, καὶ μὴ κτεῖναι αὐτὸν, ὡς ὁ Καμβύσης αὐτῷ ἐνετέλλετο. συνθεμένου δὲ καὶ ταῦτα ποιήσειν, συνῆκτο μὲν τὸ πλῆθος, Πρηξάσπης δὲ ἐπὶ τὸν πύργον ἀνέβη, καὶ ἔλεξεν ὅσα τοῖς Πέρσαις ἀγαθὰ παρὰ Κύρου γεγόνασι. προστίθει δὲ, ὡς τὸν ἐκείνου παῖδα τὸν Σμέρδιν αὐτὸς ἀνέλοι, τοῦ Καμβύσου βιάσαντος. τοὺς μάγους δὲ τὴν βασιλείαν ἔχειν ἐπηγόρευε. καὶ ἐπηρᾶτο τοῖς Πέρσαις, εἰ μὴ αὐτοὺς τίσαιντο. ταῦτα εἰπὼν, ἑαυτὸν κατεκρήμνισε, καὶ ἀπέθανεν. οἱ δὲ ἑπτὰ ἄνδρες ἐν τῇ ὁδῷ τὰ κατὰ τὸν Πρηξάσπην μαθόντες, ὥρμησαν εὐθὺς ἐπὶ τὰ βασίλεια, καὶ ἐσῄεσαν, ὑπὸ τῶν φυλάκων μὴ κωλυόμενοι· ᾐδοῦντο γὰρ τὴν ὑπεροχὴν τῶν ἀνδρῶν. προελθόντες δὲ εἰς τὴν αὐλὴν, ἐνέτυχον τοῖς ἀγγελιαφόροις εὐνούχοις, οἳ σφᾶς ἠρώτων, ὅτου χρῄζοντες ἥκοιεν; ἐκώλυόν τε προσωτέρω ἰέναι. οἱ δὲ τοὺς μὲν ἐκεῖ διεχρήσαντο, αὐτοὶ δὲ δρομαίως ἐσῄεσαν. οἱ μάγοι δ' ὄντες ἔνδον, καὶ τῶν εὐνούχων γνόντες τὸν θόρυβον, ἐτράποντο πρὸς ἀλκήν. καὶ ὁ μὲν τὴν αἰχμὴν, ὁ δὲ τὸ τόξον μετεχειρίσατο, καὶ θάτερος μὲν τῇ αἰχμῇ Ἀσπαθίνην παίει κατὰ μηρὸν, τὸν δ' Ἰνταφέρνην κατ' ὄψιν, ὅθεν ἐκεῖνος ἔβλαψε τὸν ὀφθαλμόν. τὰ τόξα δ' ἦν ἄπρακτα, χερσὶν ἐγγύθεν αὐτοῖς χρωμένοις. ὁ τοῦτο τὰ κατέχων ἔσεισεν(?) πρὸς θάλαμον. συνεισπίπτουσι δ' αὐτῷ Γωβρύας τε καὶ Δαρεῖος. καὶ ὁ μὲν συνεπλάκη τῷ μάγῳ· Δαρεῖος δ' ἐπεστὼς διὰ σκότος, καὶ δεδιὼς μὴ τὸν ἑταῖρον πλήξῃ, εἱστήκει ἄπρακτος. Γωβρύας δὲ ἤρετο ὅτου χάριν ἀργὸς ἕστηκε; ὁ δ' εἶπε τὸ αἴτιον. καὶ ὃς, ὤθει τὸ ξίφος καὶ δι' ἀμφοῖν, ἔφησε. καὶ ὁ Δαρεῖος ὦσε τὸ ἐγχειρίδιον, καὶ τοῦ μάγου ἐπέτυχε. κτείναντες οὖν καὶ τὸν ἕτερον, οἱ λοιποὶ ἔτεμον τὰς κεφαλὰς καὶ ἀμφοῖν, καὶ τοὺς μὲν δύο τοὺς τραυματίας αὐτῶν διά τε τὰ τραύματα, καὶ τὴν τῆς ἀκροπόλεως φυλακὴν, κατέλιπον ἐν αὐτῇ· οἱ δὲ λοιποὶ τὰς κεφαλὰς ἐπιφερόμενοι τῶν μάγων, ἐξῄεσαν, καὶ Πέρσαις ταύτας ἐδείκνυον, καὶ διηγοῦντο τὸ γεγονός. οἱ δὲ τὴν ἀπάτην μαθόντες, ἔκτεινον ᾧ ἂν τῶν μάγων ἐνέτυχον. ἐπεὶ δὲ κατέστη ὁ θόρυβος, καὶ ἡμέραι τινὲς παρῆλθον, ἐβουλεύοντο περὶ τῆς τῶν πραγμάτων οἰκονομίας. καὶ Ὀτάνης μὲν δημοκρατίαν ἐλέσθαι ᾑρεῖτο(?), ἀριστοκρατίαν δὲ ὁ Μεγάβυζος, ὁ δέ γε Δαρεῖος βασιλέα καὶ αὖθις αἱρεῖσθαι συνεβούλευε. συνέθεντο οὖν τῇ τούτου γνώμῃ καὶ οἱ τέσσαρες οἱ λοιποί. καὶ ἔδοξεν αὐτοῖς, ἐπιβῆναι τῶν ἵππων, καὶ ὅτου ἂν ὁ ἵππος, ἡλίου ἀνατέλλοντος, χρεμετίσῃ ἐν τῷ προαστείῳ γενομένων, τοῦτον ἔχειν τὴν βασιλείαν. Δαρεῖος δὲ τὴν βουλὴν τῷ ἱπποκόμῳ αὐτοῦ ἐξηγόρευσε(?). ἦν δὲ σοφὸς ὁ ἀνὴρ, καὶ θάρσει ὦ δέσποτα, ἔφη, ὡς σοῦ ἔσται ἡ βασιλεία. γενομένης οὖν νυκτὸς, θήλειαν ἵππον λαβὼν, ἣν

[illegible]
[illegible]
[illegible]

Susa peruenerat. Qui cum rem cupidè audiuisset, eius statim aggrediendæ fit autor. quòd si uel illum diem ignauum elabi paterentur, se in sidias Mago indicaturum. Consilio eius & cęteri assensi, negocium capessunt. Nam & alia conatus maturandi causa inciderat. Cum enim scirent Magi, Prexaspem, Smerdis Cyri filij perpetrasse cædem, atque ob id facinus malè audire à Persis: amicitia cum eo inita, magna'que polliciti, iureiurando hominem obstrinxerant, ne cui commentum illud detegeret. Quæ cum ille promisisset, subiunxerunt, se aduocaturos populum ad mœnia regiæ. Ei, turri conscensa, proclamandum, omnibus exaudientibus, Smerdim Cyri filium, & nō alium, esse regem. Nam se illi pepercisse, nec occidisse, ut Cambyses iussisset. Cum & hæc promisisset, conuocatur populus: Prexaspes turrim conscendit, beneficia à Cyro in Persas collata commemorat. Filium eius Smerdim se à Cambyse coactum occidisse, Magos tenere imperium affirmat: Persas execratur, si id facinus inultum sinant. His dictis, se de turre præcipitauit, ac mortuus est. Septem igitur illi ea re audita, statim ad regiam feruntur, non prohibentibus custodibus, dignitatem eorum reueritis. Progressi in aulam, in eunuchos, qui nūcios ultrò citroq́ perferebant, incidunt. eos, rogati quid uenirent, & ulteriore progressu prohibiti, occidunt, & properè ingrediuntur. Magi, qui intus eunuchorum tumultum cognorant, ad uim propulsandam se parant: atque alter qui hastam arripuerat, Aspathinem in femore, Intaphernem in facie uulnerat, unde læsus ei est oculus: alteri arcus fuit inutilis, cum res comminus gereretur. itaque in thalamum se proripit, insequitur Gobryas & Darius. ac ille Magum amplectitur: hic ueritus ne amicum in tenebris interficeret, astat ociosus. Ob eam rem à Gobrya obiurgatus, & uel utrunque traijcere iussus, pugione Magum ferit. Cæteri etiam, altero occiso, capita utriusque amputant, eaq́ ferentes, relictis duobus, tum ob uulnera, tum ad regiæ custodiam, excurrunt, cæsorum capita Persis ostendunt, rem gestam narrant. Illi fraude intellecta, Magos omnes obuios occidunt. Sopito post aliquot dies tumultu, de componendis rebus deliberant. Ac Otanes democratiam instituendam, Megabyzus aristocratiam, Darius iterum eligendum esse regem censet. cuius sententiæ & cæteri IIII principes suffragati, decreuere, conscendendos esse equos: & cuius equus, exorto sole, cum in suburbium peruenerint, primus hinnicrit, eius esse regnū. Id decretum Darius suo equisoni aperit. qui cū uir prudens esset, bono animo dominum esse iubet, eius enim regnum fore: noctu equam à Darij

Prexaspis interitus.

Magorum cædes.

Darius IIII rex Persarum.

à Darij equo adamatã in suburbio alligat, equũ prope illã adducit, ac deniq; ad coitum admittit. Manè cum septemuiri in suburbium cõuenissent, quaq; equa alligata fuerat, trãsirent: Darij equus illius recordatus hinnijt. itaq; Darius regno potitus est. Nonnulli igitur Darij equisonem Ocbarem hoc machinatum esse ferunt, alij diuersum quiddã tradunt. Nam equæ à Darij equo adamatæ, genitalia contrectasse manu, eaq; intra subligaculum condita, cum sole iam oriente septemuiri equos conscenderent, Darij equi nares palpasse: qui percepto odore, statim cum fremitu hinnierit. hoc siue ita, siue aliter factũ fuerit, regno certè potitus est Darius. qui priuatus adhuc uotũ fecerat Deo, si rex esset factus, se uasa reliqua, quæ adhuc Babylone essent, omnia, in templum Hierosolymitanum remissurum esse. & quia uetustate amicitiæ cum Zorobabele coniunctus erat, eum recens Hierosolymis profectum cum alijs duob. ad custodiam sui corporis adhibuerat. Cum autem primo sui regni anno conuiuio magnates excepisset, ac post eorum abitum, parum in lectulo dormisset, experrectus, cum suis custodibus colloquitur, & singulis singulas quæstiones proponit. Primo, an uinum omnia uincat? alteri, an rex? tertio (is Zorobabel fuit) an mulieres, easq; ueritas? pollicitus uictori præmia, ut purpuram, cydarim byssinam, & torquem aureũ gestaret, ac potestatem haberet ex auro bibendi, & in lecto aureo dormiendi, & curru aureis frænis uehendi: utq; proximum à se locum teneret, & suus cognatus uocaretur. Manè proceribus accersitis, quenq; satellitum quæstionẽ suã declarare iubet. Primus igitur uini potẽtiã extollit, quòd animos abutẽtium deciperet, affectus mutaret, & ebrios uarijs modis transformaret. Alter regẽ præstare omnib. disputat, cũ homines ob sapiẽtiã cęteris omnibus antecellant: ijs aũt quib. alia pareant, reges imperent. At Zorobabel maius esse robur mulierũ asserit. nã ex eis & reges nasci, & uinitores: eas ab omnib. & parentib. & patrię & charissimis quibusq; anteponi: eas ipsis regib. imperare, qui se submittant & adulẽtur, si quid illas ægre ferre cognorint. Sed ueritatem tamen potentiorẽ esse mulieribus. Ipsum enim Deũ ueracẽ & esse & perhiberi: cũq; cætera caduca sint, ueritatẽ esse immortalẽ & æternam. In huius sententiam cum iuissent omnes, ut qui de ueritate rectissimè disseruisset: Darius ei permisit, ut præter promissa præmia, quiduis etiam postularet. At ille regem admonet, quemadmodum uouisset, si regno potiretur, se & templum Hierosolymitanum instauraturum, & uasa quę Babylone reliqua essent, remissurum. & hæc, inquit, peto. His rex delectatus, scribit ad satrapas, ut cedrina ligna præbeant ad templi structuram, & ad urbis instaurationem Zoro-

Problemata de uino, rege, mulieribus, & ueritate.

Zorobabel instaurationem Hierosolymorũ à Dario impetrat.

ὁ Δαρείου ἐστέργετο ἵππος, καὶ δήσας εἰς τὸ προάστειον ἐπήγαγε τὸν ἵππον, καὶ προσήγαγεν αὐτὸν ἐγγὺς τῇ θηλείᾳ, καὶ τέλος ἐφῆκεν ὀχεῦσαι τὴν ἵππον. ἅμα δὲ τῶν ἑπτὰ ἤδη γενομένων εἰς τὸ προάστειον, καὶ διεξελαυνόντων ἐν αὐτῷ, ὡς ἐκεῖ γεγόνασιν ἔνθα πρότερον ἡ θήλεια ἵππος ἐδέδετο, ὡς μνήμην ταύτης ὁ Δαρείου ἵππος ἴσχων ἐχρεμέτισεν, κἀκ τούτου τῷ Δαρείῳ ἡ βασιλεία προσεγένετο. οἱ μὲν οὖν τοῦτό φασι μηχανήσασθαι τὸν Οἰβάρην (οὕτω γὰρ τῷ τοῦ Δαρείου ἱπποκόμῳ ὄνομα ἦν) οἱ δ' ἑτεροῖον ἐν φασὶ τὸ τέχνασμα. τῆς γὰρ ἵππου ἐκείνης, ἣν ὁ Δαρείου ἵππος ἐφίλει, τῶν αἰδοίων ἐπιψαῦσαι τῇ χειρὶ, καὶ τὴν χεῖρα κρύπτειν ἐν τῇ ἀναξυρίδι. ἡλίου δὲ τοῦ ἀνίσχοντος, καὶ τοὺς ἵππους ἀναβαινόντων τῶν ἑπτὰ ἐκείνων ἀνδρῶν, προσαγαγεῖν αὐτὸν τὴν χεῖρα ταῖς τοῦ ἵππου τοῦ Δαρείου μυκτῆρσι, καὶ τὸν αὐτίκα αἰσθόμενον φριμάξασθαί τε καὶ χρεμετίσαι. εἴτ' οὖν οὕτως, εἴτ' ἐκείνως, ὁ Δαρεῖος τῆς βασιλείας ἐπέτυχεν. οὗτος οὖν ἰδιώτης ὤν, ηὔξατο τῷ θεῷ, εἰ γένοιτο βασιλεὺς, πάντα τὰ σκεύη τοῦ θεοῦ, ὅσα ἦν ἔτι ἐν Βαβυλῶνι, πέμψειν εἰς τὸν ἐν Ἱεροσολύμοις ναόν. ἦν δὲ αὐτῷ παλαιὰ καὶ πρὸς τὸν Ζοροβάβελ φιλία, δι' ἣν καὶ σωματοφυλακεῖν μεθ' ἑτέρων δύο ἠξίωτο, ἄρτι ἐξ Ἱεροσολύμων πρὸς αὐτὸν ἀφικόμενος. τῷ δὲ πρώτῳ ἔτει τῆς αὐτοῦ βασιλείας πότον τοῖς μεγιστᾶσιν αὐτοῦ Δαρεῖος ἐθοίνασεν. ὡς δὲ διαλυθέντες ἀνέλυσαν, καὶ αὐτὸς ἐπὶ τῆς κοίτης κατεκλίθη· μικρὸν οὖν ὑπνώσας, ἀφύπνωσε, καὶ μετὰ τῶν σωματοφυλάκων ὡμίλει, καὶ τι τῶν ἑκάστῳ ἀσυνάλογα προτίθησι· τῷ πρώτῳ μὲν, εἰ ὁ οἶνος πάντων κρατεῖ· τῷ δευτέρῳ δὲ, εἰ οἱ βασιλεῖς· τῷ δέ γε λοιπῷ (οὗτος δ' ὁ Ζοροβάβελ ἦν) εἰ αἱ γυναῖκες, καὶ αὐτῶν ἡ ἀλήθεια; καὶ τῷ νικήσαντι γέρας δώσειν ὑπέσχετο νικητήριον, πορφύραν φορεῖν, καὶ κίδαριν βυσσίνην, καὶ περιαυχένιον χρυσοῦν, καὶ ἐν ἐκπώμασι πίνειν χρυσοῖς, καὶ ἐπὶ χρυσίου καθεύδειν, καὶ ἅρμα χρυσοχάλινον ἔχειν, καὶ μετ' αὐτὸν προεδρεύειν, καὶ συγγενῆ καλεῖσθαι αὐτοῦ. ὄρθρου τοίνυν τοὺς μεγιστᾶνας μεταπεμψάμενος, τῶν σωματοφυλάκων ἕκαστον ἐκέλευε περὶ τοῦ προβλήματος ἀποφαίνεσθαι. καὶ ὁ μὲν τὴν ἰσχὺν ἐξῆρε τοῦ οἴνου, ὡς τὰς τῶν κεχρημένων ἀπατῶντος διανοίας, καὶ τὰς τῶν ψυχῶν διαθέσεις μεταποιοῦντος, καὶ ἄλλους δὲ ἄλλως ἐργαζομένου τοὺς οἰνωθέντας. ὁ δὲ τὴν βασιλείαν πάντων ὑπερέχειν ἐφιλοσόφησεν, ὡς τῶν ἀνθρώπων κρατούντων τῶν ἄλλων ἁπάντων διὰ σοφίας, τούτων δ' αὖ οἷς ἅπαντα ὑποτέτακται, κρατουμένων τῶν βασιλέων. ὁ δέ γε Ζοροβάβελ, τὰς γυναῖκας κρατιστεύουσαν τὴν ἰσχὺν ἀπεφήνατο, ὡς καὶ τῶν βασιλέων δι' αὐτῶν γεννωμένων, καὶ τῶν τὰς ἀμπέλους φυτευόντων, καὶ παίδων αὐτὰς γονέων τε προτιμώντων, καὶ τῶν πατρίδων καὶ τῶν φιλτάτων αὐτῶν· καὶ τῶν βασιλέων δ' αὐτῶν κρατοῦν τὰς γυναῖκας, κολακευόντων αὐτὰς, καὶ ταπεινουμένων, εἰ κατά τι δυσχεραινούσας γνοῖεν αὐτάς. μᾶλλον δὲ τούτων δύνασθαι τὴν ἀλήθειαν, ἐπεὶ καὶ ὁ θεὸς ἀληθὴς ἐστὶ, καὶ οὕτω καλεῖται, καὶ τὰ μὲν ἄλλα θνητά· ἀθάνατον δὲ χρῆμα εἶναι ἡ ἀλήθεια, καὶ ἀΐδιον. πάντων δὲ τῇ γνώμῃ τούτου θεμένων, ὡς ἄριστα περὶ τῆς ἀληθείας φιλοσοφήσαντος, ὁ Δαρεῖος αἰτήσασθαι ὃ βούλεται, πέρα τῶν ὑπεσχημένων, ἐπέτρεψεν. ὁ δὲ τῆς εὐχῆς αὐτὸν ἀνέμνησεν, ἣν εἰ λάβοι τὴν βασιλείαν πεποίητο. αὕτη δὲ ἦν, τὸν ἐν Ἱεροσολύμοις τοῦ θεοῦ κατασκευάσαι ναόν, ἀποκαταστῆσαι δὲ καὶ τὰ σκεύη, ὅσα ἔτι ἐν Βαβυλῶνι περιελείπετο. καὶ τοῦτ', ἔφη, τὸ αἴτημα τὸ ἐμόν. ἡσθεὶς δ' ἐπὶ τούτοις ὁ βασιλεὺς, γράφει τοῖς σατράπαις, κέδρινα ξύλα χορηγεῖν εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ, καὶ συγκατασκευάζειν τὴν πόλιν τῷ Ζοροβάβελ,

Τί ηὔξατο τῷ θεῷ, ὁ ἰδιώτης ὁ Δαρεῖος.

Οἷα προβλήματα ὁ Δαρεῖος τοῖς οἰκείοις φίλοις, καὶ εἴ τις ἐπίσχοι τῷ διαλύσει ταῦτα.

Ὅτι ὁ Ζοροβάβελ ἐν τούτοις ὁρίσασθαι, τοῦ οἴνου καὶ τοῦ βασιλέως τὴν γυναῖκα κρατοῦσαν ἀπῆν.

Ὅτι δὴ αἰτήσαντι Ζοροβάβελ παρεχώρησε τὴν οἰκοδομὴν ὁ Δαρεῖος αὐτοῦ γενέσθαι.

Ζοροβάβελ, ὁ πάντας τοὺς εἰς τὴν Ἰουδαίαν ἀπελθόντας αἰχμαλώτους τῶν Ἰσραηλιτῶν, ἐλευθέρους εἶναι καὶ ἀτελεῖς, καὶ τάλαντα δοθῆναι πεντήκοντα εἰς τὴν ἀνέγερσιν τοῦ ναοῦ. καὶ τὰ σκεύη δὲ πάντα ὅσα ἦν παρ' αὐτῷ, ἔπεμψε, καὶ ὅσα Κῦρος περὶ τῶν Ἰουδαίων ἐθέσπισε, ταῦτα καὶ Δαρεῖος προσεδέξατο. ἀκηκοὼς οὖν ταῦτα γεγονότα εἰς Βαβυλῶνα ὁ Ζοροβάβελ, καὶ τοῖς ὁμοφύλοις τὰ παρὰ τοῦ βασιλέως εὐηγγελίσατο· καὶ ὅσοι προτεθύμηντο ἐπανελθεῖν εἰς Ἱεροσόλυμα, ἀπῄεσαν. τὸ κεφάλαιον δὲ τῶν ἀπιόντων ἦν, μυριάδες τετρακόσιαι ἑξήκοντα δύο καὶ ὀκτακισχίλιοι, ἄτερ Λευιτῶν τε καὶ πυλωρῶν καὶ δούλων ἱερῶν καὶ θεραπόντων, οἳ τοῖς ἀναβαίνουσιν εἵποντο. ἡγεμὼν δὲ τούτων ἦν Ζοροβάβελ, Σαλαθιὴλ παῖς, ἐκ τῆς Ἰούδα φυλῆς, ἀπόγονος τοῦ Δαβίδ, καὶ Ἰησοῦς υἱὸς Ἰωσεδὲκ τοῦ ἀρχιερέως, πρὸς τούτοις δὲ Μαρδοχαῖος καὶ Σερεβαῖος ἐκ τοῦ πλήθους κεχειροτονημένοι ἄρχοντες ἦσαν. ἀπελθόντες δ' εἰς Ἱεροσόλυμα, ἔθυσαν, καὶ τῆς οἰκοδομῆς ἀπήρξαντο τοῦ ναοῦ. καὶ ὁ μὲν ναὸς θᾶττον ἔλαβε τέλος. ἀπαρτισθέντος δὲ τοῦ ἱεροῦ, οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ Ἀσὰφ παῖδες ὕμνουν τὸν Θεόν. τῶν δὲ πατριῶν, οἱ πρεσβύτεροι τὸν πρὶν ναὸν ταῖς μνήμαις ἀναπολοῦντες, καὶ τὸν ἄρτι γεγενημένον χείριστον ὁρῶντες τοῦ πάλαι, εἰς δάκρυα καὶ θρήνους προήγοντο, καὶ αἱ τούτων οἰμωγαὶ ὑπερεφώνουν τὴν τῶν σαλπίγγων ἠχήν. προσίασι δ' οἱ Σαμαρεῖται τῷ Ζοροβάβελ, ἔτι τοῦ ναοῦ ἀνεγειρομένου, ἀξιοῦντες συγκοινωνῆσαι αὐτοῖς τῆς οἰκοδομῆς τοῦ ναοῦ. ὁ δὲ τῆς μὲν οἰκοδομῆς αὐτοὺς μεταλαχεῖν οὐ προσήκατο, προσκυνεῖν δ' ἐν αὐτῷ ἔλεγεν αὐτοῖς ἐφεῖσθαι. πρὸς ταῦτα οἱ Σαμαρεῖται ἠχθέσθησαν, καὶ πείθουσι τὰ ἐν Συρίᾳ ἔθνη, δεηθῆναι τῶν σατραπῶν, ἐπισχεῖν τοῦ ναοῦ τὴν ἀνέγερσιν. ἀναβάντες δὲ εἰς Ἱεροσόλυμα οἱ Συρίας ἐπάρχοντες καὶ Φοινίκης, ἠρώτων, τίνος συγχωρήσαντος ὡς φρούριον τὸν ναὸν ἀνεγείρουσι, καὶ τὴν πόλιν τείχεσι σφόδρα περιβάλλουσιν ἰσχυροῖς; Ζοροβάβελ δὲ καὶ ὁ ἀρχιερεὺς Ἰησοῦς, ἐκ Κύρου πρῶτον ἐπιτραπῆναι τὴν οἰκοδομὴν ἔφασαν, εἶτ' αὖθις ἐκ τοῦ Δαρείου. οἱ δ' ἔπαρχοι τῶν Συρίας καὶ Φοινίκης χωρῶν, τὴν μὲν τοῦ ἔργου οἰκοδομὴν ἐπισχεῖν οὐκ ἔκριναν, Δαρείῳ δὲ περὶ τούτων ἔγραψαν. τῶν δὲ Ἰουδαίων καταπεπληγότων, μὴ μεταδόξῃ τῷ βασιλεῖ περὶ ὧν ὡμολόγησεν, Ἀγγαῖος καὶ Ζαχαρίας οἱ προφῆται θαρρεῖν αὐτοὺς παρήγγελλον, καὶ μηδὲν ὑφορᾶσθαι ἀβούλητον. πιστεύοντες οὖν τοῖς προφήταις, ἐντεταμένως εἴχοντο τῆς οἰκοδομῆς. Δαρεῖος δὲ τὰς ἐπιστολὰς δεξάμενος, καὶ τὰς τῶν Σαμαρειτῶν κατηγορίας, ὅτι τήν τε πόλιν ὀχυροῦσιν Ἰουδαῖοι, καὶ τὸν ναὸν οἰκοδομοῦσιν ὡς φρούριον, καὶ ὅτι Καμβύσης τὴν τούτων ἐκώλυσεν οἰκοδομήν, προσέταξεν ἐν τοῖς βασιλικοῖς ὑπομνήμασι ζητηθῆναι τὰ περὶ τούτου, καὶ εὑρέθη ἐν Ἐκβατάνοις τῇ βάρει τῇ ἐν Μηδίᾳ γεγραμμένον, ὡς τῷ πρώτῳ ἔτει τῆς αὐτοῦ βασιλείας Κῦρος ἐκέλευσε τὸν ναὸν οἰκοδομηθῆναι τὸν ἐν Ἱεροσολύμοις, καὶ τὸ θυσιαστήριον, καὶ τὴν εἰς ταῦτα δαπάνην ἐκ τῶν βασιλικῶν διετάξατο γίνεσθαι, καὶ τὰ τοῦ ναοῦ σκεύη ἀποδοθῆναι, καὶ συλλαβέσθαι πρὸς τὸ ἔργον τοῖς ἐκεῖσε ἄρχουσιν ἐκέλευσε, καὶ τελεῖν τοῖς Ἰουδαίοις εἰς θυσίαν ταύρους καὶ κριοὺς καὶ ἄρνας καὶ ἐρίφους, σεμίδαλίν τε καὶ οἶνον καὶ ἔλαιον. ταῦτα ἐν τοῖς ὑπομνήμασι Δαρεῖος εὑρών, ἀντιγράφει τοῖς ἐπισκόποις· τὸ ἀντίγραφον ὑμῖν τῆς ἐπιστολῆς, ἐν τοῖς ὑπομνήμασιν εὑρὼν Κύρου, ἀπέσταλκα, καὶ βούλομαι γενέσθαι πάντα, ὡς περιέχει αὐτά. ἔρρωσθε. γνόντες δὲ τὴν τοῦ βασιλέως προαίρεσιν οἱ τῶν χωρῶν ἐκείνων ἐπιτροπεύοντες, συνήργουν τοῖς Ἰουδαίοις, καὶ ᾠκοδομήθη ἐν ἔτεσιν ἑπτὰ ὁ ναός, καὶ ἔθυσαν οἱ Ἰσραηλῖται θυσίας ἀνακλητικὰς τῶν προτέρων ἀγαθῶν.

Περὶ Σαμαρειτῶν, ὡς ἐκώλυσαν.

... Ἀγγαῖος καὶ Ζαχαρίας οἱ προφῆται.

babeli sint adiumento: omnes Israelitas, qui in Iudęam abeant, libertate & immunitate donat: ad templum instaurãdum L talenta largitur, uasa quæ penes ipsum erant, mittit: & quæcunque Cyrus de Iudæis promulgarat, eadem & ipse confirmat. His peractis, Zorobabel Babylonem proficiscitur, & popularibus suis lætũ affert de regis benignitate nunciũ. Quib. igitur cordi erat reditus, Hierosolyma se conferunt, quorum summa fuit * Myriades CCCCLXII & millia VIII, absque Leuitis & ianitoribus & sacris seruis ac ministris, qui reducem populũ sequebantur. Horum dux fuit Zorobabel, Salathielis filius, ex tribu Iudaica & Dauidis posteritate, & Iesus Iosedeci pontificis filius. Præter hos & Mardochæus & Gerebus, delecti à populo: urbem ingressi, uictimis immolatis templi ædificationẽ auspicantur, eaque celeriter absoluta, sacerdotes, Leuitæ, & Asaphi liberi Deum celebrant. Tribuum uerò seniores, repetita prioris tẽpli magnificẽtia, quòd recens illud longè inferius esse cernerent, ita illachrymant atque lugent, ut eorum eiulatus sonum tubarum superaret. Dum templum conderetur, Samaritani Zorobabelem adeunt, petentes se in structuræ societatem admitti. Id ille recusat: cæterùm ea absoluta, si in tẽplo adorare uelint, licere. Ea repulsa homines irritati, Syriæ gentibus autores sunt petendi à satrapis, ut templi ædificationem prohibeant. Itaque præsides Syriæ & Phœniciæ Hierosolyma profecti, rogãt, Cuius concessu templum instar castelli ædificent, & urbem muris fortissimis cingant? Zorobabel & pontifex Iesus id primùm à Cyro, deinde à Dario etiam permissum esse, respondent. Quo illi audito, non impedienda opera censuerunt, sed Dario statim scripserunt. Iudæos autem perterritos ac metuentes, ne regem liberalitatis suæ pœniteret, Aggæus & Zacharias prophetæ bonis animis esse iubent, neque molesti quicquam suspicari. Igitur prophetis freti, continenter instant operi. Darius autem literis et Samaritanorum accusationib. acceptis, quòd Iudæi urbem munirent, et templum castelli instar extruerent, cum eorum ædificatio à Cambyse prohibita fuerit, hæc in regijs monimentis inquiri iubet: ac inuentum est Ecbatanis (id Mediæ castellum est) scriptum, Cyrum anno regni sui primo iussisse, templum et sacrarium Hierosolymitanum extrui, et sumptus ad eam rẽ ex regia suppeditari, tẽplique uasa restitui, et uicinos prætores opus illud adiuuare: et Iudæis ad sacrificia pẽdere tauros, arietes, agnos et hœdos, similãque, uinũ et oleũ. Hęc Darius cũ in cõmẽtarijs inuenisset, præsidib. in hãc sentẽtiã rescripsit: Exẽplũ uobis mãdati Cyri in monimẽtis repertum, mitto: atque omnino id fieri uolo, quod illo cõtinetur. Valete. Regis uoluntate cognita, prouinciarũ illarũ prætorib. Iudęos adiuuantib. temploque annis septem absoluto, Israelitę uictimas immolarunt, pristinorum bonorum renouatrices.

Samaritani Iudæis negocium facessunt.

Darius Iudæorum ædificationẽ promouet.

renouatrices. In festo Azymorum omnes è pagis in urbem cõfluxerunt: peractoq; sacrificio, quod Pascha dicitur, festiuitatem concelebrarunt. Qui Hierosolymis consederant, formam reipublicæ tenuerunt ex optimatium & paucorum potestate contemperatam. Summa rerum enim usq; ad regnum Asamonæorũ penes sacerdotes fuit. Nam ante captiuitatem quidem regib. per annos DXXXII, menses VI, & dies X, paruerunt. Ante reges, magistratus ij præfuere, qui Iudices uocabãtur, & dictatores: sub quibus & ipsis annos amplius D. post Mosem & Iesum egerunt. Samaritani tamen infesti Iudæis, multa mala dederunt. Quamobrem Zorobabel & alij IIII ex magistratibus cũ eo Hierosolymis legati ad Dariũ fuerunt. Quorum rex querelis cognitis, ad prætores & senatum Samariæ scripsit: Ne molesti essent Iudæis, sed è regio fisco tributorum Samariæ, omnia suppeditarent ad sacrificia necessaria. Dario mortuo, Xerxes filius paterni & regni & pietatis successor, erga Iudæos optimè affectus fuit. Erat autem eo tempore Babylone Esdras, uir bonus, & Mosaicæ legis peritissimus. Is cũ se in regis amicitiam insinuasset, atq; ascendere Hierosolyma, Iudæis quibusdã Babylonijs secum adductis, cuperet: Regem orauit, ut se per literas satrapis cõmendaret. Rex igitur huiusmodi scribit literas. Meæ humanitatis esse ratus, ut qui ex Israelitis uoluerint, Hierosolyma discedant: hoc negocium Esdrę scribæ & diuinę legis lectori dedi. Qui igitur uoluerit, abeat. & quicquid auri atq; argenti in regione Babyloniorũ inuentum fuerit, Deo consecratũ, id omne iubeo perferri Hierosolyma. Tu uerò Esdra, quæcunq; tibi uisa fuerint, ea perficito, impensis è fisco regio sumptis. Sacerdotib. porrò Leuitis & omnib. templi ministris neq; tributũ, neq; quicquã aliud molestũ imperari uolo. Tuq; Esdra pro diuina tua sapientia designato iudices legis peritos, qui in Syria totaq; Phœnicia ius dicãt, & ignorantib. legẽ cognoscendã exhibeto. Hãc epistolã Esdras Iudęis Babylone degẽtib. legit, et exẽpla eius in omnes prouincias ad populares suos misit: q omnes supra modũ exhilarati sunt, quidã etiã cũ sua re familiari se Babylonẽ cõtulerũt, ut redirent Hierosolyma. Sed uniuersus Israelitarum populus illic mãsit. Ea de causa Iosephus ait, duas tantũ trib. tam in Europa q̃ in Asia parère Romanis. decẽ uerò ultra Euphratẽ esse, quarũ infinita sit multitudo, cuius iniri nullus queat numerus. Esdras igitur multis Hierosolyma secũ profectis, munera quæ Xerxes, eiusq; cõsiliarij et Babylonij Israelitę Deo donarãt, magnã argẽti et ęris summã gazę custodibus, prouinciarũ prętorib. literas regis reddit, qui gẽti honorẽ habuerũt, omnibusq; rebus adiumẽto fuerũt. Postea cũ intellexisset quosdã è populo, sacerdotib. et Leuitis alienigenas duxisse uxores: eos multis lachrymis et crebris monitis impulit, ut eas unà cum liberis

Iudæorum respublica.

Xerxes IIII rex Persarum.

Esdras.

Xerxis literæ ad satrapas.

Iudæorum infinita multitudo trans Euphratem.

ἀγαθῶν. τῆς δὲ τῶν ἀζύμων ἑορτῆς φθάσαντος, συνερρύη πᾶς ὁ λαὸς ἐκ τῶν κωμῶν εἰς τὴν πόλιν, καὶ τὴν ἑορτὴν ἤγαγον, καὶ τὴν πάσχα προσαγορευομένην θυσίαν ἐπετέλεσαν. κατῴκησαν δὲ ἐν Ἱεροσολύμοις πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ μετὰ ὀλιγαρχίας. οἱ γὰρ ἱερεῖς προειστήκεισαν τῶν πραγμάτων, ἄχρις οὗ τοὺς Ἀσαμωναίους συνέβη βασιλεύειν ἐκ γένους. πρὸ μὲν γὰρ τῆς αἰχμαλωσίας, ἐβασιλεύοντο ἔτη πεντακόσια τριακονταδύο, μῆνας ἕξ, ἡμέρας δέκα. πρὸ δὲ τῶν βασιλέων, ἄρχοντες αὐτοὺς διῆπον οἱ προσαγορευόμενοι κριταί, καὶ μόναρχοι· καὶ οὕτω πολιτευόμενοι τὸν τρόπον ἐπ' ἔτεσι πλείοσιν ἢ πεντακοσίοις διήγαγον, μετὰ Μωϋσῆν τε καὶ Ἰησοῦν. οἱ δέ γε Σαμαρεῖς ἀπεχθῶς πρὸς αὐτοὺς διακείμενοι, πολλὰ κακὰ τοὺς Ἰουδαίους εἰργάζοντο. πρέσβεις οὖν ἐξ Ἱεροσολύμων πρὸς Δαρεῖον ἐστάλησαν, Ζοροβάβελ, καὶ τῶν ἀρχόντων ἕτεροι τέσσαρες. μαθὼν δὲ ὁ βασιλεὺς τὰ κατὰ τῶν Σαμαρέων ἐγκλήματα, ἔγραψε πρὸς τοὺς ὑπάρχους τῆς Σαμαρείας καὶ τῇ βουλῇ, μὴ τι ἐνοχλεῖν Ἰουδαίοις, ἀλλὰ καὶ χορηγεῖν αὐτοῖς ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου τῶν φόρων τῆς Σαμαρείας, πάνθ' ὅσα πρὸς τὰς θυσίας αὐτοῖς δεῖ χρήσιμα. Δαρείου δὲ τελευτήσαντος, παραλαβὼν τὴν βασιλείαν ὁ παῖς αὐτοῦ Ξέρξης, καὶ τὴν πρὸς θεὸν εὐσέβειαν διεδέξατο, καὶ πρὸς τοὺς Ἰουδαίους εἶχε φιλοτιμότατα. ἦν δὲ ἐν Βαβυλῶνι τότε Ἔσδρας, ἀνὴρ ἀγαθός, καὶ τῶν νόμων Μωσέως εἰς ἐμπειρίαν ἀκριβέστατος. οὗτος φίλος τῷ Ξέρξῃ γενόμενος, καὶ ἀναβῆναι θελήσας εἰς Ἱεροσόλυμα, καί τινας ἐπαγαγέσθαι τῶν ἐν Βαβυλῶνι Ἑβραίων, ἐδεήθη τοῦ βασιλέως διὰ γραμμάτων αὐτὸν γνωρίσαι τοῖς σατράπαις αὐτοῦ. ὁ δὲ γράφει ταῦτα· Τῆς ἐμαυτοῦ φιλανθρωπίας ἔργον εἶναι νομίσας, τὸ τοὺς βουλομένους τῶν Ἰσραηλιτῶν συναπαίρειν εἰς Ἱεροσόλυμα, Ἔσδρᾳ ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ θείου νόμου τοῦτο προσέταξα, καὶ ὁ βουλόμενος ἀπίτω. καὶ ἄργυρος καὶ χρυσός, ὅσος ἂν εὑρεθῇ ἐν τῇ χώρᾳ τῶν Βαβυλωνίων ἀνομασμένος τῷ θεῷ, τοῦτον πάντα κελεύω εἰς Ἱεροσόλυμα κομισθῆναι. καὶ ὅσα ἂν γινώσκῃς ὦ Ἔσδρα καὶ ταῦτα πρᾶξαι, τὴν εἰς αὐτὰ δαπάνην ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου ποιούμενος. καὶ τοῖς ἱερεῦσι δὲ καὶ Λευίταις καὶ πᾶσι τοῖς τοῦ ἱεροῦ διακονοῦσι, μήτε φόρους μήτε ἄλλο τι φορτικὸν ἐπιταχθῆναι κελεύω. καὶ σὺ δὲ κατὰ τὴν τοῦ θεοῦ σοφίαν Ἔσδρα ἀπόδειξον κριτάς, ὅπως δικάζωσιν ἐν Συρίᾳ καὶ Φοινίκῃ πάσῃ, τοὺς ἐπισταμένους τὸν νόμον· καὶ τοὺς ἀγνοοῦντας διδάξεις αὐτὸν μαθεῖν. λαβὼν δὲ ταύτην Ἔσδρας τὴν ἐπιστολήν, ἀνέγνω ἐν Βαβυλῶνι τοῖς ἐκεῖ Ἰουδαίοις, καὶ τὸ ἀντίγραφον αὐτῆς πρὸς πάντας ἔπεμψε τοὺς ὁμοεθνεῖς· οἱ ἅπαντες ὑπερήσθησαν. πολλοὶ δ' αὐτῶν καὶ τὰς κτήσεις ἀναλαβόντες, ἦλθον εἰς Βαβυλῶνα, ἵν' ἐπανέλθωσιν εἰς Ἱεροσόλυμα. ὁ δὲ πᾶς λαὸς τῶν Ἰσραηλιτῶν κατὰ τὴν χώραν ἔμεινε· διὸ καὶ δύο φυλὰς εἶναί τε τῆς Ἀσίας καὶ τῆς Εὐρώπης Ῥωμαίοις ὑπηκόους εἶναι, φησὶν ὁ Ἰώσηππος, τὰς δὲ δέκα φυλὰς πέραν εἶναι τοῦ Εὐφράτου, μυριάδας ἀπείρους, καὶ ἀριθμῷ γνωσθῆναι μὴ δυναμένας. πρὸς Ἔσδραν δὲ πολλοὶ τὸν ἀριθμὸν ἀφικνοῦνται, καὶ σὺν αὐτῷ παραγίνονται εἰς Ἱεροσόλυμα. καὶ παραδίδωσιν ὁ Ἔσδρας τοῖς γαζοφύλαξιν, ἃ ὁ Ξέρξης καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ οἱ ἐν Βαβυλῶνι Ἰσραηλῖται τῷ θεῷ ἐδωρήσαντο, ὡς πολλὰ τάλαντα ἀργυρίου καὶ χαλκοῦ συμποσούμενα, καὶ τοῖς τῶν χωρῶν ἐπιτροπεύουσι τὰ γράμματα τοῦ βασιλέως ἐπέδωκεν. οἱ δὲ τὸ ἔθνος ἐτίμησαν, καὶ πρὸς πᾶσαν χρείαν συνήργησαν. γνοὺς δ' ἔπειτα, ὥς τινες τοῦ πλήθους καὶ τῶν ἱερέων καὶ τῶν Λευιτῶν ἀλλοεθνεῖς γυναῖκας ἀγάγοιντο, ἔπεισεν αὐτοὺς δάκρυσι πολλοῖς καὶ πυκναῖς παραινέσεσιν, ἐκβαλεῖν τὰς ἀλλοεθνεῖς, καὶ τὰ

δὲ ἐκ

[illegible]

ὅτι τὴν Δαρείου Ξέρξης [illegible] διεδέξατο, καὶ Ἔσδρας [illegible] Ἱεροσόλυμα [illegible] Ἰουδαίων.

ὅτι πολλαὶ μυριάδες πέραν Εὐφράτου μεμενήκασιν Ἰουδαίων.

δὲ αὐτῶν γεννηθέντα. τῆς ἑορτῆς δὲ τῆς σκηνοπηγίας ἐνστάσης, σχεδὸν ἅπαν τὸ τοῦ λαοῦ πλῆθος συνεληλυθὸς εἰς αὐτὴν, ἀξιωσάντων τὸν ἔσδραν, τοὺς νόμους ἀναγνωσθῆναι τοὺς μωϋσέος. καὶ ἀκούσαντες τούτων, δάκρυα προύχεον, δυσφοροῦντες περὶ τῶν παρεληλυθότων. ἔσδρας δὲ, μὴ δεῖν (ἔφη) θρηνεῖν, ἑορτῆς οὔσης· ἑορτάζειν δὲ, καὶ εὐωχεῖσθαι, καὶ τηρεῖν τοὺς νόμους εἰς τὸ μέλλον. καὶ ὁ μὲν γηραιὸς ἐτελεύτησεν. τῶν δὲ αἰχμαλώτων τις νεεμίας τὴν κλῆσιν, οἰνοχόος ὢν τοῦ ξέρξου, πρὸ τοῦ σούσων περιπατῶν, ξένους ἰδών τινας εἰσιόντας τὴν πόλιν, καὶ ἀκούσας αὐτῶν ἑβραϊστὶ ὁμιλούντων, προσελθὼν ἐπυνθάνετο, πόθεν ἀφιγμένοι. δὲ ἐκ τῶν ἱεροσολύμων ἀπόντων, πῶς αὐτῶν ἔχει τὸ πλῆθος καὶ ἡ μητρόπολις ἱεροσόλυμα, προσηρώτησεν· ἀποκριναμένων δὲ, κακῶς ἔχειν· πολλὰ γὰρ δεινὰ τὰ πέριξ ἔθνη αὐτοῖς ἐπάγειν. ἐδάκρυσεν ὁ νεανίας· καὶ τῆς ὥρας ἐπιστάσης, ὡς εἶχε, διακονήσων τῷ βασιλεῖ, εἰσελήλυθεν. ὁ δὲ βασιλεὺς σκυθρωπὸν αὐτὸν θεασάμενος, ἤρετο διότι κατηφής. ὁ δὲ τὰς λύπης αἰτίας ἅπας, τὰ τῆς πατρίδος αὐτοῦ δυστυχήματα. καὶ ἐδεῖτο συγχωρηθῆναι αὐτῷ πορευθῆναι, καὶ τό, τε τεῖχος ἀνεγεῖραι, καὶ τοῦ ἱεροῦ τὸ λοιπὸν ἀναπληρῶσαι. καὶ ὁ βασιλεὺς κατένευσε πρὸς τὴν αἴτησιν· καὶ δίδωσιν αὐτῷ τῇ ὑστεραίᾳ ἐπιστολὴν πρὸς τὸν τῆς φοινίκης καὶ συρίας καὶ σαμαρείας ἐπίτροπον, ὥστε τιμωμένῳ αὐτῷ, τιμῆσαι τὸν νεεμίαν, καὶ χορηγῆσαι τὰς εἰς τὴν οἰκοδομίαν δαπάνας. ἧκεν οὖν εἰς ἱεροσόλυμα, πολλῶν αὐτῷ ἐκ τῶν ὁμοφύλων συνεπομένων, πέμπτον καὶ εἰκοστὸν ἔτος βασιλεύοντος ξέρξου, καὶ τὴν ἐπιστολὴν τῷ ἐπιτρόπῳ τοῦ ἔθνους ἐγχειρῶν ἐπιδέδωκε· τὴν δὲ τοῦ τείχους οἰκοδομὴν διένειμε τῷ λαῷ κατὰ κώμας καὶ πόλεις, ἵν' ὅτι τάχιστα ἀνυσθῇ. καὶ ἰουδαῖοι μὲν πρὸς τὸ ἔργον διεσκευάζοντο, οὕτω κληθέντες, ἐξ ἧς ἡμέρας ἐκ βαβυλῶνος ἀνέβησαν. ἐκ γὰρ τῆς ἰούδα φυλῆς πρώτης ἐλθούσης εἰς ἐκείνους τοὺς τόπους, αὐτοί τε ἰουδαῖοι καὶ ἡ χώρα ὁμοίως ἐξ αὐτῆς μετωνόμασθο. ἀμμανῖται δὲ καὶ μωαβῖται καὶ σαμαρεῖται, τῇ τῶν τειχῶν οἰκοδομῇ ἤχθοντο, καὶ αὐτοῖς ἐπετίθεντο. καὶ πλείους ἐκτείνον, καὶ αὐτῷ τῷ νεεμίᾳ ἐπεβούλευον. καὶ τὸ μὲν πλῆθος τούτοις ἐκταραττόμενον, μικροῦ τῆς οἰκοδομῆς ἂν ἀπέστη. νεεμίας δὲ σωματοφύλακας ἕνεκα τοῦ σώματος προστησάμενος, ἀτρύτως ἐπέμενε νύκτωρ τε καὶ μεθ' ἡμέραν, τῆς πόλεως τὸν κύκλον περιιὼν, καὶ ταύτην τὴν ταλαιπωρίαν ὑπέμεινεν ἐπὶ διετίαν καὶ μῆνας τέσσαρας. ἐν τοσούτῳ γὰρ χρόνῳ τοῖς ἱεροσολύμοις τὸ τεῖχος ἀπήρτιστο, ὀγδόῳ καὶ εἰκοστῷ τῆς ξέρξου βασιλείας ἔτει, μηνὶ ἐνάτῳ. νεεμίας δὲ τὴν πόλιν ὀλιγανδροῦσαν ὁρῶν, παρεκάλεσε τοὺς ἱερεῖς καὶ λευίτας, τὴν χώραν ἐκλιπόντας, εἰς τὴν πόλιν μεταναστῆναι. ἐτελεύτησε δὲ νεεμίας γηραιὸς, ἀνὴρ χρηστὸς τὸν τρόπον, καὶ δίκαιος, καὶ φιλοτιμότατος περὶ τοὺς ὁμοεθνεῖς. τελευτήσαντος δὲ ξέρξου, ἡ βασιλεία εἰς τὸν υἱὸν αὐτοῦ κῦρον, ὃν καὶ ἀρταξέρξην καλοῦσι, μετέπεσε. τῷ γοῦν τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, τοὺς ἡγεμόνας αὐτοῦ καὶ τοὺς σατράπας τῶν οἰκείων καταλαβὼν ἐθνῶν, ἐφ' ἡμέρας πολλὰς εἱστία τούτους πολυτελῶς. καὶ ἡ βασίλισσα δὲ οὐάστη, ταῖς γυναιξὶν ὁμοίως συνήγαγε συμπόσιον, ἣν κάλλει πάσας νικῶσαν, ἠθέλησεν ὁ βασιλεὺς τοῖς αὐτῷ συμποτάζουσιν ἐπιδεῖξαι, καὶ πέμψας ἐκέλευσεν αὐτὴν ἐλθεῖν παρὰ τὸ συμπόσιον. ἡ δὲ οὐκ ἐπείθετο, καὶ πολλάκις στείλαντος, αὐτὴ οὐδέποτε ἦν. ὀργισθεὶς οὖν ὁ βασιλεὺς διὰ τὴν ἀπείθειαν, καὶ κοινώσας τοῖς ἑπτὰ τῶν περσῶν συμβούλοις τὴν γυναικὸς τὴν ἀπείθειαν. οἱ δ' ἐκβαλεῖν αὐτὴν δεῖν ἔκριναν. καὶ ὁ μὲν ἐκβεβληκὼς δ' ἤχθετο, πρὸς αὐτὴν ἐρωτικῶς διακείμενος. οὕτω δὲ ἔχοντα συνεβούλευον οἱ φίλοι, παρθένους εὐπρεπεῖς πανταχόθεν συνάγειν, καὶ τὴν προκριθεῖσαν ἔχειν γυναῖκα. πείθεται τῇ συμβουλῇ ταύτῃ, καὶ πολλῶν παρθένων ἀθροισθεισῶν, εὑρέθη γὰρ ἐν βαβυλῶνι κόρη τις, ἰουδαία τὸ γένος,

Περὶ νεεμίου ξέρξου οἰνοχόου, ὅστις αὐτὸς ἐκ βασιλέως εἰς ἱεροσόλυμα ἐλθὼν, καὶ τὸ τεῖχος αὐτῶν ᾠκοδόμησεν.

Ὅτι πρώτη ἡ τοῦ ἰούδα φυλὴ ἐκ βαβυλῶνος ἀνέβη, ὅθεν καὶ ἰουδαῖοι οἱ ἐν ἱεροσολύμοις ἐκλήθησαν.

Ὅτι τοῦ ξέρξου υἱὸς κῦρος, ὁ καὶ ἀρταξέρξης, ἐβασίλευσεν.

Περὶ ἐκβολῆς τῆς γυναικὸς ἀρταξέρξου, καὶ περὶ μαρδοχαίου,

liberis eijcerent. Festo tabernaculorum omnis ferè populus congregatus, ab Esdra petijt, ut leges Mosaicas legeret: quibus auditis, cōmissa piacula deplorarunt. Sed Esdras, in festo non esse lachrymādum, dixit: sed operādum sacris, & conuiuandum, ac leges in posterum obseruādas. Et hic quidem senex obijt. Quidā autem ex captiuis, Xerxis pincerna, ante mœnia Susorum deambulans, cum hospites quosdam urbē ingredientes, qui hebraicè colloquebātur, uidisset, rogat qui sint? Cum se Hierosolymis uenisse responderent, de statu populi & metropolis percontatur, cumq; intellexisset, res malè se habere, & multis malis affici Iudæos à uicinis gentib. lachrymat: et hora instante regi ministraturus, ita uti erat, cœnaculum ingreditur. Qui cum tristitiæ causam percontaretur, patriç calamitates commemorans Neemias, orat regē, ut sibi liceat eò proficisci, & muros extruere, & quod templo adhuc deest, perficere. Rex postulatis annuit, & postridie literas ei dat ad Phœniciç, Syriæ & Samariæ præsidem, quibus iubebatur honorem habere adolescenti, & sumptus ædificationis præbere. Venit igitur Hierosolyma, cum magno popularium comitatu, anno regni Xerxis XXV, redditis Præsidi literis: & ædificationem oppidatim & uicatim distribuit, ut ea quàm primum absolueretur. Iudæi igitur operi accinguntur, sic nominati, ex quo die Hierosolyma Babylone redierunt. Nā tribu Iudaica primùm in loca illa reuersa, & ipsi Iudæi uocati sunt, et nomē regioni inditū fuit. Cæterum Ammanitæ, Moabitæ & Samaritani mœniū structurā ęgrè ferentes, aggressi Iudęos, multos occiderunt, ipsi etiā Neemiæ insidiati. Ac populus ijs reb. perturbatus, parū abfuit quin opus inchoatū desereret. Verùm Neemias satellitib. præsidij causa ascitis, constāter perseuerans, noctu & interdiu mœnia urbis obibat. eāq; ærumnā per bienniū & menses quatuor tolerauit, donec muri absoluti essent, anno imperij Xerxis XXVIII, & mense IX. Cumq; urbē infrequenter habitari uideret, persuasit sacerdotib. & Leuitis, ut agris relictis in eā se cōferrent. Obijt Neemias senex, uir bonus & iustus, suorūq; populariū studiosissimus. Xerxe quoq; mortuo, filius eius Cyrus, quē et Artaxerxē uocant, regno potitus, tertio imperij sui anno, duces & satrapas prouinciarū suarū per multos dies magnificis conuiuijs excepit. Regina quoq; Vasta matronis epulū præbuit: quā forma præstantē omnibus, rex conuiuis suis ostentare cupiens, ad conuiuiū accersi iubet. Illa recusante, & nuncios complures infecta re dimittente: iratus, uxoris contumaciā cum septem Persarum senatorib. communicat. hi eius eijciendæ autores sunt. Eiectæ uerò desideriū iniquo animo ferenti, suadent amici, ut formosas uirgines colligat, earumq; præstantissimam uxorem ducat. Paret consilio rex: multisq; uirginib. collectis, Babylone puella, Iudęa genere, inuenta est,

Esdras legem Mosaicam quasi postliminio reuocat.

Neemias Hierosolymorū structuram absoluit.

Iudæorum nomen.

Artaxerxes, qui & Cyrus, V rex Persarum.

Vastæ reginæ repudiū

ἐκ φυλῆς

ex tribu Beniamitica, ambobus orba parentibus, quę à patruo Mardochæo principe Iudæorum educabatur, Esthera nomine. Eā rex, lepore eius captus, uxorem ducit, & diademate ornat. Patruus item eius Mardochæus Babylone Susa commigrauit, ut regiam frequentaret, & de nepte sua percōtaretur. Neq; enim illa unde nata esset, indicarat: neq; ipse, aliquam cū illa necessitudinē sibi intercedere ostendebat. Tulerat autem rex legem, ne quis ad le in solio sedentem accederet inuocatus: qui secus fecisset, statim ab apparitoribus securi feriretur, nisi ipse uirgam quā manu teneret, illi porrexisset: eā enim qui attigerat, indemnis erat. Cum aūt duo eunuchi regi insidias struerent, Bargabazus Iudæus, seruus alterius eunuchi, ijs animaduersis rem ad Mardochæum defert. ille per Estheram ad regem: qui eunuchis in crucem actis, Mardochæum in commentarios inscribi, & in regia manere iubet. Amanem porrò amicum summum regis, omnes adorabant: quod cum Mardochæum propter legem Iudaicam prætermittere cognouisset, indignatus ei dixit, se à Persis ingenuis adorari: cur ille, qui seruus esset, idem non faceret? totaq; gente apud regem accusata, petijt, ut ea funditus extirparetur, ita ut nullæ reliquiæ superessent. Ne uerò tributis rex fraudaretur, ipse quadraginta argenti millia se daturum esse pollicitus. Rex Amani & pecuniam & homines condonat, ut eos suo arbitratu tractet. Is igitur statim edictum nomine regis in omnes prouincias mittit, his uerbis: Eos qui ab altero patre meo Amane indicātur, omnes cum uxoribus & liberis interfici uolo, idq; fieri XIIII die mensis XII, hoc anno. His literis in urbes & prouincias perlatis, internecio Iudæis parabatur. Idem Susis etiam agitabatur. Mardochæus autem, cū quid actum esset cognouisset, saccum indutus, & puluere oppleto capite, clamitans, gentem immeritam deleri, ante regiam astabat. Neq; enim eo habitu ingredi decere arbitrabatur. Quod cum ad reginam Estheram perlatum esset, misso eunucho causam luctus ex eo quærit. Ille quid accidisset, eunucho narrat, petit ut illa apud regem pro populo intercedat. Cui Esthera uicissim nunciat, uereri se, si inuocata ad regem accesserit, ne occidatur. Respondet Mardochæus, non illi
» priuatam, sed gentis publicam salutem esse spe-
» ctandam. Id nisi fecerit, populum utique di-
» uinitus iri conseruatum, ipsam uerò cum pa-
» terna domo interituram. Proinde regina eum Susa ire, & Iudæis Susijs tridui ieiunium pro sese indicere iubet. Paret Mardochæus: ipsa prostrata humi, ueste lugubri induta, per tres dies cibo nō gustato, Deum orat. Iis elapsis, ornatu regio culta, cū duab. ancillis, quarum alteri leuiter innitebatur, altera promissam uestē & humi fusam summis digitis alleuabat, regē adit, perculsa metu. cumq; in cōspectū eius in regio

Persica lex de rege nō accedendo.

Mardochæus insidias eunuchorū Artaxerxi detegit.

Aman ob Mardochæum Iudæis infestus, internecionē molitur.

Amanis edictum.

Mardochæus per Estheram exitiū à sua gente depellit.

Esthere aditus ad regem, & cōmunis.

ἐκ φυλῆς τῆς Βενιαμίτιδος, ὀρφανὴ καὶ ἀμφοῖν τῶν γονέων, παρὰ τῷ θείῳ Μαρδοχαίῳ τρεφομένη, τῷ πρώτῳ τῶν παρὰ τοῖς Ἰουδαίοις, Ἐσθὴρ ἦν τῇ κόρῃ τὸ ὄνομα· ἐρασθεὶς οὖν ταύτης ὁ βασιλεὺς, εἰς γυναῖκα ταύτην ἠγάγετο, καὶ περιτίθησιν αὐτῇ τὸ διάδημα, καὶ ὁ θεῖος αὐτῆς ἐκ Βαβυλῶνος εἰς Σοῦσα μετῴκησε, περὶ τὰ βασίλεια διατρίβων, καὶ περὶ τῆς ἀδελφιδῆς πυνθανόμενος. οὔτε γὰρ ἐκείνη δῆλον τὸ ἔθνος ἐξ οὗπερ ἐτύγχανεν, εἴρητο, οὔτε ὁ Μαρδοχαῖος τὴν πρὸς αὐτὴν ὡμολόγει συγγένειαν. ἔθετο δὲ νόμον ὁ βασιλεὺς, ὥστε μηδένα οἱ ἐπὶ τοῦ θρόνου καθημένῳ ἄκλητον προσιέναι, ἢ θνήσκειν τὸν οὕτω προσιόντα ὑπὸ τῶν αὐτῷ παρεστηκότων πελεκυφόρων, εἰ μὴ ἐκεῖνος ὃν ἐν χερσὶ κατεῖχε χρυσοῦν ῥάβδον ὀρέξειε πρὸς αὐτόν. ὁ γὰρ τοῦ λύγου ἁψάμενος, ἀκίνδυνος ἦν. ἐπιβουλευσάντων δὲ τῷ βασιλεῖ Ἀρταξέρξῃ δύο εὐνούχων αὐτοῦ, Βαρνάβαζος οἰκέτης τοῦ ἑτέρου, τὸ γένος ὢν Ἰουδαῖος, συνεὶς τὴν ἐπιβουλὴν, τῷ Μαρδοχαίῳ ἀπήγγειλε, καὶ ὃς διὰ τῆς Ἐσθὴρ τῷ βασιλεῖ τοὺς ἐπιβούλους ἐμήνυσεν. ὁ δὲ τοὺς μὲν εὐνούχους ἀνεσταύρωσε, τοῦ δὲ Μαρδοχαίου τὸ ὄνομα ἐκέλευσεν ἐγγραφῆναι τοῖς ὑπομνήμασι, καὶ προσμένειν τοῖς βασιλείοις αὐτόν. Ἀμὰν δὲ φίλον ὄντα τῷ βασιλεῖ ἐς τὰ μάλιστα, ἅπαντες προσεκύνουν. Μαρδοχαίου δὲ μὴ προσκυνοῦντος διὰ τὸν νόμον αὐτῶν, μαθὼν ὡς Ἰουδαῖος εἴη, ἠγανάκτησε καὶ εἶπεν αὐτῷ, ὡς οἱ μὲν ἐλεύθεροι Πέρσαι προσκυνοῦσιν αὐτὸν, ὁ δὲ δοῦλος ὢν ἀπαξιοῖ τοῦτο ποιεῖν. προσελθὼν οὖν τῷ βασιλεῖ κατηγόρει τοῦ ἔθνους παντὸς, καὶ ἤτει κελεῦσαι πρόῤῥιζον ἐξολεσθῆναι αὐτὸ, καὶ μή τι λείψανον αὐτοῦ καταλιπεῖν. ἵνα μέντοι μὴ ζημιωθῇ τοὺς φόρους αὐτῶν, αὐτὸς ἐπηγγέλλετο δώσειν μυριάδας ἀργυρίου τέσσαρας. ὁ μὲν οὖν Ἀμὰν ᾔτει ταῦτα. ὁ δὲ βασιλεὺς καὶ τὸ ἀργύριον αὐτῷ χαρίζεται καὶ τοὺς ἀνθρώπους, ὥστε χρῆσθαι τούτοις ὡς βούλεται. αὐτίκα οὖν διάταγμα παρὰ τοῦ Ἀμὰν ἐπέμφθη εἰς πάντα τὰ ἔθνη, ὡς ἐκ τοῦ βασιλέως, περιέχον ταῦτα· τοὺς δηλουμένους ὑπὸ τοῦ δευτέρου μου πατρὸς Ἀμὰν, κελεύω πάντας σὺν γυναιξὶ καὶ τέκνοις ἐξολέσθαι, καὶ τοῦτο γενέσθαι βούλομαι τῇ τετάρτῃ καὶ δεκάτῃ τοῦ δωδεκάτου μηνὸς τοῦ ἐνεστῶτος ἔτους. τούτων κομισθέντων τῶν γραμμάτων εἰς τὰς πόλεις καὶ τὰς χώρας, ἡ τῶν Ἰουδαίων ἀπώλεια ἡτοιμάζετο. εἶχον δὲ καὶ οἱ ἐν τοῖς Σούσοις ὁμοίως. ὁ δὲ Μαρδοχαῖος μαθὼν τὸ γινόμενον, σάκκον ἐνδὺς, καὶ καταχεάμενος σποδὸν, ἐβόα, ὅτι μηδὲν ἀδικοῦν ἔθνος ἀναιρεῖται. καὶ πρὸς τὰ βασίλεια ἐλθὼν, ἐκτὸς ἵστατο. οὐ γὰρ ἐξῆν μετὰ τοιούτου σχήματος εἰσελθεῖν. γνοῦσα δὲ τοῦτο ἡ Ἐσθὴρ ἡ βασίλισσα, εὐνοῦχον πρὸς Μαρδοχαῖον ἀπέστειλε, γνωσόμενον ὅτου χάριν πενθεῖ· ὁ δὲ τὰ συμβάντα τῷ εὐνούχῳ ἐγνώρισε, καὶ περὶ τοῦ τὸν δεηθῆναι τοῦ βασιλέως τῇ Ἐσθὴρ ἐνετέλλετο. ἡ δὲ μαθοῦσα ταῦτα, δηλοῖ αὐτῷ, ὅτι μὴ κληθεῖσα παρὰ τοῦ βασιλέως, δέδοικεν ὡς ἐκθανεῖται, εἰ ἄκλητος αὐτῷ προσέλθοι. Μαρδοχαῖος δὲ ἐδήλου αὐτῇ, μὴ τῆς ἰδίας σωτηρίας σκοπεῖν, ἀλλὰ τῆς τοῦ ἔθνους. εἰ δ' οὐ, ἔσεσθαι μὲν πάντως ἐκείνοις βοήθειαν ἐκ θεοῦ, αὐτὴν δὲ καὶ τὸν πατρῷον οἶκον αὐτῆς διαφθαρήσεσθαι. ἡ δὲ ἐνετέλλετο αὐτῷ εἰς Σοῦσα περιελθόντι, παρασκευάσαι τοὺς ἐκεῖ Ἰουδαίους νηστεῦσαι τρεῖς ἡμέρας ὑπὲρ αὐτῆς. καὶ Μαρδοχαῖος μὲν οὕτως ἐποίησεν. ἡ δ' Ἐσθὴρ ῥίψασα κατὰ γῆς ἑαυτὴν μετὰ πενθίμου ἐσθῆτος, καὶ ἄτροφος ἐπὶ τρισὶν ἡμέραις διαμείνασα, ἐδεῖτο τοῦ θεοῦ. μετὰ δὲ τὰς τρεῖς ἡμέρας κόσμον μεταμφιεσαμένη βασίλειον, σὺν δυσὶ θεραπαινίσιν, ὧν τῇ μὲν κούφως ἦν ἐπερειδομένη, ἡ δὲ τὸ βάθος τοῦ χιτῶνος καὶ μέχρι τῆς γῆς κεχυμένον ἄκρους ἐπῇρε δακτύλοις, ἄεισι πρὸς τὸν κρατοῦντα. ἰσχνὴ δὲ μετὰ δέους. ὡς δὲ κατὰ πρόσωπον αὐτοῦ ἐπὶ τοῦ θρόνου

ὅτι νόμον ἔθετο ἀρταξέρξης, μηδένα ἀκλήτως προσιέναι αὐτῷ.

ὅτι ὁ μαρδοχαῖος εὐνούχων ἐπιβουλὴν ἐμήνυσε κατὰ τοῦ βασιλέως.

ὁ ἀμὰν μαρδοχαίου ἀνταιρομένου ἐφθόνει, ἀλλ' ἐστραφθη εἰς αὐτὸν τὰ πονηρά.

ὅτι ἐσθὴρ γνοῦσα τὸν μέλλοντα τῶν ἰουδαίων ἀφανισμὸν παρὰ ἀμὰν διὰ τοῦ μαρδοχαίου, ἐκείνη προσηύχετο τῷ θεῷ, ἅμα καὶ ἄλλοι οἱ αὐτοῦ ἀνεπαύσαντο, καὶ διὰ τοῦτο λυτρωθέντες ...

θρόνου βασιλικοῦ καθεζομένου ἐγγὺς, προσιδόντος αὐτὴν βλοσυρῶς, ταραχθεῖσα ὑπὸ τοῦ δέους λαμβάνει αὐτὴν, καὶ τῇ παρὰ πλευρὰν ἑστώσῃ ἐπιπίπτει ἀχανής. ὁ δὲ βασιλεὺς δείσας περὶ τῇ γυναικὶ, τοῦ θεοῦ προμηθευσαμένου τοῦτο, ἀναπηδήσας ἐκ τοῦ θρόνου, καὶ ταῖς ἀγκάλαις αὐτὴν ὑπολαβὼν, ἀνεκτᾶτο κατασπαζόμενος, καὶ θαρρεῖν ἐγκελευόμενος, καὶ τὴν ῥάβδον ἐκτείνας αὐτῇ τὴν χρυσῆν, καὶ τὸ σκῆπτρον ἐνθέμενος ταῖς χερσὶν αὐτῆς. ἡ δὲ ἐντεῦθεν ἀναθαρσήσασα, ἐφ' ἑστίασιν αὐτὸν μετὰ τοῦ ἀμὰν πρὸς αὐτὴν ἀξιοῖ ἐλθεῖν. ὡς δὲ ἐπένευσε, καὶ ἧκεν, ἐκέλευσεν ἐκείνην ὁ βασιλεὺς δηλοῦν ὅ,τι βούλεται, μηδενὸς γὰρ ἀτυχήσειν. ἡ δὲ εἰς τὴν αὔριον φράζειν αὐτῷ τὴν βούλησιν ἔλεγεν, εἰ πάλιν πρὸς αὐτὴν μετὰ τοῦ ἀμὰν ἐφ' ἑστίασιν ἔλθοι. τοῦ δὲ βασιλέως ὑποσχομένου, περιχαρὴς ὁ ἀμὰν ἐξῄει· καὶ ἰδὼν τὸν μαρδοχαῖον ἐν τῇ αὐλῇ, ἠγανάκτησεν, ὅτι μὴ αὐτῷ προσεκύνησε. καὶ οἴκοι ἐλθὼν πρὸς τὴν γυναῖκα καὶ τοὺς φίλους, διηγεῖτο οἵας καὶ παρὰ τῆς βασιλίσσης ἀπολαύει τιμῆς, καὶ ὡς ἄχθεται τὸν μαρδοχαῖον βλέπων ἐν τῇ αὐλῇ. παρὰ δὲ τῆς γυναικὸς αὐτοῦ φρασθὲν, κελεῦσαι κοπῆναι ξύλον πεντήκοντα πηχῶν, καὶ πρωῒ παρὰ τοῦ βασιλέως αἰτησάμενον ἀνασταυρῶσαι τὸν μαρδοχαῖον, τὴν γνώμην ἀποδεξάμενος, προσέταξε τοῖς οἰκέταις, ξύλον ἑτοιμάσαι, καὶ στῆσαι τοῦτο ἐν τῇ αὐλῇ πρὸς τιμωρίαν μαρδοχαίου. καὶ τὸ μὲν ἦν ἕτοιμον· ὁ δὲ θεὸς τῆς νυκτὸς ἐκείνης ἀφαιρεῖται τὸν ὕπνον τοῦ βασιλέως. ὁ δὲ ἀγρυπνῶν, τὸν γραμματέα κομίσαντα τῶν ἰδίων πράξεων τὰ ὑπομνήματα ἀναγινώσκειν ἐκέλευσε. καὶ ἀναγινωσκομένων, εὑρέθη μηνυτὴς μαρδοχαῖος γενόμενος τῷ βασιλεῖ ἐπιβουλῆς εὐνούχων. φράζοντος δὲ τοῦτο μόνον τοῦ γραμματέως, καὶ μεταβαίνοντος ἐφ' ἑτέραν πρᾶξιν, ἐπέσχεν ὁ βασιλεὺς, πυθόμενος εἰ ἔχει γέρας αὐτῷ δοθὲν ἀναγεγραμμένον. ὡς δὲ ἤκουσε μηδὲν εἶναι, τίς δὲ ἄρα τῆς νυκτὸς ὥρα ἤρετο· μαθὼν δὲ, ὡς ὄρθρος ἤδη ἐστὶν, ἐκέλευσε τῶν φίλων ὃν ἂν πρὸ τῆς αὐλῆς εὕρωσιν, εἰσκαλεῖν. εὑρέθη δὲ ὁ ἀμὰν ταχύνας, ἵνα τὸν μαρδοχαῖον αἰτήσηται. κληθέντι δὲ εἶπεν ὁ βασιλεύς· συμβούλευσόν μοι, πῶς ἂν τιμήσαιμί τινα στεργόμενον ὑπ' ἐμοῦ; ὁ δὲ λογισάμενος, ἣν ἂν δῷ γνώμην, ὑπὲρ ἑαυτοῦ ταύτην δώσειν (στέργεσθαι γὰρ αὐτὸν ὑπὸ τοῦ βασιλέως τῶν ἄλλων μᾶλλον) εἰ βούλοιο, ἔφη, τοῦτον δοξάσαι, ποίησον ἐφ' ἵππου βαδίζειν, τὴν αὐτὴν σοὶ ἐσθῆτα φοροῦντα, καὶ περιαυχένιον χρυσοῦν ἔχοντα, καὶ προϊόντα τῶν ἀναγκαίων σου φίλων ἕνα κηρύσσειν δι' ὅλης τῆς πόλεως, ὅτι ταύτης τυγχάνει τῆς τιμῆς, ὃν ἂν βασιλεὺς τιμήσῃ. ἡσθεὶς ἐπὶ τῇ παραινέσει ὁ βασιλεὺς, ἐπιζήτησον (φησὶ) μαρδοχαῖον τὸν ἰουδαῖον, καὶ δοὺς ἐκείνῳ τὸν ἵππον, καὶ τὴν στολὴν, καὶ τὸν στρεπτὸν προάγων αὐτοῦ καὶ κήρυττε· σὺ γάρ μοι φίλος ἀναγκαιότατος. ταῦτα δὲ αὐτῷ παρ' ἐμοῦ ἔσται, σώσαντι μου τὴν ψυχήν. τούτων ἀκούσας συνεχύθη, καὶ ἀλγῶν ὑπὸ ἀμηχανίας, ὅμως ἔξεισιν ἄγων τὸν ἵππον, καὶ τὴν πορφύραν, καὶ τὸν στρεπτὸν· καὶ τὸν μαρδοχαῖον πρὸ τῆς αὐλῆς εὑρὼν σάκκον ἐνδεδυμένον, ἐκέλευεν ἐνδύσασθαι τὴν πορφύραν. ὁ δὲ, κάκιστε (εἶπεν) ἀνθρώπων, οὕτως ἡμῶν ταῖς συμφοραῖς ἐγγελᾷς; γνοὺς δὲ, ὡς γέρας αὐτῷ τοῦτο ἀντὶ τῆς σωτηρίας παρέσχεν ὁ βασιλεὺς, μηνύσαντι τὴν τῶν εὐνούχων ἐπιβουλὴν, ἐνδύεται τὴν πορφύραν, καὶ περιτίθεται τὸ περιαυχένιον, καὶ ἐπιβὰς τὸν ἵππον, ἐν κύκλῳ περιάγει τὴν πόλιν, προϊόντος ἀμὰν καὶ κηρύσσοντος, οὕτως τιμᾷ βασιλεὺς ὃν ἂν στέργῃ. ὁ μὲν οὖν τὴν πόλιν περιελθὼν, πρὸς τὸν βασιλέα ἐπάνεισιν. ἀμὰν δὲ οἴκοι ὑπέστρεψε, καὶ τὰ συμβάντα κλαίων τῇ γυναικὶ διηγεῖτο.

ἐν τού-

ὅτι ἐκέλευσε ... πηχῶν ... ξύλον, ἐν ᾧ τὸν μαρδοχαῖον ὁ ἀμὰν ἀνασταυρῶσαι ἐβούλετο.

ὅτι ἀγρυπνήσας ὁ βασιλεὺς τὸν μαρδοχαῖον διὰ τὴν ἐπιβουλὴν, καὶ διὰ τοῦτο ... ἐτίμησεν.

... ἀμὰν ... ἐπὶ ... ἦλθε.

throno sedentis, ac toruum tuentis uenisset, exanimata metu, in ancillam lateri adhęrentem procumbit. Rex autem, diuina prouidentia sic euentum moderante, solio exilit, mulieri metuens: eamque ulnis exceptam cōplectens, & bono esse animo iubens, reficit, porrecta uirga aurea, sceptroque in manus ei tradito. Illa resumpta fiducia, petit, ut cū Amane ad se comessatū ueniat. Annuit rex: cumque uenisset, iubet eam dicere quid uelit? nam nihil non impetraturam. Illa se postridiè dicturam ait, si denuò cum Amane ad conuiuium ueniret. Rege assenso, Aman lætitia exultans egreditur: uisoque in aula Mardochæo, indignatur, se ab eo nō adorari. Domi uxori suæ & amicis refert, quantus à regina etiā sibi sit honos habitus, quāque grauiter Mardochæi conspectum in aula ferat. Cumque ab uxore esset monitus, ut lignum L cubitorum excidēdum curaret, & manè à rege peteret, ut Mardochæum in crucem agere liceret: approbato consilio, seruos lignum parare iubet, idque in aula erigere ad Mardochæi supplicium. Eo parato, Deus noctu regi somnum adimit. qui cum uigilaret, priuatarum rerum commētarios scribam afferre & recitare iubet: in quibus cum lectum esset, Mardochæum detulisse eunuchos insidiatores regis, & scriba statim ad aliud caput properaret: rex eum inhibuit, percontans, an scriptum esset præmium, quo donatus esset? illo negante, quota hora noctis esset rogat: cum audisset diluculum esse, quencunque amicorum ante regiam inuenirent, intrò uocari iubet. Inuentus autem est Aman, qui aderat, ut Mardochæum posceret. Ei accersito rex: Cōsule mihi, inquit, quo honore sit afficiendus quidam mihi dilectus? Ille ratus, quam sententiam dixisset, eam in suam rem dicturum, qui regi charior esset cæteris: Eum, inquit, si illustrem reddere uolueris, facito ut equo uehatur, pari tecū ueste indutus, & aureo torque ornatus, & aliquis ex necessarijs amicis tuis antecedens, per totam urbem proclamet: Tali honore affici eum, quem rex honore afficiat. Cōsilio delectatus rex: Quęre, inquit, Mardochæum Iudæum, datoque equo & ueste, & torque, illum antecede & proclama: tu enim amicus es meus maximè necessarius. Hæc autem illi à me tribuentur, ob cōseruatam uitam meam. His Aman auditis, perturbatus, & animo æstuans, tamen egreditur, equum adducit, & purpurā atque torquem. cumque Mardochæū ante regiam inuenisset sacco indutum, purpuram induere iubet. At ille: Pessime, inquit, mortaliū, itàne nostris malis insultas? sed cum intellexisset, ea sibi tribui munera à rege, cuius uitam, indicatis eunuchorū insidijs, conseruasset: purpurā induit, collo torquem accommodat, & equo cōscenso passim urbem circuit, præcedente Amane, & proclamante: Sic honorare regē eum quē diligat. Ita Mardochęus urbē circuēctus, ad regē redit. Amanus uerò domū regressus, casum illū plorans uxori exponit.

Aman crucem Mardochæo parat.

Aman contra uoluntatem suā Mardochæum summis ornat honoribus.

Inte-

Aman in crucē Mardochæo paratam agitur.

Interea ueniunt eunuchi ab Esthera, qui Amanem properé ad cœnam ire iubent. Quorū unus cruce in eius ædibus uisa, cum è famulo didicisset, eam ab Amane ad Mardochæi suppliciū, quem à rege postulaturus esset, paratā esse: tum quidē abit. Conuiuio uerò propè finito, rex dicere iubet Reginā quid uelit: At illa gentis suę interitum deplorat, seq; unà cum illa exitio destinatā esse refert, eaq; Amanem petijsse. Ob quæ rex perturbatus, è conuiuio se proripit: Aman Estheram orat, cumq; in lectum prolapsus esset, reginæ supplicans: rex ingressus, Pessime, inquit, etiam uim uxori meæ inferre paras? Mox eunuchus quoq; adest, & de cruce refert, quam in Amanis ædib. Mardochæo paratā uiderat. Rex uerò Amanē euestigiò de ea suspendi iubet. itaq; ille perijt, & opes eius reginæ donat. cognitaq; cognatione Mardochæi & Estheræ, eum anulū quē prius Aman habuerat, ei dat. Eidem & regina facultates Amanis largitur, et regem orat, ut Hebręorū gentē periculo liberet. Tum ille suo nomine eā scribere permisit, quicquid uelit. Literæ porrò hæc continebant: Amanē ut improbū & ingratū accusabant, quòd insontis populi exitiū postulasset. Mardochęū seruatorē nominabāt. Iudęos celebrabāt, ut qui optima reipub. forma uterentur, & Deum colerent. neq; supplicio tantū ab Amane præparato eos liberabant, sed & honore afficiebant, et suis legib. pacatè uiuere sinebant: data potestate, ut XIII die mensis XII, qui est Adar, ulciscerētur eos à quib. læsi essent. mādabantq; prouinciarū satrapis, ut eis adiumento essent, ad ulciscēdos inimicos. Cæterùm Susiani Iudęi, Mardochęi euentu cognito, felicitatē eā publicā esse iudicarunt, & XIII die mensis Adar, qui à Macedonib. Dystrus dicitur, circiter D. ex inimicis occiderunt: qui uerò in alijs urbib. & prouincijs degebant, LXXV millia sustulerunt. Iidē Susiani etiā postridie CCC iussu Estheræ interfecerunt, X Amanis liberis in cruces actis: ea quoq; re à rege cōcessa cōiugi. XIIII uerò diē tota gens festū esse iussit: atq; ab eo tēpore ambos hos dies festos ducūt, & præsidiarios appellant. Mardochæus aūt magnus euasit, & regis in administrādo imperio socius.

Ioāne pōtificis fratricidium.

Cum uerò sacerdotium ad Ioannā Iodais filiū redijsset: fratri eius Iesu, amico Bagoæ ducis copiarū Artaxerxis id promissum fuerat. Qua re Ioannas irritatus, fratrē in ęde sustulit. Bagoas igiť statim adest, ac tēplum ingressus: Si ij qui cædem in templo commiserunt, inquit, templum ingrediuntur, & ego ingrediar, qui sum illis purior. & Iudæos per annos VII uexauit.

Ioad. Manasses. Sanabaletes Satrapa, templū in Garizino mōte extruit.

Ioannæ defuncto Ioad filius in pontificatu succedit. Is fratrē habuit Manassem, cui Sanabaletes Darij postremi Persarum regis satrapes, filiam Nicasam in matrimoniū dederat. Sed cum Hierosolymitani proceres tumultuarētur, q. pōtificis frater peregrinā uxorē haberet, eāq; uel repudiare, uel sacrario abstinere iuberēt: Manasses socero negociū exposuit.

Cui

Ἐν τούτοις ἧκον ἐκ τῆς Ἐσθὴρ οἱ εὐνοῦχοι, ἐπὶ τὸ δεῖπνον τὸν Ἀμὰν ἐπισπεύδοντες. ὧν εἷς τὸν ἰδὼν τὸν σταυρὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ μαθὼν παρά του τῶν οἰκετῶν, ὡς ἐπὶ Μαρδοχαῖον τοῦτον ἡτοίμασεν, πρὸς τιμωρίαν αὐτοῦ αἰτησόμενος, τότε μὲν ἀπῆλθεν. ὡς δὲ ἡ εὐωχία πρὸς τέλος ἦν, ἐπιτρέπει τῇ βασιλίσσῃ λέγειν ὁ βασιλεὺς τίνα αἰτοῖτο· ἡ δὲ τὸν τοῦ λαοῦ κίνδυνον ἀπωδύρετο, καὶ μετὰ τοῦ ἔθνους ἔλεγεν ἐκδεδόσθαι καὶ αὐτὴν πρὸς ἀπώλειαν, καὶ τὸν Ἀμὰν ταῦτα ἐπάγειν αὐτῇ ἔφασκε. ταραχθέντος δὲ πρὸς τοῦτο τοῦ βασιλέως, καὶ ἐκπεπηδηκότος τοῦ συμποσίου, τῆς Ἐσθὴρ ὁ Ἀμὰν ἐδεῖτο, καὶ ἐπὶ τῆς κλίνης πεσόντος καὶ ἱκετεύοντος τὴν βασίλισσαν, εἰσελθὼν ὁ βασιλεύς, ὦ κάκιστε (εἶπε) καὶ βιάζεσθαι τὴν γυναῖκα ἐπιχειρεῖς; ἐν τούτοις παρὼν ὁ εὐνοῦχος, περὶ τοῦ σταυροῦ, ὃν εἶδεν ἐπὶ Μαρδοχαῖον ἡτοιμασμένον. καὶ ὁ βασιλεὺς αὐτίκα κελεύει τὸν Ἀμὰν ἐπ' ἐκείνου τοῦ σταυροῦ κρεμασθῆναι. καὶ ὁ μὲν οὕτως ἀπώλετο, τὴν δὲ οὐσίαν αὐτοῦ δῶρον ἔσχηκεν ἡ βασίλισσα. γνοὺς δὲ τὴν πρὸς Ἐσθὴρ τοῦ Μαρδοχαίου συγγένειαν ὁ βασιλεύς, δίδωσιν αὐτῷ τὸν δακτύλιον, ὃν ἐδεδώκει πρὶν τῷ Ἀμάν. καὶ ἡ βασίλισσα τὴν ἐκείνου κτῆσιν τῷ Μαρδοχαίῳ παρέσχετο, καὶ τοῦ κινδύνου ἀπαλλάξαι τὸ τῶν Ἑβραίων ἔθνος τοῦ βασιλέως ἐδεῖτο. καὶ ὃς γράφειν ἃ βούλεται ἐξ ὀνόματος αὐτοῦ ἐφῆκε περὶ τοῦ ἔθνους. τὰ δὲ γραφέντα ἦσαν τοιαῦτα· τοῦ μὲν Ἀμὰν κατηγόρουν, ὡς πονηροῦ καὶ ἀγνώμονος, καὶ αἰτησαμένου ἔθνους ἀπώλειαν, μηδὲν ἀδικήσαντος· τὸν δὲ Μαρδοχαῖον σωτῆρα ἐκάλουν. καὶ τοὺς Ἰουδαίους τὸν ἄριστον πολιτευομένους τρόπον, καὶ τὸν θεὸν σεβομένους· καὶ οὐ μόνον σφᾶς τῆς τιμωρίας ἀπέλυον ἧς ὁ Ἀμὰν αὐτοῖς ἐξητάσατο, ἀλλὰ καὶ τιμῆς ἀξίους, καὶ τοῖς ἰδίοις νόμοις χρωμένους, ζῆν μετ' εἰρήνης ἐπέτρεπον· καὶ ἐξουσίαν ἀμύνασθαι τῇ τρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ δωδεκάτου μηνός, ὃς Ἀδὰρ λέγεται, τοὺς αὐτοὺς ἀδικήσαντας. καὶ τοῖς τῶν χωρῶν σατράπαις ἐκέλευον βοηθεῖν αὐτοῖς, ἵνα τοὺς ἐχθροὺς μετελεύσωνται. οἱ δὲ ἐν Σούσοις Ἰουδαῖοι τὰ κατὰ τὸν Μαρδοχαῖον γνόντες, κοινὴν τὴν εὐπραγίαν ἡγήσαντο, καὶ κατὰ τὴν τρισκαιδεκάτην τοῦ Ἀδὰρ μηνός, ὃς κατὰ Μακεδόνας Δύστρος ὀνομάζεται, οἵ τε ἐν Σούσοις Ἰουδαῖοι περὶ πεντακοσίους ἀπέκτειναν τῶν ἐχθρῶν, καὶ οἱ ἐν ταῖς ἄλλαις πόλεσί τε καὶ χώραις ἑπτακισμυρίους καὶ πεντακισχιλίους ἀπώλεσαν. οἱ δὲ ἐν Σούσοις καὶ τῇ ἑξῆς ἡμέρᾳ τριακοσίους διέφθειραν, τοῦτο αἰτησαμένης Ἐσθήρ· καὶ οἱ δέκα τοῦ Ἀμὰν παῖδες ἀνεσταυρώθησαν, χαρισαμένου καὶ τοῦτο τοῦ βασιλέως αὐτῇ. τὴν δὲ τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς ἑορτάσιμον τὸ ἔθνος ἅπαν ἐποίησε, καὶ ἐκ τότε τὰς ἡμέρας καὶ ἀμφοτέρας ἑορτάζουσι, φρουραίας ταύτας προσαγορεύοντες. ὁ δὲ Μαρδοχαῖος μέγας τε ἦν, καὶ συνδιεῖπε τῷ βασιλεῖ τὴν ἀρχήν. τῆς δὲ ἀρχιερωσύνης εἰς Ἰωάννην μεταπεσούσης τὸν υἱὸν Ἰωδᾶ, ὁ ἀδελφὸς αὐτοῦ Ἰησοῦς φίλος ὢν Βαγώα τοῦ στρατηγοῦ τῆς Ἀρταξέρξου δυνάμεως, ὑπόσχεσιν εἶχε τὴν ἀρχιερωσύνην λαβεῖν. διὰ ταύτην γοῦν τὴν αἰτίαν ὁ Ἰωάννας παροξυνθείς, ἐν τῷ ναῷ ἀναιρεῖ τὸν ἀδελφόν. καὶ ὁ Βαγώας εὐθὺς ἐπιστάς, εἰς τὸν ναὸν εἰσῆλθεν, εἰπών, ὡς εἰ οἱ τὸν φόνον ἐν τῷ ναῷ τολμήσαντες, εἰσέρχονται ἐν αὐτῷ, κἀγὼ εἰσελεύσομαι, καθαρώτερος τυγχάνων αὐτῶν. καὶ ἐπ' ἔτεσιν ἑπτὰ τοὺς Ἰουδαίους ἐκάκωσε. τοῦ Ἰωάννου δὲ τὴν ζωὴν καταστρέψαντος, διαδέχεται τὴν ἀρχιερωσύνην ὁ υἱὸς αὐτοῦ Ἰωαδ. ἦν δὲ καὶ τούτῳ ἀδελφὸς Μανασσῆς, ᾧ Σαναβαλέτης Δαρείου σατράπης τοῦ ὑστάτου βασιλέως Περσῶν, τὴν ἑαυτοῦ θυγατέρα συνῴκισε, Νικασὼ καλουμένην. οἱ δὲ τῶν Ἱεροσολυμιτῶν λογάδες ἐστασίαζον, ὅτι ἀλλοφύλῳ συνῴκησεν ὁ τοῦ ἀρχιερέως ἀδελφός, καὶ ἢ διαζευχθῆναι ταύτης ἐκέλευον, ἢ τοῦ θυσιαστηρίου ἀπέχεσθαι. ὁ δὲ πρὸς τὸν πενθερὸν ἀφικόμενος, διηγήσατο ταῦτα.

ὅτι ὁ Ἀμὰν ἐκρεμάσθη ἐν τῷ ξύλῳ, ὃ ἐπὶ τῷ Μαρδοχαίῳ ἡτοίμασεν.

ὅτι καὶ δέκα τοῦ Ἀμὰν παῖδες ἀνεσταυρώθησαν.

ὅτι Ἰωάννας τὸν ἀδελφὸν ἀνεῖλεν ἐν τῷ ναῷ.

ὅτι ὁ ἀδελφὸς τοῦ ἀρχιερέως συνῴκησεν ἀλλοφύλῳ γυναικί, ὅθεν ἐξεβλήθη ἀπὸ τοῦ ναοῦ.

τῷ

τὴν δὲ Σαναβαλλέτου καὶ τὴν ἱερωσύνην αὐτῷ συντηρήσειν ἐπισχνούμενος, καὶ ἀρχιερέα ἀποδείξειν, καὶ ἡγεμόνα, ὧν αὐτὸς ἄρχει τόπων, εἰ τῆς αὐτοῦ θυγατρὸς μὴ ἀπόσχοιτο, καὶ ναὸν οἰκοδομήσειν ἐπὶ τοῦ γαριζὶν ὄρους, ὃ τῶν κατὰ σαμάρειαν ὀρῶν ὑψηλότατον, τῷ ἐν ἱεροσολύμοις ἱερῷ παραπλήσιον ἐπηγγέλλετο μετὰ γνώμης τοῦ βασιλέως δαρείου. τούτοις ταῖς ὑποσχέσεσιν ἐπαρθεὶς ὁ μανασσῆς, κατέμενε παρὰ τῷ σαναβαλλέτῃ. πολλῶν δὲ καὶ ἄλλων ἱερέων καὶ ἰσραηλιτῶν τοιούτοις γάμοις ἐμπεπλεγμένων, πάντες συνῄεσαν πρὸς τὸν μανασσῆν. ὁ μὲν οὖν σαναβαλλέτης τῷ βασιλεῖ δαρείῳ τὴν περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἐν τῷ γαριζὶν ἀξίωσιν προσάγειν ἡτοιμάζετο. ὁ δὲ τῷ ἀλεξάνδρῳ συμβαλὼν ἐν ἰσσῷ τῆς κιλικίας, καὶ ἡττηθεὶς, ἔφυγεν. ἀπογνοὺς οὖν ὁ σαναβαλλέτης δαρεῖον, τῷ ἀλεξάνδρῳ πρόσεισι σὺν ὀκτακισχιλίοις τῶν ὑπ' αὐτὸν, καὶ ἑαυτὸν καὶ τοὺς τόπους ὧν ἦρχεν ἔλεγε παραδιδόναι αὐτῷ. προσδεξαμένου δὲ τοῦ ἀλεξάνδρου αὐτὸν, θαρρῶν ἤδη περὶ τοῦ γαμβροῦ, καὶ τοῦ ναοῦ ἀνεγέρσεως ἐν τῷ γαριζὶν, προσῆγεν ἀξίωσιν. καὶ ἐπιτρέψαντος τὴν οἰκοδομὴν, σὺν πάσῃ σπουδῇ τὸν ναὸν ᾠκοδόμησε, καὶ μανασσῆν τὸν γαμβρὸν ἀρχιερέα κατέστησεν. ἐπεὶ δὲ μνήμην τοῦ ἀλεξάνδρου ὁ τῆς ἱστορίας λόγος πεποίηται, καλὸν καὶ τάς τε πράξεις τε καὶ τὰ ἤθη, καὶ ὅθεν ἐγένετο ἔφυ, κατ' ἐπιδρομὴν διηγήσασθαι, καὶ οὕτως αὖθις ἐπαναγαγεῖν τὸν λόγον πρὸς τὴν συνέχειαν. καὶ μᾶλλον, ὅτι καὶ τοῖς ἱεροσολύμοις οὗτος ὁ βασιλεὺς ἐπιδημήσας, καί τι θαύματος ἄξιον γέγονε πρὸς τὸν ἀρχιερέα καὶ τὸν λαὸν δι' αὐτοῦ. καὶ αὐτὸς θεῖον ὅραμα διηγήσατο, ὡς ἰώσηπος ἱστορεῖ, ἃ προϊὼν ὁ λόγος μετὰ τῆς περὶ αὐτοῦ ἱστορίας δηλώσει. οὗτος φιλίππου μὲν ἦν τοῦ μακεδόνων βασιλέως υἱὸς, ἐξ ὀλυμπιάδος αὐτῷ γεννηθείς. μυθεύεται δὲ ἄμμωνος εἶναι υἱὸς, τοῦ ἐν δράκοντος τῇ ὀλυμπιάδι συγκαθευδήσαντος. ἄμμωνα δὲ τὸν δία φασίν. ἀλλὰ τοῦτο μὲν μῦθος. λέγεται δὲ τὴν μητέρα αὐτοῦ πρὸ τῆς νυκτὸς, ᾗ τῷ φιλίππῳ συγκατεκλίθη, τὸ ὄναρ δόξαι κεραυνὸν ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ, κἀκ τούτου πῦρ ἐξαφθῆναι πολὺ, καὶ εἶτα πάντῃ φερόμενον διαλυθῆναι. μετὰ δὲ τὸν γάμον ὁ φίλιππος καθ' ὕπνους ἐδόκει σφραγῖδα τῇ γαστρὶ τῆς γυναικὸς ἐπιβάλλειν, ἐγγεγλύφθαι δὲ τῇ σφραγῖδι λέοντα. οἱ μὲν οὖν ἄλλοι μάντεις, ἄλλως τὸν ὄνειρον ἔκρινον. ἀρίστανδρος δὲ κύειν ἔφη τὴν σφραγισθεῖσαν· μὴ γὰρ διασφραγίζεσθαι τὰ κενά. θυμοειδῆ δὲ ἀποβήσεσθαι καὶ λεοντώδη τὸν τεχθησόμενον. ἐγεννήθη δὲ καθ' ἣν ἡμέραν ἐν ἐφέσῳ ὁ ναὸς τῆς ἀρτέμιδος ἐνεπρήσθη· ὅτε καὶ τινες ἐκεῖ παρόντες τῶν μάγων, διαθέοντες ἄτην καὶ συμφορὰν βαρεῖαν τὴν ἡμέραν ἐκείνην τῇ ἀσίᾳ τεκεῖν ἔλεγον. ἦν δὲ τῇ χρόᾳ λευκὸς ὁ ἀλέξανδρος, ἡ λευκότης δὲ ἐφοινίσσετο περὶ τὸ στῆθος μάλιστα, καὶ τὸ πρόσωπον· καὶ ὀδμὰ δὲ ἐκ τοῦ χρωτὸς αὐτοῦ ἥδιστα ἀπέπνει ἐκφορεῖν ἐκ τοῦ σώματος. τούτου δ' αἴτιον ἡ θερμότης ἂν ἦν τοῦ σώματος· πυρώδης γὰρ ὢν, καὶ πολύθερμον, ἀνήλισκε τὰ ὑγρὰ, καὶ ὅθεν ἐπιπολάζειν αὐτοῦ τῷ σώματι σηπεδόνα ἔδει. προέφαινε δὲ παιδόθεν τὴν ἐμβρίθειαν τοῦ φρονήματος. πολλάκις γὰρ ὢν, πρὸς τοὺς ἐρομένους εἰ ὀλυμπίασιν ἀγωνίσεται στάδιον, εἶπεν, εἰ βασιλεῖς ἀνταγωνιστὰς ἕξειν ἔμελλον. ὁ δὲ πόλις ἢ τῶν ἐπιφανῶν ἁλοῦσα παρὰ τοῦ πατρὸς αὐτῷ ἀπηγγέλλετο, ἢ τι μάχη νίκη γεγονυῖα περιφανὴς, ὥσπερ ἀχθόμενος τοῖς ἥλιξιν ἔλεγεν, ὡς οὐδὲν ἐμοὶ σὺν ὑμῖν ὁ πατὴρ ἀπολείψει λαμπρόν τι ἔργον ἀποδείξασθαι. τοῦ βουκεφάλα δὲ ἵππου ὠνηθέντος φιλίππῳ τρισκαιδεκα ταλάντων τιμῆς, καὶ μή τε ἀναβάτην προσιεμένου, ὡς τῷ φιλίππῳ ἐδόκει τὸν

περὶ δὲ ἀνεγέρσεως τοῦ ναοῦ τοῦ ἐν τῷ γαριζὶν, τοῦ ἐν τῇ σαμαρείᾳ.

ἀρχὴ δὲ τῶν περὶ ἀλεξάνδρου ἱστοριῶν, τίνος ἦν ὁ ἀλέξανδρος.

ὄνειρος δὲ φιλίππου διηγούμενος τῆς γυναικὸς ἡ τὸν ἀλέξανδρον ἐκύει ...

περὶ τοῦ σώματος ἀλεξάνδρου.

περὶ τοῦ ἵππου τοῦ βουκεφάλου.

Cui ille pollicetur, se ei & sacerdotium conseruaturum, atque etiam pontificem, & ducem eorum locorum quib. ipse imperaret, creaturum, si filiam suã retineret: & in Garizino, Samaritanorum montium altissimo, de sententia Darij regis Persarum, templum Hierosolymitano illustrius esse conditurum. His pollicitationibus Manasses adductus, apud Sanabaletem mansit: ad eumque se multi etiam alij sacerdotes Israelitici, talibus implicati coniugijs, contulerunt. Ac Sanabaletes quidem in eo erat, ut à Dario templi in Garizino condendi facultatem impetraret. Sed rege ad Issum ab Alexandro profligato, desperatis illius rebus, cũ octo millibus, quibus præerat, ad Alexandrum profectus, seipsum & prouincias ei tradit. A quo receptus, iam audacter causam generi & templi Garizinj proponit. Voti compos factus, omnique studio structura absoluta, generum pontificem constituit. Sed quia in Alexãdri mentionem incidimus, non alienũ fuerit, huius etiam res gestas, mores & natales perstringere breuiter: eoque facto, ad institutæ historiæ seriem redire: uel ea de causa, quòd Hierosolyma adijt, & ab eo aliquid admiratione dignum & pontifici & populo accidit, atque ipse diuinam quãdam uisionem exposuit, ut Iosephus refert, quæ in progressu eius historiæ referentur. Hic Philippi regis Macedonũ filius fuit, natus ex Olympiade. Cæterum fabulantur eum Hammone satum esse, qui specie draconis Olympiadẽ fuerit amplexus. Hammonẽ aũt Iouem appellant. Sed hoc fabulosum est, illud aũt fertur, matrem eius ante eam noctẽ qua cum Philippo concubuerit, somnio putasse, fulmen in uterum suum illapsum esse, atque inde magnam extitisse flammam: quæ cum passim uagaretur, euanesceret. Post nuptias, putabat Philippus se imprimere sigillum utero uxoris, leonis imagine. Id somnium cõiectoribus alijs aliter interpretantibus, Aristander reginam ferre uterũ respondit. neque enim obsignari solere inania. Puerum uerò qui ex eo conceptu expectaretur, fore animosum, et leonino ingenio. Natus est eo die, quo Ephesię Dianæ templũ conflagrauit. & Magi quidam illic circumcursantes, exclamarunt, magnũ Asiæ malũ & calamitatem eo die natam esse. Fuit colore ita candido, ut is circa faciem & pectus maximè purpurasceret. Suauis itemè corpore & ore eius fragrabat odor: cuius utique causa fuit calor & ardor corporis, quo humores, unde putere corpora queant, cõsumebãtur. Animi grauitatẽ puer etiamnum præ se tulit. Nam cũ celeritate pedũ ualeret, rogatus, An Olympiæ in stadio decursurus esset: respondit, se facturum, si reges cõcertatores haberet. Cum uel urbs insignis capta, uel illustris uictoria parta à Philippo nunciabatur, quasi ægrè ferens, ad æquales dicebat: Pater nullius egregiæ rei uobiscũ gerendæ occasionem mihi relicturus est. Bucephala equo ad Philippum allato, qui tredecim talentis æstimabatur, nec sessorem tum admittebat,

Alexander Macedo.

Somnia Olympiadis, & Philippi.

Dies natalis & Magorum prædictio.

Habitus corporis.

Indoles.

Bucephalus equus.

nec

nec uocem ferebat, cum Philippo ostēderetur, ob eamq́ rem inutilis putaretur: Qualem, inquit, equum ob tractandi imperitiam reijciunt? Quod dictum pater reprehēdens: Tu uerò, inquit, eū tractare poteris? Tum ille: Rectius utique quouis alio. permissuq́ patris, prehensis habenis, eum ad solem conuertit: quòd fortassis animaduerterat, eum umbræ ante oculos agitatione perturbari. cumq́ eum paulum demulsisset manu, insiliit atq́ insedit: & parumper cohortatus, ad cursum dimisit. Quod qui uidebant, soliciti erant. Vt autem alacer & lætus reuertebatur, Philippi comites exclamabant. ipse uero rex pre leticia lachrymabundus, puerum deosculatus: Quærito, inquit, fili regnum tibi par. Nam te Macedonia non capiet.

Alexandri eruditio.

Ingenio fuit ad imperata contumaci, sed rationibus & suasionibus tractabili. Magistro usus est Aristotele: nec doctrinam de moribus duntaxat, gerendaq́ Republica percepit, sed & arcanarum rerum scientiam: quæ quòd paucis communicaretur, Epoptica & Acroamatica dicebatur: quarum uocum altera inspiciendi, altera auscultandi notionem habet. ac circumfertur eius epistolium ad Aristotelem, in hanc sententiam: Non rectè fecisti, Acroamaticis disputationibus editis. nam qua re alijs præcellemus, si ea doctrina qua eruditi sumus, communis erit omnibus? At ille respondit, Et editas esse, & non editas. quibus uerbis obscuritatem illarum rerum, & intelligendi difficultatem significabat. Medicinæ non scientiam duntaxat, sed ipsam etiam actionem tractauit. Annos natus XVI, cū generosi & fortis animi iam specimina ederet, supra modum à patre amabatur. cum quo tamen ei nō optimè conuenit, ob amores illius ætati indecoros, & matris zelotypiam & asperitatem.

Regni principia.

Philippo à Pausania interfecto, in regno successit, annos XX natus: & quamuis res imperij undique turbatæ essent, eas tamen audacia & consilij grauitate celeriter composuit: Thebis captis & euersis, captiuisq́ uenditis, & pace cum Atheniensibus facta.

Timocleæ facinus.

In Thebarū excidio Thrax quidā dux illustrē matronā Timocleam ui constuprauit: ac deinde, ubi pecunia eius esset, percontatus est. quem illa solum ad puteum quendam deduxit, in eoq́ se ornamenta sua pulcherrima abscondisse dixit: cumq́ dux ad orificium putei sese inclinasset, mulier eum impulit, ac deiectum saxis iniectis interfecit. Eam Alexāder uinctā ad se perductā interrogauit, Quæ esset? Respondit illa intrepidè, se Theagenis esse sororem, qui dux contra Philippū electus, pro defensione libertatis Græcorum occubuerit. Eius igitur indolem, & animi magnitudinem admiratus, liberam cum liberis suis dimisit.

Alexandri congreßus cum Diogene.

Cum ad Diogenē Sinopensem, qui Corinthi degebat, uenisset, eumq́ dicta salute rogasset, Nū qua re egeret? respōdit ille, sibi opus esse calore solis: utq́ inde discederet, petijt. Alexandro digresso, comites eius Diogenem deridebant. quibus ille, sublimem uiri animum admiratus, dixit: Se, nisi Alexander esset, Diogenem esse uelle. Cum

Asiati

μὴ τὴν φωνὴν ὑπομένοντος, κἀντεῦθεν δυσχρήστου δόξαντος κομιδῇ, οἷον ἵππον, ὁ ἀλέξανδρος ἔφη, μὴ εἰδότες χρῆσθαι, ἐκπέμπουσι. καὶ ὁ πατὴρ ἐπιτιμῶν αὐτῷ εἶπε· σὺ δὲ χρήσασθαι δυνάσῃ αὐτῷ; ὁ δ' ἀπεκρίθη· βέλτιον ἂν ἑτέρου τούτῳ χρησαίμην. καὶ χρήσασθαι τῷ ἵππῳ ἐπιτραπεὶς, παραλαβὼν τὴν ἡνίαν, ἐπέστρεψε πρὸς τὸν ἥλιον· συνεὶς ἴσως, ὅτι τῇ σκιᾷ πρὸ αὐτοῦ σαλευομένῃ διεταράττετο. βραχὺ δὲ καταψήσας αὐτὸν, ἀνέθορε καὶ ἐπέβη αὐτοῦ. καὶ παρακελεύσας μικρὸν, ἀφῆκε πρὸς δρόμον· ἀγωνιώντων δ' οἱ βλέποντες. ὡς δ' ἐπεστράφη σὺν φρονήματι καὶ χαρᾷ, οἱ μὲν περὶ φίλιππον ἀνεβόησαν, ἐκεῖνος δὲ χαρμοσύνῃ πολλῇ ἐγγὺς δάκρυα, καὶ φιλήσας τὸν παῖδα, ζήτει τέκνον (ἔφη) σοι βασιλείαν ἀνάλογον, μακεδονία γάρ σε οὐ χωρεῖ. ἦν δ' ἡ φύσις αὐτῷ δυσκίνητος μὲν ἐπιτασσομένῳ· ὑπὸ δὲ λόγου τις αὐτὸν καὶ πειθοῖ μετάγειν, εὐάλωτος.

ὅτι ἀριστοτέλους φοιτητὴς ἐγένετο.

ὡμίλησε δὲ τῷ ἀριστοτέλει, μετασχὼν οὐ μόνον τοῦ ἠθικοῦ καὶ πολιτικοῦ λόγου, ἀλλὰ καὶ τῶν ἀπορρητοτέρων, οὓς οὐκ ἐκοινοῦντο πολλοῖς, ἐποπτικοὺς καὶ ἀκροαματικοὺς καλοῦντες αὐτούς. φέρεται γὰρ πρὸς ἀριστοτέλη αὐτοῦ ἐπιστόλιον, οὕτως ἔχον· οὐκ ὀρθῶς ἐποίησας, ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰρ τῶν ἄλλων διοίσομεν, εἰ καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί; ὁ δ' αὐτῷ ἐπέστειλεν, ὡς ἐκδέδονται, καὶ οὐκ ἐκδέδονται· διὰ τούτων δηλῶν τὴν ἀσάφειαν, καὶ τὸ δυσκατάληπτον. καὶ τῆς ἰατρικῆς δ' οὐ τὸ θεωρητικὸν μετῄει μόνον, ἀλλὰ καὶ τὴν πρᾶξιν αὐτῆς.

ὅτι καὶ πρακτικὸς ἰατρὸς ἦν ὁ ἀλέξανδρος.

ἑξκαιδεκέτης δὲ γεγονὼς, καὶ τοῦ φρονήματος καὶ τῆς ἀνδρείας ἀπόπειραν δεδωκὼς, ὑπερηγαπᾶτο πρὸς τοῦ πατρός· διὰ δὲ τοὺς παρ' ἡλικίαν ἔρωτας τοῦ φιλίππου, καὶ τὸ τῆς μητρὸς ζηλότυπον καὶ βαρύθυμον, ὁ ἀλέξανδρος εἶχε πρὸς τὸν πατέρα διαφοράς.

ὅτι εἰκοσαέτης ὢν ἐβασίλευσεν.

παυσανίου δὲ τὸν φίλιππον ἐκτανόντος, παρέλαβε τὴν βασιλείαν εἴκοσι τυγχάνων ἐτῶν. καὶ τεταραγμένων πανταχόθεν τῇ ἀρχῇ τῶν πραγμάτων, τόλμῃ καὶ βαρεῖ φρονήματι ταῦτα ταχὺ κατεστήσατο, τὰς μὲν θήβας ἑλὼν καὶ κατασκάψας, καὶ τοὺς ἁλόντας τῶν θηβαίων ἀποδόμενος, ἀθηναίοις δ' εἰρήνην συνθέμενος. ὅτε καὶ τιμόκλειαν γυναῖκα θηβαίαν, καὶ τῶν ἐπιφανῶν θρᾷξ τις τῶν ἡγεμόνων κατῄσχυνε βιασάμενος, εἶτα περὶ χρημάτων ἀνέκρινεν.

περὶ τιμοκλείας τῆς θηβαίας.

ἡ δὲ μόνον αὐτὸν παραλαβοῦσα εἰς φρέαρ ἀπήγαγεν, ἐν τούτῳ φαμένη τῶν κειμηλίων κατακρύψαι τὰ κάλλιστα. τοῦ δ' ἡγεμόνος παρακλιθέντος ἐπὶ στομίῳ τοῦ φρέατος, ὦσεν αὐτὸν ἡ γυνὴ κατ' αὐτοῦ, καὶ λίθους ἄνωθεν βαλοῦσα ἔκτεινεν. ἐν δεσμοῖς πρὸς αὐτὸν ἀχθεῖσαν ἠρώτησεν ὁ ἀλέξανδρος, ἥτις εἴη; ἡ δ' ἀτρέστως, θεαγένους εἶναι ἀδελφὴ, ἀπεκρίνατο, ὃς πρὸς φίλιππον ᾑρέθη στρατηγὸς, καὶ ὑπὲρ τῆς ἑλλήνων ἀγωνιζόμενος ἐλευθερίας, ἔπεσεν. ἀγάμενος οὖν τήν τε μεγαλοφροσύνην τῆς γυναικὸς ὁ ἀλέξανδρος, καὶ τὸ φρόνημα τῆς ψυχῆς, ἐλευθέραν σὺν τοῖς τέκνοις ἀπέλυσε.

ὅτι ὁ σινωπεὺς διογένης πρὸς ἀλέξανδρον εἶπεν.

πρὸς διογένην δὲ τὸν σινωπέα περὶ κόρινθον διατρίβοντα ἀπελθὼν, καὶ ἡλίῳ θαλπόμενον εὑρηκὼς, ἠσπάσατό τε τὸν ἄνδρα, καὶ εἴ τινος δέοιτο, ἤρετο; ὁ δὲ, τῆς τοῦ ἡλίου (εἶπεν) ἀλέας δέομαι, καὶ μεταστῆναι αὐτὸν ἠξίου. ἀπιόντος δὲ τοῦ ἀλεξάνδρου, οἱ περὶ αὐτὸν κατεγέλων τοῦ διογένους. ὁ δὲ πρὸς αὐτοὺς ἔφη, θαυμάζων τὸ ὑπεροπτικὸν τοῦ ἀνδρὸς, ὡς εἰ μὴ ἀλέξανδρος ἤμην, διογένης ἂν ἤμην. ὁρμήσας δὲ εἰς τὴν

γῆ

τὸ φρόνημα Ἀλεξάνδρου.

ἐν τῇ ἀσίᾳ στρατείαν, οὐ πρότερον τῆς νεὼς ἐπέβη, πρὶν τοῖς μὲν τῶν ἑταίρων ἀγρὸν ἀπονεῖμαι, τοῖς δὲ κώμην, τῷ δὲ πρόσοδον ἄλλην. τοῦ δὲ Περδίκκα, τί δὲ ὦ βασιλεῦ σεαυτῷ καταλέλοιπας, εἰπόντος· τὰς ἐλπίδας, ἐκεῖνος αὐτῷ ἔφησε. διαβαίνοντι δὲ τὸν Ἑλλήσποντον, οἱ τοῦ Δαρείου σατράπαι μετὰ βαρείας δυνάμεως περὶ τὴν τοῦ Γρανικοῦ διάβασιν αὐτῷ συνηντήκασι. τῶν δὲ περὶ αὐτὸν τὸ βάθος δεδιότων τοῦ ποταμοῦ, τὸ ῥόθιόν τε τὴν φοράν, καὶ τὴν ἐπὶ τούτοις τῶν πολεμίων ἐπίθεσιν, ἐκεῖνος σὺν ἴλαις ἱππέων τρισκαίδεκα ἐμβάλλει τῷ ῥεύματι, πρὸς αὐτὸ κινδυνεύων, καὶ πρὸς τοὺς ἐναντίους, καὶ πρὸς ἀποβάσεις ὑψηλὰς καὶ ἀπορρῶγας. διὸ καὶ μανικῶς μᾶλλον, ἀλλ' οὐ στρατηγικῶς ἔδοξε τότε ποιήσασθαι τὴν διάβασιν. οὕτω δὲ διαβὰς, φύρδην ἠναγκάζετο μάχεσθαι· καὶ πολλῶν πρὸς αὐτὸν ὡρμηκότων (ἦν γὰρ ἐκ τῶν ὅπλων διάδηλος) ἀκοντισθεὶς μὲν οὐκ ἐτρώθη, κοπίδι δὲ τὸ κράνος αὐτοῦ πλήξαντός τινος, μέχρι τοῦ ἐσχάτου τοῦ κράνους καθίκετο ἡ πληγή, ὡς καὶ τῶν τριχῶν αὐτοῦ παραψαῦσαι τὴν κοπίδα.

ὅπως ἐτρώθη ἐν πολέμῳ.

τῆς μάχης δὲ οὕτω συνισταμένης, τὸν Γρανικὸν αἱ Μακεδονικαὶ δυνάμεις διαβεβήκασι· καὶ οἱ τοῦ Δαρείου οὐκέτι ἀντεῖχον, ἀλλ' ἔκλιναν εἰς φυγήν. ἐκ γοῦν τῆς μάχης ταύτης πολλή τις ἐρρύη τὸ πρὸς εὐτυχίαν τῷ Ἀλεξάνδρῳ φορά. αἵ τε γὰρ Σάρδεις προσεχώρησαν, καὶ τἆλλα προσέθεντο. ἐντεῦθεν εἰς τὴν παραλίαν ἐτράπετο, καὶ τήν τε Παμφυλίαν ἔσχε, καὶ Κιλικίαν τε καὶ Φοινίκην, Πισιδίαν τε καὶ Φρυγίαν· εἶτα Παφλαγόνας, καὶ Καππαδόκας ἐχειρώσατο. Δαρεῖος δὲ ἐκ Σούσων σὺν ἑξήκοντα μυριάσιν ὥρμησε, τῷ τε πλήθει τῆς στρατιᾶς ἐπηρμένος, καὶ θάρσος ἔχων, ὡς δεδιότος Ἀλεξάνδρου, ὅτι ἐπὶ μακρὸν χρόνον ἐν Κιλικίᾳ διέτριβε· τὸ δὲ διὰ νόσον ἦν, ὅτε πρὸς τῶν ἄλλων μὲν ἀπέγνωστο ἰατρῶν, Φίλιππος δὲ μόνος ὁ Ἀκαρνὰν ἐθάρσησε φαρμακεῦσαι αὐτόν.

περὶ Ἀκαρνᾶνος τοῦ ἰατροῦ.

τοῦ δὲ Παρμενίωνος φθάσαντος ἐπιστεῖλαι αὐτῷ, ὑπὸ Δαρείου διεφθάρθαι τὸν Φίλιππον δωρεαῖς μεγάλαις καὶ ὑποσχέσεσιν, εἰ αὐτὸν ἀνέλοι· τὴν ἐπιστολὴν ἐπῆλθε, καὶ μηδενὶ περὶ αὐτῆς ἐκφήνας, εἶχε παρ' ἑαυτῷ. ἐπεὶ δὲ τοῦ Φιλίππου τὴν κύλικα τοῦ φαρμάκου προσαγαγόντος αὐτῷ, αὐτὸς μὲν θαρρῶν ἐδέξατο ταύτην, ἐκείνῳ δὲ τὴν ἐπιστολὴν ἐνεχείρισε. καὶ ὁ μὲν ἔπινεν, ὁ δὲ ἀνεγίνωσκεν, ἐνορῶντες ἀλλήλοις, ὁ μὲν Ἀλέξανδρος ἐν ὄψει χαριέσσῃ καὶ ἱλαρᾷ, ὁ δὲ Φίλιππος ἐν ταραχῇ καὶ τεθορυβημένῃ. τοῦ δὲ Δαρείου σπεύδοντος ἐπ' Ἀλέξανδρον, ἵν', ὡς ἔλεγε, μὴ ἀποδράσωσιν οἱ πολέμιοι, Μακεδὼν Ἀμύντας αὐτόμολος παρ' αὐτῷ, θάρρει (ἔφη) ὦ δέσποτα, οὐ γὰρ φεύξεται ὁ Ἀλέξανδρος, ἀλλ' ὅσον οὔπω βαδιοῦται πρός σε.

ἡ ἐν Ἰσσῷ συμβολὴ Δαρείου καὶ Ἀλεξάνδρου, καὶ ἡ Δαρείου ἧττα.

ἐν Ἰσσῷ δὲ τῆς Κιλικίας τῆς μάχης συγκροτηθείσης, πολλὴν μὲν καὶ ὁ τόπος διὰ τὴν στενότητα παρέσχε ῥοπὴν τῷ Ἀλεξάνδρῳ. πλείω δὲ αὐτὸς ἑαυτῷ, δεξιῶς στρατηγήσας, ὅτε καὶ τὸν μηρὸν ἐπλήγη ξίφει, ἐν τοῖς προμάχοις ἀγωνιζόμενος. περιφανῶς δὲ νικήσας, Δαρεῖον μὲν οὐχ εἷλε φυγόντα, τὸ ἅρμα δὲ καὶ τὸ τόξον αὐτοῦ ἔλαβε. τὸ δὲ Δαρείου στρατόπεδον διηρπάγη παρὰ τῶν Μακεδόνων, ἡ μέντοι τοῦ Δαρείου σκηνὴ τῷ Ἀλεξάνδρῳ ἐξῄρητο μετὰ τῆς θεραπείας καὶ τοῦ πλούτου, καὶ τῆς ἄλλης παρασκευῆς.

περὶ τῆς γυναικὸς καὶ μητρὸς Δαρείου ἁλουσῶν παρὰ Ἀλεξάνδρου.

εἶτα τὴν μητέρα, καὶ τὴν γυναῖκα Δαρείου, καὶ δύο θυγατέρας αἰχμαλώτους ἄγεσθαί τις ἤγγειλεν αὐτῷ, ὀδυρομένας ὡς τεθνηκότος Δαρείου, ἐπεὶ τὸ ἅρμα ἐκείνου καὶ τὰ τόξα ληφθέντα τεθέανται. περιπαθήσας δὲ πρὸς τὴν ἀγγελίαν, διὰ τὸ τῆς τύχης ἀστάθμητον, πέμπει τινὰ πρὸς τὰς

Asiatica expeditio.

Asiaticā expeditionē moliref, nauem nō conscendit prius, quàm amicorum alijs agros, alijs pagos, alijs reditus aliquos donasset. À Perdicca rogatus, quid sibi ipsi reseruaret? Spem, inquit. Cum Hellespontū traiecisset, satrapæ Darij circa transitū Granici cum magnis copijs occurrerunt.

Granici trāsitus.

Militibus autem profunditatem & impetum fluminis, atq; etiam hostium aggressionem reformidantibus, ipse cum XIII equitū turmis flumen est ingressus, eademq; opera & ipsum & hostes & ripas altiores ac præruptas est periclitatus, ut furiose magis quàm prudenter transisse putaretur. Flumine ad hūc modum superato, tumultuariam pugnam cōmittere est coactus: & multis contra se ruentibus (erat enim ex armis notus) iaculis nō est uulneratus: sed quidam eius galeæ tantū ictum gladio intulit, ut capillos etiam perstringeret. Dum pugna ita committeretur, Macedonicæ copiæ Granicum transierunt, quarum uim Darij milites nō ferentes, fugæ se mandarunt. Eius prælij successus Alexandro magnæ felicitatis fuit occasio. Nam & Sardeis in deditionem accepit, & reliqua se cum eo coniunxerunt. Inde ad oram maritimam conuersus, Pamphiliam, Ciliciam & Phœniciam occupauit, Pisidiamq; & Phrygiam. Deinde Paphlagones & Cappadoces subegit. Darius aūt Susis ꝓfectus est cum DC millibus, tum exercitus magnitudine elatus, tum eo fretus, quòd Alexandrū ob longiorem in Cilicia moram timere arbitrabatur.

Alexandri morbus in Cilicia.

Id uerò ob morbū fiebat: cuius curatione à cæteris omnibus medicis desperata, solus Philippus Acarnan ei medicinam adhibere ausus est: cum quidem Parmenio scripsisset, illum à Dario corruptum esse ingentibus muneribus & pollicitationibus, si eum sustulisset.

Philippus Acarnan medicus.

Ea epistola Alexander lecta, asseruataq;, ac re nemini communicata, cálicem medicamenti à Philippo oblatum accepit alacer: illi uerò epistolam dedit. Sic alter bibit, alter legit, uterq; alterū intuens: Alexander uultu iucundo & hilari, Philippus solicito & perturbato. Cum autem Darius contra Alexandrum festinaret, ne, ut dicebat, hostes aufugerent, Amyntas Macedo transfuga bono animo eum esse iussit. neq; enim fugiturum Alexādrum, sed statim contra ipsum iturum esse.

Issica uictoria.

Commisso autem in Isso Ciliciç prçlio, magnū quidem & ipsius loci angustiæ momentū Alexandro ad uictoriam attulerunt, sed ipsius dexteritas & solertia longè maius. Tunc inter principes pugnans, ense femur est uulneratus. Victoriam illustrem adeptus, Dario fuga elapso, curru & arcu eius est potitus: castra à Macedonibus direpta sunt, ac Darij tentorium cum ministerijs, opibus, omniq; apparatu Alexandro exemptum.

Clementia in captiuas reginas.

Deinde cum ei nunciaretur, Darij matrem, uxorem, & duas filias captiuas duci, Dariū pro mortuo deplorantes, quòd eius currum & arcum captum uidissent: commotus eo nūcio propter fortunæ inconstantiā, quendā ad

mulieres mittit, qui eis indicet, Dariū uiuere, neq; eis quicq; molestiæ illatū iri. Neq; enim se Dariū hostē iudicare, sed cum eo de imperio certare. neq; de ministerijs quæ habebāt quicq; eis detraxit, neq; in conspectū earum uenit, neque passus est ut ab ullo quicq; indignum uel sustinerēt, uel expectarent. Post Issicam uictoriā, etiā Damasci est potitus, ubi Persæ & ipse Darius pecunias & maximam impedimentorum partem reliquerant. Post hæc Cyprus & Phœnicia, excepta Tyro, sunt ei traditæ. Tyrus obsidione capta est. quam dum oppugnaret, duo somnia uidit. altero putabat se ab Hercule de mœnibus uocari, porrigente dexterā. alterum ei satyrū ostendebat, secū colludentē, qui tamtā com prehendendus, effugeret, ac serò tandem in manus suas ueniret. Id coniectores interpretati sunt, significare Tyri possessionē. nam satyrus, si uocabulū diuidas, notat, Tua Tyrus. Deinde cum Gazam urbem Syriæ magnā oppugnaret, saxo humerū ictus est, urbem uerò cœpit. Aegypto in potestatem suam redacta, urbem in ea Græcam de suo nomine condere uoluit, & locum quendam ad structuram designauit. Dormienti aūt uisus est astare uir canus & uenerabilis, qui Homerus esset, & hos uersus recitaret:

Insula fluctiuago quatitur circumflua Ponto:
Aegyptum iacet ante, Pharon quam nomine dicunt.

Statim igitur exilijt, Pharumq; profectus, & loci opportunitate captus, illic urbē extruxit, aggeribus insula in continentē redacta. ac naturali loci cōmoditate delectatus, dixisse fertur: Homerū cùm cætera magnū, tum uerò egregium architectum fuisse. Ad Ammonis templū per loca sicca & arenosa proficiscens, comitē insuetam felicitatē ibi quoq; reperit, itineris illius difficultates subleuantē. Nam pluuiæ delatæ sitis periculū depulerunt, aeremq; temperarunt, humefacta arena, & ex humore densata. Cum aūt cōfusis itineris notis, aberrassent duces, corui superuolantes uiā eis monstrauerūt: ijs demq; eos qui tardius incesserant, exercitum non consecuti, noctu crocitando reuocarūt. Sic difficultate itineris superata, ad Ammonis templum progressus est: ubi cum eum propheta græcè filium appellare uellet, in fine uerbi lapsus est, & unius literæ errore Alexandrum filium Iouis appellasse uisus. Vnde à nōnullis diuina eius origo credita. qua apud barbaros ita gloriabatur, ut & Olympias diceret: Non desinet me Alexander apud Iunonem calumniariē apud Græcos uerò ea oratione abstinuit. Aliquando sagitta ictus, manante sanguine dixit:

Sanguis hic quidem est, non ichor,
Qualis de superis solet emanare beatis.

Cum Darius ei x millia talentum pro redemptione suorum charissimorū obtulisset, & omni prouincia extra Euphratem ei cederet, affinitatē filia despon sa cum eo iuncturus: Parmenion dixit, Si Alexander essem, acciperem ista: Et ego, inquit, profectò si Parmenio essem. Dario quę rescripsit, si ad se

Marginal notes (Latin column): *Tyri obsidio.* — *Alexādriæ ædificatio.* — *Ammonis templum.* — *Propheta barbarismus.* παιδίος. παιδίον. — *Darij conditiones repudiatæ.*

γυναῖκας, ἐροῦντα, ὅτι τε ζῇ Δαρεῖος, καὶ ὅτι αὐταῖς οὐδὲν ἀηδὲς ἀπαντήσεται. οὐ γὰρ ἐχθρὸν ἡγεῖσθαι Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς βασιλείας αὐτῷ διαφέρεσθαι. οὔτε δὲ τῆς θεραπείας ἧς εἶχον ἀφῄρητό τι, οὔτε ἐς ὄψιν ἦλθεν αὐταῖς, οὔτε ἀνάξιόν τι παρά του ταύτας παθεῖν, ἢ προσδοκῆσαι εἴασε. ἤδη δὲ νενικηκὼς ἐν Ἰσσῷ, γέγονεν ἐγκρατὴς καὶ τῆς Δαμασκοῦ, ἔνθα οἱ Πέρσαι καὶ Δαρεῖος αὐτὸς τά τε χρήματα καὶ τῆς ἀποσκευῆς τὰ πλείω κατέλιπον. μετὰ δὲ ταῦτα ἡ Κύπρος καὶ ἡ Φοινίκη, τῆς Τύρου χωρίς, αὐτῷ ἐνεχειρίσθη. ἡ δὲ Τύρος πολιορκίᾳ ἑάλω, δύο ὀνείρους ἐν τῇ ταύτης πολιορκίᾳ τοῦ Ἀλεξάνδρου θεασαμένου. ἐδόκει γὰρ ὁ Ἡρακλῆς, καλεῖν αὐτὸν ἐκ τοῦ τείχους, καὶ δεξιούμενος. ὁ δ' ἕτερος ὄνειρος, σάτυρον αὐτῷ ὑπέφαινε προσπαίζοντα, καὶ βουλόμενον συλλαβεῖν, διαφεύγοντα, ὀψὲ δὲ εἰς χεῖρας ἐλθόντα αὐτῷ. ἐκείνου δὲ τοῦ ὀνείρου, δῆλον αὐτῷ κατὰ διαίρεσιν τοῦ ὀνόματος, ὡς σὰ Τύρος ἔσται. ὕστερον δὲ τὴν Γάζαν πολιορκῶν, πόλιν τῆς Συρίας μεγάλην, ἐπλήγη τὸν ὦμον λίθῳ, τὴν δὲ πόλιν κατέσχε. κυριεύσας δὲ τῆς Αἰγύπτου, ἐβουλήθη πόλιν ἐν αὐτῇ Ἑλληνίδα εἰς ὄνομα οἰκεῖον ἱδρύσασθαι, καί τινα τόπον ἤδη τῇ πόλει ἀφώρισε. κοιμωμένῳ δὲ ἀνὴρ ἔδοξεν ἐπιστῆναι πολιός τε καὶ γεραρός, ὃν δὲ τὸν φανέντα τὸν Ὅμηρον, καὶ λέγειν τὰ ἔπη ταῦτα·

νῆσος ἔπειτά τις ἔστι πολυκλύστῳ ἐνὶ πόντῳ
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν.

ἀναστὰς οὖν, αὐτίκα πρὸς τὴν Φάρον ἀφίκετο, καὶ τῇ τοῦ τόπου ἀρεσθεὶς εὐφυΐᾳ, ἐκεῖ τὴν πόλιν ἱδρύσατο, ἠπειρώσας αὐτὴν διὰ χώματος, νῆσον οὖσαν τὸ πρότερον. λέγεται δὲ ὡς ἡσθεὶς τῇ τοῦ τόπου φυσικῇ ἐπιτηδειότητι, ἔφη, ὡς Ὅμηρος ἄρα τά τε ἄλλα τε μέγας ἦν, καὶ ἀρχιτέκτων σοφός. ἐς Ἄμμωνος δὲ ἱερὸν ἀπιὼν δι' ἀνύδρου καὶ ἀμμώδους τόπου, τὴν αὐτοῦ παραμαρτοῦσαν ἐν ἅπασιν εὐτυχίαν εὗρε κἀκεῖ, τὸ δυσχερὲς τῆς πορείας ἐκείνης ἐπικουφίζουσαν. ὑετοὶ γὰρ γενόμενοι, τόν τε ἐκ τῆς ἀνυδρίας κίνδυνον διεκρούσαντο, καὶ τὸν ἀέρα εὐκραῆ πεποιήκασιν, ὑγρανθείσης τῆς ἄμμου, καὶ συμπιληθείσης ἐκ τῆς ὑγρότητος. τῶν δὲ τῆς ὁδοῦ γνωρισμάτων συγχυθέντων, οἱ ταύτης ἡγεμόνες ἐπλανῶντο. κόρακες δὲ ὑπερπτάμενοι, τῆς πορείας ἡγοῦντο τοῖς μετ' αὐτοῦ· καὶ εἴ τινες βραδύνοντες ἀπελιμπάνοντο, νυκτὸς ἐκείνους ταῖς κλαγγαῖς ἀνεκόμιζον. οὕτω δὲ διελθόντι τῆς πορείας τὸ δύσεργον, καὶ εἰς Ἄμμωνα φθάσαντι, ὁ ἐκεῖ προφήτης ἑλληνίδι φωνῇ θέλων προσφωνῆσαι αὐτῷ, ἐβαρβάρισε περὶ τὸ τέλος τὸ πρόσρημα, ὦ παιδίος, ἀντὶ τοῦ παιδίον εἰπών. καὶ ὁ βαρβαρισμὸς δόξαν πολλοῖς παρέσχε, τοῦ ἐκ θεῶν τοῦ Ἀλεξάνδρου γεγονέναι τὴν γένεσιν, λόγου διαδοθέντος, ὅτι παῖ Διὸς ὁ προφήτης εἶπεν αὐτῷ. κἀκεῖνος πρὸς μὲν τοὺς βαρβάρους ἐμεγαλαύχει τῇ γενέσει τῇ ἐκ τοῦ θεοῦ, ὡς καὶ τὴν Ὀλυμπιάδα λέγειν· οὐ παύσεται διαβάλλων με πρὸς τὴν Ἥραν ὁ Ἀλέξανδρος; πρὸς δὲ τοὺς Ἕλληνας τοῦ λόγου ἐφείδετο. βέλει δέ ποτε τρωθείς, αἵματος ἐκ τῆς πληγῆς καταρρέοντος, τὸ ῥέον, εἶπεν, αἷμα, καὶ οὐκ
ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

ὡς δὲ ὁ Δαρεῖος ἐπέστειλεν αὐτῷ μύρια μὲν τάλαντα, διδοὺς λύτρον τῶν φιλτάτων αὐτοῦ, καὶ τὴν ἐντὸς Εὐφράτου πᾶσαν αὐτῷ ἐξιστάμενος, καὶ φίλον αὐτὸν ποιούμενος, μίαν τῶν θυγατέρων αὐτοῦ γήμαντα· ὁ Παρμενίων, εἰ Ἀλέξανδρος εἶπεν ἤμην, ἔλαβον ἂν ταῦτα. κἀγώ, ἔφη, νὴ Δία, εἰ Παρμενίων. ἀντεπέστειλε δὲ τῷ Δαρείῳ, ὡς πρὸς

αὐτὸν

Marginal notes (Greek column): ἔτι ἡ Δαμασκὸς ὑπ' Ἀλεξάνδρου, καὶ Φοινίκη. — περὶ τοῦ κατ' ὄναρ σατύρου. — περὶ τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας. — περὶ τοῦ ναοῦ τοῦ Ἄμμωνος. — περὶ τῆς Δαρείου πρεσβείας.

αὐτῇ ἀφίκοιτο, μή τινος ἀτυχήσαι τῶν φιλανθρώπων. ἀκροὰς δέ τις τῶν εὐνούχων τῆς γυναικὸς δαρείου, καὶ πρὸς ἐκεῖνον διασωθεὶς, τὸν θάνατον τῆς βασιλίσσης ἀπήγγειλεν· ἐτεθνήκει γὰρ θᾶττον ἐκ τόκου. δαρεῖος δὲ ἀνῴμωξε, φήσας ὅτι οὐ μόνον αἰχμάλωτος ἡ βασίλισσα γέγονεν, ἀλλὰ καὶ ταφῆς βασιλικῆς οὐ τέτυχε. καὶ ὁ εὐνοῦχος, ἀλλὰ θάῤῥει, ἔφη, ὦ δέσποτα. οὔτε γὰρ ζῶσά μου ἡ δέσποινα καὶ ἡ μήτηρ σου καὶ τὰ τέκνα κακοῦ τινὸς ἐπειράθησαν, οὔτ᾽ ἀποθανοῦσα ταφῆς ἐκείνη πρεπούσης ἠμοίρησεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσι. τούτοις ὁ δαρεῖος εἰς ὑποψίας ἀτόπους ἐνέπεσε, καὶ τὸν εὐνοῦχον ἰδίᾳ παραλαβὼν, ὅρκοις περιεκατελάμβανεν, ἐρωτῶν, εἴ τις περὶ τὴν γυναῖκα γέγονε τῷ ἀλεξάνδρῳ ἐπιθυμία· πῶς γὰρ, ἔλεγε, παρ᾽ ἐχθροῦ καὶ νέου ἀνδρὸς πολεμίου γυνὴ, ὡς ἔφης, οὕτω τετίμηται; ὁ δ᾽ εὐνοῦχος τὸν λόγον ἐγκόψας, εὐφήμει δέσποτα, ἔφη, καὶ μήτε τὴν γυναῖκα καταίσχυνε, μήτ᾽ αὖ κατηγόρει ἀλεξάνδρου, ὃς πλέον ταῖς περσίσι τὸ σῶφρον, ἢ τοῖς πέρσαις τὸ γενναῖον ἐνέφηνε· καὶ ὅρκοις τοὺς λόγους ἐβεβαίου, περὶ τῆς ἐγκρατείας τοῦ ἀλεξάνδρου καὶ τῶν ἄλλων ἀρετῶν διηγούμενος. καὶ ὁ δαρεῖος ηὔχετο δυνηθῆναι ἀμείψασθαι τὸν ἀλέξανδρον, ὧν εἰς τὰ φίλτατα καλῶν ἐνεδείξατο, ἢ μὴ ἄλλον εἰς τὸν κύρου καθίσαι θρόνον, ἢ τὸν ἀλέξανδρον. αὐτὸς δὲ τῆς ἐντὸς εὐφράτου χώρας περιλαβὼν ὁ ἀλέξανδρος, ἐπὶ δαρεῖον ἄπεισιν, ἑκατὸν μυριάδας στρατοῦ ἐπαγόμενον. ὡς δ᾽ ἐν ὄψει ἀλλήλων ἐγένοντο τὰ στρατεύματα, καὶ νὺξ ἦν, καὶ τὸ μεταξὺ πεδίον τὰ πυρὰ τῶν βαρβάρων κατέλαμπον, καὶ θόρυβος ἐκ τοῦ στρατοπέδου περιήχει πολὺς, παρμενίων καὶ τῶν ἑταίρων τινὲς ἐκπλαγέντες τὸ πλῆθος, συνεβούλευον ἀλεξάνδρῳ νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις. μὴ γὰρ ἂν δυνηθῆναι κατὰ συστάδην ἀντιστῆναι τοσούτῳ στρατεύματι. ὁ δὲ, οὐ κλέπτω τὴν νίκην, εἶπε. τῇ δ᾽ ὑστεραίᾳ τῆς μάχης συγκροτηθείσης, ὡς μέν τινες φασὶν ἐν ἀρβήλοις, ὡς δ᾽ ἕτεροι ἐν γαυγαμήλοις, οἱ βάρβαροι ἐξέκλιναν, καὶ ἦν αὐτῶν διωγμός. ἀλέξανδρος δὲ πόῤῥωθεν τὸν δαρεῖον ἰδὼν ἐφ᾽ ἅρματος ὑψηλοῦ, ἱππόταις πλείστοις καὶ λαμπρῶς ὡπλισμένοις περικυκλούμενον, ἐκεῖ συνώθει τοὺς φεύγοντας, ὥς τε τούτοις συνταράξαι τοὺς μένοντας, καὶ πολλοὺς σκεδάσαι αὐτῶν. πολλῶν δὲ πεσόντων τοῦ δαρείου ἐνώπιον, ὡς οὐκ ἦν ἐξελάσαι τὸ ἅρμα τοῖς πτώμασι συνεχόμενον, τοῦτο μὲν ἀπέβη δαρεῖος. θήλειαν δ᾽ ἵππον ἀναβεβηκὼς, ἔφυγε. ἑάλω δ᾽ ἂν, εἰ μὴ παρμενίων τὸν ἀλέξανδρον μετεπέμψατο, ἐπαρήξοντα τῷ κατ᾽ αὐτὸν κέρατι πονουμένῳ. ἡ μὲν οὖν νίκη λαμπρὰ τῷ ἀλεξάνδρῳ προσγέγονεν. ἡ δὲ περσῶν βασιλεία ἐντεῦθεν καθῄρητο, ἀλέξανδρος δὲ τῆς ἀσίας βασιλεὺς ἀνηγόρευτο, καὶ ὑπ᾽ αὐτῷ ἡ βαβυλωνία πᾶσα ἐγένετο. σούσων δὲ κρατήσας, τετρακισμύρια τάλαντα νομίσματος κατὰ τὰ βασίλεια εὗρε, καὶ ἄλλων χρημάτων ἀμυθήτων πολυτέλειαν. κυριεύσας δὲ καὶ τῆς * περσίδος, νομίσματος εὗρε πλῆθος ὅσον ἐν σούσοις. τὸν ἄλλον δὲ πλοῦτον ἱστοροῦσιν ἐκκομισθῆναι μυρίοις ὀρικοῖς ζεύγεσι, καὶ πεντακισχιλίοις καμήλοις. ἐμπρήσας δὲ τὰ βασίλεια, ταχὺ μετεμελήθη, καὶ κατασβεσθῆναι τοῦτα προσέταξε. μεγαλόδωρος δὲ τυγχάνων, ἔτι μᾶλλον ἐπεδίδου πρὸς τοῦτο, τῶν πραγμάτων αὐξανομένων αὐτῷ. ὁρῶν δὲ τοὺς περὶ αὐτὸν τρυφῶντας, καὶ ταῖς διαίταις πολυτελεῖς, καθήψατο πρᾴως αὐτῶν, θαυμάζειν εἰπὼν εἰ μὴ ἔμαθον ἐκ συγκρίσεως τοῦ τῶν περσῶν βίου πρὸς τὸν σφέτερον, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν. τὸ δὲ πονεῖν ἀρχικώτατον. αὐτὸς μὲν γὰρ οὐκ ἐνεδίδου, καὶ στρατείαις καὶ θήραις πονῶν. οἱ δ᾽ ἑταῖροι αὐτοῦ διὰ πλοῦτον

τρυ-

περὶ τῆς τελευτῆς τῆς γυναικὸς δαρείου.

περὶ τῆς ὑποψίας τοῦ δαρείου, διὰ τὴν ἀλεξάνδρου σωφροσύνην.

ὅτε ἀλέξανδρος ὁ δεύτερον συμβαλὼν τοῖς πολεμίοις.

φυγὴ δαρείου.

ὅσον πλοῦτον εὗρεν ἀλέξανδρος τοῦ δαρείου καὶ ἀφειδῶς.

ὅπως ἐπέπληξε τοῖς τρυφῶσιν ἀλέξανδρος.

ad se ueniret, eum nullum humanitatis officiũ desideraturũ. Regina ex partu mortua, quidam ex eunuchis elapsus, eius obitũ Dario nunciauit: quo audito lamentatus est, quòd non tantum captiua fuisset, sed & regia sepultura caruisset. Ibi eunuchus: Bono, inquit, animo esto Domine. Neque enim uiuens domina mea & mater tua liberique ullũ malum sunt perpessæ, neque illa mortua honesta sepultura caruit, sed hostiũ quoque lachrymis est ornata. Ex ijs uerbis Darius suspicionib. sinistris obortis: eunuchũ seductũ iureiurando adegit, ut sibi diceret, an Alexãder uxoris amore captus fuisset. Nam alioqui cur, inquit, & ab hoste & ab adolescẽte honorata est? Sed eunuchus sermone interrupto: Domine, bona uerba, inquit, neque tu uel uxorẽ probro afficeris, uel Alexandrũ accusaris, qui modestiam suã Persicis mulierib. magis declarauit, quàm Persis fortitudinẽ. cuius continentiã cæterasque uirtutes dum prædicaret, orationẽ suam iureiurando cõfirmauit. Darius igitur optauit, ut aut Alexãdro gratiam referre posset pro beneficijs in suos charissimos collatis, aut ut ne alius quàm ille in Cyri solio sederet. Alexander autẽ prouincijs intra Euphratẽ iã potitus, cõtra Dariũ ibat, decies centena hominũ millia secũ trahentẽ. Ut in conspectũ uenerãt exercitus, & noctu barbarorũ pyræ planiciẽ interiectã collustrabant, eque castris eorum magnus tumultus resonabat: Parmenio & quidam ex amicis multitudine perterriti, Alexandro suadẽt, ut noctu hostes inuadat, neque enim posse iusta acie cum tanto exercitu decertari. Is uerò, se furari uelle uictoriã negauit. Postridie pugna cõmissa, ut quidã aiunt, Arbelis, ut alij, Gausamelis, barbari terga dederunt, eosque uictores persecuti sunt. Alexander autẽ cum Darium eminus in sublimi curru plurimis equitibus splendidè armatis circundatũ uidisset, fugientes eò cõpulit: quibus eos etiam qui loca sua non deseruerant, perturbauit, multosque dissipauit. Multis autẽ in conspectu Darij cæsis, cum is præ cadaueribus currũ agere non posset: eo relicto, & equa conscensa, fugæ se mãdat. in qua captus etiam fuisset, nisi Parmenio Alexãdrũ accersisset, ut suo cornu laborãti subueniret. Hac illustri parta uictoria, Persarum regno euerso, Alexander Asiæ rex declaratus, omni Babylonia potitus est. Susis captis, XL millia talentum signatæ pecuniæ, & alias infinitas opes maximi precij in regia inuenit. * Persia quoque subacta, tãtundem quantũ Susis inuenit: aliasque preterea diuitias exportatas esse memorãt, decies mille iugis mulorũ, & quinquies mille camelis. Regiæ incensæ statim eũ pœnituit, atque ignẽ extingui iussit. Porrò cũ natura magnificus esset, auctis fortunis, etiã eius aucta est liberalitas. Suos delicatè uiuere uidẽs, leniter castigauit: seque mirari dixit, eos ex cõparatione suæ & Persicæ uitæ non didicisse, delicijs nihil esse seruilius, labore nihil regalius. Ipse quidem, de expeditionũ & uenationũ laborib. nihil remisit: amici uerò, qui propter diuitias

Darius denuò profligatur.

Persicæ prædæ magnitudo.

* Persepoli.

Alexandri liberalitas, frugalitas, moderatio et iracũdia.

 genio

genio indulgere cupiebāt, cum sequi coacti, maledictis nō abstinebāt, q̄ ille principio æquo ferebat animo, regiū esse dicēs, male audire cū benefaceret: sed tandē frequentib. calūnijs exaspe ratus, sæuus et inexorabilis extitit erga maledicos. Prius aūt cū ꝓ tribunali capitales causas cognosceret, alteri aurì manū admouere solebat, ut eam reo intactā cōseruaret, & accusationis expertē.

Darij persecutio, & interitus.

Cum Dariū per dies cōplures tribus millibus assumptis persequeref, pleriꝗ & itinerū difficultatib. & aquæ inopia defatigati sunt. cū ei Macedones quidā occurrerūt, aquā in utrib. ferētes: impletāꝗ galeā obtulerunt ex siti male affecto. Qua accepta, cum se à comitib. aspici uideret, nō bibit, sed ijs qui dederāt illa reddita dixit: Si ego solus bibero, hi deficiēt animis. Hostes iam assecutus, castris præteritis, ad Dariū capiendū properauit. Is uerò in curru iacebat moribundus, & cōfectus uulnerib. cumꝗ petita aqua bibisset, ad Polystratū dixit, qui eā dederat: Hoc extremū est calamitatū mearū omniū, ꝙ tibi de me bene merito gratiā referre nō possum. Sed & Alexāder tibi gratiā referet, & Alexādro Dij immortales, ꝓ clemētia, qua erga matrē uxoremꝗ & liberos meos usus est. His dictis expirauit. cui Alexāder morienti astās, sua chlamyde cadauer tectū, & regaliter ornatū, ad matrem eius misit.

Bessi supplicium.

Bessum uerò à quo occisus fuerat, duab. arborib. ui inflexis alligari iussit, quib. laxatis, cū utraꝗ uehemēti impetu ad suā naturā rediret, homo discerptus est.

Hyrcania Parthica.

Cū in Hyrcaniam abiret, & barbari quidā circa pelagus Hyrcanū, quod & Caspiū dicif, equū eius Bucephalā rapuissent, ægrè tulit: eisꝗ per nuncios cōminatus est, ni equū redderēt, se oēs occisurū. At illi & equū reddiderūt, & semetipsos ei dediderūt.

Barbarica uestis.

Inde in Parthicā est ꝓfectus, ubi primùm barbaricā uestē induit, Medica minus superbā, Persica insolentiorē, quod spectaculū arrogās uisum est Macedonib.

XXX millia delectorum captiuorum.

E' captiuis tricies mille pueros delectos, et Græcis literis erudiri, & ritu Macedonū armari iussit. Roxanæ formosę mulieris amorib. eatenus indulsit, ut eam legitimo sibi matrimonio iungeret.

Hephæstiō. Craterus.

Ex amicis Hephæstionē, qui uestitum eius laudabat, similemꝗ uestē & ipse induerat, Alexādri amantē: Craterū uerò, qui à patrijs institutis nō recedebat, regis amantē appellabat. illoꝗ apud barbaros utebaf, per Craterū Macedonib. & Græcis respondebat.

Philotæ Parmenionis & Cliti cædes.

Philotā Parmenionis filiū, rerum gestarū gloriā sibi & patri uendicantem, & Alexandrū adolescentē appellantē, deprehēsis etiā insidijs, sustulit. Patrē quoꝗ eius Parmenionē in Media occidendū curauit. Et amicū Clitū, cū in cōuiuio poemata in duces quosdā recens uictos à barbaris facta canerenf, eaꝗ Alexander libēter audiret, præ insolentia & ebrietate refragantem & indignantem & gloriantem, maledictaꝗ ingerentem, primùm malo petijt. Sed cum ne sic quidem impudentiæ & audaciæ suæ modum ille statuens, Euripidis iambum,

τρυφᾶν ἐβούλετο, συνείποντο δὲ οἱ ἀναγκαζόμενοι, ὡς τὸ βλασφημεῖν αὐτὸν παύσασθαι. ὁ δὲ πρᾴως ἔφερε πρότερον τὴν ἀρχὴν τὰς βλασφημίας, λέγων, βασιλικὸν εἶναι τὸ κακῶς ἀκούειν εὐεργετοῦντα. ὕστερον μέντοι αὐτὸν αἱ πολλαὶ διαβολαὶ ἐξετράχυναν, καὶ πρὸς τοὺς βλασφημοῦντας αὐτὸν χαλεπὸν γενέσθαι καὶ ἀπαραίτητον παρεσκεύασαν. ἑκάστοτε πρότερον ἐν θανατικῶν ἀκροώμενος δικῶν, εἰώθει τῷ ἑνὶ τῶν ὤτων τὴν χεῖρα ἐπιτιθέναι, ὡς ἄψαυστον αὐτὸ τῷ κατηγορουμένῳ τηρεῖν, καὶ τῆς κατηγορίας ἀμιγές. διώκοντος δὲ τοῦ Δαρείου, μετὰ τρισχιλίων, ἐφ' ἡμέρας πλείους ἐδίωκον, ὡς ἀπαγορεῦσαι τοὺς πλείονας, διά τε τὴν χαλεπότητα τῆς ὁδοῦ, καὶ τὴν ἀνυδρίαν. ὅτε Μακεδόνες τινὲς ἐν ἀσκοῖς ὕδωρ κομίζοντες αὐτῷ συνήντησαν, καὶ πλήσαντες κράνος, προσήνεγκαν αὐτῷ κακῶς ὑπὸ δίψους διακειμένῳ· ὁ δὲ τὸ κράνος λαβών, καὶ τοὺς περὶ αὐτὸν πρὸς αὐτὸν ἰδὼν ἀποβλέποντας, οὐκ ἔπιεν, ἀλλ' ἐπιδοὺς τοῖς δοῦσιν αὐτό, εἰπών, ὡς εἰ ἐγὼ πίομαι μόνος, ἀθυμήσουσιν οὗτοι. ἐμβαλὼν δὲ ἤδη τοῖς πολεμίοις, τὸ μὲν στρατόπεδον αὐτῶν παρῆλθε, τὸν δὲ Δαρεῖον ἀπέσπευδε καταλαβέσθαι. ὁ δ' ἔκειτο ἐν ἁρμαμάξῃ τραυμάτων κατάπλεως, ἤδη ἐκλείπων. αἰτήσας δὲ ὕδωρ, καὶ πιών, εἶπε πρὸς τὸν δόντα Πολύστρατον· τοῦτό μοι πέρας δυστυχίας ἁπάσης, ὅτι εὖ παθών, ἀμείψασθαί σε οὐ δύναμαι. Ἀλέξανδρος δέ σοι τὴν χάριν ἀνταποδώσει, Ἀλεξάνδρῳ δ' οἱ θεοὶ τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας. καὶ ἐπὶ τούτοις ἐξέλιπεν. ἐπιστὰς δὲ αὐτῷ θανόντι ὁ Ἀλέξανδρος, τῇ ἑαυτοῦ χλαμύδι τὸν ἐκείνου νεκρὸν περιέβαλε, καὶ πρὸς τὴν μητέρα βασιλικῶς κεκοσμημένον ἀπέστειλε. τὸν δὲ Βῆσσον, ὃς ἐκεῖνον ἀνεῖλε, διαφθαρῆναι δυσὶ βίᾳ κεκλιμένοις δένδροις προσαρτηθῆναι κελεύσας αὐτόν, εἶτα μεθεῖναι τὰ δένδρα, καὶ οὕτω διασπασθῆναι τὸν ἄνθρωπον, ἑκάστου τῶν δένδρων μετὰ σφοδρότητος εἰς τὴν κατὰ φύσιν ὁρμήσαντος ἀνάστασιν. εἰς Ὑρκανίαν δὲ ἀπιὼν περὶ τὸ Ὑρκάνιον πέλαγος, ὃ καὶ Κάσπιον λέγεται, βαρβάρων τινῶν τὸν ἵππον αὐτοῦ τὸν Βουκεφάλαν ἀφελομένων, ἐβαρυθύμησε, καὶ πέμψας ἠπείλησε πάντας ἀποκτενεῖν, εἰ μὴ τὸν ἵππον αὐτῷ ἀναπέμψαιεν. οἱ δὲ καὶ τὸν ἵππον ἐκόμισαν, καὶ ἑαυτοὺς αὐτῷ ἐνεχείρισαν. ἐντεῦθεν εἰς τὴν Παρθυαίων ἀφικόμενος, ἐνταῦθα πρῶτον βαρβαρικὴν στολὴν ἐνεδύσατο, καὶ τὴν μὲν Μηδικὴν ἀτυφοτέραν, τὴν δὲ Περσικὴν σοβαρωτέραν. ἰδοῦσι δὲ τοῖς Μακεδόσι τὸ θέαμα φορτικόν. τρισμυρίους δὲ παῖδας τῶν αἰχμαλώτων ἐκέλευσε γράμματα σφᾶς ἑλληνικὰ ἐκδιδάσκεσθαι, καὶ κατὰ Μακεδόνας ὁπλίζεσθαι. τῆς Ῥωξάνης δ' ἐρασθεὶς γυναικός, οὐκ ἄλλως αὐτῇ προσῆλθεν ἢ κατὰ νόμον. τῶν δὲ φίλων αὐτοῦ τὸν μὲν Ἡφαιστίωνα ἐπαινοῦντα τὴν στολὴν ἣν ἐνέδυ, καὶ ὁμοίως αὐτῷ μετημφιεσμένον, φιλαλέξανδρον ἐκάλει, τὸν Κρατερὸν δὲ μὴ παρεξιόντα τὰ πάτρια, φιλοβασιλέα· καὶ τῷ μὲν πρὸς τοὺς βαρβάρους ἐχρῆτο, διὰ δὲ τοῦ Κρατεροῦ τοῖς Μακεδόσι καὶ τοῖς Ἕλλησιν ἐχρημάτιζε. Φιλώταν δὲ τὸν υἱὸν Παρμενίωνος μεγαλαυχοῦντα, ὡς δι' αὐτοῦ καὶ τοῦ πατρὸς αὐτοῦ τῶν κατορθωμάτων γινομένων, καὶ μειράκιον τὸν Ἀλέξανδρον ὀνομάζοντα, ὅτε καὶ ἐπιβουλεύοντα γνούς, ἀνεῖλε. πέμψας δὲ εἰς Μηδίαν, καὶ τὸν πατέρα αὐτοῦ (ἐκεῖ γὰρ ἦν) ἀπέκτεινε. καὶ τὸν Κλεῖτον δὲ τῶν ἑταίρων ἕνα τυγχάνοντα, παρὰ πότον, ᾀδομένων ποιημάτων εἴς τινας στρατηγοὺς νεωστὶ ἡττηθέντας ὑπὸ βαρβάρων, καὶ τοῦ Ἀλεξάνδρου ἡδέως αὐτῶν ἀκούοντος, τραχυνόμενον καὶ ἀγανακτοῦντα καὶ μεγαλαυχοῦντα ὑπὸ οἴνου θρασύτητος καὶ μέθης, καὶ κατ' αὐτοῦ βλασφημοῦντα, πρῶτον μὲν μήλῳ ἔβαλεν, εἶτα δ' ἀναιδευόμενόν τε καὶ θρασυνόμενον, καὶ τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα λέγοντα,

οἴμοι

οἴμοι καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται; καὶ τὰ λοιπά, ἐκπαροξύνας θυμῷ ὁ Ἀλέξανδρος, αἰχμῇ διελάσας ἀπέκτεινεν. αὐτίκα δὲ τοῦ θυμοῦ παυθέντος μεταμεληθείς, ὥρμησε καὶ ἑαυτὸν ἀνελεῖν, ἐπισχέθη μέντοι παρὰ τῶν σωματοφυλάκων, καὶ εἰσηνέχθη πρὸς θάλαμον, ἔνθα τὴν νύκτα καὶ τὴν μετ' αὐτὴν ἡμέραν ἐν θρήνοις διαγαγών, ἀπειρηκὼς ἔκειτο, ἄναυδος στένων μόνον βαρυτάτα. καὶ τῶν φίλων ἀσιγούντων πρὸς αὐτόν, οὐ προσίετο τοὺς λόγους αὐτῶν. Ἀριστάνδρου δὲ τοῦ μάντεως ὄψιν αὐτὸν ἀναμνήσαντος, ἣν εἶδε περὶ τοῦ Κλείτου, καὶ ἄλλων σημείων ἐκείνῳ γενομένων, καὶ ἅμαρτον εἶναι τὸ γενόμενον λέγοντος, ἤρξατο ἐνδιδόναι. μέλλων δὲ εἰς τὴν Ἰνδικὴν ἐμβαλεῖν, συσκευασμένων τῶν ἁμαξῶν, πρώτας μὲν ταῖς οἰκείαις ἐνῆκε πῦρ, εἶτα καὶ ταῖς τῶν φίλων, καὶ μετὰ ταῦτα καὶ τὰς τῶν Μακεδόνων κατεπρῆσαι ἐκέλευσε. τοῦτο δὲ γεγονὸς ὀλίγους μὲν ἐλύπησεν· οἱ δὲ λοιποὶ βοῇ καὶ ἐνθουσιασμῷ πρὸς τὸ ἔργον ὡρμήκασι, καὶ τὸν Ἀλέξανδρον προθυμίας πρὸς τὴν στρατείαν ἐνέπλησαν. ἤδη δὲ καὶ φοβερὸς ἦν, καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων. πολλοῖς δὲ ὢν κατὰ τὰς μάχας αὐτοῦ συνέπεσε κινδύνοις, καὶ νεανικοῖς ἀπήντησε τραύμασι. τὴν δὲ πλείστην φθορὰν τῆς στρατιᾶς, ἐνδεῖαι τῶν ἀναγκαίων καὶ δυσκρασίαι τοῦ περιέχοντος ἀπειργάσαντο. αὐτὸς δὲ διὰ τόλμαν οὐδὲν ᾤετο τοῖς θαρραλέοις ἀνάλωτον, οὐδέ τι ὀχυρὸν τοῖς ἀτόλμοις. πέτρᾳ δέ τινι ἀποτόμῳ προσβαλὼν σὺν τοῖς νεωτέροις τῶν Μακεδόνων, Ἀλέξανδρόν τινα ἐν τούτοις καλούμενον προσαγορεύσας, ἀλλὰ σοί γε, εἶπε, καὶ διὰ τὴν κλῆσιν ἀνδραγαθεῖν προσήκει. ποταμὸν δὲ βαθὺν τῶν Μακεδόνων περᾶν ὀκνούντων· τί γάρ, εἶπεν ὁ κάκιστος ἐγὼ νεῖν οὐκ ἔμαθον; ὡς δὲ ἧκον πρέσβεις πρὸς αὐτὸν ἐκ τῶν πολιορκουμένων πόλεων, ὁ πρεσβύτατος αὐτῶν Ἄκουφις τοὔνομα ἠρώτησε, τί ἂν ποιοῦντες φίλοι αὐτοῦ λογίζοιντο; ὁ δὲ Ἀλέξανδρος, εἰ σὲ μέν, εἶπεν, αἱρήσονται ἄρχοντα, ἐμοὶ δὲ πέμψουσιν ἄνδρας ἑκατὸν τοὺς ἀρίστους. γελάσας οὖν πρὸς ταῦτα ὁ Ἄκουφις, ἀλλὰ βέλτιον, εἶπεν, ἄρξω ὦ βασιλεῦ, εἰ τοὺς κακίστους σοι, καὶ μὴ τοὺς ἀρίστους στελῶ. ὁ μέντοι Ταξίλης μοίρας ἄρχων τῆς Ἰνδικῆς παμφόρου τε καὶ εὐδαίμονος, οὐκ ἐλάσσονος Αἰγύπτου, σοφὸς δὲ ὢν ἀνήρ, πέμψας ἠσπάσατο τὸν Ἀλέξανδρον, καὶ τί δεῖ πολέμων ἡμῖν, ἔφη, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ὑμῶν ἀφῖξαι, μήτε τροφὴν ἀναγκαίαν; τοῖς δὲ ἄλλοις ἃ μὲν κρείττων ὦ, ἕτοιμός εἰμι εὖ ποιεῖν· εἰ δὲ ἥττων, οὐ φεύγω χάριν ἔχειν εὖ παθών. ἡσθεὶς οὖν ἐπὶ τούτοις ὁ Ἀλέξανδρος, ἐγὼ (φησίν) ἀγωνιοῦμαι πρός σε, καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὡς μὴ χρηστὸς ὢν μὴ περιγένῃ. λαβὼν δὲ δῶρα πολλά, καὶ πλείονα παρασχών, τέλος χίλια τάλαντα νομίσματος αὐτῷ ἐδωρήσατο. σπεισάμενος δέ τινι πόλει τῶν Ἰνδικῶν, ἀπιόντας ἐκεῖθεν τοὺς ἐν αὐτῇ μισθοφοροῦντας τῶν μαχιμωτάτων Ἰνδῶν, ἀπέκτεινεν ἅπαντας· ὃ τοῖς αὐτοῦ πολεμικοῖς ἔργοις οἷά τις κηλὶς πρόσεστιν. εἶτα πρὸς Πῶρον ἐμαχέσατο, καὶ αὐτὸν χώρας Ἰνδικῆς βασιλεύοντα, τὸ μέγεθος τοῦ σώματος ἔχοντα εἰς τέσσαρας πήχεις ἀναβαῖνον καὶ σπιθαμήν. ὃν νικήσας καὶ ζῶντα λαβὼν ὁ Ἀλέξανδρος, ἠρώτησε, πῶς ἂν αὐτῷ χρήσαιτο; ὁ δέ, βασιλικῶς, ἀπεκρίνατο. πυνθανομένου δὲ τοῦ Ἀλεξάνδρου, εἴ τι καὶ ἕτερον λέγοι; ὁ Πῶρος, πάντα (ἔφη) τῷ βασιλικῶς ἔνεστιν. ἀφῆκεν οὖν αὐτόν, καὶ ἀρχὴν δέδωκε, σατράπην ὀνομαζόμενον,

Ἰνδὸς Ταξίλης ἡμέρως ἐνεδίδοτο Ἀλεξάνδρῳ κατὰ τὴν Ἰνδικὴν ἄρχων χώρας.

Περὶ Πώρου τοῦ Ἰνδικοῦ ἄρχοντος, οἷος ἦν τὸ σῶμα.

Heu quàm peruersa consuetudo Græciæ est? & qui sequuntur, recenseret: bile efferuescente hasta traiectum interfecit. iraque mox sopita, eius facinoris pœnitens, sibi ipsi manus anulisset, nisi à satellitibus cohibitus fuisset. In thalamũ illatus, eam noctem & secutam in lachrymis egit, tacuitque desperabundus & tacitus, tantum grauissimè suspirans. Neque ullius amici orationem admittebat, donec Aristander augur eum uisionis de Clito oblatæ, & de ominibus quibusdam admonuit, quibus fatalem illius casum fuisse arguebat. Tum demum enim minuere luctum cœpit. Impressionem in Indiã facturus, cum apparatos currus uideret, primùm suis, deinde amicorum iniecto igne, postremò etiam Macedonum, comburi iussit. Id factum paucis molestum fuit. Reliqui uerò, cum clamore, & quasi afflatu quodam numinis concitati essent, profectionẽ adgressi, Alexandrũ alacritatis ad capessendam militiam impleuerunt. Cum uerò iam & formidabilis esset, ac delinquentib. inexorabilis, in multa pericula in prælijs incidit, et insignia uulnera accepit. Maxima tamen exercitui pernicies è penuria cõmeatus, & aeris intemperie prouenit. Sed ipse ea erat audacia, ut nihil uiris fortibus obsistere posse, nihil ignauis tutum esse arbitraretur. Petram quandam præruptam cum iunioribus Macedonum aggressus, quendam inter eos nomine Alexandrũ cohortatus: At te, inquit, uel propter nomẽ, strenuum esse decet. Macedonibus profundũ quendam fluuium transire dubitantibus: Cur, inquit, ego omnium mortalium ignauissimus natare non didici? Cum legati urbiũ quas obsidebat, ad eũ uenissent, eorumque natu maximus Acuphis rogaret, quibus rationibus eius amicitiam sibi cõciliarent? Alexander respondit, Si te principem crearint, & mihi uiros præstantissimos centum miserint. Ad hæc ridẽs Acuphis: Atqui, inquit, rex melius imperabo, si tibi non optimos, sed pessimos misero. Taxiles, qui Indiæ parti omnis generis fructuum feraci ac beatæ, quæque Aegypto nihil cederet, imperabat, uir sapiẽs, missis legatis Alexãdro salutato: Quid, inquit, bello nobis opus est, si huc uenisti, ut nobis neque aquam, neque uictum necessarium eriperes? cæteris autem rebus, si plus possum, paratus sum ad benefaciendum. Si minus, non recuso pro acceptis beneficijs habere gratiam. His Alexander delectatus: Ego, inquit, certabo tecũ beneficijs, & ne tua benignitate uincar elaborabo. acceptisque multis muneribus, pluribus datis, denique mille talenta ei donauit. Pace cũ urbe quadam Indica facta, milites qui præsidij causa conducti fuerant è bellicosissimis Indis, ex ea discedentes, uniuersos occidit: quod bellicis eius operibus ignominiæ ueluti maculam quandã impressit. Deinde cum Poro, & ipso Indiæ rege, pugnauit, qui staturæ erat quatuor cubitorum & spithamæ. Quem cum uictum captumque rogasset, quomodo tractandus esset? Regaliter, inquit. Percõtante Alexãdro: Nunquid aliud uellet? respondit, In regali tractatione inesse omnia. Eum igitur dimissum, satrapen appellauit non earum

Alexandri expeditio Indica.

Alexandri audacia.

Acuphis cũ Alexandro colloquiũ.

Taxiles Alexandro se dedit.

Alexandri inhonestũ facinus.

Porus ab Alexandro uictus.

duntaxat prouinciarū quibus prius imperarat, *Bucephalæ obitus.* sed & aliarum multarum. In ea pugna Bucephalas etiam uulneratus, paulo pòst, iam admodū senex, obijt: cuius obitum Alexander nō secus doluit, ac si amicū amisisset. *Gangē transire Macedones recusant.* Cum Macedones pugna cum Poro cōmissa fatigati, Alexandro Gangem etiam, cuius latitudo uersus occasum stadiorum LXII, profunditas C orgyarum erat, ut transituro, non parērent: animo æger, in tabernaculo desidens, non prodijt in publicū: perinde esse iudicans, si Gangem non transisset, ac si uictum se cōliteretur. Sed amicis obtestantib. & militibus cum ploratu supplicantibus, tandem cessit, exercituq; reducto, multa nauigia et rates fabricauit, quibus flumina trajceret, exterius quoq; mare inspecturus, & præternauigando urbes subegit. *Alexandri periculum apud Mallos.* Cum autē ad Mallos peruenisset, Indorum pugnacissimos, parum ab interitu abfuit. Nam cum primus per scalas murum conscendisset, ijsq; comminutis, ab hostibus peteretur, impetu in medios hostes desilijt, & casu rectus stetit. ac Barbari primùm dispersi sunt: sed cum solum esse cum duobus duntaxat armigeris conspicari, ad defensionem conuersi, cominus cum feriebant. Quidā uerò longius absistens, sagittā ex arcu emissam in ossibus circa mammam defixit: quæ plaga sic eum perculit, ut cederet atq; inclinaretur, is uerò qui eum icerat, stricto gladio accurreret. Sed Peucestes & Lemnæus regem defendentes, ambo sunt uulnerati, alter etiam mortuus. Alexander autem, propugnante adhuc Peuceste, barbarum à quo uulneratus erat, occidit: multisq; uulneribus acceptis, cum in collo etiam tragula ictus esset, ad murum inclinatus, barbaros intuetur. Interim à Macedonibus conglobatis raptus, sensuq; destitutus exportat̄. Cum aūt acies sagittæ ossi inhæreret, in extrahendo telo acerrimis doloribus affectus, in animi deliquia incidit, ut de uita eius actum putaretur. Tamen periculo euitato, cum longiore tempore curaret̄, Macedonibus eius uidendi desiderio tumultuantibus, in medium processit. Confirmata ualetudine ulterius pergendo, multas prouincias & urbes subegit. *Gymnosophistæ.* Cum quosdā Gymnosophistas cępisset, eisq; multas difficiles quæstiones ꝓposuisset, muneribus datis homines dimisit. Taxiles uerò, uni inter illos celebri Calano persuasit, ut Alexandrum conueniret. Is corium aridū proiecit, & eius extrema per uices calcauit: quod dum fieret, aliæ partes attollebant̄. Cum aūt medium calcasset ac cōpressisset, totū coriū quietū mãsit, & immobile. Quo exēplo monebat Alexandrū, ne in regni extremitatib. se contineret, sed media occuparet, ut et circumiacētia loca in officio cōtinerent̄. *Alexandri clades.* Septē mēsib. ꝑ flumina in mare deuectus, ferē nauib. Oceanū ingressus: indeq; reuersus, nauib. dextrā Indicę regionis oram legere iussis, ipse pedestri itinere, ꝓficiscēs, in extremā inopiā incidisse: tantāq; multitudinē amisisse, ut non quarta exercitus pars, ob morbos, malū uictū, æstū & famē, ex India reuerteret̄. Inopē enī ꝓuinciā pertrāsibat, q̄ paucas oues habebat, marinis piscib. alitas, insuaui & fœtēti carne.

μόνον, οὐ μόνον ὧν ἦρχε πρότερον, ἀλλὰ καὶ ἄλλων πλειόνων. ἐν ταύτῃ τῇ μάχῃ καὶ ὁ Βουκεφάλας τρωθεὶς, μετὰ καιρὸν ἐτελεύτησεν, ἤδη ὑπέργηρως γεγονώς. ὁ δὲ Ἀλέξανδρος ἤλγησεν, ὥς τινα φίλον ἀποβαλών. *ἴσα δ' Ἀλέξανδρος ... τοῦ Βουκεφάλα ἵππου ...* οἱ μέντοι Μακεδόνες ἐν τῇ πρὸς Πῶρον μάχῃ πεπονηκότες, οὐκ ἐπείθοντο Ἀλεξάνδρῳ καὶ τὸν Γάγγην ποταμὸν περάσαι βιαζομένῳ, εὖρος μὲν ἔχοντα σταδίους ἑξήκοντα πρὸς δύσιν, βάθος δὲ ὀργυιὰς ἑκατόν. *καὶ περὶ τοῦ ποταμοῦ γάγγου, ... ὀργυιῶν ...* ὁ δὲ δυσθυμήσας, ἀπεκλείσθη ἐν τῇ σκηνῇ ἡμέρας, ἧττον ἑαυτὸν λογιζόμενος συγκατατίθεσθαι τὸ τὸν Γάγγην μὴ παρελθεῖν. τῶν δὲ φίλων παρακαλούντων, καὶ τῶν στρατιωτῶν ἀντιβολούντων μετὰ κλαυθμοῦ, ἐνέδωκέ τε καὶ ἀνέζευξε. πολλὰ δὲ πορθμεῖα καὶ σχεδίας κατασκευασάμενος, ἐνομίζετο διὰ τῶν ποταμῶν θέλων τὴν ἔξω θάλασσαν ἰδεῖν· καὶ παραπλέων ἐπέβαινε, καὶ πόλεις ἐχειροῦτο. ἐν δὲ Μαλλοῖς γεγονὼς, μαχιμωτάτοις οὖσιν Ἰνδῶν, μικροῦ ἐκινδύνευσε. *ὅτι Μαλλοὶ ... ἔθνος ἰνδικόν.* πρῶτος γὰρ διὰ κλίμακος ἐπὶ τὸ τεῖχος ἀναβὰς, τῶν κλιμάκων συντριβεισῶν, καὶ τῶν πολεμίων ἀποτοξευόντων καὶ βαλλόντων αὐτὸν, συστρέψας ἑαυτὸν, εἰς μέσους ἄνωθεν ἀφῆκε τοὺς ἐναντίους· καὶ κατὰ τύχην ὀρθὸς ἔστη, καὶ τὸ μὲν πρῶτον οἱ βάρβαροι διεσκεδάσθησαν. *ἴσως Ἀλέξανδρος πρῶτος ... ἐν τοῖς πολεμίοις, καὶ ... ἐκινδύνευσε.* ἰδόντες δὲ αὐτὸν καὶ δύο μόνους ὑπασπιστὰς, ἐπαναστραφέντες ἠμύνοντο, καὶ ἀγχιμάχοις ὅπλοις ἐτίτρωσκον. ἄφεσις δέ τις βέλη ἐκ τόξου βαλὼν αὐτὸν, τοῖς περὶ τὸν μαζὸν ὀστέοις τὸ βέλος ἐνέπηξε, καὶ οὕτως αὐτοῦ καθίκετο ἡ πληγὴ, ὡς ἐνδοῦναί τε καὶ καμφθῆναι. ὅθεν ὁ βαλὼν αὐτὸν, μετὰ ξίφους ἐπέδραμε. Πευκέστας δὲ καὶ Λιμναῖος ὑπερασπίσαντες, καὶ ἄμφω ἐτρώθησαν, καὶ ὁ μὲν τέθνηκε· Πευκέστας δὲ ἔτι ἠμύνετο, τὸν δὲ προσιόντα αὐτῷ βάρβαρον ἀνεῖλεν Ἀλέξανδρος. πολλαχοῦ δὲ τρωθεὶς, εἶτα καὶ κατὰ τὸν τράχηλον ὑπέρῳ βληθεὶς, τῷ τείχει προσερεισθεὶς πρὸς τοὺς βαρβάρους ἀπέβλεπεν. ἐν τούτῳ δὲ ἀθροισθέντων τῶν Μακεδόνων, ἁρπασθεὶς εἰς τὴν σκηνὴν ἀναίσθητος ἐκομίζετο. ἐπεὶ δὲ τῷ ὀστέῳ τῆς ἀκίδος ἐμπαγείσης, τοῦ οἰστοῦ ἑλκομένου, ὀδύναι δριμεῖαι καὶ λειποθυμίαι ἐγίνοντο, ὡς καὶ θάνατον ἐκείνου ἐλπίζεσθαι. ὅμως μέντοι τὸν κίνδυνον διαδρὰς, καὶ χρόνον πλείω θεραπευόμενος, εἰς θόρυβον τοὺς Μακεδόνας ἐνέβαλε, ποθοῦντας ἰδεῖν αὐτὸν, καὶ προῆλθεν. ἀναρρωσθεὶς δὲ αὖθις προῄει, χώραν τε πολλὴν καὶ πόλεις χειρούμενος. τῶν δὲ γυμνοσοφιστῶν τινας συλλαβὼν, καὶ ἐρωτήσεις αὐτοῖς ἀπόρους προθέμενος, ἐδωρήσατο, καὶ ἀφῆκεν. *περὶ τῶν γυμνοσοφιστῶν, καὶ τοῦ διὰ τῆς βύρσης ὑποδείγματος, ἵνα μὴ μακρὰν ὁ βασιλεὺς ἀποδημῇ.* ἕνα δὲ τῶν ἐν δόξῃ παρ' αὐτοῖς ὄντων, Κάλανον κεκλημένον, ἔπεισεν ὁ Ταξίλης πρὸς Ἀλέξανδρον ἀφικέσθαι. οὗτος βύρσαν ξηρὰν ἐνώπιον τοῦ βασιλέως καταβαλὼν, περιῄει τὰ ἄκρα ταύτης πατῶν. ἡ δὲ ἐν μέρει τῶν ἄκρων πιεζομένη τῇ συμπατήσει, τοῖς ἄλλοις ἠγείρετο μέρεσιν. εἶτα μέσον αὐτῆς πατήσαντος καὶ συνέχοντος, ἡ ὅλη βύρσα ἠρέμα, καὶ ἀκίνητος ἦν. ᾐνίττετο δὲ διὰ τοῦ ὑποδείγματος, τὸν Ἀλέξανδρον μὴ τοῖς ἄκροις τῆς ἀρχῆς ἐμφιλοχωρεῖν, τὰ μέσα δὲ κατέχειν, ἵν' οὕτω καὶ τὰ πέριξ ἠρεμῇ. ἑπτὰ δὲ μησὶ διὰ τῶν ποταμῶν εἰς τὴν θάλασσαν ὑπαχθεὶς, λέγεται ταῖς ναυσὶν εἰς τὸν ὠκεανὸν ἐμβαλεῖν. *ὅτι δὲ τὸν ὠκεανὸν ἐλθὼν Ἀλέξανδρος, καὶ ἰδὼν τὰ τραῦ πλῆθος ἀπώλετο, καὶ περὶ τὸ ἔχθος φάγημα ...* εἶτα ἀναστρέφων, τὰς μὲν ναῦς παραπλεῖν, ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας, ἐκέλευσεν. αὐτὸς δὲ πεζῇ πορευόμενος, εἰς ἐσχάτην ἀπορίαν κατέστη. καὶ πλῆθος τοσοῦτον ἀπώλεσεν, ὥς τι τῆς στρατιᾶς μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀνακομισθῆναι διὰ νόσους καὶ πονηρὰς διαίτας, καὶ καύματα καὶ λιμόν. ἄπορον γὰρ διῄει χώραν, ὀλίγα πρόβατα ἔχουσαν, καὶ ταῦτα θαλαττίοις ἰχθύσι τρεφόμενα, καὶ σάρκα μοχθηρὰν ἔχοντα, καὶ δυσώδη.

Cæterùm

ἐν ἑξήκοντα δ' ἡμέραις διελθὼν τὴν χώραν ἐκείνην, καὶ εἰς Γεδρωσίας ἀφικόμενος, ἐν ἀφθόνοις ἐγένετο, καὶ τήν τε δύναμιν ἀνεκτᾶτο, καὶ αὐτὸς ἐκώμαζε. καταβαίνων δ' ἐπὶ θάλασσαν, ἐκόλαζε τοὺς πονηροὺς τῶν στρατηγῶν. ἡ γὰρ ἄνω στρατεία, καὶ τὸ περὶ μαλλοὺς τραῦμα, καὶ ἡ τοῦ πλήθους φθορά, ἀπιστεῖν τῇ σωτηρίᾳ αὐτοῦ παρεσκεύασε, καὶ τοὺς στρατηγοὺς καὶ σατράπας εἰς ὕβριν καὶ ἀδικίαν ἠρέθισεν· αἳ δὲ πρὸς ἀποστασίαν τοὺς ὑποφόρους ἐκίνησαν. ἀβουλήτου δὲ τῶν σατραπευόντων ἑνὸς μὴ τὰ τῶν σιταρκιῶν ἑτοιμάσαντος, νομίσματος δὲ προσαγαγόντος αὐτῷ τρισχίλια τάλαντα, προσέταξε θεῖναι ταῦτα τοῖς ἵπποις. ἐκείνων δὲ μὴ ἐσθιόντων, τί ὄφελος (ἔφη) τούτων ἡμῖν; εἰς δὲ Πέρσας γενόμενος, καὶ τὸν Κύρου τάφον ὀρωρυγμένον ἰδών, ἀπέκτεινε τὸν ὀρύξαντα Πελλαῖον ὄντα, καὶ οὐ τῶν ἀσήμων. εἶχε δὲ ὁ Κύρου τάφος ἐπιγεγραμμένα ταυτί· ὦ ἄνθρωπε ὅστις εἶ, καὶ πόθεν ἥκεις (οὐ γὰρ ἥξεις οἶδα) ἐγὼ Κῦρός εἰμι, ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. μὴ οὖν μοι ὀλίγης ταύτης τῆς γῆς φθονήσῃς, ἣ τὸ ἐμὸν σῶμα περικαλύπτει. ταῦτα δ' ἀναγνωσθέντα τὸν Ἀλέξανδρον περιπαθῆ πεποιήκασι, λογισάμενον τὸ τῶν πραγμάτων ἀστάθμητον. τὴν δὲ θυγατέρα Δαρείου τὴν Στάτειραν ἑαυτῷ μνηστευσάμενος, καὶ τοὺς γάμους τελῶν, ἑκάστῳ τῶν ἑστιωμένων ἐννακισχιλίων ὄντων, φιάλην χρυσῆν ἐδωρήσατο, καὶ τἆλλα τε ἐλαμπρύνετο, καὶ τὰ χρέα ὑπὲρ τῶν ὀφειλόντων κατέβαλεν, ὀλίγῳ δέοντα μυρίων ταλάντων. ὅτε καὶ Ἀντιγένης τῶν ἡγεμόνων ὡς ὀφείλων πλασάμενος, καί τινα προσάγων ψευδῶς δανειστήν, καὶ λαβὼν τὸ ἀργύριον, ἐφωράθη. ὀργισθεὶς οὖν ὁ βασιλεύς, ἀπήλασεν αὐτὸν τῆς αὐλῆς, καὶ τῆς ἡγεμονίας ἀφείλετο. τοῦ δὲ ὑπὸ λύπης ὑποπτευομένου διαχειρίσασθαι, δείσας ὁ Ἀλέξανδρος, καὶ τὴν ὀργὴν ἀνῆκεν αὐτῷ, καὶ ἀφῆκε τὰ χρήματα. τῶν δὲ παίδων τῶν τρισμυρίων οὓς διδάσκεσθαι ἐκέλευσε, καὶ γενναίων ἀποβάντων καὶ εὐπρεπῶν, καὶ οὐκ ἀφυῶν ταῖς ἀσκήσεσιν, ὁ μὲν Ἀλέξανδρος ἥδετο, οἱ δὲ Μακεδόνες ἐδάκνοντο· καταπέμποντος δὲ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους ὡς εἰς θάλασσαν, ὕβριν ἡγοῦντο τοῦτ' ἔλεγον, καὶ προπηλακισμόν, καὶ πάντας ἐκέλευον ἀφεῖναι, καὶ τοῖς νέοις ἀρκεῖσθαι πυρριχισταῖς. ὀργισθεὶς δ' ἐπὶ τούτοις Ἀλέξανδρος, τοῖς Πέρσαις τὰς φυλακὰς παρέδωκε. μετανοήσαντας δ' αὖθις τοὺς Μακεδόνας προσήκατο, καὶ ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς· καὶ τῷ Ἀντιπάτρῳ ἐπέστειλε, πρὸς τοὺς ἀγῶνας τε καὶ τὰ θέατρα προεδρίαν αὐτοῖς, καὶ ἐστεφανωμένους καθίζεσθαι. ἐν Ἐκβατάνοις δὲ γενομένου αὐτοῦ, ὁ Ἡφαιστίων ἐπύρεξε, καὶ δι' ἀκολασίαν διαίτης τῆς νόσου κρατυνθείσης, ἐξέλιπεν· οὐκ ἤνεγκεν ἐν λογισμῷ τὸ πάθος Ἀλέξανδρος, ἀλλὰ τὸν μὲν ἰατρὸν ἀνεσταύρωσεν, ἵππους δὲ κεῖραι καὶ ἡμιόνους προσέταξε, καὶ τὰς ἐπάλξεις περιελεῖν τῶν πόλεων, καὶ μουσικὴν καὶ αὐλοὺς ἐν τῷ στρατοπέδῳ πολὺν χρόνον κατέπαυσεν. ἀπιόντος δὲ εἰς Βαβυλῶνα, Νέαρχος ἐπανῆλθεν, ὃς ἀναπλεύσας αὖθις εἰς τὸν Εὐφράτην ἐκ τῆς μεγάλης θαλάσσης, λέγων, Χαλδαίοις αὐτὸς συντυχεῖν, συμβουλεύοντας ἀπέχεσθαι τῆς Βαβυλῶνος Ἀλέξανδρον. ὁ δὲ μὴ προσχὼν τῷ λόγῳ ἀπῄει. καὶ πρὸς τοῖς τείχεσι γενομένου, κόρακες ἀλλήλοις μαχόμενοι, ἔπεσον πρὸ αὐτοῦ ἐκεῖ. ἀγγέλλεται δ' αὐτῷ, ὡς Ἀπολλόδωρος ὁ στρατηγὸς Βαβυλῶνος, περὶ αὐτοῦ θύσειε· τοῦ δὲ θύσαντος μάντεως, ὃς Πυθαγόρας ὠνόμαστο, μὴ ἀρνησαμένου, ἐρωτηθέντος δὲ τὸν τρόπον τῆς θυσίας· τοῦ δὲ φήσαντος, ἄλοβον εἶναι τὸ ἧπαρ, παπαί, εἶπεν, ἰσχυρὸν τὸ σημεῖον, καὶ τὸν μάντιν ἀθῷον ἀφῆκε.

[Greek marginal notes, partly legible: ἡ τοῦ τάφου τοῦ Κύρου ἐπιγραφή … — Ἀλεξάνδρου γάμος … — Ἡφαιστίωνος … — Προσήμαντα … θανάτου Ἀλεξάνδρου.]

Cæterùm ea diebus LX superata, cum Gedrosiam copiosam regionē attigisset, & exercitum & semetipsum comessationib. refecit. Deinde ad mare descendit, & improbos prætores mulctauit. Nam superior expeditio, & Malliū uulnus, & multitudinis interitus, efficiebāt, ut Alexander superstes esse non crederetur. Vnde prætoribus & satrapis insolentioribus factis, & iniustis, populi uectigales ad defectionem spectauerunt. Cum ex satrapis quidam Abulitus nullum commeatum parasset, sed ter mille talenta attulisset, ea equis proponi iussit. qui cum non ederent: Quæ, inquit, nobis est istorū utilitas? In Persiam profectus, cum Cyri sepulchrum effossum uidisset, effossorem, quamuis non obscurum hominem Pellæum, occidit. Erant autem hæc inscripta sepulchro Cyri: O'homo quisquis es, & undecūque uenis (nam te uenturū esse scio) Ego Cyrus sum, qui Persis imperiū peperi. Ne igitur exiguā hanc terram mihi inuideas, quæ meū corpus contegit. Quæ lecta Alexandrum mouerunt, rerum humanarum inconstantiam reputantē. Darij filia Statira uxore ducta, nuptias celebrās, singulis conuiuis, qui nouies mille fuerūt, phialā auream donauit. & cùm cæteris in rebus splendidè se gessit, tū æs alienum pro debitoribus dissoluit, cuius summa circiter X mille talentūm fuit. Tum Antigenes quidam ex ducibus, creditore subornato, & ob æris alieni simulationem accepta pecunia: à rege per iracundiam & ducatu priuatus est, & aula exactus. Qui cū ex mœstitia sibi manus illaturus esse putaretur, id ueritus Alexāder, ira posita, pecuniā ei reliquit. Cum aūt pueri tricies mille, quos doceri iusserat, in uiros fortes & decoros & in exercitationib. non sinistros euasissent: ijs ut Alexander delectabatur, ita Macedones mordebātur. Cumque infirmos & mutilatos ad mare mitteret: contumeliā & insectationem id factū interpretabantur: petebantque ut se omnes dimitteret, nouis istis saltatorib. contentus. Ob id iratus Alexander, Persis custodias mādauit: sed Macedonibus culpā deprecantib. in gratiā receptis, inutiles magnificè donatos dimisit, atque Antipatro scripsit, ut eis in certaminib. & theatris principem locū, et coronas gestādi potestatē daret. Vt Ecbatana uenerat, Hephæstiō febricitare cœpit, auctoque intemperantia morbo decessit. Eum casum Alexāder, nō ut ratio postulat, tulit: sed medicum in crucē egit, equos & mulos tōderi iussit, & pinnacula dēpsit ciuitatibus, & musicam atque tibias lōgo tempore in castris inhibuit. Babylonem proficiscenti Nearchus occurrit, nauigijs è magno mari in Euphratē reuectus: qui nūciabat, se cōgressum esse cum Chaldæis, qui Alexandro uitandā esse Babylonē censerent. Verùm ille neglecta ea admonitione, pergebat. Cū aūt mœnib. propinquasset, corui inter se dimicātes, corā eo conciderūt. Nunciatū ei porrò est, Apollodorū prætorē Babylonis, pro eo rem diuinā fecisse. Quod cū Pythagoras aruspex, q id sacrū fecerat, nō negaret, & de modo sacrificij rogatus, iecur sine capite fuisse dixisset: Papæ, inquit, ut graue istud prodigiū est: aruspicemque indemnē dimisit.

Cyri sepulchri inscriptio.

Alexandri cum Statira nuptiæ.

Antigenis auaritia.

Macedonū missio.

Hephæstionis funus.

Prodigia Alexandri interitum denunciantia.

Inter alia prodigia etiam illud fuit: Cum uestes deposuisset ut ungeretur, & pila luderet: adolescentes, collusores eius, & ipsi uestes exuturi, uident quendam in regio solio tacitè sedentem, regia ueste indutum, & diademate ornatum. Qui cum rogaretur quis esset? diu nulla uoce edita, uix tandem respondit: se Dionysium uocari, genere Messenium, & captiuum adductum esse propter obiecta crimina. Sed Serapidē sibi uincula soluisse, et huc perductum iussisse, ueste & diademate sumptis, tacitè sedere. Eo homine Alexander de uatum consilio è medio sublato, æger animo, solicitus & perturbatus, nihil non in omen uertebat. Lotus ad Mediam comessatum abijt, ibique nocte in poculis acta, postridie febricitare cœpit. cumque uehementer sitiret, hausto uino phreneticus decessit. Quidam igitur hoc modo eum obijsse tradunt. Alij narrant, cum dies plures febricitasset, lauisse, itaque aucto morbo mutum iacuisse. Macedones uerò, tanquam eo mortuo perturbatos, uociferatos esse cōtra duces, donec apertis forib. Alexandrum in lecto iacentem uiderint: qui tum demum decesserit. Quidam autores sunt, pòst rumorē extitisse de ueneno, quod suasu & ingenio Aristotelis pararit Antipater. Aquam autem esse gelidam & glacialem è petra Nonacrina, tenuis roris instar exudantem, quam ungula asini excipiant. Neque enim ullo alio uase contineri, quin frigiditate & acrimonia eius rumpatur. Sed plerique hoc ut commenticium refellunt: indicio esse, quòd cadauer eius, cum dies complures in locis calidis neglectum iaceret, ducibus inter sese rixantibus, nullam ueneni notā habuerit: sed purum mãserit, quasi recens esset. Fertur, cū instare sibi necē animaduerteret, uoluisse clàm se in Euphratem demergere, ut è conspectu sublatus opinionem afferret hominibus, se, ut dijs genitus esset, ita ad deos redijsse. sed cum Roxane consilio eius cognito obstitisset, cum gemitu dixisse: Inuides mihi mulier diuinitatis gloriā, & immortalitatis. Sic Alexander ad tantū fortunæ fastigium euectus, decessit. Qui dum Tyrū obsidebat, per literas à Pontifice Iudæorum petijt, auxilia sibi mitti, & forum præberi exercitui, sibique ea dari, quæ pensitare Dario soliti essent. Cum autem Pontifex se iureiurādo obstrictum esse Dario, ne arma contra illum ferret, dixisset, idque uiuente illo uiolaturum negasset: Alexander iratus, se bello petiturū Hierosolyma comminatur: captaque Tyro, contra urbem proficiscitur. At pōtifex Ioadus ob regis irā anxius, Deum orat, ne populū destituat. quem Deus in somnis bono animo esse iubet: ac portis apertis & urbe exornata ipsum cum sacerdotibus solito habitu, populum candidis uestibus regi obuiā prodire. Facit ille, ut iussus erat. Alexandro iam appropinquante, cum sacerdotibus & urbana multitudine in locū quendā prodit, unde & urbs et templū cōspiciebatur. Militibus autem opinantibus regem iussurū urbē diripi, & Pon-

Dissensiones de obitu Alexandri.

Alexander diuinitatē mentiri conatus.

Alexandri ingressus in urbem Hierosolymorum.

σημεῖα δ' αὐτῷ καὶ ἄλλα γεγόνασι, καὶ τοῦτο δέ· ἀποδυσαμένου γὰρ πρὸς ἄλειμμα καὶ σφαῖραν αὐτοῦ, οἱ νεανίσκοι οἱ σφαιρίζοντες ἐκδύεσθαι μέλλοντες, ὁρῶσί τινα ἐν τῷ τοῦ βασιλέως θρόνῳ καθήμενον σιωπῇ, ἐνδεδυμένον τὴν στολὴν τὴν βασίλειον, καὶ τὸ διάδημα περικείμενον. ὃς ἀνακρινόμενος, ὅστις εἴη; ἐπὶ πολὺ μὲν ἄφωνος ἦν, μόλις δέ ποτε Διονύσιος ἔφη καλεῖσθαι, τὸ δὲ γένος εἶναι Μεσσήνιος, δέσμιος δ' ἀχθῆναι διὰ κατηγορίαν, λῦσαι δέ οἱ τὸν Σάραπιν τὰ δεσμὰ καὶ ἀγαγόντα δεῦρο, κελεῦσαι τὴν στολὴν καὶ τὸ διάδημα περιθέσθαι, καὶ καθίζεσθαι σιωπῇ. τὸν μὲν οὖν ἄνθρωπον ὁ Ἀλέξανδρος, ὡς οἱ μάντεις ὑπετίθεντο, ἠφάνισεν· αὐτὸς δὲ ἠθύμει, καὶ περιδεὴς καὶ τεταραγμένος γινόμενος, οὐδὲν ἦν ὃ μὴ τέρας πεποίητο. λουσάμενος δέ, καὶ πρὸς Μηδίαν προσελθὼν κωμασόμενος, κἀκεῖ τὴν νύκτα διαγαγὼν ἐν τῷ κώμῳ, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ἤρξατο πυρέσσειν. πυρέττων δὲ καὶ διψήσας σφοδρῶς, ἔπιεν οἶνον, καὶ φρενιτιάσας ἀπέθανεν. ὡς μὲν οὖν ὁ περὶ ἐκείνου τελευτῆς λόγος οὗτος. ἕτερος δ' ἔχει, ἐφ' ἡμέρας αὐτὸν πυρέξαι πλείους, καὶ λούσασθαι, εἶτα δὲ κραταιωθῆναι τὸν πυρετόν, ὡς ἄφωνον κεῖσθαι αὐτόν· τοὺς δὲ Μακεδόνας θορυβεῖσθαι ὡς θανόντος αὐτοῦ, καὶ καταβοᾶν τῶν ἡγεμόνων, ἕως αὐτοῖς αἱ θύραι ἠνοίχθησαν, καὶ τὸν Ἀλέξανδρον ἐν τῇ κλίνῃ κατεῖδον, καὶ μετὰ ταῦτα ἐξέλιπε. φασὶ δέ τινες μετὰ τὴν τελευτὴν λόγον γενέσθαι, ὡς ὑπὸ φαρμάκου διέφθαρτο, καὶ τὸν Ἀριστοτέλη Ἀντιπάτρῳ σύμβουλον γενέσθαι τῆς πράξεως, καὶ δι' ἐκείνου κομισθῆναι τὸ φάρμακον. τὸ δὲ ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἐκ πέτρας τινὸς ἐν Νωνακρίδι οὔσης, ὃ δρόσον ὥσπερ λεπτὴν ἀναλαμβάνοντες, εἰς ὄνου χηλὴν ἀποτίθενται· οὐδὲν γὰρ ἕτερον ἀγγεῖον στέγει αὐτό, ἀλλ' ὑπὸ ψυχρότητος καὶ δριμύτητος διακόπτεται. οἱ δὲ πλεῖστοι πεπλάσθαι φασί, τὸ φαρμάκῳ θανεῖν τὸν Ἀλέξανδρον, καὶ τοῦτο τεκμηριοῦνται ἐκ τοῦ τὸ σῶμα ἐφ' ἡμέρας πλείονας κείμενον ἐν τόποις θερμοῖς ἀτημέλητον, τῶν ἡγεμόνων πρὸς ἀλλήλους στασιασάντων, μηδὲν ἐμφῆναι τοιαύτης φθορᾶς σημεῖον, ἀλλὰ καθαρὸν διαμεῖναι, καὶ δοκεῖν πρόσφατον. λέγεται δέ, ὡς γνοὺς ἤδη ἐκλείπειν αὐτὸν τὸ βιώσιμον, ἐβουλήθη εἰς τὸν Εὐφράτην καταποντῶσαι λαθραίως ἑαυτόν, ἵνα γενόμενος ἀφανής, παράσχῃ δόξαν ὡς εἰς θεοὺς μετελήλυθεν, ἐξ ἐκείνων γενόμενος. ἡ δὲ Ῥωξάνη τοῦτο γνοῦσα, εἶρξεν αὐτὸν τοῦ ἐγχειρήματος. ὁ δὲ μετ' οἰμωγῆς ἔφη, ὡς ἐφθόνησάς ἄρα γύναι μοι δόξης τοῦ θεωθῆναι, καὶ μὴ θανεῖν; ὁ μὲν οὖν Ἀλέξανδρος οὕτως εἰς μέγα τύχης προαχθείς, ἐτελεύτησεν. ὅτε δὲ τὴν Τύρον ἐπολιόρκει, ἐπιστείλας τῷ τῶν Ἰουδαίων ἀρχιερεῖ, ἠξίου συμμαχίαν αὐτῷ πέμπειν, καὶ ἀγορὰν τῷ στρατεύματι, καὶ ὅσα Δαρείῳ ἐδασμοφόρουν, αὐτῷ διδόναι. τοῦ δὲ ἀρχιερέως ὅρκους Δαρείῳ δοῦναι φάσκοντος, μὴ ἆραι κατ' αὐτοῦ ὅπλα, καὶ τούτους ζῶντος Δαρείου μὴ παραβήσεσθαι, ὠργίσθη Ἀλέξανδρος, καὶ ἠπείλησε στρατεύσειν κατὰ τῶν Ἰουδαίων. αἱρεῖ δὲ τὴν Τύρον παραλαβών, ἐπὶ τὰ Ἱεροσόλυμα ὥρμησεν. ὁ δὲ ἀρχιερεὺς Ἰωάδ ἐν ἀγωνίᾳ ὢν διὰ τὴν τοῦ βασιλέως ὀργήν, καὶ τὸν θεὸν ἐλιτάνευε, μὴ ἀποστῆναι τοῦ ἔθνους. ὁ δὲ θεὸς καθ' ὕπνους αὐτῷ ἐχρημάτισε θαρρεῖν, καὶ κοσμήσαντας τὴν πόλιν ἀνοῖξαι τὰς πύλας, καὶ αὐτὸν μὲν μετὰ τῶν ἱερέων ταῖς συνήθεσι στολαῖς ὑπαντῆσαι τῷ βασιλεῖ, τὸ δὲ πλῆθος ἐσθῆσι λευκαῖς. καὶ ὁ μὲν ἐποίησεν ὡς αὐτῷ κεχρημάτιστο, καὶ ἤδη τοῦ Ἀλεξάνδρου τῇ πόλει προσάγοντος, πρόεισι μετὰ τῶν ἱερέων καὶ τοῦ πλήθους τῆς πόλεως, εἰς τόπον τινά, ὅθεν ἡ πόλις καὶ ὁ ναὸς καθεωρᾶτο. τῶν δὲ ἑπομένων τῷ βασιλεῖ, διαρπάζειν κελεύσειν αὐτὸν τὴν πόλιν λογιζομένων, καὶ τὸν

περὶ τοῦ Διονυσίου, ὅστις καθήμενος ἦν ἐν τῷ τοῦ Ἀλεξάνδρου θρόνῳ.

ὅτι ὁ θάνατος Ἀλεξάνδρου διαφόρως λέγεται.

περὶ τοῦ ὕδατος χηλῇ ὄνου.

ἐπιχειρεῖ τὸ σωματοῦ (?) ἀφανίσαι αὐτόν, ἵνα δόξῃ καὶ θεός.

ὅπως ὑπαντῶσιν Ἀλεξάνδρῳ οἱ ἱερεῖς τῶν Ἑβραίων καὶ ὁ ἀρχιερεύς.

καὶ τὸν ἀρχιερέα διαφθερεῖν. ὁ Ἀλέξανδρος πόῤῥωθεν ἰδὼν καὶ τοὺς ἱερεῖς κεκοσμημένους, καὶ τὸ πλῆθος, ὡς εἴρηται, τὸν δὲ ἀρχιερέα ἐνδεδυμένον τὴν ὑακίνθινον στολὴν καὶ διάχρυσον, καὶ ἐπὶ τῆς κεφαλῆς τὴν κίδαριν ἔχοντα, καὶ τὸ χρυσοῦν ἐπ' αὐτῇ ἔλασμα, ᾧ τὸ τοῦ θεοῦ ὄνομα ἐπεγέγραπτο, μόνος προσελθὼν, προσεκύνησε, καὶ τὸν ἀρχιερέα ἠσπάσατο. ἐπὶ τούτῳ οἱ μὲν ἄλλοι ξυμπάντες κατεπλάγησαν. Παρμενίων δὲ καὶ ἠρώτησε, τί δή ποτε τὸν τῶν Ἰουδαίων προσκυνήσειεν ἀρχιερέα; ὁ δὲ, οὐ τοῦτον, εἶπε, τὸν δὲ θεὸν προσεκύνησα, οὗ τῇ ἀρχιερωσύνῃ οὗτος τετίμηται. τοῦτον γὰρ ἐν τοῖς ὕπνοις εἶδον, ἔτι γὰρ ὢν ἐν Μακεδονίᾳ, ἐν τῇ στολῇ ταύτῃ· κἀμοὶ φροντίζοντι πῶς ἂν τῆς Ἀσίας κρατήσαιμι, μὴ μέλλειν παρεκελεύετο, καὶ αὐτὸς ἡγήσεσθαί μοι τῆς στρατιᾶς ἐπηγγέλλετο, καὶ τὴν Περσῶν παραδώσειν ἀρχήν. οὐδένα οὖν ἐν τοιαύτῃ στολῇ θεασάμενος, ἀλλ' ἢ τοῦτον ἄρτι, τῆς τε ὄψεως τῆς ἐνυπνίου ἐμνήσθην, καὶ σὺν θεῷ τὴν στρατείαν νομίζω πεποιημένος, τὸν Δαρεῖον νικήσειν, καὶ τὴν Περσῶν ἀρχὴν καταστήσασθαι. ταῦτα εἰπὼν, καὶ τὸν ἀρχιερέα δεξιωσάμενος, τὴν πόλιν εἰσελήλυθε· καὶ εἰς τὸ ἱερὸν ἀναβὰς, ἔθυσε τῷ θεῷ, ὡς ἐφηγεῖτο ὁ ἀρχιερεύς. καὶ τὴν Δανιὴλ ἰδὼν βίβλον, ἐν ᾗ ἕνα τῶν Ἑλλήνων τὴν Περσῶν βασιλείαν καταλύσειν ἐγγέγραπται, καὶ ἥσθη ἐπ' αὐτῇ. καὶ ὅσα ᾐτήσαντο Ἰουδαῖοι, ἐπλήρωσε. ταῦτα ἰδόντες οἱ Σαμαρεῖται, καὶ αὐτοὶ οὐ πόῤῥω τῶν Ἱεροσολύμων τῷ Ἀλεξάνδρῳ ὑπηντήκασι, κεκοσμημένοι λαμπρῶς, καὶ παρεκάλουν τιμῆσαι αὐτὸν τῇ παρουσίᾳ καὶ τὸ παρ' αὐτοῖς ἱερόν. ὁ δὲ, ἔξω, ἔφη, ὑποστρέφων. αἰτουμένων δὲ χαρίσασθαι αὐτοῖς ὅσα τοῖς Ἰουδαίοις, τίνες εἰσὶν, ἐπύθετο. οἱ δὲ, Ἑβραῖοι ἔφασαν εἶναι, χρηματίζειν δὲ οἱ ἐν Σικίμοις Σιδώνιοι. καὶ ὃς, εἰ Ἰουδαῖοι εἶεν; πάλιν ἠρώτησεν. ὡς δ' οὐκ εἶναι κατέθεντο, ἐγώ γε, εἶπεν, Ἰουδαίοις ἐχαρισάμην ἃ αἰτεῖτε ὑμεῖς. τὸ δὲ ἐν τῷ Γαριζὶν ὄρει ἱερὸν εἰς καταφύγιον τῶν παρανομούντων ἐγίνετο· εἰ γάρ τις κοινοφαγήσας, ἢ ἄλλο τι παρανομήσας ὑπὸ αἰτίαν ἐγίνετο, παρὰ τοὺς Σικιμίτας κατέφευγε. τοῦ δὲ ἀρχιερέως Ἰωαδ τελευτήσαντος, Ὀνίας ὁ παῖς αὐτοῦ τὴν ἀρχιερωσύνην παρείληφε. θανόντος δὲ Ἀλεξάνδρου, ἐς τέσσαρας ἀρχὰς ἡ ἐκείνου βασιλεία διῄρητο, καὶ τῆς μὲν Ἀσίας Ἀντίγονος ἦρξε, τῶν δὲ λοιπῶν οἱ προγεγραμμένοι. τούτων δὲ πρὸς ἀλλήλους στασιαζόντων, πόλεμοί τε συνεχεῖς ἦσαν, καὶ ἐκακοῦντο αἱ πόλεις. ὁ δὲ Πτολεμαῖος ὁ Λάγου ὁ τῆς Αἰγύπτου βασιλεύων, ὃς καὶ σωτὴρ ἐχρημάτιζε, τῇ τε Συρίᾳ τἀναντία τῇ ἐπικλήσει αὐτοῦ γέγονε, καὶ τὰ Ἱεροσόλυμα δόλῳ κατέσχεν. εἰσελθὼν γὰρ εἰς τὴν πόλιν σαββάτῳ ὡς θύσων, ἀπόνως ταύτης ἐκράτησεν. οἱ γὰρ Ἰουδαῖοι μήτε τὴν διάνοιαν εἰδότες αὐτοῦ, καὶ διὰ τὴν ἡμέραν ἐν ἀργίᾳ ὄντες, οὐκ ἀντέστησαν. κρατήσας δὲ οὕτω τοῦ ἔθνους, πικρότατα ἦρχε, καὶ πολλοὺς λαβὼν αἰχμαλώτους εἰς Αἴγυπτον ἀπήγαγε, καὶ κατῴκισε. τοῖς δὲ ἐν Ἱεροσολύμοις στάσεις πρὸς τοὺς Σαμαρείτας ἐγένοντο, τῶν μὲν Ἱεροσολυμιτῶν τὸ παρ' αὐτοῖς ἱερὸν καλούντων ἅγιον, καὶ τὰς θυσίας ἐν αὐτῷ γίνεσθαι δεῖν λεγόντων, τῶν δὲ Σικιμιτῶν τὸν ἐν τῷ Γαριζὶν ὄρει σεμνυνόντων ναόν. τεσσαράκοντα δὲ ἔτη τοῦ Λάγου Πτολεμαίου βασιλεύσαντος τῆς Αἰγύπτου, καὶ τελευτήσαντος, ὁ παῖς αὐτοῦ Πτολεμαῖος ὁ Φιλάδελφος διεδέξατο τὴν ἀρχήν, ὃς τάς τε γραφὰς τὰς Ἑβραϊκὰς ἐκ τῆς πατρίου γλώττης εἰς Ἑλλάδα μεταβληθῆναι διάλεκτον ἐσπούδασε, καὶ τοὺς δουλεύοντας ἐν Αἰγύπτῳ τῶν Ἱεροσολυμιτῶν ἠλευθέρωσε.

ὅτι ὁ Ἀλέξανδρος ἰδὼν τὸν ἀρχιερέα, ὡς προϊδὼν ὄναρ τὸν κατ' ἐκεῖνον ἀφικόμενον τῷ θεῷ.

ὅτι ἔθυσε τῷ θεῷ ὁ Ἀλέξανδρος, κατὰ τὴν ὑφήγησιν τοῦ ἀρχιερέως, καὶ πολλὰ ἐχαρίσατο, αὐτῷ τε καὶ τῇ τῶν βίβλων τοῦ Δανιήλ.

περὶ τοῦ ἐν Γαριζὶν ἱεροῦ, ἐν ᾧ κατέφευγον οἱ παρανομοῦντες.

ὅτι μετὰ θάνατον Ἀλεξάνδρου ἡ ἀρχὴ διῃρέθη. καὶ Πτολεμαῖος ὁ Λάγου Ἱεροσόλυμα κατέσχε.

ὅτι Πτολεμαῖος ὁ Φιλάδελφος διεδέξατο τὴν ἀρχήν.

& Pontificem occidi: Alexander cum sacerdotes & populũ, ut antè dictum est, ornatos uidisset, ac Pontificem hyacinthina & inaurata stola indutum, cidari capiti imposita, & auream in eo laminam, cui Dei nomen inscriptum erat: solus accessit, atq; adorauit, põtificemq; salutauit. Eo facto cum cæteri omnes obstupuissent, Parmenio etiam rogare ausus est, cur Iudæorum pontificem adorasset? Cui respondit, se non illũ, sed " Deũ, cuius ille sacerdotio ornatus esset, adorasse. " Nam hunc, inquit, in somnis uidi, dũ adhuc parum à Macedonia recessissem, in hoc habitu. Is me de Asia subigenda cogitantem, hortabatur, ne cũctarer: & promittebat, seipsum fore ducem exercitus, & regnũ Persarum mihi traditurum. Cum autem neminem adhuc, præter istum modò, tali habitu uiderim: tum uisionis nocturnæ sum recordatus, tum Deo autore bello moto me Darium superaturum confido, & regno Persarum potiturũ. His dictis, & dextera sacerdoti porrectã, urbẽ est ingressus. cumq; in templum ascendisset, Deo uictimas ex præscripto pontificis immolauit: ac Danielis libro uiso, quo scriptum est, regnum Persicũ à Græco euertendum esse, lætatus: omnibus Iudæorũ postulatis annuit. Quo Samaritani uiso, & ipsi prope Hierosolyma Alexandro occurrerunt, splendidè ornati, petentes, ut suum quoq; templum præsentia sua ornare uellet. Id se in reditu facturũ promisit Alexander. Cum autem rogarent, ut eadem sibi quæ Iudæis tribuisset, concederet: qui essent, rogauit? Illis respõdentibus, se Hebræos esse, cæterum Sicimitas Sidonios appellari: denuò rogauit, an Iudæi essent? negantibus illis, dixit, se quæ illi peterent, Iudæis concessisse. Templũ porrò Garizinũ, refugium erat eorum qui patrias leges uiolarant. Nã si quis immundis cibis usus esset, aut alioqui à more maiorum recessisset, ad Sicimitas se recipiebat. Põtifice Ioado mortuo, Onias filius eius pontificatum iniit. Post Alexandri porrò obitum, eius imperium in partes quatuor est distractũ: ac Asia potitus Antigonus, reliquis partibus ij quorũ suprà facta est mentio. Qui cum inter sese dissiderent, & bella continua existebant, & urbes uexabantur. Ptolemæus autem Lagus, qui & Seruator uocabatur, longè aliter quàm pro cognomento suo tractauit Syriã, & Hierosolyma dolo occupauit. Nam urbem, per speciem sacrificandi sabbato ingressus, sine labore domuit: Iudæis uoluntatem eius ignorantibus, & propter sabbathum non resistentibus. Gente autem ad hunc modum subacta, acerbissimè imperauit, & multos captiuos in Aegyptũ abduxit. Inter Samaritanos porrò & Hierosolymitanos contentiones fuere, cũ utriq; sui templi sanctitatem celebrarẽt, in coq; uictimas immolari oportere dicerent. Ptolemæo, quadragesimo Aegyptiaci regni anno defuncto, filius Philadelphus successit. Qui operam dedit, ut scripturæ Hebraicæ in linguam Græcam transferrentur: & Hierosolymitas qui in Aegypto seruiebant, liberauit. Nam

Samaritanorum preces repudiatæ ab Alexandro.

Ptolemæus Lagus Hierosolyma occupat.

Samaritanorũ et Hierosolymitanorum de tẽplis contentio.

Ptolemæus Philadelphus bibliothecam instruens, Hebræorũ scripturas in linguã Græcam trãsferendas curat.

Demetrius Phalereus.

Nam cum in libris conquirendis multum studij poneret: Demetrium Phalereum Bibliothecæ præposuit. Qui aliquando à rege interrogatus, quot librorum millia comparasset? circiter CC respondit esse iam collecta. Esse autem apud Hebræos etiam libros de illorum legibus & institutis non contemnendos, eos quoq; cōparandos esse. Rege eam rem per literas petituro, Aristæus regis amicus: Cum, inquit, Iudæorum leges nō modo transcribere, sed etiam interpretari statuerimus: quo pacto id consequemur, cum multi Iudæi in regno tuo seruiāt? Eos igitur libertate donatos Rex dimittito, ut gentē alacriorem reddas ad scripturas & transcribendas, & interpretādas. Hoc consiliū secutus rex, omnes Iudæos in Aegypto seruientes missos fieri iubet, singulos à dominis suis drachmis cētenis uicenis mercatus. Manumissorum multitudo supra centena millia numerata est. Preciū redemptionis eorū talenta CCCC & LX cōfecit.

Aristæus.

Ptolemæus igitur ad Eleazarū pontificem scribit (nam Oniæ defuncto filius Simon, cognomento Iustus, successerat. Eo mortuo, infante filio Onia relicto, Simonis frater Eleazarus sacerdotium obtinebat) eiq; & seruientium Iudæorum manumissionem, & suam erga populum uoluntatem significat: petitq; & ipsas leges sibi mitti, & uiros senos è qualibet tribu, tum patriæ tum Græcæ linguæ peritissimos, à quibus scripta illorum in linguā Græcam converterentur. Misit & in templum donaria talentorum argenti C, phialas aureas XX, argenteas XXX, crateras V, & mensam auream. Eleazarus autem literis & donarijs Ptolemæi acceptis, è qualibet tribu uiros senos delectos, ablegauit, legem secum portantes. Qui cum Alexandriam peruenissent, & legem regi aureis literis in membranis descriptam, unà cum missis à Pontifice muneribus, attulissent: Rex magnopere lætatus, uiros humaniter exceptos, suæ mensæ adhibuit, & terna eis talenta distribuit, diuersorijs amœnissimis assignatis. Deinde à Demetrio in unam tranquillam domum omnes sunt deducti, hortante, ut operi instarent. Hi pro uirili accurato'que studio conuersionem absoluunt. Qua intra dies LXXII perfecta, exscripta & recitata, rex & uoluntati suæ satis esse factum est gauisus, & legislatoris ingenium & sapientiam supra modum est admiratus. Sed illud ei scrupulū inijciebat, quòd nemo uel historicorum uel sapientū eius meminisset. Cui Demetrius dixit, neminem fuisse ausum legum illarū descriptionem suscipere, eo quòd diuinæ sint, & nonnullos temerarij conatus pœnas dedisse diuinitus irrogatas. Nam Theopompum eas descripturum, errore mentis ultra dies triginta fuisse affectum: cuius amentiæ causa cognita, per interualla morbi placasse Deum: ac somnio monitum, illius mali caussam esse curiosam rerum diuinarum tractationem, & profanis hominib. eas inuulgandi studium, omisso

LXXII Bibliorum interpretes.

Cur Mosaica instituta ignota Græcis.

Theopompus.

συλλογὴν γὰρ βιβλίων ποιήσασθαι βουληθεὶς, καὶ περὶ ταύτην φιλοτιμούμενος, τὸν Φαληρέα Δημήτριον ἐπὶ τῆς βιβλιοθήκης εἶχε. καί ποτε τοῦ Πτολεμαίου τὸν Δημήτριον ἐρωτήσαντος, πόσας ἤδη ἔχει μυριάδας βιβλίων; περὶ εἴκοσιν, ἔφη, εἶναι τὰς συνειλεγμένας, ἐκπονεῖσθαι. εἶναι δὲ καὶ παρ' Ἑβραίοις τῶν παρ' αὐτοῖς νομίμων συγγράμματα σπουδῆς ἄξια, καὶ δεῖν καὶ ταῦτα κτήσασθαι. γράφει τοίνυν ὁ βασιλεὺς περὶ τούτων. Ἀριστέας δὲ φίλος τυγχάνων, σὺ τῶν Ἰουδαίων νόμους ἔφη οὐ μεταγράψαι μόνον, ἀλλὰ καὶ μεθερμηνεῦσαι διεγνωκότας, πῶς ἂν τοῦτο διαπραξόμεθα, πολλῶν Ἰουδαίων ἐν τῇ σῇ βασιλείᾳ δούλων ὄντων; ἀπόλυσον οὖν αὐτοὺς βασιλεῦ φιλοδωρίας, καὶ οὕτω πρόθυμον τὸ ἔθνος ποιήσας εἰς τὸ τὰς γραφὰς καὶ μεταγράψασθαι καὶ μεθερμηνεῦσαι. ὁ γοῦν βασιλεὺς τῷ λόγῳ τοῦ Ἀριστέου πεισθεὶς, ἐκέλευσε πάντας τοὺς ἐν Αἰγύπτῳ δουλεύοντας Ἰουδαίους ἐλευθέρους ἀπολυθῆναι, πριάμενος ἕκαστον ἐκ τῶν δεσποτῶν αὐτῶν, δραχμῶν ἑκατὸν εἴκοσι. τὸ δὲ τῶν ἐλευθερωθέντων πλῆθος εἰς μυριάδας ἀριθμοῦ ὑπὲρ δέκα. τὰ δὲ ὑπὲρ τιμήματος αὐτῶν δοθέντα, τετρακόσια καὶ ἑξήκοντα γεγόνασι τάλαντα. γράφει γοῦν Πτολεμαῖος πρὸς Ἐλεάζαρ τὸν ἀρχιερέα (τελευτήσαντος γὰρ τοῦ ἀρχιερέως Ὀνίου, ὁ παῖς αὐτοῦ Σίμων αὐτὸν διεδέξατο, ὃς καὶ δίκαιος ἐπεκέκλητο. τούτου δὲ θανόντος, ὑπὸ νηπίῳ υἱῷ Ὀνίᾳ καλουμένῳ, ὁ τοῦ Σίμωνος ἀδελφὸς Ἐλεάζαρ τὴν ἀρχιερωσύνην εἶχε) τούτῳ δὴ νῦν ὁ Πτολεμαῖος ἐπέστειλε, τήν τε τῶν δουλευόντων Ἰουδαίων ἐλευθερίαν καταγγέλλων, καὶ τὴν εἰς τὸ ἔθνος διάθεσιν. καὶ ἀξιῶν τούς τε νόμους αὐτῷ πεμφθῆναι, καὶ ἄνδρας ἓξ ἀφ' ἑκάστης φυλῆς, τήν τε πάτριον ἠσκημένους διάλεκτον εἰς ἀκρίβειαν, καὶ τὴν ἑλληνίδα φωνὴν, ἵνα παρ' ἐκείνων εἰς τὴν ἑλλάδα γλῶτταν μεταβληθεῖεν αἱ παρ' αὐτοῖς γραφαί. ἔστειλε δὲ καὶ εἰς τὸ ἱερὸν ἀναθήματα, ἀργυρίου τάλαντα ἑκατὸν, φιάλας χρυσᾶς εἴκοσι, καὶ ἀργυρᾶς τριάκοντα, καὶ κρατῆρας πέντε, καὶ τράπεζαν χρυσῆν. ὁ γοῦν Ἐλεάζαρ τὴν ἐπιστολὴν τοῦ Πτολεμαίου καὶ τὰ ἀναθήματα κομισάμενος, ἐπιλέξατο ἄνδρας ἐκ φυλῆς ἑκάστης ἕξ, καὶ πέπομφε, φέροντας καὶ τὸν νόμον. ὧν εἰς Ἀλεξάνδρειαν παραγεγενημένων, καὶ τῷ βασιλεῖ τάς τε διφθέρας χρυσοῖς γράμμασι τὸν νόμον ἐχούσας ἐγγεγραμμένον, καὶ τὰ παρὰ τοῦ ἀρχιερέως αὐτῷ σταλέντα δῶρα προσκεκομικότων, ὁ βασιλεὺς ἥσθη διαφερόντως, καὶ ἠσπάσατο τοὺς ἄνδρας, καὶ συνειστιάθη αὐτοῖς, καὶ ἀνὰ τρία δίδωσι τάλαντα, καὶ καταλύσεις αὐτοῖς ἀπένειμε καλλίστας. εἶτα παραλαβὼν αὐτοὺς ὁ Δημήτριος, καὶ εἰς ἕνα οἶκον ἀπαγαγὼν ἤρεμον, ἔργου ἔχεσθαι παρεκάλει. οἱ δὲ ὡς ἐνῆν φιλοτίμως ἀκριβῆ τὴν ἑρμηνείαν ἐτίθουν. τὸ δὲ ἔργον ἐν ἑβδομήκοντα καὶ δυεῖν ἡμέραις ἐπιτελεσμένον, καὶ τῆς μεταγραφῆς τῶν ἀναγνωσθεισῶν τῷ βασιλεῖ, ἐκεῖνος καὶ ἔχαιρεν, ὅτι εἰς ἔργον αὐτῷ προήχθη τὸ βούλημα, καὶ τὴν διάνοιαν τοῦ νομοθέτου καὶ τὴν σοφίαν ὑπερεθαύμαζε· καὶ ἠπόρει, πῶς οὐδεὶς οὔτε τῶν ἱστορικῶν οὔτε τῶν ἄλλων σοφῶν αὐτῆς ἐπεμνήσθη; ἔφη δὲ αὐτῷ ὁ Δημήτριος, μηδένα τολμῆσαι τῆς τῶν νόμων τούτων ἀναγραφῆς ἅψασθαι, διὰ τὸ θείαν αὐτὴν εἶναι καὶ ὅτι τινὲς ἐγχειρήσαντες τούτοις, ἐβλάβησαν ὑπὸ τοῦ θεοῦ. Θεόπομπος γὰρ βουληθεὶς περὶ τούτων συγγράψασθαι, ἐβλάβη τὰς φρένας ἐφ' ἡμέραις πλείοσι τῶν τριάκοντα· καὶ συνιεὶς ὅθεν αὐτῷ ἡ παραφροσύνη ἐγένετο, ἐν τοῖς διαλείμμασιν ἐξιλάσκετο τὸν θεόν. ὄναρ τε εἶδεν, ὡς αὐτῷ τὸ πάθος συμβέβηκε, περιεργαζομένῳ τὰ θεῖα, καὶ εἰς κοινοὺς ἀνθρώπους ἐκφέρειν ταῦτα θελήσαντι.

τί δὴ δραχμαὶ, καὶ πόσα τάλαντα κινεῖ.

ὅσα ὁ Πτολεμαῖος εἰς τὸ Ἰουδαίων ἱερὸν ἀνέθηκε δῶρα.

περὶ τῶν ἑβδομήκοντα δύο τῶν ἑρμηνευσάντων τὰ ἑβραϊκὰ βιβλία.

ὅτι οἱ πρὸ τοῦ ἐπιχειρήσαντες τὸ τοιοῦτον ἔργον, ἐκ[illegible].

ἀκχός

ἀπεχόμενος τοῦ ἔργου, κατέστη τὸν νοῦν. ἀλλὰ καὶ Θεοδέκτης, ἔφη, ὁ τῶν τραγῳδιῶν ποιητὴς, θέλων ἔν τινι δράματι τῶν ἐν τῇ ἱερᾷ βίβλῳ γεγραμμένων μνησθῆναι, ἀλγήσας τὰ ὄμματα ἐπηρώθη· καὶ τὴν αἰτίαν γνοὺς, ἀπηλλάγη τῆς συμφορᾶς, ἐξιλασάμενος τὸν θεόν. λαβὼν δὲ τὰς βίβλους ὁ βασιλεὺς, καὶ προσκυνήσας αὐτὰς, καὶ δωρησάμενος τοὺς ἀνδράσι φιλοτιμότατα, καὶ ἀναθήματα πέμψας τῷ ναῷ, καὶ δῶρα κάλλιστα τῷ ἀρχιερεῖ, ἀπέπεμψεν ἐς Ἱερουσαλήμ. οὕτω μὲν τὴν ἑρμηνείαν τῶν ἑβραϊκῶν γραφῶν γενέσθαι ἱστορεῖ ὁ Ἰώσηπος. ἕτεροι δὲ μὴ ὁμοῦ συνελθόντας φασὶ τοὺς ἑρμηνέας, τῶν γραφῶν ποιήσασθαι τὴν παράφρασιν, ἀλλ' ἀνὰ δύο διαιρεθῆναι αὐτούς· καὶ ἐν ἰδιάζουσαις διαιτωμένους, ποιήσασθαι τὴν ἑρμηνείαν· καὶ μετὰ τὸ τέλος ὁμοῦ συνελθεῖν, καὶ τὰς ἑκάστων συγγραφὰς παραβληθείσας ἀλλήλαις, εὑρεθῆναι μήτε κατὰ νοῦν, μήτε μὴν κατὰ λέξεις διαφωνούσας, ἀλλὰ συμφώνους ἐν ἅπασιν. ἡ μὲν οὖν ἑρμηνεία ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου, οὕτως ἢ ἐκείνως ἐγένετο. οἱ δὲ Ἰουδαῖοι Ἀντιόχου τοῦ μεγάλου βασιλεύοντος τῆς Ἀσίας, καὶ μαχομένου πρὸς τὸν Εὐπάτορα Πτολεμαῖον, καὶ πρὸς τὸν ἐκείνου υἱὸν τὸν Ἐπιφανῆ Πτολεμαῖον, σφοδρῶς ἐκακώθησαν. νικήσας δὲ ὁ Ἀντίοχος, τὴν Ἰουδαίαν προσήγετο. τοῦ δ' Ἐπιφανοῦς Πτολεμαίου μετὰ θάνατον τοῦ πατρὸς αὐτοῦ ἐπὶ τὴν Κοίλην Συρίαν μεγάλην στείλαντος δύναμιν, καὶ πολλὰς λαβόντος πόλεις, καὶ τὸ τῶν Ἰουδαίων ἔθνος πολεμούμενον προσέθετο τῷ Ἐπιφανεῖ· αὖθις δὲ τοῦ Ἀντιόχου νικήσαντος, ἑκουσίως Ἰουδαῖοι πρὸς αὐτὸν μετετέθησαν, καὶ ἐς τὴν πόλιν αὐτὸν εἰσεδέξαντο, καὶ τοὺς ἐν τῇ ἀκροπόλει φυλάσσοντας τοῦ Πτολεμαίου στρατιώτας πολιορκοῦντι συνεμάχησαν. κἀντεῦθεν φίλιον αὐτῷ τὸ ἔθνος ἐγένετο. εἶτα σπένδεται μὲν ἐπὶ Πτολεμαίῳ Ἀντίοχος, καὶ ἐκδίδοται πρὸς αὐτὸν, τὴν θυγατέρα δὲ ἑαυτοῦ Κλεοπάτραν· καὶ εἰς φερνὴν παρέχει τήν τε Κοίλην Συρίαν, καὶ Φοινίκην, καὶ Ἰουδαίαν, ἀλλὰ μὴν καὶ Σαμάρειαν. ταῦτα δὲ συνέβη ἐπὶ ἀρχιερέως Ὀνίου. τὸν γὰρ Ἐλεάζαρ θανόντα, ὁ θεῖος αὐτοῦ διεδέξατο Μανασσῆς· μεθ' ὃν τῆς ἀρχιερωσύνης Ὀνίας ἠξιώθη, Σίμωνος ὢν υἱὸς τοῦ Δικαίου. Σίμων δὲ τοῦ Ἐλεάζαρ ἦν ἀδελφὸς, ὡς ἱστόρηται. ὁ γοῦν ἠρημένος Ὀνίας διὰ φιλοχρηματίαν, καὶ διανοίας ἀσθένειαν μὴ δοὺς ἐπὶ Πτολεμαίῳ τὸν δασμὸν τὸν ἐτήσιον, ὃν οἱ πρὸ αὐτοῦ τοῖς βασιλεῦσιν ἀπεδασμοφόρουν, ἠρέθισεν αὐτὸν εἰς ὀργήν· πέμψας οὖν ὁ Πτολεμαῖος, ἠπείλει κακῶς διαθήσειν καὶ τὸ ἔθνος καὶ τὴν πόλιν. ὁ δ' ἀρχιερεὺς ἡττώμενος χρημάτων ἀδιαφόρως εἶχε. Ἰωσὴφ δ' υἱὸς Τωβίου, τοῦ δ' ἀρχιερέως ἀδελφιδοῦς, ἠρώτησε τὸν θεῖον, εἰ δίδωσιν αὐτῷ πρὸς τὸν Πτολεμαῖον πρεσβεῦσαι· τοῦ δ' ἐπιτρέψαντος, τὸν μὲν τοῦ Πτολεμαίου σταλέντα ξενίζει φιλοτιμότατα· καὶ δωρεὰς αὐτῷ πολυτελεῖς παρασχὼν, προέπεμψεν, ἕψεσθαι καὶ αὐτὸς ὑποσχόμενος. καὶ ὁ μὲν ἐπανῆλθε πρὸς Πτολεμαῖον τὰ γεγονότα μηνύων, καὶ τὴν τοῦ Ἰωσὴφ χρηστότητα διηγούμενος, καὶ λέγων τὸν ἄνδρα ἀφίξεσθαι πρεσβευσόμενον, καὶ πολλὰ εἰπὼν πρὸς τὸν βασιλέα καὶ τὴν βασίλισσαν διεξιὼν ἐγκώμια. ὁ δ' Ἰωσὴφ παρασκευασάμενος μετὰ ταῦτα εἰς Ἀλεξάνδρειαν παραγίνεται. ἀκούσας δ' ἐν Μέμφει τὸν Πτολεμαῖον εἶναι, ἐπῄει ὑπαντήσων αὐτῷ. ἔτυχε δ' ὁ βασιλεὺς ἐπὶ ὀχήματος μετὰ τῆς γυναικὸς καθεζόμενος, παρῆν δὲ καὶ ὁ πρὸ αὐτοῦ τοῦ Ἰωσὴφ ξενωθεὶς. ὃς ἰδὼν αὐτὸν, ἔφρασε τῷ βασιλεῖ, περὶ οὗ σοι ἀπήγγειλα, ὡς ἀγαθός ἐστι καὶ φιλότιμος νεανίας. καὶ ὁ Πτολεμαῖος ἀκούσας, πρῶτός τε αὐτὸν προσηγόρευσε, καὶ ἀναβῆναι ἐπὶ τὸ ὄχημα προσεκέλευσεν. αἰτιωμένου δὲ τὸν ἀρχιερέα τοῦ βασι-

[illegible]

[illegible]

[illegible]

omisso eo opere, ad sanam mentē reuersum esse. Theodocten quoq; poetam Tragicū in tabula quadam sacrarū literarum mentionē facturum, ex oculorum dolore cæcatū: causaq; cognita, exorato Deo, uisum recepisse. Rex libros acceptos, adorauit: & uiros munificentissimè donatos, donarijs tēplo, & pulcherrimis muneribus pontifici missis, Hierosolyma remisit. Ac Hebraicas scripturas hoc modo fuisse cōuersas, Iosephus tradit. Alij uerò autores sunt, interpretes non uno in loco cōgregatos cōuersioni uacasse, sed binos fuisse distributos, & in peculiarib. conclauibus suo munere functos, finitaq; interpretatione conuenisse: & singulorum scripturam collatione facta cum cæteris, neq; sententijs neque uerbis discrepantem, per omnia consensisse. Ac interpretationis ratio siue hæc, siue illa fuit. Iudæi autem Antiocho Magno Asiæ imperante, & cum Eupatore Ptolemæo, & eius filio Ptolemæo Epiphane bellum gerente, grauiter sunt afflicti, seq; cum Antiocho uictore coniunxerunt. Sed cū Ptolemæus Epiphanes post patris obitū, ingentib. copijs in Cœlesyriam missis, multas urbes subegisset, bello urgente partes illius secuti, ad Antiochū rursus uictorē ultrò transfierūt, eiq; amicitia inita in urbem recepto adiumento fuerūt ad Ptolemęi præsidiū in arce obsidendū. Deinde pace & affinitate Antiochus cū Ptolemęo iuncta, filiam ei Cleopatrā despōdet, doti data Cœlesyria, Phœnicia, Iudæa & Samaria. Hæc Onia pontifice acciderunt. nam Eleazaro defuncto successit patruus Manasses: post quem pontificatus in Oniam est collatus, Simonis Iusti filiū. Simon porrò Eleazari frater fuit, ut est expositum. Is igitur Onias ex auaritia & ingenij imbecillitate non dato tributo annuo, quem eius decessores regib. pendere soliti fuerant, Ptolemęi contra se iracundiā concitauit, ut misso quodam minitaretur, se & populū & urbem malè tractaturum. Cæterùm cum pontifex præ amore pecuniæ nihil ijs minis moueretur, & Iosepho fratris sui Tobiæ filio petenti concessisset, ut ad Ptolemæum iret: ille regis legatum hospitio magnificè exceptum, & muneribus preciosis donatum præmisit, se consecuturum pollicitus. Qui ad Ptolemæum reuersus, quæ facta sint commemorat, Iosephi bonitatem exponit: cumq;, multis eius laudibus apud regem & reginam commemoratis, legatum affore dicit. Deinde cum Iosephus paratis rebus suis Alexandriam uenisset, ac Ptolemæum Memphi esse audiuisset: obuiam illi proficiscitur, unà cum uxore in curru sedenti, eo quoque præsente quem hospitio acceperat, & regi dicente, eum adolescentem esse, cuius bonitatem & liberalitatem commendasset. Ptolemæus igitur prior Iosephum allocutus, currum conscendere iubet, & de pontifice queritur.

Theodectes.

Dissensio de LXXII ratione cōuersionis.

Iudæi nunc Antiocho, nunc Ptolemæo parent.

Iosephus Ptolemæo placato uectigalia Syriæ redemit.

tur. Iosephus uero ætatem excusans, petit ut ei rex ueniam det. Nam senes & pueros eadem esse sententia: se uero adolescentes, quicquid deberetur, persoluturos. Hinc magis etiam aucta est regis erga illum beneuolentia. Rege Alexandriam reuerso, proceres Syriæ (uenerant enim ad redimenda uectigalia, quæ potentibus ciuibus rex quotannis uendere solebat) conspicati Iosephum illi assidere, indignati sunt. cumque octies mille circiter talentis uectigalia Cœlesyriæ, Phœniciæ, Iudææ, & Samariæ licerentur: Iosephus duplum obtulit. Non abnuente rege, sed an sponsores haberet, rogante: respondit, se eos prædes daturum, quibus fidem non abrogaturus esset. Pergente interrogare, quinam ij essent? Te, inquit, rex, uxoremque tuā sponsores do. ac Ptolemæus cum risu exactionem uectigaliū illi promisit. Acceptis igitur militum circiter duobus millibus, in Syriam contendens, cum Ascalonem uenisset, ac à ciuibus non modò nihil impetraret, sed contumelijs etiam afficeretur: primoribus comprehensis & occisis, eorumque opibus publicatis, regi ad duo millia talentorum misit. qui actis collaudatis, ei quicquid uellet facere permisit. Ea re Syri territi, Iosepho alacriter suscepto, tributa penderunt. Vnde magno lucro facto, magnis muneribus Ptolemæo, Cleopatræ, & aulicis eorum omnibus missis, ea felicitate per annos duos & uiginti est usus. Cum autem duas uxores duxisset, è priore septem liberos, ex altera fratris sui filia unam duntaxat prolem suscepit, quam hac ratione duxit. Cum saltatriculam quandam deperiret, atque animi ægritudinem fratri aperuisset: ille se amoris ministrum fore pollicitus, noctu filiam suam ad eum deduxit. Quo sæpius facto, atque amore aucto, arcano cognito, fratris filiam matrimonio sibi iunxit, ex eaque filiū Hyrcanum suscepit. Qui annos tredecim natus, & prudentiam & acrimoniā suam demonstrauit. Nā missus à patre cum CCC boum iugis ad prædium quoddam biduum dissitū itinere excolendum, iugorum loris non acceptis: cum bubulci hortarentur, ut ea per nuncium à patre peteret, eorum consilio acquieuit, sed X boum iugis immolatis, carnes inter operarios distribuit, & tergoribus concisis boues alligauit. atque ita opere confecto domum rediit. At pater eam calliditatem admiratus, illum præ cæteris filijs, ægrè id ferentibus, & amauit & magnifecit. Nato autem filio Ptolemæo, principes prouinciarum illi parentium Alexandriam ibant ad natalicium festum celebrandum. Iosephus autē ob ætatem tardus, aliquem ex filijs eò ire iubebat. Cæteris autem recusantibus, Hyrcanus se iturū recipit, ac patri autor est, ne munera illō mittat, sed Alexandrino procuratori scribat, ut aurum sibi det, quo munere compararet. Ille collaudato filij consilio, procuratori scribit, qui non minus tribus millib. talentūm administrabat,

ut

Iosepho posterior uxor quomodo nupserit.

Hyrcani præcox ingenium. Agricultura.

βασιλέως, συγγίνωσκε, ἔλεγε, διὰ τὸ γῆρας αὐτῷ. τούς τε γὰρ πρεσβύτας καὶ τοῖς νηπίοις ὁμοίαν δεῖν ἡ διάνοια· ἡμεῖς δὲ σοι οἱ νέοι πᾶσαν τὴν ὀφειλὴν καταθήσομεν. ἐκ τούτων ἔτι πλεῖον ἡ πρὸς αὐτὸν ἐπιδέδωκε τοῦ βασιλέως διάθεσις. γενομένου δὲ ἐν ἀλεξανδρείᾳ τοῦ βασιλέως, ἰδόντες οἱ πρῶτοι τῆς συρίας (ἔτυχον γὰρ ἐληλυθότες, ἵνα τὰ τέλη τῶν πόλεων ὠνήσωνται, κατ' ἔτος τοῦ βασιλέως ταῦτα τοῖς τῶν πόλεων πιπράσκοντος δυνατοῖς) τὸν ἰωσὴφ αὐτῷ συγκαθήμενον, ἐδυσχέραινον. εἰς ὀκτακισχίλια δὲ τάλαντα τὰ τῆς κοίλης συρίας τέλη, καὶ τὰ τῆς φοινίκης, καὶ ἰουδαίας, καὶ σαμαρείας ὠνουμένων τῶν ἐν ταῖς πόλεσι δυνατῶν. ὁ ἰωσὴφ διπλασίονα δώσειν ὑπισχνεῖτο· τοῦ δὲ βασιλέως κατανεύσαντος, ἐρομένου δὲ εἰ τοὺς ἐγγυησομένους αὐτὸν ἔχοι· δώσειν ἔφη, ἀνθρώπους οἷς οὐκ ἀπιστήσει. καὶ τίνες οὗτοι, προσερομένου; σύ, εἶπεν, ὦ βασιλεῦ, καὶ τὴν γυναῖκα τὴν σὴν ἐγγυησομένους μοι δίδωμι. γελάσας δὲ ὁ πτολεμαῖος, συνεχώρησεν αὐτῷ τῶν φόρων τὴν εἴσπραξιν. λαβὼν δὲ στρατιώτας ὡς δισχιλίους, εἰς συρίαν ἐξώρμησε. γενόμενος δὲ ἐν ἀσκάλωνι, ὡς οὐδὲν ἐδίδουν αὐτῷ, ἀλλὰ καὶ προσύβριζον, συλλαβὼν τοὺς πρωτεύοντας ἔκτεινε, καὶ τὰς οὐσίας δημεύσας αὐτῶν, τῷ βασιλεῖ ἔπεμψεν ὡς δισχίλια τάλαντα. ὁ δὲ τὰ πεπραγμένα ἐπαινέσας, ἐφῆκεν αὐτῷ ποιεῖν ὃ βούλεται. τοῦτο φόβον τοῖς σύροις ἐνέβαλε, καὶ ἐδέχοντο προθύμως τὸν ἰωσήφ, καὶ τοὺς φόρους ἐδίδουν. κερδάνας δὲ ἐκ τούτων πολλά, μεγάλα τῷ βασιλεῖ καὶ τῇ κλεοπάτρᾳ ἔπεμπε δῶρα, καὶ πᾶσι τοῖς περὶ αὐτούς, ὅθεν ἔτη ἐπὶ δύο καὶ εἴκοσι τῆς εὐτυχίας ταύτης ἀπέλαυσε. γυναιξὶ δὲ δυσὶ συνοικήσας, ἐκ μὲν τῆς μιᾶς παῖδας ἔσχεν ἑπτά, ἐκ δὲ τῆς λοιπῆς ἕνα (ἦν δ' αὕτη ἀδελφόπαις αὐτοῦ) ἧπερ οὕτως συνῴκησεν· ὀρχηστρίδος ἠράσθη τινός, καὶ τῷ ταύτης ἐκάετο ἔρωτι. μηνύει δὲ τὸ πάθος τῷ ἀδελφῷ, ὁ δὲ διακονήσεσθαί οἱ πρὸς τὸν ἔρωτα ἐπηγγείλατο· καὶ νυκτὸς τὴν ἑαυτοῦ θυγατέρα πρὸς τὸν ἀδελφὸν ἀγαγὼν συγκατέκλινε. καὶ τούτου γενομένου πολλάκις, ἤρα σφοδρότερον. τοῦ δὲ ἀδελφοῦ τὸ κεκρυμμένον αὐτῷ φανερώσαντος, συνῴκησε τῇ ἀδελφιδῇ, καὶ ἐξ αὐτῆς υἱὸν ἔσχεν, ὑρκανὸν καλέσας αὐτόν. τρισκαίδεκα δὲ γεγονὼς ἔτη οὗτος, τήν τε σύνεσιν ἐδείκνυ, καὶ τὴν ἐντρέχειαν. δοὺς γὰρ αὐτῷ ὁ πατὴρ ζεύγη βοῶν τριακόσια, ἐξέπεμψεν εἰς χώραν δυεῖν ἡμερῶν ἀπέχουσαν, τὴν γῆν ἐργασόμενον τοὺς ἱμάντας τῶν ζυγῶν διακατασχών. ὁ δὲ γενόμενος ἐκεῖ, καὶ μὴ ἔχων ἱμάντας, τῶν βουλκῶν πέμπειν πρὸς τὸν πατέρα τοὺς αἰτήσοντας αὐτοὺς δεῖν λεγόντων, τῇ μὲν ἐκείνων συμβουλῇ οὐ προσέσχε, αὐτὸς δὲ δέκα ζεύγη καταθύσας, τὰ μὲν κρέα τοῖς ἐργάταις διένειμε, τὰς δὲ δορὰς κατατεμών, τούτοις προσέδησε τοὺς ζυγούς, καὶ οὕτω τὴν ἐργασίαν ποιήσας ἐπανελήλυθεν. ὁ δὲ πατὴρ τὴν ἐπίνοιαν αὐτοῦ γνούς, καὶ ἐθαύμασεν αὐτὸν καὶ ἠγάπησε, καὶ τῶν ἄλλων προετίμα υἱῶν, οἱ δὲ ἤχθοντο. τῷ δὲ πτολεμαίῳ γεννηθέντος υἱοῦ, οἱ πρῶτοι τῶν ὑπ' αὐτὸν χωρῶν ἑώρταζον τὰ γενέθλια, ἀπιόντες εἰς ἀλεξάνδρειαν. ἰωσὴφ δὲ τῷ γήρᾳ δυσκόμιστος γεγονώς, τῶν παίδων ἕνα ἐκεῖ ἀπελθεῖν προετρέπετο. τῶν δὲ πρεσβυτέρων παραιτουμένων, ὁ ὑρκανὸς κατετίθετο ἀπελθεῖν, καὶ συνεβούλευε τῷ πατρί, μὴ πέμπειν αὐτόθεν δῶρα τῷ βασιλεῖ, ἀλλ' ἐπιστεῖλαι δὲ τῷ ἐν ἀλεξανδρείᾳ οἰκονόμῳ, παρασχεῖν αὐτῷ χρυσίον. ἵνα δι' αὐτοῦ πρίηται δῶρα. ὁ δὲ τὸν υἱὸν ἐπαινέσας τῆς συμβουλῆς, γράφει τῷ οἰκονόμῳ τῷ ἐν ἀλεξανδρείᾳ χρημάτων οὐκ ἐλαττόνων ὄντων τρισχιλίων ταλάντων,

δοῦναι

ἔτι τὰ τέλη τῶν πόλεων τὰ ἐπιφόρια πωλεῖσθαι τοῖς ὠνουμένοις κατ' ἔτος.

ὅπως συνῴκησεν ἡ ἀδελφιδῆ τῷ ἰωσήφ.

ὅπως ὑρκανὸς ὁ υἱὸς ἰωσὴφ καὶ ἐν μειρακίοις τελῶν ἦν φρονιμώτατος.

δοῦναι τῷ υἱῷ χρήματα ὅσων ἂν δέηται, ἐλπίζας μὴ πλείω δέκα αἰτήσειν ταλάντων τὴν ὑπὲρ τῶν δώρων τοῦ βασιλέως δαπάνην. λαβὼν οὖν τὰς ἐπιστολὰς ὑρκανὸς, ἀπῄει πρὸς ἀλεξάνδρειαν. οἱ δὲ λοιποὶ τοῦ ἰωσὴφ παῖδες γράφουσι τοῖς πατρικοῖς ἑταίροις, ἐπιβουλεῦσαι τῷ ὑρκανῷ, καὶ διαφθεῖραι αὐτόν. γενόμενος δ' ἐν ἀλεξανδρείᾳ, τὴν ἐπιστολὴν τοῦ πατρὸς τῷ οἰκονόμῳ ἐπέδωκεν. ὁ δὲ ἤρετο, πόσων χρήζει ταλάντων; καὶ ὃς, χιλίων ἔφη. ὁ δ' οἰκονόμος οὐ πλείω δέκα παρέσχεν. ὀργισθεὶς δὲ ὁ παῖς, τὸν οἰκονόμον ἐδέσμευσε. καὶ ὁ πτολεμαῖος στείλας πρὸς ὑρκανὸν, θαυμάζειν ἔλεγε, πῶς οὐκ ὤφθη αὐτῷ, καὶ τὸν τοῦ πατρὸς ἔδησεν οἰκονόμον; ὁ δὲ, μὴ ἐλθεῖν, ἔφη, πρὶν μέλλειν ἑτοιμάσαι τὰ δῶρα, τὸν δὲ δοῦλον κολάσαι, εἰς ἐπίταξιν ἀπαυθαδισάμενον. διὰ ταῦτα ὁ βασιλεὺς καὶ ἐγέλασε, καὶ τὴν τοῦ παιδὸς μεγαλοφροσύνην ἐθαύμασεν. ὁ δὲ ἔρημος ὁ οἰκονόμος γνοὺς ὡς οὐκ ἔστιν αὐτῷ ἀρωγὴ, δοὺς τὰ χίλια τάλαντα, τῶν δεσμῶν ἐλύθη. ὁ ὑρκανὸς δὲ παῖδας ἑκατὸν ἀκμαιοτάτους καὶ γράμματα εἰδότας ὠνήσατο, ταλάντου πριάμενος ἕκαστον, καὶ παρθένους τοσαύτας ἰσοταλάντου τιμῆς. τῶν γοῦν ἄλλων ἁπάντων τῶν μὲν ἀνὰ δέκα τάλαντα προσαγόντων τῷ βασιλεῖ, τῶν δὲ μείζω δωρουμένων οὐχ ὑπερβάντων τὰ εἴκοσιν, ὁ ὑρκανὸς τοὺς παῖδας καὶ τὰς παρθένους τῷ βασιλεῖ καὶ τῇ κλεοπάτρᾳ προσήνεγκεν, ὧν ἕκαστος καὶ τάλαντον ἔφερε· καὶ τοῖς φίλοις δὲ τοῦ βασιλέως καὶ τοῖς περὶ τὴν θεραπείαν αὐτοῦ πολλῶν ταλάντων δῶρα παρέσχετο. θαυμάσας δὲ πτολεμαῖος τὸν παῖδα, αἰτεῖν ἃ βούλεται προὐτρέπετο. ὁ δὲ οὐδὲν ᾔτησεν, ἢ τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς γράψαι περὶ αὐτοῦ. ὃ ποιήσας ὁ βασιλεὺς, καὶ βασιλικῶς αὐτὸν δωρησάμενος, ἐξέπεμψεν. οἱ δὲ ἀδελφοὶ μαθόντες ἐπανιόντα μετὰ τιμῆς, ἐξῆλθον ὑπαντιάσοντες αὐτῷ καὶ διαφθεροῦντες, μηδὲ τοῦ πατρὸς κωλύσαντος ὑπ' ὀργῆς τῆς διὰ τὴν τῶν χρημάτων δαπάνην. συμπλακέντων δὲ οἱ τῶν ἀδελφῶν, πολλοί τε τῶν σὺν αὐτοῖς ἔπεσον, καὶ ἐξ αὐτῶν δύο. δείσας οὖν διὰ ταῦτα, εἰς τὸ πέραν ἀπῆλθε τοῦ ἰορδάνου, καὶ ἐπολέμει τοὺς ἄραβας, καὶ βᾶριν ἐκεῖ πολυτελῆ ᾠκοδόμησε, καὶ κατεῖχε τὰ ἐκεῖ μέρη ἐπὶ ἔτη ἑπτὰ, ἐφ' ὅσον ὁ τοῦ μεγάλου ἀντιόχου υἱὸς σέλευκος τῆς συρίας ἐκράτησε. τούτου δὲ θανόντος, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ἀντιόχου τὴν ἀρχὴν διαδεξαμένου, τοῦ ἐπιφανοῦς καλουμένου, φοβηθεὶς ὁ ὑρκανὸς αὐτὸν, αὐτόχειρ ἑαυτοῦ γίνεται, καὶ τὰ χρήματα αὐτοῦ ὁ ἀντίοχος ἔλαβε. τελευτᾷ δὲ καὶ ὁ ἐπιφανὴς πτολεμαῖος, ὁ τῆς αἰγύπτου κρατῶν, δύο παῖδας νηπίους πάνυ καταλιπών· ὧν ὁ μὲν φιλομήτωρ ἐκαλεῖτο, φύσκων δέ γε ὁ ἕτερος. τούτων καταφρονήσας ἀντίοχος, στρατεύει ἐπ' αἴγυπτον· ἀλλ' ἀπεκρούσθη ταύτης, τῶν ῥωμαίων ἀπέχεσθαι τῆς χώρας ἐντειλαμένων αὐτῷ. ἐκεῖθεν δ' ἐπανιὼν, ἐπὶ τὰ ἱεροσόλυμα ὥρμησε, καὶ κατέσχε τὴν πόλιν ἀμαχητὶ ἀνοιξάντων αὐτῷ τὰς πύλας, οἳ τῆς ἐκείνου γνώμης ἐτύγχανον. θανόντος γὰρ ὀνίου τοῦ ἀρχιερέως, τῷ ἀδελφῷ αὐτοῦ ἰησοῦ ἀντίοχος τὴν τιμὴν παρέσχεν. ὀργισθεὶς δὲ αὐτῷ, αὖθις τῷ νεωτέρῳ τὴν ἀρχιερωσύνην ἀπένειμεν ἀδελφῷ, ὀνίᾳ καλουμένῳ· σίμωνι γὰρ τριῶν γενομένων παίδων, καὶ εἰς τοὺς τρεῖς ἡ ἀρχιερωσύνη παρελήλυθε. καὶ ὁ μὲν ἰησοῦς ἰάσονα μετωνόμασεν ἑαυτὸν, ὁ δὲ ὀνίας μενέλαον. στασιάσαντος οὖν τοῦ ἰησοῦ πρὸς τὸν ὀνίαν, τὸν καὶ μενέλαον, καὶ ὁ λαὸς ἐμερίσθη· καὶ οἱ μὲν πλείους τῷ ἰάσονι προσετίθεντο, οἱ δ' ἄλλοι τῷ μενελάῳ, ᾧ καὶ οἱ τωβίου παῖδες ἦσαν συνεργοῦντες, καταπονούμενοι δὲ τοῖς πλείοσιν, ἔφυγε καὶ ὁ μενέλαος πρὸς ἀντίοχον

ὅτι ὠνήσατο ὁ ὑρκανὸς παῖδας γραμματικοὺς ἑκατόν.

ὅτι βᾶρις τὸ ὀχύρωμα.

ut det filio quantum ei opus sit. Neque uerò putabat ultra X talenta petiturū ad munera regi offerenda. Illo acceptis literis Alexandriam eunte, reliqui Iosephi liberi paternis amicis scribūt, ut Hyrcanū per insidias è medio tollant. Sed puer reddita procuratori epistola, quot talentis opus esset, rogatus, cum mille petijsset, ac X tantū accepisset, iratus hominē in uincula conijcit. Ptolemæus uerò misit ad eum, seque mirari dixit, cur in conspectum suum non uenisset, ac paternum procuratorem uinxisset? Illo respondente, se uenire noluisse, donec munera parasset, ac seruum ob contumaciam mulctasse: risit rex, pueri magnanimitatē admiratus. Enimuerò procurator, cum intelligeret opem sibi ferri à nemine, datis mille talentis, uinculis liberatur. Hyrcanus autem C pueros robustissimos & literarū gnaros talento singulos emit, & totidem uirgines tantidem. Alijs igitur dena talenta regi offerētibus, ijs uerò qui munificentiores esse studebant, uicena non supergressis: Hyrcanus pueros & uirgines regi & Cleopatræ obtulit, quorum quilibet singula talenta afferrent. Regijs porrò amicis & ministris, multorum talentūm munera dedit. Ptolemæus autem puerum admiratus, hortatus est, ut peteret quæ uellet. is uerò non aliud petijt, nisi ut patri & fratribus de se scriberet. Id fecit Ptolemæus, cumque regaliter donatum ablegauit. Fratres uerò cognito honorifico eius reditu, obuiam egressi sunt, eius perimendi causa, ne patre quidem refragato ex iracundia ob insumptam pecuniam. Fratribus eum adortis, cùm ex eorum satellitibus multi, tum ipsorum duo ceciderunt. Quamobrem territus, & ultra Iordanem profectus, bellum Arabibus intulit: & sumptuoso castello extructo, partes illas per septem annos tenuit, quandiu Magni Antiochi filius Seleucus Syriæ potitus est. Cui cum frater Antiochus Epiphanes successisset: præ metu illius, necem sibi consciuit, cuius pecuniam Antiochus accepit. Ptolemæo quoque Epiphane Aegypti rege mortuo, duobus paruulis filiolis relictis, quorum alter Philometor, alter Physcon uocabatur: Antiochus ætate puerorum contempta, Aegyptum bello petit, ab eaque repulsus est, Romanis edicentibus, ut illa prouincia abstineret. Inde rediens, Hierosolyma contendit, urbeque citra dimicationē potitur, apertis portis per ipsius studiosos receptus. Nam post obitū Oniæ pontificis, Antiochus dignitatē illā in Iesum fratrem illius cōtulerat: eique iratus, fratri eius minori tradiderat, nomine Oniæ. Nam cum Simon tres filios suscepisset, sacerdotiū ad eos omnes peruenit: ac Iesus se Iasonē nominauit, Onias Menelaū. ortoque dissidio inter hos, populi quoque secessione facta, plures à Iasone steterunt, cęteri à Menelao, cui & Tobiæ liberi opem tulerunt. Sed cum à maiori parte opprimerentur, ad An

Munera Ptolemæo oblata.

Fratrū cum Hyrcano dimicatio.

Hyrcani exiliū & interitus.

Philometor. Physcon.

Antiochus Epiphanes Hierosolymis grassatur.

siochum se contulerunt. & patrijs institutis desertis, Gręcorum mores sunt amplexi: ascisoq; præputio, pudendorum circumcisionem uelare studuerunt. Ab horum igitur factione portis apertis, urbe potitus Antiochus Epiphanes, multis occisis, magna pecunia rapta, Antiochiã redijs. Biennio post denuo Hierosolyma ascendit, & urbe dolo occupata, ne ijs quidem pepercit, á quibus receptus fuerat: sed & templo spoliato, & absconditis thesauris ablatis, & legitimis sacrificijs interdictis, & urbe direpta, & populo partim cæso, partim capto, & pulcherrima urbis parte incensa, & porcis in templo immolatis: tandem mœnia quoq; diruit. extructaq; arce inferioris urbis, & Macedonico præsidio imposito, populum coegis suos deos colere, & circumcisione puerorum abstinere: relictis ibi, qui ad ista facienda ciues ui cõpellerent. Quo tempore Eleazarus sacerdos, eiusq; discipuli Maccabæi, cum matre sua pro diuinarũ legum obseruantia certamina obierunt. Ac ij qui uim sustinere non poterant, imperata faciebant: qui uerò generosis præditi animis, iniquis edictis aduersabantur, acerbis cruciatibus interibant, aut semineces in cruces agebantur. Eorum uerò uxores, pueris quos circumcidissent, de collis earum suspensis, tyrannici satellites laqueo præfocabant.

Samaritanorum defectio.

Quòd sicubi librum Hebraicæ scripturæ inuenissent, eum abolebãt, possessore miserabiliter interfecto. Itaq; Samaritani non iam se Iudæorum cognatos profiteri, sed Sidonios sese nominare, & Gariziniam ædem Græcanici Iouis appellare.

Matathias & Maccabæi tyrannidi Antiochi se opponunt.

Cæterùm erat tum sacerdos nomine Matathias, filius Ioannis, Symonis nepos, Asamonæi pronepos, quinq; filiorum pater, Ioannis cognomento Gaddis, Simonis Tathis, Iudæ Maccabæi, Eleazari Auræ, Ionathæ Apphi. Cum autẽ regij satellites in corũ uicum uenissent, & Matathiã primum, ut aliorũ principem, ritu græco rem diuinã facere iussissent: ipse cum filijs renuit, & alio qui sacrificarat, & duce Apelle tyrannici edicti ministro per indignationẽ interfectis, araq; euersa, in solitudinem contendit.

Iudæis salus est sabbatho antiquior.

Quorum æmulatione alij quoq; multi incitati, cum uxorib. & liberis eòdem profugientes, in spelũcis uitã egerunt. Verùm Antiochi duces cõtractis copijs eos in sabbatho aggressi, multos in spelũcis, nõ repugnantes ob festi ociũ, cõbusserunt. Qui cladi superfuerant, ad Matathiam confugerũt. Is eos hortatus, ut in sabbathis etiã pugnarẽt, ne ab hostib. occasionem festi captantib. impunè cæderẽtur, collectis uiribus, & aras euertit, & nefarijs sacris pollutos occidit, & pueros circũcidi iussit. Ita imperio per unũ annum gesto, filios ad concordiã & sui æmulationẽ cohortatus, ut, si opus esset, pro lege nec mortẽ oppetere dubitarent, ex morbo decessit.

Iudas Maccabæus duces Antiochi profligat.

Cuius filius Iudas, qui et Maccabæus, rerũ administratione suscepta, fratrũ & aliorum ope hostib. Iudæa expulsis, populares à quibus leges uiolatę erãt, supplicijs affecis, & Apol-

τίοχον αὐτεχώρησαν, καὶ τοὺς πατρίους νόμους λιπόντες, ἐλλήνισαν, καὶ τὴν τῶν αἰδοίων περιτομὴν ἐπικαλύψαι ἐπεχείρησαν. τῶν γὰρ ἐκ τούτων μοίρας ἀνοιξάντων τὰς πύλας τῆς πόλεως τῷ ἐπιφανεῖ ἀντιόχῳ, ἐγκρατὴς ἐκεῖνος τῆς πόλεως γέγονε, καὶ πολλοὺς μὲν ἀπέκτεινε, χρήματα δὲ πολλὰ συλήσας, εἰς ἀντιόχειαν ἐπανέζευξε.

ὅτι ὁ ἐπιφανὴς ἀντίοχος ἐπόρθησε τὰ ἱεροσόλυμα.

μετὰ δὲ δύο ἔτη αὖθις εἰς ἱεροσόλυμα ἀνέβη ἀντίοχος, καὶ ἀπάτῃ κρατήσας τῆς πόλεως, οὐδὲ τῶν εἰσδεξαμένων αὐτὸν ἐφείσατο, ἀλλὰ καὶ τὸν ναὸν συλήσας, καὶ τοὺς ἀποκρύφους θησαυροὺς ἀφελόμενος, τάς τε νομίμους θυσίας κωλύσας, καὶ τὴν πόλιν διαρπάσας, καὶ τοὺς μὲν τοῦ λαοῦ κτείνας, τοὺς δὲ αἰχμαλώτους ἀπαγαγὼν, καὶ ἐμπρήσας τὰ τῆς πόλεως κάλλιστα, καὶ σύας θύσας ἐν τῷ ναῷ, τέλος καὶ τὰ τείχη καθεῖλε, καὶ τὴν ἐν τῇ κάτω πόλει ἄκραν οἰκοδομήσας, φρουρὰν μακεδόνων ἐν ταύτῃ κατέστησεν. ἠνάγκαζε δὲ καὶ τὸ πλῆθος τοὺς ὑπ' αὐτοῦ νομιζομένους θεοὺς σέβεσθαι, καὶ τὰ τέκνα μὴ περιτέμνειν· καὶ τοὺς βιαζομένους ταῦτα πράττειν κατέλιπεν.

περὶ ἐλεάζαρ καὶ τῶν μακκαβαίων.

ὅτε καὶ ἐλεάζαρ ὁ ἱερεὺς, καὶ οἱ τούτου φοιτηταὶ οἱ μακκαβαῖοι διαθλοῦσι σὺν τῇ σφετέρᾳ μητρὶ τῆς τῶν θείων νόμων φυλακῆς ὑπερήθλησαν. οἱ μὲν οὖν τῇ βίᾳ νικώμενοι, τοῖς ἐπιταττομένοις ἐπείθοντο. ὅσοι δὲ τὰς ψυχὰς ἐτύγχανον εὐγενεῖς, μὴ ὑπακούοντες τοῖς παρανόμοις ἐπιταγαῖς, πικραῖς ἐν βασάνοις ἀπέθνησκον, ἢ ἔτι μικρὸν ἐμπνέοντες ἀνεσταυροῦντο. τὰς δὲ γυναῖκας αὐτῶν, καὶ τοὺς παῖδας οὓς περιετέμνον, ἐκ τῶν τραχήλων αὐτῶν ἐξαρτῶντες ἀπῆγχον οἱ τοῦ τυράννου ὑπηρέται· καὶ εἴ που βίβλος εὑρέθη τῆς ἑβραϊκῆς γραφῆς, αὐτήν τε ἠφάνιζον, καὶ τοὺς ἔχοντας οἰκτρῶς ἀπώλλυον· διὰ ταῦτα οἱ σαμαρεῖται οὐκέτι ἑαυτοὺς τῶν ἰουδαίων συγγενεῖς ὡμολόγουν, ἀλλὰ σιδωνίους ὠνόμαζον ἑαυτοὺς, καὶ τὸ ἐν τῷ γαριζὶν παρ' αὐτοῖς ἱερὸν ἑλληνίου διὸς προσηγόρευσαν. ἦν δέ τις τότε ἱερεὺς ὀνόματι ματταθίας, υἱὸς ἰωάννου, τοῦ συμεὼν, τοῦ ἀσαμωναίου, ᾧ ἦσαν υἱοὶ πέντε, ἰωάννης ὁ καλούμενος γαδδὶς, σίμων ὁ κληθεὶς θαθὶς, ἰούδας ὁ καλούμενος μακκαβαῖος, ἐλεάζαρ ὁ λεγόμενος αὔραν, ἰωνάθαν ὁ καλούμενος ἀπφοῦς. ἐλθόντων οὖν εἰς τὴν κώμην αὐτῶν τῶν βασιλικῶν, θύειν κελευόντων καθ' ἕλληνας τὸν ματταθίαν πρῶτον, ὡς τῶν ἄλλων πρωτεύοντα, ἐκεῖνος ἀνένευσε. προσελθόντος δὲ θύειν ἑτέρου, ζήλῳ πλησθεὶς ὁ ματταθίας σὺν τοῖς υἱοῖς, τόν τε θύσαντα ἀπέκτεινε, καὶ τὸν στρατηγὸν ἀπελλῆν, ὃς θύειν ἠνάγκαζε, καὶ τὸν βωμὸν καθελὼν μετὰ τῶν υἱῶν ἐξώρμησεν εἰς τὴν ἔρημον. πολλοὶ δὲ καὶ ἄλλοι τούτους ζηλώσαντες, μετὰ τῶν γυναικῶν καὶ τῶν τέκνων ἔφυγον εἰς τὴν ἔρημον, καὶ ἐν σπηλαίοις διῆγον.

ὅτι ἐν σαββάτῳ πολέμου συγχωρεῖται τοῖς ἰουδαίοις.

οἱ τοῦ ἀντιόχου δὲ στρατηγοὶ δύναμιν ἀθροίσαντες, ἐπῆλθον αὐτοῖς, καὶ προσβάλλουσιν ἐν σαββάτῳ, καὶ πολλοὺς ἐν τοῖς σπηλαίοις κατέφλεξαν, οὐδ' ἀμυνομένους, διὰ τὸ τῆς ἡμέρας ἀργόν. οἱ δὲ διασωθέντες, τῷ ματταθίᾳ προσέθεντο. ὁ δὲ καὶ ἐν σάββασιν αὐτοὺς ἐδίδαξε μάχεσθαι, ἵνα μὴ ἀπόνως αὐτοὺς διαφθείρωσιν οἱ πολέμιοι ἐπιόντες κατὰ τὰ σάββατα. συναγαγὼν οὖν δύναμιν ὁ ματταθίας, τούς τε βωμοὺς καθεῖλε, καὶ τοὺς ἀσεβήσαντας ἔκτεινε, καὶ τοὺς μὴ περιτμηθέντας τῶν παίδων ἐκέλευσε περιτέμνεσθαι. ἄρξας δὲ ἐπ' ἐνιαυτὸν, καὶ νοσήσας, τοῖς παισὶ τὸν αὐτοῦ ζῆλον μιμεῖσθαι παρῄνεσε, καὶ ὑπὲρ τῶν νόμων, εἰ δέοι, θανεῖν, καὶ ἀλλήλοις ὁμονοεῖν. ταῦτα αὐτοῖς ἐντειλάμενος, ἐτελεύτησε. τὴν δὲ τῶν πραγμάτων προστασίαν ὁ παῖς αὐτοῦ ἰούδας, ὁ καὶ μακκαβαῖος, περιεζώσατο, καὶ συνεργούντων αὐτῷ τῶν τε συγγενῶν καὶ ἄλλων, τοὺς πολεμίους ἐκ τῆς χώρας ἀπώσατο, καὶ τοὺς παρανομήσαντας τῶν ὁμοφύλων ἐκόλασεν.

ἀπολ-

Ἀπολλώνιος δὲ ὁ τῆς Σαμαρείας στρατηγὸς, κατὰ τοῦ Ἰούδα στρατεύσας, αὐτός τε πίπτει, καὶ πλεῖστοι τῶν σὺν αὐτῷ. Σήρων ὁ τῆς Κιλικίας μαθὼν στρατηγὸς, ἐπῆλθε κατὰ τῶν Μακκαβαίων, καὶ συμβαλὼν τρέπεται καὶ θνήσκει. οἱ δ᾽ ὑπ᾽ αὐτὸν ἔφυγον. περιδεὴς δὲ ὁ Ἰούδας, πολλοὺς αὐτῶν ἀπέκτεινε. διὰ ταῦτα τοίνυν ὀργισθεὶς ὁ Ἀντίοχος, Λυσίᾳ τῷ τῶν πραγμάτων αὐτοῦ ἐπιτρόπῳ καταστρέψασθαι τὴν Ἰουδαίαν ἐπέταξε, καὶ τὸ ἔθνος ἀνδραποδίσασθαι, καὶ κατασκάψαι τὴν Ἱερουσαλήμ. ὁ δὲ τρεῖς ἀπολεξάμενος στρατηγοὺς, ἔπεμψε μετὰ βαρείας δυνάμεως. Ἰούδας δὲ τὸ πλῆθος τῶν ἐναντίων ἰδὼν, ἐπὶ τὸν θεὸν θέσθαι τὰς ἐλπίδας ἐκέλευσε τοῖς μετ᾽ αὐτοῦ. καὶ δειπνήσας ἑσπέρας, πυρά τε πολλὰ ἐν τῷ στρατοπέδῳ λιπὼν, διὰ τῆς νυκτὸς ὁδεύσας, ἐπιτίθεται τοῖς περὶ τὸν ὄρθρον· καὶ πολλοὺς μὲν μαχόμενος ἀπέκτεινε, τοὺς δὲ λοιποὺς διώκων, ὡς ὑπὲρ τρισχιλίους πεσεῖν. καὶ μετὰ τὴν ἧτταν τῶν ἐναντίων ἐπανελθὼν ὁ Ἰούδας, ἐσκύλευσε τὸ τούτων στρατόπεδον, καὶ λείαν πολλὴν, πλοῦτόν τε λαβὼν ἄφθονον, εἰς τὴν οἰκείαν ὑπέστρεψε χαίρων. τῷ δ᾽ ἐπιόντι ἐνιαυτῷ, στράτευμα πλεῖον ὁ Λυσίας ἀθροίσας, ἐνέβαλεν εἰς τὴν Ἰουδαίαν. καὶ τοῖς προδρόμοις τούτου συμμίξας ὁ Ἰούδας, νικᾷ. διὸ τὴν λοιπὴν δύναμιν ὁ Λυσίας ἀναλαβὼν, εἰς Ἀντιόχειαν ἐπανέζευξε, καὶ παρεσκευάζετο μετὰ μείζονος στρατιᾶς εἰς τὴν Ἰουδαίαν ἐμβαλεῖν. ὁ γε μὴν Ἰούδας εἰς Ἱεροσόλυμα ἀναβὰς, ὥστε τὸν ναὸν ἐκκαθᾶραι, καὶ ἔρημον αὐτὸν εὑρηκὼς, καὶ ἔν τισι καταπεπρησμένον, ἐθρήνησε. καθάρας δὲ αὐτὸν, σκεύη καινὰ εἰσεκόμισε, λυχνίαν, τράπεζαν, θυμιατήριον, χρύσεα, καὶ θυσιαστήριον καινὸν ἐκ λίθων οὐ σιδήρῳ τετμημένων ᾠκοδόμησεν, ἐθυμίασέ τε καὶ ὁλοκαυτώσεις, καὶ ἄρτους ἐπὶ τῆς τραπέζης ἔθηκε. γέγονε δὲ ταῦτα κατὰ τὴν ἡμέραν, καθ᾽ ἣν ὁ ναὸς ἐμιάνθη, καὶ ἡ θρησκεία ἐβεβηλώθη, τριῶν παρελθόντων ἐνιαυτῶν κατὰ τὴν τοῦ Δανιὴλ πρόρρησιν, πρὸ τετρακοσίων ὀκτὼ γενομένην ἐτῶν. καὶ ἐκ τότε ἑορτάζουσιν οἱ Ἰουδαῖοι τὴν ἀνάκτησιν τῆς θρησκείας, φῶτα καλοῦντες αὐτήν. τειχίσας δὲ τὴν πόλιν, φύλακας ἐγκατέστησεν. ὡς δὲ τὰ περίξ ἔθνη πολλοὺς τῶν Ἰουδαίων διέφθειρον, ἐνεδρεύοντα διὰ βασκανίαν, πολέμοις αὐτοὺς ὁ Ἰούδας ἠμύνετο καὶ ἀνέστελλεν. ὁ δ᾽ Ἀντίοχος μαθὼν πόλιν εἶναι ἐν τῇ Περσίδι πλούτῳ κομῶσαν Ἐλυμαΐδα ὀνομαζομένην, καὶ ἱερὸν Ἀρτέμιδος ἐν αὐτῇ πλῆρες ἀναθημάτων πολυτελῶν, ὥρμησεν ἐπ᾽ αὐτὴν καὶ ἐπολιόρκει. ἀποκρουσθεὶς δὲ παρὰ τῶν ἐν τῇ πόλει ἐπεξελθόντων, φεύγων ἧκεν εἰς Βαβυλῶνα, καὶ τῶν στρατιωτῶν πλείστους ἀπέβαλεν. ἀλγοῦντι δὲ διὰ τοῦτο τῷ Ἀντιόχῳ, ἀγγέλλεται ἡ τῶν στρατηγῶν ἧττα, ἡ ὑπὸ Ἰουδαίων. καὶ τῷ ἀλγήματι προστεθέντος, ἐνόσησε· καὶ γνοὺς ὡς ἀποβιώσεται, τοὺς ὑπ᾽ αὐτὸν συνεκάλεσε, καὶ πάσχειν οὕτως εἶπεν ὅτι τὸ τῶν Ἰουδαίων ἔθνος ἐκάκωσε, καὶ ἐσύλησε τὸν ναόν. ταῦτα λέγων ἐξέπνευσε, Φίλιππον τῶν φίλων ἕνα καταλιπὼν τῆς βασιλείας ἐπίτροπον, καὶ δοὺς αὐτῷ τὸ διάδημα καὶ τὸν δακτύλιον, ἵνα ταῦτα κομίσῃ τῷ υἱῷ Ἀντιόχῳ. ὁ δὲ Λυσίας θανόντα μαθὼν τὸν Ἀντίοχον, τὸν ἐκείνου υἱὸν ἀπέδειξε βασιλέα, καλέσας Εὐπάτορα. οἱ δ᾽ ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων Μακεδόνες ἐκάκουν τοὺς Ἰουδαίους, ἀνιόντας εἰς τὸ ἱερὸν ἐπὶ τῷ θῦσαι. διὸ ἐξελεῖν ἐσπούδασε τὴν φρουρὰν ὁ Ἰούδας, καὶ καρτερῶς ἐπολιόρκει αὐτήν. ὃ μαθὼν ὁ παῖς Ἀντίοχος ὠργίσθη, καὶ μετὰ μεγάλης δυνάμεως ἐξώρμησε κατὰ τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ. Ἰούδας δὲ ἀπαντήσας αὐτῷ, τῶν προδρόμων περὶ ἑξακοσίους ἀναιρεῖ. καὶ Ἐλεάζαρ ὁ τοῦ Ἰούδα ὅμαιμος, ὁ καὶ Αὐαρὰν κεκλημένος, τὸν ἐλεφάντων τὸν ὑψηλότερον ἰδὼν ὡπλισμένον θώραξι βασιλικοῖς, καὶ οἰηθεὶς αὐτῷ ἐποχεῖσθαι τὸν βασιλέα, μετὰ σφοδροτάτης ὁρμῆς ἐπῆλθεν αὐτῷ, καὶ ὑπὸ τὴν γαστέρα τοῦ θηρίου γενόμενος, ἔπληξεν αὐτὸ, καὶ ἀπέκτεινεν. ὁ δ᾽ ἐπικαταπεσὼν αὖθις τῷ Ἐλεαζάρῳ καὶ πιέσας αὐτὸν τῷ βάρει

[illegible] Ἰουδαίων κατὰ τῶν [illegible]

[illegible]

[illegible]

Apollonium Samasiæ prætorem cum maxima exercitus parte cecidit. Quo Ciliciæ prætor cognito, eũ aggressus est: sed profligatus, in fuga cum multis suorum cecidit. Quamobrẽ iratus Antiochus, Lysiæ suarũ rerum curatori iussit, ut Iudæam subigat, Hierosolyma euertat, & gentem sub corona uendat. Ia cum tres duces cum ingentibus copijs misisset: Iudas hostium multitudine conspecta, suos militea fiduciã in Deo collocare iussit. & uesperi cœnatus, crebris pyria in castris accensia, nocturnoq; itinere facto, circa diluculũ hoste aadortus, in pugna & fuga ultra tria millia interfecit. A`cę de hostium reuessua, castra diripuit: & opima præda magniaq; opibus partis, lætua domũ se recepit. Sequenti anno, Lysias pluribua copijs accitia, in Iudæam impressionem fecit, quorũ præcursoribua à Iuda superatis, reliquũ exercitũ Antiochiam reduxit, ut cum maiosi numero Iudæam repeteret. Iudaa aũt ad sepurgandum templum Hierosolyma profectus, cum id desertum & alicubi crematũ reperisset, fleuit, eoq; repurgato uasa noua aurea intulit, candelabra, mensam, aram: & nouum sacrarium ex lapidib. ferro non excisis extruxit, suffijt, holocausta obtulit, panes in mensa apposuit. Hęc eodẽ die facta sunt, quo templũ pollutũ fuerat, et cultus profanatus, triennio elapso, secundũ Danielis oraculũ, annia antè CCCC & VIII editũ. Ab eo tempore festum agũt Iudęi instauratę religionia, quod Lumina uocant. Præterea urbẽ mœnibus circundedit, & præsidio munijt. Iam quia finitimę gentea ex inuidia multoa Iudæos per insidias cædebant: eas Iudas bellis ulciscebatᷣ ac seprimebat. Cæterùm Antiochus cum audiuisset urbem in Persia esse Elymaidem opib. abundantem, & fanum in ea Dianę preciosis donarija refertũ: contra eam proficiscitur. sed à ciuibua in aciẽ egressia ab obsidione repulsus, fuga se Babylonẽ secepit, plurimis militib. amissia. Eam cladẽ dolenti, ut sui duces etiã à Iudæis uicti essent, nunciatur. Vnde mœrore aucto in morbum incidit, ex quo cum sibi moriendũ esse uideret, suis ministris conuocatis, id sibi accidere dixit ob gensem Iudaicã infestatam, et templũ spoliatũ. His dictis expirauit, segni curatore relicto Philippo quodã ex amicis, cui anulũ & diadema, filio suo Antiocho apportãda, dedit. De cuius obitu Lysias certior redditus, filiũ eiua segẽ declarauit, Eupatoris nomine indito. Cæterùm Macedonib. qui Hierosolymis in præsidio relicti erant, Iudæoa qui in templũ sacrificandi ergò ascendebant, infestãtibua: Iudaa tollẽdi præsidij cupidus, castellũ fortiter oppugnabat. Eo puer Antiochus nũciato iratua, ingentea copias contra Iudæã & Hierosolyma ducit: cui Iudaa obuiam profectus, ex propugnatoribua ad DC occidis. Elezarus uerò cognomento Aura, Iudæ frater, in altissimũ elephantũ, regijs thoracib. armatum, ratus ei regẽ insidere, magno impetu inuectus, belluæ uentrem subijt, cuiua interfectæ

Iudas Rempublicã Iudaicam constituit.

Festum Luminum.

Elymais urbs Persica.

Antiochi Epiphanis interitus.

Antiochus Eupator Hierosolymis potitur.

Elezarus Aura ab elephãto opprimitur.

ruina oppressus, & ipse interijt. Iudas aũt uirib. hostiũ uisis, Hierosolyma redijt, ad tolerandam obsidionē se paraturus. Antiocho igit̃ urbē oppugnāte, ex defensorib. hostē strenuè ꝓpulsantib. ob cõmeatus inopiā multi diffugiebāt. Sed cũ Lysias dux & Antiochus intellexissent, Philippũ, quē moriēs Antiochus regni curatorem reliquerat, imperiũ sibi uendicare: ijs cõditionibus cũ obsessis pepigerunt, ut eis patrijs legib. uti liceret.

Menelai & Philippi cædes.

Antiochus uerò in urbē receptus, cũ templũ munitissimũ esse ui disset, spreto iureiurādo, euerso muro, abductoq; Onia põtifice, q et Menelaus dicebat̃, q; patri suo cogēdi Iudæos ad patria instituta uiolāda autor fuisset, multisq; malis causam p̄buisset, discessit. eũq; Berrœam missum deniq; sustulit, hominē impiũ, cum annos x sacerdotio functus esset. Põtificē uerò designauit Alcimũ, q & Ioachimus dicebat̃.

Alcimus.

Philippũ quoq; superatũ & captũ occidit. Cęterum Onias Simonis Iusti filius, quē pater moriēs, ut dictũ est, puerũ reliquerat, cũ Antiochus põtificatũ Alcimo à familia põtificia alieno dedisset, in Aegyptũ cõfugit, atq; à Ptolemæo honorificè susceptus, loco in Heliopolitana regione capto, templũ instar Hierosolymitani cõdidit.

Onias templũ in Aegypto extruit.

De metrius porrò Seleuci filius, cũ Roma in Syrię Tripolim ꝓfugisset, Antiocho & Lysia cõprehensis, utrunq; occidit, secundo anno regni Antiochi.

Demetrius Seleuci filius Antiocho & Lysia cæsis Iudæos infestat.

Apud hũc Demetriũ Alcimus põtifex, & Iudęorũ exules ac improbissimi quiq;, Iudā Machabæũ & totā gentē de interfectis regis amicis accusarũt. Qua criminatione iritatus, Bachidem intimũ amicũ cum maximis copijs misit, mādauitq; ut Iudā & suos occideret. Is in Iudæā profectus, Iudā & fratres eius ad pacē ꝓuocauit. Sed illis fidē ei non habentib. quidam plebej homines iureiurādo accepto, ad illũ transfugerũt. q spreta religione, LX eorũ interfectis, cęteros à trāsfugio deterruit: & ijs qui regionē incolebāt, Alcimo pontifici parère iussis, Antiochiā redijt. Alcimus uerò singulos blandè alloquēdo, & omnib. sibi conciliādis, celeriter magnũ exercitũ exulũ maiori ex parte & impiorũ hominũ cõtraxit, quib. ad Iudæ studiosos trucidandos utebat̃.

Nicanor à Iuda cæditur.

Quod exemplũ cũ Iudas in aduersam factionē retorqueret, Alcimus Demetrium perpulit, ut Nicanorē cũ ingentib. copijs contra Iudā mitteret, mādaretq;, ne genti parceret. Is in Iudæā ꝓfectus, Iudā p speciē pacificationis dolo capere instituit: à quo fide data acceptaq;, cũ copijs in urbē receptus, inter salutandũ & colloquendũ signũ dat suis, ut uirũ cõprehendāt. At ille insidijs animaduersis, ad Iudęos ꝓsiliens, effugit. Nicanor igit̃ eo conatu frustratus, iã aperto Marte rē gerēs, superior factus, Iuda in arcē Hierosolymitanā cõpulso, minat̃ populo, ni illũ dedant, se templũ euersurum. Iudas uerò suos M uiros ad rē fortiter gerendā cohortatus, impetũ in hostes facit, multos cædit, ac inter alios ipsum q̃q; Nicanorē. reliq in fuga oēs cadũt. Sic Iudęis aliquātisper à bellis quies parta est.

τοῦ σώματος ἔφθειρεν. ὁρῶν δὲ τὴν τῶν πολεμίων ἰσχὺν ὁ Ἰούδας, εἰς Ἱεροσόλυμα ἐπανῆλθε, καὶ πρὸς πολιορκίαν παρεσκεύαζε. Ἀντίοχος δὲ εἰς Ἱεροσόλυμα ἐλθὼν, ἐπολιόρκει αὐτὴν, καρτερῶς τῶν ἔνδον ἀμυνομένων. ἀλλὰ τροφῆς ἐπιλιπούσης αὐτοὺς, πολλοὶ ἀπεδίδρασκον. τὸν μέντοι Φίλιππον, ὃν ἐπίτροπον τῆς βασιλείας θνήσκων ὁ Ἀντίοχος εἴασε, σφετεριζόμενον τὴν βασιλείαν, Λυσίας ὁ στρατηγὸς καὶ Ἀντίοχος γνόντες τοῦτο, τοῖς πολιορκουμένοις ἐσπείσαντο, ὥστε αὐτοὺς τοῖς πατρῴοις ἐγχρῆσθαι νόμοις. εἰσδεχθεὶς οὖν εἰς τὴν πόλιν Ἀντίοχος, καὶ ἰδὼν τὸν ναὸν ὀχυρώτατον, τοὺς ὅρκους ἀθετήσας, καὶ τὸ τεῖχος κατέσκαψε, καὶ οὕτως ὑπέστρεψε· καὶ τὸν ἀρχιερέα Ὀνίαν ἐπαγόμενος, ὃς καὶ Μενέλαος ἐκαλεῖτο, ὡς πείσαντα τὸν πατέρα αὐτοῦ, τοὺς Ἰουδαίους βιάζεσθαι παραβῆναι τὰ ἔθη τὰ πάτρια, καὶ πολλῶν κακῶν γενόμενον αἴτιον, ὃν καὶ πέμψας εἰς Βέρροιαν τῆς Συρίας διέφθειρεν, ἔτη δέκα τῇ ἀρχιερωσύνῃ ἱερατεύσαντα, γεγονότα δὲ ἀσεβῆ. ἀρχιερεὺς δὲ γέγονεν Ἄλκιμος, ὃς καὶ Ἰωακεὶμ ἐκαλεῖτο. ὁ δὲ Ἀντίοχος πολεμήσας πρὸς Φίλιππον, καὶ χειρωσάμενος αὐτὸν, ἔκτεινεν. Ὀνίας δὲ ὁ τοῦ ἀρχιερέως Σίμωνος τοῦ δικαίου υἱὸς Ὀνίας, ὃν παιδίον ὁ πατὴρ τελευτῶν, ὡς εἴρηται, καταλέλοιπεν, ἐπεὶ τὴν ἀρχιερωσύνην Ἀλκίμῳ δέδωκεν ὁ Ἀντίοχος, μὴ τοῦ γένους τοῦ τῶν ἀρχιερέων προσήκοντι, φεύγει πρὸς Πτολεμαῖον εἰς Αἴγυπτον· καὶ τιμηθεὶς, λαμβάνει τόπον ἐν τῷ Ἡλιουπολίτῃ νομῷ, καὶ ἱερὸν ἐκεῖ ᾠκοδόμησε τῷ ἐν Ἱεροσολύμοις παρεμφερές. Δημήτριος δὲ φυγὼν ἐκ Ῥώμης, ὁ Σελεύκου υἱὸς, καὶ κατακτήσας (?) τῆς Συρίας εἰς Τρίπολιν, τόν τε Ἀντίοχον καὶ τὸν Λυσίαν συλλαβὼν, καὶ ἄμφω διέφθειρεν, ἔτη δύο γινομένου (?) τοῦ Ἀντιόχου βασιλεύσαντος. τούτῳ τῷ Δημητρίῳ ὁ ἀρχιερεὺς Ἄλκιμος προσελθὼν, καὶ τῶν Ἰουδαίων πολλοὶ φυγάδες καὶ πονηροὶ, κατηγόρουν Ἰούδα τοῦ Μακκαβαίου, καὶ τοῦ ἔθνους παντὸς, ὡς τοὺς αὐτοῦ φίλους ἀπεκτονότων. ὁ δὲ παροξυνθεὶς, πέμπει Βακχίδην αὐτοῦ οἰκειότατον μετὰ μεγίστης δυνάμεως, ἐντειλάμενος αὐτῷ κτεῖναι καὶ τὸν Ἰούδαν καὶ τοὺς σὺν αὐτῷ. ὃς εἰς τὴν Ἰουδαίαν ἐλθὼν, ἔπεμψε πρὸς τὸν Ἰούδαν καὶ τοὺς αὐτοῦ ἀδελφοὺς, ἐπ' εἰρήνην αὐτοὺς καλῶν. οἱ δὲ οὐκ ἐπίστευσαν αὐτῷ. τινὲς δὲ τῶν τοῦ δήμου λαβόντες ὅρκους παρὰ Βακχίδου προσῆλθον αὐτῷ, ὃς τῶν ὅρκων καταφρονήσας, ἑξήκοντα τούτων ἀπέκτεινε, καὶ οὕτω τῶν λοιπῶν τὴν ὁρμὴν τῆς αὐτῷ προσχωρεῖν (?) ἀνέκοψε. τοῖς δὲ ἐν τῇ χώρᾳ πᾶσι προσέταξεν, ὑπακούειν τοῦ ἀρχιερέως Ἀλκίμου. καὶ ταῦτα διαπραξάμενος, εἰς Ἀντιόχειαν ἐπανῆλθεν. Ἄλκιμος δὲ πρὸς χάριν ὁμιλῶν ἑκάστῳ, καὶ πάντας ὑποποιούμενος, ταχὺ πολλὴν συνέλεξε δύναμιν, ὧν οἱ πλείους ἐκ τῶν φυγάδων ἦσαν καὶ ἀσεβῶν, δι' ὧν τοὺς τὰ Ἰούδα φρονοῦντας ἔκτεινεν. καὶ Ἰούδας δὲ ἐστραμμένους (?) τοὺς τὰ Ἀλκίμου πράττοντας διέφθειρεν, ὁ δὲ τὸν Δημήτριον κατὰ τοῦ Ἰούδα ἠρέθιζε. πέμπει τοίνυν αὖθις ὁ βασιλεὺς Νικάνορα μετὰ μεγίστης χειρὸς, ἐντειλάμενος τοῦ ἔθνους μὴ φείσασθαι. κἀκεῖνος ἀπελθὼν, δόλῳ καταχειροῦν ἐπεχείρησε τὸν Ἰούδαν, καὶ πρὸς εἰρήνην προσεκαλεῖτο αὐτόν. ὁ δὲ πίστεις δοὺς καὶ λαβὼν τὸν Νικάνορα μετὰ τῆς δυνάμεως εἰσεδέξατο, καὶ ἀσπαζόμενος αὐτὸν ὁ Νικάνωρ καὶ προσομιλῶν, σημαίνει (?) τοῖς ἑαυτοῦ δίδωσι, συλλαβεῖν τὸν Ἰούδαν. γνοὺς δὲ τὴν ἐπιβουλὴν ὁ ἀνὴρ, πρὸς τοὺς Ἰουδαίους ἐκπηδήσας, ἐξέφυγε. γνωσθείσης δὲ τῆς ἐνέδρας, φανερὰν μάχην συνεκρότησεν ὁ Νικάνωρ, καὶ ἐνίκησεν. ἐντεῦθεν Ἰούδας εἰς τὴν τῶν Ἱεροσολύμων ἀκρόπολιν κατέφυγε. Νικάνωρ δὲ ἀπειλεῖ τῷ λαῷ, εἰ μὴ παραδῶσιν αὐτῷ τὸν Ἰούδαν, καταλαβεῖν τὸν ναόν. ὁ δὲ Ἰούδας τοῖς μετ' αὐτοῦ χιλίοις οὖσι διαλεχθεὶς, παρώρμησε σφᾶς εἰς ἀλκὴν, καὶ συμβαλὼν τοῖς πολεμίοις, ἐνίκησε, πολλῶν πεσόντων, καὶ αὐτοῦ τοῦ Νικάνορος. οἱ δὲ λοιποὶ ἔφευγον, καὶ πάντες ἐφθάρησαν καταλαμβανόμενοι· καὶ οὕτω πρὸς ὀλίγον Ἰουδαῖοι ἐκ τῶν πολέμων ἀνεπαύσαντο.

τὸ δὲ

τοῦ δὲ ἀρχιερέως Ἀλκίμου, τοῦ καὶ Ἰωακείμ, θεηλάτῳ βληθέντος πληγῇ, καὶ οὕτω τὴν ζωὴν ἀπορρήξαντος μετὰ τὸ τέσσαρα τοῦ ἀρχιερατεῦσαι, τῷ Ἰούδᾳ τὴν ἀρχιερωσύνην ἀπένειμεν ὁ λαός. ἀκούσας δὲ Ἰούδας μέγα δύνασθαι τοὺς Ῥωμαίους, καὶ χειρώσασθαι Γαλάτας, καὶ Ἴβηρας καὶ Καρχηδονίους, καὶ Λίβυας, καὶ τὴν Ἑλλάδα πᾶσαν, καὶ τοὺς βασιλεῖς Περσέα καὶ Φίλιππον, καὶ Ἀντίοχον, ἔπεμψε φιλίαν αἰτῶν. καὶ Δημητρίῳ γράψαι ἠξίου, μὴ πολεμεῖν Ἰουδαίοις. ἡ δὲ σύγκλητος καὶ φιλίαν ὡμολόγησε, καὶ συμμαχεῖν Ἰουδαίοις κατένευσε. Δημήτριος δὲ τὸν θάνατον μαθὼν τοῦ Νικάνορος, καὶ τοῦ στρατεύματος τὴν ἀπώλειαν, πάλιν τὸν Βακχίδην ἀπέστειλεν. ὁ δὲ πρὸς τὸν Ἰούδαν ἀπάγων, ἐστρατοπεδεύσατο ἔν τινι κώμῃ μετὰ χιλίων. οἱ τὸ μετὰ Βακχίδου δείσαντες στράτευμα, συνεβούλευον αὐτῷ ἀναχωρεῖν καὶ σώζεσθαι. ὡς δ' ἐκεῖνος, μὴ τοῦτο, εἶπεν, ἴδοι γενόμενον ἥλιος, ὥστε με νῶτα δοῦναι τοῖς ἐναντίοις, πολλοὶ τῶν μετ' αὐτοῦ ἔφυγον. συμβαλὼν δὲ τῷ Βακχίδῃ, μέχρι πολλοῦ ἀγχωμάλως ἐμάχετο. περὶ δὲ ἡλίου δυσμὰς σὺν τοῖς εὐψυχοτάτοις ἐν τῷ δεξιῷ κέρατι, ὅπου καὶ ὁ Βακχίδης ἦν, τὴν φάλαγγα διασπάσας, καὶ ἐτρέψατο εἰς φυγήν. ἐπελθόντες δ' οἱ κατὰ τὸ εὐώνυμον, ἐκύκλωσαν τὸν Ἰούδαν. ὁ δὲ στὰς ἐμάχετο μετὰ τῶν σὺν αὐτῷ, καὶ πολλοὺς κτείνας, τέλος καὶ αὐτὸς ἔπεσεν. οὗ πεσόντος, οἱ σὺν αὐτῷ ἔφυγον. τὸ τρίτον δ' ἔτος τῇ ἀρχιερωσύνῃ ἐμπρέψας, καὶ γενναῖος ἀνὴρ γεγονώς, καὶ ὑπὲρ τῆς ἐλευθερίας τοῦ ἔθνους πάντα καὶ δρᾶσαι καὶ παθεῖν ἕτοιμος γεγονώς, ἀπέθανε. θανόντος δ' ἐκείνου, τοῖς ἀσεβήσασι τῶν Ἰουδαίων καὶ παραβεβηκόσι τὰ πάτρια τὴν τῆς χώρας ἐπιμέλειαν ὁ Βακχίδης ἐνεχείρισεν. οἱ δὲ παντοίως τοὺς ὁμοφύλους ἐκάκουν, καὶ τοὺς Ἰούδᾳ ὁμόφρονας συλλαμβάνοντες, τῷ Βακχίδῃ προσῆγον, ὃς αἰκιζόμενος αὐτοὺς πρότερον, εἶτα διέφθειρεν. οἱ δέ γε περίλοιποι τῶν ἑταίρων Ἰούδα Ἰωνάθην τὸν ἀδελφὸν ἐκείνου πείσαντες, τῶν Ἰουδαίων ἀναδεικνύουσι στρατηγόν. καὶ ὁ Βακχίδης ἀνελεῖν δόλῳ τὸν Ἰωνάθην ἐζήτει. ὁ δὲ μετὰ τοῦ ἀδελφοῦ Σίμωνος καὶ τῶν ἑταίρων εἰς ἔρημον ἔφυγε, καὶ ἐπ' αὐτοὺς ὁ Βακχίδης ὥρμησεν. ὁ δ' Ἰωνάθης τὸν ἀδελφὸν Ἰωάννην πρὸς τοὺς Ναβαταίους Ἄραβας ἔπεμψεν (ἦσαν γὰρ φίλοι) παραθησόμενον αὐτοῖς τὴν ἀποσκευήν. ἀπιόντα δὲ τοῦτον οἱ Ἀμαραίου παῖδες λοχήσαντες, κτείνουσι σὺν τοῖς ἑπομένοις, καὶ τὰ κομιζόμενα διηρπάκασι. Βακχίδης δὲ ἐν σαββάτῳ τὸν Ἰωνάθαν ἐζήτει, καὶ ἐπῆλθεν αὐτοῖς ὡς τάχα διὰ τὸν νόμον μὴ μαχουμένοις. ὁ δὲ περὶ ψυχῶν εἶναι φήσας τὸν κίνδυνον, ἀντιπαρετάξατο, καὶ πολλοὺς ἀποκτείνας καὶ κατὰ τὸν Βακχίδην ὁρμήσας ὡς πλήξων αὐτόν, καὶ ἀποτυχὼν εἰς τὸν ποταμὸν ἥλατο μετὰ τῶν ἑταίρων, καὶ διενήξατο. καὶ ὁ Βακχίδης εἰς τὴν ἐν Ἱεροσολύμοις ἄκραν ὑπέστρεψε, καὶ τῶν πρώτων τῶν Ἰουδαίων παῖδας ὁμήρους λαβών, εἰς τὴν ἄκραν ἐνέκλεισεν. Ἰωνάθης δ' ἐμέλλησε τὸν φόνον τιμωρῆσαι τοῦ ἀδελφοῦ Ἰωάννου. γάμον δὲ τῶν τοῦ Ἀμαραίου παίδων τελούντων, καὶ ἐκ πόλεως εἰς ἑτέραν τὸν νυμφίον καὶ τὴν νύμφην ἀγόντων μετὰ πολυτελοῦς προπομπῆς, ἐνεδρεύσας ἐκεῖνος ἐν ὄρει μετὰ τῶν περὶ αὐτόν, ἐπέθετο τοῖς ἐν τῇ πομπῇ, καὶ διέφθειρεν ἅπαντας, καὶ ἃ ἔφερον διήρπασε ξύμπαντα. διῆγον δ' Ἰωνάθης καὶ Σίμων μετὰ τῶν περὶ αὐτοὺς εἰς τὰ ἕλη τοῦ ποταμοῦ. Βακχίδης δὲ φρουρὰν εἰς Ἰουδαίαν καταλιπών, πρὸς τὸν Δημήτριον ἐπανῆλθεν. ἠρεμούντων δ' ἐκ τότε τῶν ἐθνῶν ἐπ' ἔτη δύο, Ἰωνάθης καὶ οἱ περὶ αὐτὸν σὺν ἀδείᾳ ἐν τῇ χώρᾳ διέτριβον. οἱ οὖν ἀσεβοῦντες Ἰουδαῖοι πρὸς τὸν βασιλέα Δημήτριον πέμπουσι, λέγοντες, ἀπόνως τὸν Ἰωνάθην, εἰ πεμφθείη τις ἐπ' αὐτόν, συλ-

Pontifice Alcimo siue Ioachimo ex plaga diuinitùs immissa post quartum sacerdotij annum mortuo, populus Iudæ pontificatum decreuit. Qui cum audisset, magnam esse Romanorũ potentiã, eosq; subegisse Galatas, Hispanos, Carthaginenses, Libyam, totam Græciam, & Perseum, Philippũ atq; Antiochum reges: legatos societatis petendæ causa misit, rogauitq; ut Demetrio scriberent, ne Iudæis bellũ inferret. Ac Romani quidem & amicitiam & societatẽ Iudæis promiserunt. Demetrius autem morte Nicanoris, & internecione exercitus cognita, denuò Bachidem misit. qui cum ad Iudam properaret, in quodã uico cũ suis mille uiris castrametatũ: ij metu copiarũ illius, Iudæ recedendi & salutis quærendæ autores fuerunt. Ipse uerò dixit: Absit ut sol uideat me tergum dare hostibus. & quamuis multi è suis profugissent, tamẽ diu æquo Marte cũ hoste certauit: & circa solis occasum, cũ audacissimis impetu in cornu dextrum facto, in quo Bachides curabat, phalangẽ disiectam in fugam compulit. Qui autem in sinistro cornu erant, Iudam circumuenerũt: qui dum pugnam cum suis ciet, multis cæsis, tandẽ & ipse cadit. post ducis interitum milites quoq; fugerunt. Obijt tertio pontificatus præclarè gesti anno, cum quidem se uirũ fortem præstitisset, pro libertate patriæ quiduis & facere & perpeti paratus. Post illius interitum, Iudæis impijs & patriarum legũ uiolatoribus Bachides prouinciæ administrationẽ mandauit: qui populares suos uarijs modis afflixere, & Iudæ amicos comprehensos ad Bachidem adduxerũt, quos ille prius excruciatos necauit. Sed cum reliquiæ amicorũ Iudæ, fratri eius Ionathę persuasissent, ut Iudęorum dux esse uellet: Bachides insidias ei tetẽdit, & cum socijs in desertum profugũ, persequi maturauit. Ionathas uerò fratrẽ Ioannem, ad Nabathæos Arabes amicos, ut impedimenta illorũ fidei crederet, misit. quem unà cum comitib. Amaræi liberi in itinere sarcinis direptis, per insidias occiderũt. Bachides uerò cum Ionatham sabbatho quæreret, ratus propter festũ non pugnaturum, deceptus est. Nã cum salutem ciuium agi diceret, acie instructa, multis occisis, stricto ense impetũ in Bachidem fecit. Sed cum aberrasset, cum suis socijs in amnem desiluit, cumq; tranauit. Bachides in castellum Hierosolymitanũ reuersus, principũ Iudęorum filios obsides sumptos in arce conclusit. Ionathas porrò cædẽ fratris Ioãnis ulturus, cũ Amaræi filij nuptias celebrantes, sponsum & spõsam cũ sumptuoso comitatu ex urbe in urbẽ ducerent: insidijs in monte quodam collocatis, omnes interficit, & ea quæ ferebant diripit. Degebat autem cum fratre in fluminis paludibus. Bachides autem relicto in Iudæa præsidio, ad Demetriũ est reuersus. Ab eo tempore populo ad biennium quiete concessa, Ionathas & sui metus expertes in Iudæa uersati sunt. Qua de causa Iudæi desertores regi Demetrio significant, si quis contra Ionatham mittatur, hominem sine labore comprehensum

Iudas creatus põtifex societatem belli cũ Romanis coit.

Iudas à Bachide cæditur.

Iudæi desertores pios exagitant.

Ionathas fratri succedit.

Amaræi Ioannis cæsi dãt pœnas.

Delatorum pœna.

tri. Bachides igitur in Iudæam missus, cum omni adhibito studio eam capere non posset: L selectos ex ijs qui rem falsò ad regem detulissent, occidit. Ionathas uerò cum Simone & socijs in turrib. quas in deserto struxerat, se tenebat. Quas dum Bachides oppugnat, fratre Simone in castello relicto, clàm egreditur: & multis ex agro coductis, noctu in hostes impetum facit, ac multos ipse, multos Simon cædit, clàm & ipse castello egressus, obsidionalib. machinis incensis. Ea clade Bachidem mœstum recedendi causam honestam quærere cum intellexisset Ionathas, per legatos illius amicitiam petit. Quam cum Bachides ea conditione accepisset, ut captiuis utrinque redditis, iureiurando affirmarent, neutrum alteri deinceps arma illaturum: digressus, non amplius Iudæos inuasit. Ionathas uerò populariũ remp. securus administrauit, ac supplicium de impijs sumpsit. Cæterum Alexander Antiochi Epiphanis filius, Ptolemaide per proditionem occupata, Demetrium perturbauit, ut copias cõtraheret, & Ionathæ amicitiam societatemque expeteret, potestate data exercitus conscribendi, & pueros obsides à Bachide in castello conclusos recipiendi. Ionathas igitur Hierosolyma profectus, regis epistola populo & militib. præsidiarijs audientib. recitata, pueros ex arce receptos, parentib. restituit, atque urbem renouat, mœnia instaurat. Alexandro quoque societatem eius expetente, & amicitiam suam cum põtificatu, munerib. missis, offerente: pontificia stola in festo tabernaculorum, quarto post Iudæ fratris interitum anno induta, milites & arma parat. Alexander uerò Demetrio acie uicto (nam is in palustrem locum cum equo illapsus, unde emergere haud facilè poterat, ab hostib. circumuentus, & uulnerib. cõfectus, multis prius interfectis, anno regni XI interijt) regno Syriæ potitus, Cleopatram Ptolemæi Philometoris filiam duxit, Ionatha etiam ad nuptias inuitato. Qui cum Ptolemaidem uenisset, tam à Ptolemæo quàm ab Alexandro honorificè est exceptus. Demetrio porrò, defuncti Demetrij filio cum ingentib. copijs ex Creta in Ciliciam profecto: Alexander solicitus Antiochiam properat, ad loca illa in tuto collocanda, Syria Apollonio Dao mandata. Qui cum Ionatha expostulans, quòd solus regi non parêret, obiecta genti ignauia, ad pugnam eum prouocauit. Iis uerbis cõmotus pontifex, prælium cum Apollonio cõmittit: & multis hostium cæsis, atque urbibus Syriæ captis, cum luculenta præda uictor Hierosolyma reuertitur. Quo cognito Alexander Ionathæ nunciari iubet, se gaudere clade Apollonij, qui cõtra suam sententiam ei amico & socio arma intulerit. Sed Ptolemæus Philometor Alexandro classe & pedestrib. copijs opem ferens, Ptolemaide insidijs generi, quas per Ammonium è suis amicis quendam struxerat, penè interisset:

Ionathæ pacificatio cum Bachide, pontificatus, & amicitia regum.

Alexander Antiochi filius Demetrio uicto Syria potitur, & Cleopatram ducit.

Ionathas Apollonium profligat.

Ptolemæi & Alexandri dissidium atque interitus.

λυφθήσεσθαι. καὶ πέμπει τὸν Βακχίδην ὁ βασιλεύς. ὁ δὲ εἰς τὴν Ἰουδαίαν ἐλθὼν, καὶ συλλαβέσθαι τὸν Ἰωνάθην, καίτοι σπουδάσας, οὐχ οἷός τε ὢν, πεντήκοντα ἐκ τῶν περὶ Ἰωνάθην τῷ βασιλεῖ τὴν ἀναφορὰν ποιησάντων τοὺς προκειμένους ὡς ψευσαμένους, ἀπέκτεινεν. Ἰωνάθης δὲ καὶ Σίμων καὶ οἱ περὶ αὐτοὺς, εἰς τὴν ἔρημον ἀνεχώρησαν, ἔνθα πύργους οἰκοδομήσας, προσέμενε· καὶ ὁ Βακχίδης ἐλθὼν, ἐπολιόρκει αὐτόν. Ἰωνάθης δὲ τὸν ἀδελφὸν ἐκεῖ λιπὼν Σίμωνα, αὐτὸς λάθρα ἐξελθὼν, καὶ πολλοὺς ἐκ τῆς χώρας συναγαγὼν, νύκτωρ τῷ Βακχίδῃ καὶ τῷ αὐτοῦ προσέβαλε στρατῷ. καὶ πολλοὺς μὲν αὐτὸς ἀνεῖλε, πολλοὺς δὲ καὶ ὁ Σίμων, ἐπεξελθὼν ἐκεῖνος ἀπὸ τῶν ἐρυμάτων, ἐμπρήσαντες καὶ τὰς πολιορκητικὰς μηχανάς. ἀθυμήσας δὲ διὰ ταῦτα ὁ Βακχίδης, ἤθελεν ἀναζεῦξαι. ἐζήτει δὲ αἰτίαν τῆς ἀναζυγῆς εὐπρεπῆ. καὶ ὁ Ἰωνάθης τοῦτο μαθὼν, πρεσβεύεται περὶ φιλίας, ἵνα ἑκάτεροι ἀλλήλοις ἀποδῶσιν, οὓς εἶχον αἰχμαλώτους. δεξάμενος οὖν τὴν πρεσβείαν ὁ Βακχίδης, συνθέσθαι. καὶ ὤμοσαν μηκέτι κατ' ἀλλήλων στρατεύειν, καὶ τοὺς αἰχμαλώτους ἀλλάξαντο. καὶ ὁ μὲν Βακχίδης ὑποστρέψας, οὐκέτι κατὰ τῆς Ἰουδαίας ἐπῆλθεν. ὁ δὲ Ἰωνάθης ἀδείας τυχὼν, τὰ τῶν ὁμοφύλων διέθετο πράγματα, ἐκόλαζέ τε τοὺς ἀσεβήσαντας. Ἀλέξανδρος δὲ τοῦ Ἐπιφανοῦς Ἀντιόχου υἱὸς τὴν Πτολεμαΐδα ἐκ προδοσίας παραλαβὼν, ἐτάραξε τὸν Δημήτριον, ὥστε καὶ τὰς δυνάμεις ἀθροίζειν, καὶ πέμψαι πρὸς Ἰωνάθην περὶ εὐνοίας καὶ συμμαχίας. ἐπιτρέπει τε αὐτῷ στράτευμα συνιστᾶν, καὶ οὓς ἐν τῇ ἄκρᾳ κατέκλεισεν ὁ Βακχίδης παῖδας ὡς ὁμηρεύοντας, παραχωρεῖ ἀπολαβεῖν. δεξάμενος οὖν τὴν ἐπιστολὴν Ἰωνάθης τοῦ βασιλέως, εἰς Ἱεροσόλυμα παραγένετο· καὶ ταύτην εἰς ἐπήκοον τοῦ λαοῦ καὶ τῶν φυλάκων ἀνέγνω, καὶ τοὺς παῖδας λαβὼν ἐκ τῆς ἀκροπόλεως, τοῖς γονεῦσιν ἀπεδίδου, ἑκάστῳ τὸν ἴδιον. καὶ αὐτὸς ἐν Ἱεροσολύμοις διέτριβε, καὶ νεάζων τὴν πόλιν, καὶ τὰ τείχη αὐτῆς ἀνοικοδομῶν. γράφει δὲ καὶ Ἀλέξανδρος Ἰωνάθῃ, εἰς συμμαχίαν καλῶν αὐτὸν, καὶ φίλον ποιούμενος, καὶ τὴν ἀρχιερωσύνην αὐτῷ παρασχὼν, καὶ δῶρα πεπομφώς. ὁ δὲ δεξάμενος τὴν ἐπιστολὴν, τὴν ἀρχιερατικὴν στολὴν περιβάλλεται κατὰ τὴν τῆς σκηνοπηγίας ἑορτὴν, τεσσάρων ἐκμετρηθέντων ἐνιαυτῶν, ἐξ ὅτου τέθνηκεν Ἰούδας ὁ ἀδελφὸς αὐτοῦ. δύναμίν τε συνήγειρε, καὶ ὅπλα ἡτοίμασε. συμμίξας δὲ τῷ Δημητρίῳ Ἀλέξανδρος, νικᾷ, τοῦ Δημητρίου εἰς τέλμα βαθὺ ἐμπεσόντος μετὰ τοῦ ἵππου, καὶ δυσεκπόρευτον. ἔνθα περιστάντων τῶν πολεμίων αὐτῷ, κατατοξευθεὶς ἔπεσε, πολλοὺς καὶ αὐτὸς ἀνελών. ἔτη δὲ ἐβασίλευσεν ἕνδεκα. τὴν δὲ τῆς Συρίας παραλαβὼν βασιλείαν Ἀλέξανδρος, τὴν τοῦ Πτολεμαίου τοῦ Φιλομήτορος θυγατέρα Κλεοπάτραν ἑαυτῷ εἰς γυναῖκα μνηστεύεται. καὶ τὸν γάμον τελουμένων, ἔγραψεν Ἰωνάθῃ, εἰς Πτολεμαΐδα παραγενέσθαι. ἀφικόμενος δὲ ἐτιμήθη παρά τε Πτολεμαίου, καὶ παρὰ τοῦ Ἀλεξάνδρου. Δημητρίου δὲ τοῦ υἱοῦ τοῦ τελευτήσαντος Δημητρίου καταπλεύσαντος ἐκ Κρήτης εἰς Κιλικίαν μετὰ βαρείας δυνάμεως, ἐναγώνιος ἦν ὁ Ἀλέξανδρος, καὶ ὁ μὲν εἰς Ἀντιόχειαν ἐπανῆλθεν, ἀσφαλισόμενος τὰ ἐκεῖ, τῆς δὲ Συρίας ἐπίτροπον Ἀπολλώνιον τὸν Δάον κατέλιπεν. ὃς πρὸς Ἰωνάθην στείλας, ἄδικον ἔλεγεν εἶναι, μόνον αὐτὸν μὴ ὑπήκοον τῷ βασιλεῖ, καὶ πρὸς μάχην προεκαλεῖτο αὐτὸν, καὶ εἰς ἀνανδρίαν τὸ ἔθνος ὠνείδιζε. τούτοις παροξυνθεὶς ὁ ἀρχιερεὺς, συνάπτει πρὸς Ἀπολλώνιον πόλεμον, καὶ νικᾷ, καὶ πολλοὺς τῶν ἐναντίων ἀναιρεῖ, καὶ πόλεις τῆς Συρίας αἱρεῖ, καὶ μετὰ λείας πολλῆς ἀναζεύγνυσιν εἰς Ἱεροσόλυμα. ὁ δὲ βασιλεὺς Ἀλέξανδρος ταῦτα μαθὼν, πέμπει πρὸς Ἰωνάθην, χαίρειν λέγων ἐπὶ τῇ ἥττῃ Ἀπολλωνίου, ὡς παρὰ γνώμην αὐτοῦ μαχεσαμένου, αὐτῷ φίλῳ καὶ συμμάχῳ ὄντι. ὁ γε μὴν Πτολεμαῖος ὁ Φιλομήτωρ πρὸς συμμαχίαν ἀπιὼν Ἀλεξάνδρου σὺν δυνάμει ναυτικῇ καὶ πεζῇ, ἤδη εἰς Πτολεμαΐδα γενόμενος, μικροῦ ἂν ἐκινδύνευσε, τοῦ Ἀλεξάνδρου αὐτῷ διά τινος τῶν φίλων Ἀμμωνίου ἐπιβουλεύσαντος.

περὶ κλεοπάτρας τῆς θυγατρὸς πτολεμαίου.

διαδρὰς

διαδρὰς δὲ τὴν ἐπιβουλήν, ᾔτει πρὸς κόλασιν τὸν ἀμμώνιον, οὐκ ἐξεδίδου δὲ αὐτὸν ὁ ἀλέξανδρος. ὅθεν γνοὺς ὁ πτολεμαῖος συνίστορα τῆς ἐπιβουλῆς τὸν ἀλέξανδρον, τῆς τε συμμαχίας ἀπέσχετο, καὶ τὴν ἀγχιστείαν διέλυσε. τὴν γὰρ θυγατέρα ἀφαιρεθεὶς αὐτοῦ, διαπέμπεται πρὸς δημήτριον, συμμαχήσειν αὐτῷ ὑπισχνούμενος, καὶ συζεῦξαι τὴν θυγατέρα, καὶ εἰς τὴν πατρῴαν βασιλείαν ἐγκαταστῆσαι. καὶ ὁ δημήτριος ἀσμένως τόν τε γάμον καὶ τὴν συμμαχίαν προσίετο. πτολεμαίῳ δὲ σπούδασμα ἦν πεῖσαι τοὺς ἀντιοχεῖς, δέξασθαι τὸν δημήτριον. καὶ ἦν οὐ χαλεπῶς τὸ σπουδαζόμενον, τῶν ἀντιοχέων μισούντων τὸν ἀλέξανδρον, διά τε τὸν πατέρα αὐτοῦ παρανομήσαντα εἰς αὐτούς, καὶ διὰ τὸν ἀμμώνιον, οἱ ταχέως αὐτὸν ἐκ τῆς ἀντιοχείας ἐξέβαλον. καὶ ὁ μὲν ἐκβληθεὶς ἐκεῖθεν, εἰς κιλικίαν ᾤχετο. οἱ δ' ἀντιοχεῖς τὸν πτολεμαῖον αὐτῶν ἀνεῖπον βασιλέα, καὶ δύο περιθέσθαι ἠνάγκασαν διαδήματα, ἅτε δὴ τῆς συρίας καὶ τῆς αἰγύπτου ἄρχοντα. ὁ δὲ λογισάμενος τὰ μέλλοντα, οἷός τε ὢν διὰ σύνεσιν, ἵνα μὴ δόξῃ τοῖς ῥωμαίοις, ἤδη μέγα δυναμένοις, ἐπίφθονος, πείθει τοὺς ἀντιοχεῖς, δέξασθαι τὸν δημήτριον. τοῦ δὲ ἀλεξάνδρου κατὰ τῆς συρίας ἐλθόντος σὺν πολλῇ στρατιᾷ, καὶ τὴν τῶν ἀντιοχέων χώραν δῃώσαντος, ὁ πτολεμαῖος σὺν δημητρίῳ, ἤδη αὐτῷ τὴν θυγατέρα γαμικῶς ἁρμοσάμενος, ἐστράτευσεν ἐπ' αὐτόν. καὶ ὁ μὲν ἀλέξανδρος ἡττηθεὶς, εἰς ἀραβίαν προσέφυγεν. ὁ δέ γε πτολεμαῖος ἐκ τοῦ ἵππου ἐκπεπτωκὼς, δι' ἐλέφαντος βοὴν ταραχθέντος, καὶ ἐκτινάξαντος αὐτὸν, πολλὰ κατὰ τῆς κεφαλῆς ἐδέξατο τραύματα, τῶν πολεμίων περιστάντων αὐτόν, μόλις δ' ὑπὸ τῶν σωματοφυλάκων ἐξαρπασθεὶς, ἐφ' ἡμέρας ἔκειτο τέσσαρας, μήτε συνιεὶς, μήτε μήν τι φθεγγόμενος. ἀνανήψας δὲ τῇ πέμπτῃ τῶν ἡμερῶν, καὶ τὴν ἀλεξάνδρου δεξάμενος κεφαλὴν, παρὰ τοῦ τῶν ἀράβων δυνάστου πεμφθεῖσαν αὐτῷ, καὶ ἡσθεὶς ἐπὶ τῇ ἐκείνου φθορᾷ, καὶ αὐτὸς μετὰ μικρὸν ἐτελεύτησε. παραλαβὼν δὲ τὴν τῆς ἀσίας βασιλείαν δημήτριος ὁ νικάνωρ, μετὰ ἀλέξανδρον ἔτη βασιλεύσαντα πέντε, ἤρξατο διαφθείρειν τὸ τοῦ πτολεμαίου στρατιωτικόν, τῆς τε συμμαχίας καὶ συγγενείας ἀμνημονήσας. οἱ μὲν οὖν στρατιῶται τὴν πεῖραν ἐκείνου διακρουσάμενοι, εἰς ἀλεξάνδρειαν ἀνεχώρησαν, τῶν δ' ἐλεφάντων ἐκράτησεν. ἰωνάθης δὲ ὁ ἀρχιερεὺς ἐπολιόρκει τὴν τῶν ἱεροσολύμων ἀκρόπολιν, ἔχουσαν φρουρὸν μακεδόνας φρουρούς, καὶ τῶν ἀσεβησάντων ἰουδαίων τινάς· ὧν τινὲς νυκτὸς ἐξελθόντες, τῷ δημητρίῳ τὴν πολιορκίαν ἀπήγγειλαν. καὶ ὃς ἧκε σὺν δυνάμει πρὸς ἰωνάθην, καὶ ἐν πτολεμαΐδι γενόμενος, γράφει αὐτῷ πρὸς αὐτὸν ἀφικέσθαι. ὁ δὲ τὴν πολιορκίαν οὐκ ἔπαυσε, τοὺς ἱερεῖς δὲ καὶ τοὺς τοῦ λαοῦ πρεσβυτέρους παραλαβὼν, καὶ χρήματα πολλὰ κομίζων, ἧκε πρὸς τὸν δημήτριον. καὶ τούτοις αὐτὸν θεραπεύσας, ἔτυχε τιμῆς παρ' αὐτοῦ, καὶ τὴν ἀρχιερωσύνην ἐβεβαιώσατο. ὡς δὲ μηδενὸς ἐπικειμένου πολέμου, τὸν μισθὸν τῶν στρατιωτῶν ἠλάττωσεν ὁ δημήτριος, κἀντεῦθεν ἦν αὐτοῖς μισητός, γνοὺς τὸ πρὸς αὐτὸν μῖσος ἀλεξάνδρου τις στρατηγός, τρύφων ἐπικληθεὶς, πρὸς μάλχον τὸν ἄραβα παραγίνεται, καὶ τὸν παῖδα τοῦ ἀλεξάνδρου ἀντίοχον τρεφόμενον παρ' αὐτῷ ἐζήτει, λέγων ἀποκαταστήσειν αὐτῷ τὴν πατρῴαν ἀρχήν· καὶ ὃς δίδωσι. δημήτριος δὲ πρὸς ἰωνάθην στείλας, συμμαχίαν ἐζήτει, πολλὰς αὐτῷ ἐπαγγελλόμενος χάριτας. πέμπει τοίνυν αὐτῷ τρισχιλίους, δι' ὧν ἐπαναστάντας αὐτῷ τοὺς ἀντιοχεῖς δι' ἀπέχθειαν, ἣν ἔτρεφον, ὅτι κακῶς ἔπασχον ὑπ' αὐτοῦ, ἐτρέψατο, καὶ τὴν πόλιν ἐνέπρησε, καὶ πολλοὺς αὐτῶν ἔκτεινε, μέχρις ἐβιάσθησαν ἀποθέσθαι τὰ ὅπλα, καὶ ἑαυτοὺς αὐτῷ παραδοῦναι. ἡ μὲν οὖν στάσις οὕτως ἐπαύθη. ὁ δὲ τοὺς ἰουδαίους ἀντέπεμψε πρὸς ἰωνάθην, αὐτοὺς μὲν δωρησάμενος, ἐκείνῳ δὲ χάριτας ὁμολογῶν. ὕστερον δὲ καὶ τὰς ὑπο-

Ὁ πτολεμαῖος δύο διαδήματα περιέθετο, τῶν δύο φέρων χωρῶν.

quibus euitatis, dedi sibi postulauit Ammoniū: quod Alexādro detrectante, eum insidiarū fuisse conscium iudicans, & belli societate abstinuit, & affinitatē diremit, & filiam ab eo auulsam, & auxilia Demetrio per legatos pollicetur: quarum conditionū utranque illo alacriter amplexo, Antiochenis persuadere conatus est, ut Demetrium reciperent. idque ob Alexādri odium propter paternas iniurias & Ammoniū, facile impetratum. Illo igitur eiecto, atque in Ciliciam profecto: Antiocheni Ptolemæum regem declararūt, & bina diademata, ut & Aegypti & Syriæ regem, gestare coegerunt. At ille ut homo prudens futura considerans, ne Romanorum odia, quorū opes magnæ essent, susciperet: Antiochenis persuadet, ut Demetrium recipiant: & Alexandrū Syriam cum ingenti exercitu inuadentem, & Antiochenū agrum urentē, Demetrio socio, cui iam filiam despōderat, prælio cōmisso profligat. Alexander itaque uictus, in Arabiam confugit: Ptolemæus, equo elephanti barritu perterrito excussus, & ab hostibus circūdatus, multa in capite uulnera accepit, & à satellitibus ægrè ereptus, quatuor dies sensu & sermone destitutus iacet. Quinto die nonnihil recreatus, & capite Alexandri accepto, ab Arabiæ dynasta misso, interitu inimici delectatus, ipse quoque paulo post obiit. Demetrius Nicanor Asia potitus, cum post Alexandrum annos quinque regnasset, milites Ptolemæi corrumpere cœpit, & societatis & affinitatis immemor: qui cum elusa illius calliditate, Alexandriā redirent, elephantis ipse potitus est. Ionatha ueró arcē Hierosolymitanā, in qua Macedonū & Iudæorum deteriorū præsidium erat, oppugnante: quidam noctu elapsi, Demetrio obsidionem nunciarūt. Is cum exercitu Ptolemaidem profectus, Ionatham per literas ad se accersit. Ille uerò non omissa obsidione, sacerdotibus & populi senioribus assumptis, allataque magna pecunia Demetrium placat: à quo & honos ei habitus est, & pontificia dignitas confirmata. Cum uerò Demetrium rebus pacatis nullum bellum timentem, ob imminuta stipendia, militum odia suscepisse, quidā ex Alexādri ducibus Triphon cognouisset, à Malcho Arabe Alexandri filiū Antiochū, qui ibi educabatur, aufert, quòd ei paternum imperium se uelle restituere diceret. Demetrius autē Ionathæ societate multis pollicitationibus impetrata, ac tribus millibus militum ab eo acceptis, Antiochenos, qui ob acceptas iniurias succensentes, seditionem mouerant, in fugam uertit, urbē incendit, multos occidit: donec arma ponere, & se illius fidei permittere, sunt coacti. Seditione hoc modo compressa, Iudæos donis affectos Hierosolyma remisit, Ionathæ gratias egit. Sed pòst adeó pro-

Demetrius Nicanor Asiæ rex.

Demetrius Antiochenam seditionē Ionathæ ope sedat.

Ionathas se cū Tryphone & Antiocho contra Demetriū coniungit.

missis nō stetit, ut & bellum ei minatus fuerit: idq; re ipsa intulisset, nisi Tryphon ex Arabia in Syriam reuersus, Antiochum tum adolescentulum diademate ornasset, ac Demetrio bellum intulisset, acceptis ijs militibus, qui ob stipendiorum imminutionem illum reliquerant. Is Tryphon prælio uictor, cum Antiochiam & elephantes cæpisset, Demetrius in Ciliciam abit. Ionathas uerò ab Antiocho puero ad belli societatem accersitus, ei se & socium & amicum fore, & Demetrio bellum illaturum pollicetur. & rem statim aggressus, effecit, ut multæ urbes Syriacæ à Demetrio ad illum deficerent. Deinde Simone fratre in Iudæa relicto, contra Demetrij duces est profectus. Simon quoque Besura Iudææ oppidum, in quo Demetrij præsidium erat, in eas angustias obsidione compulit, ut fide accepta milites discederent, & suum illi præsidium imposuit. Ionathas uerò Demetrij ducibus profligatis, & ad duo millia hostium cæsis, Hierosolyma reuersus, legatos Romam misit ad pristinam amicitiam renouandam.

Ionathæ Romanum & Spartanum fœdus

Qui prioribus decretis à senatu confirmatis, in reditu Spartam uenerunt (nam id quoque mandarat Ionathas) & à Spartanis amanter excepti sunt, Iudæis amicitia & societate promissa. Demetrij duces acceptam cladem resarcire cupientes, maiores copias contra Ionatham eduxerunt: qui cum repentè eis occurrisset, non ausi aperto Marte cum eo congredi, noctu fugerunt. quos cum fuga cognita interdiu persequens non adeptus esset, ex Arabia Nabathæorum magna præda & multis captiuis abductis recedit: ac populo conuocato suadet, ut urbis mœnia renouent, & ruinas murorum templi restituant. Eo consilio omnibus probato, ipse ei operi intentus, Simonem fratrem ablegat, ut regionem in tuto collocet.

Demetrius à Parthis capitur.

Demetrius in Mesopotamiam profectus, ut Babylonem & superiores satrapias acciperet, ab incolis Græcis & Macedonibus deditionem, & operam ad debellandum Arsacem Parthorum regem pollicentibus, susceptus: prælio cum Parthis commisso, omnibus copijs amissis, ipse capitur.

Tryphon Ionatham per insidias occidit.

Eo Demetrij casu cognito, Tryphon cupiditate regni occupādi, uitę Antiochi insidiatur. Sed quia Ionathæ amicitiam cum rege formidabat, eo prius per dolum capto, tum demum inuadere Antiochum in animo habebat. Itaq; Scythopolim abit, ubi Ionatham cum quadraginta bellicosorū millibus obuiā egressum fraude circumuenit, muneribus & honoribus conciliatum, ut omni suspicione adempta, incautum opprimeret. Suadet igitur, ut exercitū missum faciat. Nam se paulo post cum ipso Ptolemaidem iturum, ad urbem & omnia circumiacentia castella accipienda. Ionathas nihil mali suspi-

χέσεις ἐψεύσατο, καὶ πόλεμον ἀπείλησεν αὐτῷ. καὶ ἤγαγεν ἂν εἰς ἔργον τὰς ἀπειλάς, εἰ μὴ Τρύφων ἐκ τῆς Ἀραβίας εἰς τὴν Συρίαν ἐπανελθὼν, τῷ Ἀντιόχῳ μειρακίῳ τότε τυγχάνοντι, διάδημα περιέθετο, καὶ πόλεμον πρὸς τὸν Δημήτριον συνεκρότησε, προσχωρησάντων αὐτῷ τῶν στρατιωτῶν, οἳ διὰ τὴν μείωσιν τοῦ μισθώματος καταλελοίπασι τὸν Δημήτριον· ὑπερτερὸς οὖν ὁ Τρύφων ἐν τῇ μάχῃ γενόμενος, καὶ τὴν Ἀντιόχειαν λαμβάνει, καὶ τοὺς ἐλέφαντας. ὁ δὲ Δημήτριος εἰς Κιλικίαν ἀπῆλθε, καὶ ὁ παῖς Ἀντίοχος εἰς συμμαχίαν τὸν Ἰωνάθην μετεκαλέσατο. ὁ δὲ φίλος εἶναι καὶ σύμμαχος ὡμολόγει, καὶ πολεμήσειν τῷ Δημητρίῳ κατέθετο, καὶ ὥρμησε πρὸς ἔργον εὐθύς. καὶ παρευθὺ πόλεις πολλὰς προσχωρῆσαι τῷ Ἀντιόχῳ πεποίηκεν, ἀποστάσας τοῦ Δημητρίου, εἶτα τὸν ἀδελφὸν Σίμωνα ἐν τῇ Ἰουδαίᾳ καταλιπὼν, κατὰ τῶν τοῦ Δημητρίου ἐχώρησε στρατηγῶν. καὶ ὁ Σίμων Βέθσουρα ἐπολιόρκει, τῆς Ἰουδαίας χωρίον, ὑπὸ τῶν τοῦ Δημητρίου κατεχόμενον, οἱ τῇ πολιορκίᾳ στενοχωρηθέντων, πίστεις λαβόντων, ἐξέλιπον τὸ χωρίον, καὶ φρουρὰν ἰδίαν ὁ Σίμων κατέστησεν ἐν αὐτῷ. Ἰωνάθης δὲ τοῖς στρατηγοῖς συμμίξας τοῦ Δημητρίου, εἰς φυγήν τε αὐτοὺς τρέπεται, καὶ περὶ δισχιλίους ἀνελὼν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. καὶ εἰς Ῥώμην πρεσβείαν ἐποιήσατο, τὴν προτέραν φιλίαν ἣν πρὸς τὸ ἔθνος εἶχον, ἀνανεώσασθαι. οἱ δὲ τῆς βουλῆς τὰ πρότερον ἐψηφισμένα καὶ αὖθις ἐκύρωσαν. ἐπανερχόμενοι δὲ οἱ πρέσβεις, καὶ εἰς τὴν Σπάρτην ἀφίκοντο, καὶ τοῦτο ἐντεταλμένον ἔχοντες παρὰ τοῦ Ἰωνάθου. καὶ οἱ Σπαρτιᾶται δὲ τοὺς πρεσβεύοντας φιλοφρόνως προσήκαντο, καὶ ψήφισμα περὶ φιλίας καὶ συμμαχίας πρὸς Ἰουδαίους ἔθεντο. τοῦ Δημητρίου μέντοι οἱ στρατηγοὶ τὴν ἧτταν ἀναμαχέσασθαι βουλόμενοι, μετὰ δυνάμεως πλείονος ἦλθον κατὰ τοῦ Ἰωνάθου. ὁ δὲ αὖθις αὐτοῖς ὀξέως ἀπήντησε. ἀποδειλιάσαντες δὲ πρὸς φανερὰν μάχην ἀντικαταστῆναι αὐτῷ, νυκτὸς ἔφυγον. μεθ' ἡμέραν δὲ γνοὺς τὴν φυγὴν Ἰωνάθης, ἐπεδίωξε μὲν, οὐ κατέλαβε δέ· ἀλλ' εἰς Ἀραβίαν ἐλθὼν, καὶ τοῖς Ναβαταίοις ἐπελθὼν, καὶ λείαν ἐκεῖθεν ἀπελάσας πολλὴν, καὶ αἰχμαλώτους λαβὼν, ἐπανῆλθε. συναγαγὼν δὲ τὸν λαὸν, συνεβούλευε τὰ τείχη τῶν Ἱεροσολύμων ἀνακαινίσαι, καὶ ἀνορθῶσαι ὅσον τοῦ περιβόλου τοῦ ἱεροῦ καθῄρητο. καὶ ἀρεσάσης πᾶσι τῆς συμβουλῆς, αὐτὸς μὲν ἔργου εἴχετο. τὸν δὲ ἀδελφὸν Σίμωνα ἔπεμψε, τὴν χώραν ἀσφαλισόμενον. ὁ δέ γε Δημήτριος εἰς Μεσοποταμίαν ἧκεν, ὡς τὴν Βαβυλῶνα καὶ τὰς ἄνω σατραπείας παραληψόμενος. οἱ γὰρ ταύτας κατοικοῦντες Ἕλληνες καὶ Μακεδόνες, παράδοσιν ἑαυτῶν αὐτῷ ἐπηγγέλλοντο, καὶ συγκαταπολεμήσειν Ἀρσάκην τὸν Πάρθων βασιλέα. καὶ ἐδέξαντο τοίνυν αὐτόν. καὶ τῷ Ἀρσάκῃ συμβαλὼν, τὴν ἅπασαν ἀπέβαλε στρατιάν, καὶ αὐτὸς ἐλήφθη. Τρύφων δὲ γνοὺς τοιαῦτα τὰ περὶ τὸν Δημήτριον, ἐπιβουλεύει τῷ Ἀντιόχῳ, ἀποκτεῖναι αὐτὸν μελετῶν, καὶ τὴν ἀρχὴν σφετερίσασθαι. ἐδεδίει μέντοι τὸν Ἰωνάθην, ὄντα φίλον τῷ Ἀντιόχῳ. καὶ ἐσπούδαζεν αὐτὸν πρῶτον ἀπάτῃ ἑλεῖν, καὶ οὕτως ἐπιχειρῆσαι τοῖς κατὰ τὸν Ἀντίοχον. διὸ καὶ εἰς Σκυθόπολιν ἄπεισιν, ἔνθα καὶ Ἰωνάθης αὐτῷ σὺν τέσσαρσι μυριάσι μαχίμων ἀπήντησεν. ὁ δὲ ὑπούλως αὐτὸν ὑποδέχεται, δώροις τε καὶ τιμαῖς δεξιούμενος, πᾶσαν θέλων ὑπόνοιαν ἐξελεῖν, ἵν' αὐτὸν ἀφύλακτον λάβοιτο. καὶ συνεβούλευε τὴν μὲν στρατιὰν ἀπολῦσαι, αὐτὸς δὲ μετ' ὀλίγον εἰς Πτολεμαΐδα συναφικέσθαι αὐτῷ, τὴν πόλιν παραληψόμενος, καὶ τἆλλα τὰ ἐκεῖ ὀχυρώματα. καὶ Ἰωνάθης μηδὲν ὑποτοπήσας,

πάσας, τὸ στράτευμα ἔπεμψε. χιλίους δ' ἔχων μόνους ἀπῄει. εἰς δὲ Πτολεμαΐδα κατακλεισθεὶς, αὐτὸς μὲν ζωγρεῖται, οἱ δὲ σὺν αὐτῷ διαφθείρονται. ἅπερ οἱ ἐν Ἱεροσολύμοις μαθόντες, εἰς δέος ἐνέπεσον διὰ τὰ πέριξ ἔθνη, ἀγνοοῦντα τὴν Ἰωνάθου σύλληψιν, κατὰ τῶν Ἰουδαίων κεκίνηντο. Σίμων δὲ τὸ πλῆθος ὁμιλήσας, καὶ παραθαρρύνας αὐτὸ, ἡγεμὼν ὑπ' αὐτοῦ αἱρεῖται, καὶ συναθροίσας τὸ μάχιμον τοῦ λαοῦ, τῶν τειχῶν ἐπεμελεῖτο τῆς πόλεως, καὶ πάντων τῶν πρὸς ἀσφάλειαν τῶν πραγμάτων ἐφρόντιζεν. ὁ μέντοι Τρύφων εἰς Ἰουδαίαν ἀφῖκτο, καὶ τὸν Ἰωνάθην δέσμιον ἄγων, καὶ ὁ Σίμων αὐτῷ σὺν δυνάμει ἀπήντησεν. ὁ δὲ πρὸς αὐτὸν ἔπεμψε, δηλῶν, ἑκατὸν ἀργυρίου τάλαντα δοῦναι, καὶ δύο τῶν Ἰωνάθου παίδων ὁμήρους, εἰ βούλεται λυθῆναι τὸν ἀδελφόν. ὁ Σίμων δὲ συνῆκε μὲν τὴν κακουργίαν τοῦ Τρύφωνος, ἵνα δὲ μὴ αἰτίαν σχοίη, ὡς μὴ θέλων σῶσαι τὸν ἀδελφὸν, καὶ τὰ χρήματα ἔπεμψε, καὶ τοὺς παῖδας. ἃ λαβὼν ὁ Τρύφων, οὐκ ἐφύλαξε τὰς συνθήκας, ἀλλὰ μετὰ τῆς στρατιᾶς αὐτίκα πρὸς τὰ Ἱεροσόλυμα. παρωμάρτει δὲ καὶ ὁ Σίμων, ἀεὶ ἐναντίον καταστρατοπεδευόμενος. χιὼν δὲ πολλὴ πεσοῦσα, διεκώλυσεν αὐτῷ τὴν εἰς Ἱεροσόλυμα ἄφιξιν, καὶ εἰς Συρίαν ἐτράπετο. καὶ ἀπιὼν, τὸν Ἰωνάθην ἀπέκτανε. Σίμων δὲ, θανόντος τοῦ ἀδελφοῦ Ἰωνάθου, μετὰ τριετίαν τῆς ἀρχιερωσύνης, αὐτὸς ἀρχιερεὺς ὑπὸ τοῦ πλήθους προβέβληται, καὶ οὐκέτι φόρους τοῖς Μακεδόσι παρεῖχε. ηὐτύχησε δὲ τὸ ἔθνος ἐπ' αὐτοῦ σφόδρα, καὶ τῶν τε περιοίκων ἐθνῶν ἐκυρίευσαν, καὶ πολλὰς τῶν πόλεων κατεστρέψαντο, ἵνα μὴ εἶεν τοῖς ἐχθροῖς ὁρμητήρια. καὶ τὸ ὄρος, ἐφ' οὗ ἡ ἀκρόπολις ᾠκοδόμητο, λίαν ὂν ὑψηλὸν ἐν τρισὶν ἔτεσιν ἐνδελεχῶς πονούμενοι, εἰς πεδιάδα μετῆνεγκαν, ὡς ἂν εἴη τὸ ἱερὸν ὑπερκείμενον. ὁ δέ γε Τρύφων τὸν Ἀντίοχον, ὃς καὶ Θεὸς ἐπεκλήθη, τέσσαρα βασιλεύσαντα ἔτη, διέφθειρεν, ἐπιτροπεύων αὐτοῦ. καὶ τὸν μὲν ὡς ἀποθάνοι διήγγελλε, τοῖς δὲ στρατιώταις ἐπηγγέλλετο χρήματα, εἰ αὐτὸν βασιλεύσουσιν. οἱ κερδανεῖν πολλὰ ἐλπίσαντες, εἵλοντο αὐτὸν ἄρχοντα. λαβὼν δὲ τὴν βασιλείαν ὁ Τρύφων, ἀπελύετο τὴν ὑπόκρισιν, καὶ μισεῖν αὐτὸν τὸ στρατιωτικὸν, πρὸς Κλεοπάτραν ἀφίκετο, τὴν τοῦ Δημητρίου γυναῖκα, ἐγκεκλεισμένην ἐν Σελευκείᾳ τυγχάνουσαν. ἀλωμένου δὲ Ἀντιόχου, ὃς ἐκαλεῖτο Σωτὴρ, Δημητρίου δὲ ἦν ἀδελφὸς, καὶ ἐκκλειομένου πανταχόθεν διὰ Τρύφωνα, πέμπει πρὸς αὐτὸν ἡ Κλεοπάτρα, καλοῦσα ἐπὶ γάμῳ καὶ βασιλείᾳ. ἐδεδίει γὰρ, μὴ τὴν πόλιν οἱ Σελευκεῖς τῷ Τρύφωνι δώσουσι. γενόμενος οὖν ἐν τῇ Σελευκείᾳ ὁ Ἀντίοχος, κατὰ τοῦ Τρύφωνος ὥρμησε· καὶ νικήσας αὐτὸν, τῆς ἄνω Συρίας ἐξέβαλε, καὶ εἴς τι φρούριον καταφυγόντα ἐπολιόρκει, καὶ τὸν ἀρχιερέα Σίμωνα εἰς φιλίαν προσεκαλεῖτο. ὁ δὲ ἐδέξατο τὴν πρόκλησιν, καὶ τοῖς πολιορκοῦσι τὸν Τρύφωνα τροφὰς ἐχορήγησε. φυγὼν δ' ἐκεῖθεν ὁ Τρύφων, καὶ γενόμενος εἰς Ἀπάμειαν, πολιορκηθεὶς ἐλήφθη, καὶ διεφθάρη, ἐπ' ἔτεσι βασιλεύσας τρισίν. ὁ Ἀντίοχος δ' ἀλήθην τῶν ὑπὸ Σίμωνος αὐτῷ γενομένων ποιησάμενος, Κενδεβαῖον, τὴν Ἰουδαίαν πορθῆσαι, καὶ τὸν Σίμωνα κατασχεῖν ἐνεταλμένος. Σίμων δὲ αὐτῷ ἀντιπαραταξάμενος, νικᾷ. καὶ ἀρχιερατικῶς τὸ λοιπὸν διῆγε τῆς ζωῆς, ἄρξας τῆς Ἰουδαίας ἔτη ὀκτώ. τελευτᾷ δὲ, ἐκ Πτολεμαίου τοῦ γαμβροῦ ἐπιβουλευθείς. καὶ ἡ γυνὴ τοῦ Σίμωνος, καὶ οἱ δύο παῖδες συλληφθέντες, ἐδέθησαν. ὁ δὲ τρίτος Ἰωάννης διέφυ-

[Margin notes, Greek:] ὅτι ὄρος κα- [illegible] ὑψηλὸν, διὰ τὸ μὴ ὑπερέχειν τοῦ ἱεροῦ. περὶ ἀντιόχου τοῦ ἐπικληθέντος θεοῦ.

suspicatus, exercitum dimittit: ac mille duntaxat uiris retentis, Ptolemaide conclusus, capitur, comites eius occiduntur. Quæ Hierosolymis nunciata, populo terrorem incusserunt, ob gentes finitimas, Ionatha capto, contra Iudæos tumultuantes. Sed Simon oratione habita, populum confirmat: ab eo'que dux electus, militiæ idoneis conuocatis, mœnibus urbis, & omnibus quæ ad securitatem pertinerent, curatis: Tryphoni Ionatham captiuum in Iudæam adducenti, cum exercitu occurrit. ei'que, centum argenti talenta, & duos Ionathæ filios obsides postulanti, si fratrem solui uellet: etsi hominis improbitatem intelligebat, tamen, ne sibi fratris salus neglecta crimini daretur, & pecuniam & pueros misit. Quibus Tryphon acceptis, pactis non stetit: sed cum exercitu Hierosolyma contendit, subsequente Simone, & ex aduerso castra locante. Verum copia niuis impeditus, in Syriam conuerso itinere, Ionatham interfecit. Fratre post tertium annum pontificatus mortuo, Simon populi suffragijs pontifex declaratus, Macedonibus tributa pensitare destitit. Ac Iudaica gens sub eius principatu perquàm fortunata fuit, & finitimis populis dominata, multas urbes euertit, ne hostiũ receptacula essent: montem altissimum, in quo arx ædificata fuerat, continenti triennij labore in planiciem redegit, ut templum emineret. Tryphon autem Antiochum cognomento Deum, cuius tutor erat, quarto regni anno interfecit, & eum esse mortuum uulgabat: & militibus pecuniam pollicebatur, si se regem creassent. qui spe magni lucri impulsi, uoluntati eius satisfecerunt. Sed Tryphon uoti compos factus, simulatione detecta, militum animos a se alienauit, ut eo deserto ad Cleopatram, Demetrij uxorem, Seleuciæ inclusam irent. Quæ Antiochum oberrantem, qui Seruator uocabatur, Demetrij fratrem, atque ob Tryphonem passim exclusum, spe nuptiarum & regni ad se accersiuit: uerita, ne Seleuciani urbem Tryphoni traderent. Qui cum Seleuciam uenisset, cõtra Tryphonem proficiscitur: eum'que uictum, & Syria superiore eiectum, in castello quodam, quò confugerat, obsidet, Simone pontifice ad amicitiam suam inuitato. quam ille amplexus, cibaria militibus suppeditat. Sed Tryphon, cum inde Apameam profugisset, urbe expugnata, captus occiditur, eum triennium regnasset. Antiochus uerò meritorum Simonis oblitus, Cendebæum ad uastandam Iudæam, & Simonem comprehendendum mittit: quo Simon deuicto, reliquum ætatis pacatè exegit, cum Iudææ annos VIII præfuisset. Perijt autem insidijs Ptolemæi generi sui, uxore & duobus filijs in uincula coniectis. Nam tertius Ioannes, qui etiam

[Margin notes:] *Simon Ionathæ fratris successor, feliciter imperat.* *Antiochus Deus à Tryphone cæditur.* *Antiochus Demetrij frater Cleopatra ducta, Tryphonem occidit.* *Simon Cendebæo superato insidijs Ptolemæi occiditur.*

Hyrcanus Antiocho Pio urbem dedit.

tiam Hyrcanus uocabatur, effugerat: & ob paterna beneficia ab Hierosolymitis receptus est, Ptolemaeo non admisso. Is paterno sacerdotio potitus, Ptolemaeo bellum intulit, in castello Dagone agenti: ac ut obsidione praeualebat, sic misericordia matris & fratrum uincebatur. quos Ptolemaeus in murum productos, in conspectu illius cruciabat: quamuis matre obtestante, ne sua causa segnius ageret. Dum obsidio ita trahitur, septimus annus instat, quo Iudaeis ocium agere solitum est. ea'que de causa bello intermisso, Ptolemaeus occisa matre & fratribus Hyrcani, ad Zenonem Cotylam Philadelphiae tyrannum confugit. Antiochus uero Simoni ob acceptam cladem iratus, Iudaeam inuasit: & agros populatus, Hyrcanum obsidet, ex turribus altissimis, quas ad Septentrionem excitarat, impetum in moenia faciens. Sed nihil proficiebat, tum ob defensorum fortitudinem, tum ob murorum firmitatem, aquarum'que copiam ex imbre modo collectam. Caeterum Hyrcanus ueritus, ne commeatu deficeretur, bellicosis duntaxat retentis, reliquam multitudinem urbe expulit: qui cum ab Antiocho abire non finerent, extra moenia moriebantur. Quos, ij qui intus erant, miserati, in urbem receperunt. Sed cum festum tabernaculorum instaret, Hyrcanus ab Antiocho septem dierum inducias, ad festum celebrandum, petijt: quas ille non modo concessit, sed & uictimas sumptuosas cum donarijs misit, ob eam pietatem Pij cognomentum adeptus. Quae eadem Hyrcano causa fuit, ut per legatos ab illo peteret, ut patriam suis ciuibus Rempublicam restitueret. Cui respondit Antiochus, si arma traderent, & de ciuitatibus extra Iudaeam sitis tributa penderent, & praesidium acciperent, se & bello abstinere, & postulatis eorum annuere uelle. Iudaei uero caetera amplexi, praesidium repudiarunt: ac pro eo dederunt obsides, argenti'que talenta quingenta. Hac ratione mitigato Antiocho, soluta'que obsidione, Hyrcanus e monumento Dauidis tria millia talentum deprompsit: inita'que cum Antiocho amicitia, eum in urbem recepit, & contra Parthos ducentem comitatus est. ubi cum Arsace congressus Antiochus, cum maiore parte exercitus & ipse perijt. Ei in regno Syriae Demetrius frater, sub expeditionem Antiochi solutus ab Arsace, successit.

Antiochi Pij interitus.

Hyrcanus Syriae & Idumaeae urbes subigit, Samariam delet.

Caeterum post Antiochi interitum, Hyrcanus multas Syriacas urbes, Idumaeae multas caepit: & subactis Idumaeis, ea conditione in patria uersari concessit, si circumciderentur, & moribus Iudaicis uterentur. Qui amore natalis soli, & circumcisionem, & reliqua tolerarunt.

Demetrij et Antiochi Zebinae interitus.

Cum autem Demetrius bellum inferre Hyrcano statuisset, ea re impeditus est, quod Syri & milites, eius improbitatem detestati, per caduceatores a Ptolemaeo Physcone petierant, ut sibi ex Seleuci familia daret aliquem, qui regnum susciperet. Is Alexandrum Zebi-

διέφυγεν, ὃς καὶ ὑρκανὸς ἐκαλεῖτο. καὶ προσεδέχθη παρὰ τῶν ἱεροσολυμιτῶν διὰ τὰς τοῦ πατρὸς εὐεργεσίας, ἀπωσαμένων ἐλθόντα τὸν πτολεμαῖον. ἀπολαβὼν δὲ τὴν πάτριον ἱερωσύνην ὁ ὑρκανός, ἐπὶ τὸν πτολεμαῖον ἐστράτευσεν, ἐν φρουρίῳ τινὶ δαγὼν λεγομένῳ ὄντα. καὶ ἐκράτει μὲν τῇ πολιορκίᾳ, ἡττᾶτο δὲ τοῦ πρὸς τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς οἴκτου. ὁ γὰρ πτολεμαῖος ἀνάγων ἐπὶ τὸ τεῖχος αὐτούς, ἐξ ἀπόπτου ᾐκίζετο· ἡ μέντοι μήτηρ ἱκέτευε, μὴ μαλακίζεσθαι δι' αὐτήν. τριβομένης δ' οὕτω τῆς πολιορκίας, ἐνίσταται τὸ ἕβδομον ἔτος, καθ' ὃ ἔθος ἐστὶ τοῖς ἰουδαίοις ἀργεῖν. καὶ διὰ τοῦτο πτολεμαῖος ἀνεθεὶς τοῦ πολέμου, κτείνει τὴν μητέρα τοῦ ὑρκανοῦ, καὶ τοὺς ἀδελφούς, καὶ φεύγει πρὸς ζήνωνα τὸν κοτυλᾶν, τὸν τῆς φιλαδελφείας τύραννον. ἀντίοχος δὲ χαλεπαίνων τῷ σίμωνι, δι' ἃ πέπονθε, τῇ ἰουδαίᾳ ἐπῆλθε, καὶ τὴν χώραν καταδραμών, ἐπολιόρκει τὸν ὑρκανόν. καὶ πύργους ἀνεγείρας ὑψηλοτάτους κατὰ τὸ βόρειον μέρος τῆς πόλεως, ἐξ αὐτῶν τῷ τείχει προσέβαλλεν. ἤνυε δ' οὐδέν, διά τε γενναιότητα τῶν ἔνδον, καὶ διὰ ὀχυρότητα τῶν τειχῶν, καὶ ὕδατος ἀφθονίαν, ἐξ ἐπομβρίας ἄρτι συμβᾶσαν. δείσας δὲ ὁ ὑρκανός, μὴ ἐπιλίπωσιν αὐτοὺς τὰ ἀναγκαῖα, μόνον τὸ μάχιμον τοῦ πλήθους ἀπολεξάμενος, τοὺς ἄλλους ἐξῶσε τῆς πόλεως. οὓς ὁ ἀντίοχος ἀπελθεῖν ἐκεῖθεν οὐκ εἴα· οἱ καὶ ἔξω τῶν τειχῶν προσμένοντες, διὰ τοῦτο ἀπέθνησκον. οἱ δ' ἔνδον ἐλεήσαντες αὐτούς, εἰσεδέξαντο αὖθις. τῆς σκηνοπηγίας δ' ἐνστάσης, ὁ ὑρκανὸς στείλας πρὸς τὸν ἀντίοχον, ἀνοχὴν ἐζήτει γενέσθαι, διὰ τὴν ἑορτὴν ἐφ' ἡμέρας ἑπτά. ὁ δὲ καὶ τὴν ἀνοχὴν ἔδωκε· καὶ θυσίαν πολυτελῆ σὺν ἀναθήμασιν ἔπεμψεν, ὃν διὰ τὴν πρὸς τὸ θεῖον εὐσέβειαν καὶ εὐσεβῆ ἐκάλεσαν. γνοὺς δὲ τὴν πρὸς τὸν θεὸν τοῦ ἀντιόχου αἰδῶ ὑρκανός, ἐπρεσβεύσατο, τὴν πάτριον αὐτοῖς ἀποδοθῆναι πολιτείαν αἰτούμενος. ὁ δέ, εἰ παραδοῖεν τὰ ὅπλα, εἶπε, καὶ φόρους τελοῖεν ὑπὲρ τῶν ἄλλων κατάσχοιντο πόλεων, ἄτερ τῆς ἰουδαίας, καὶ φρουρὰν δέξαιντο, καὶ τοῦ πολέμου ἀφέξεσθαι, καὶ τἆλλα ποιήσειν, ἃ ἀξιοῦσιν. ἰουδαῖοι δὲ τὰ μὲν ἄλλα ἐδέχοντο, ἐπὶ δὲ τῇ φρουρᾷ οὐ κατένευον, ἀλλ' ἀντὶ ταύτης ὁμήρους ἐδίδοσαν, καὶ ἀργυρίου τάλαντα πεντακόσια. ἐνδόντος δ' ἐπὶ τούτοις τοῦ ἀντιόχου, ἡ πολιορκία ἐλύθη. ὑρκανὸς δὲ τὸν τοῦ δαβὶδ ἀνοίξας τάφον, τρισχίλια ἐκεῖθεν ἀργυρίου τάλαντα ἔλαβε. φιλίαν δὲ πρὸς ἀντίοχον ποιησάμενος, ἐν τῇ πόλει αὐτὸν εἰσεδέξατο. καὶ ἐπὶ πάρθους στρατεύοντι συνεξώρμησεν, ἔνθα τῷ ἀρσάκῃ πολεμήσας ἀντίοχος, τῷ πλείονι τῆς στρατιᾶς καὶ αὐτὸς συναπώλετο. γίνεται δὲ τῆς τῶν σύρων βασιλείας διάδοχος ὁ ἀδελφὸς αὐτοῦ δημήτριος, λύσαντος ἀρσάκου αὐτόν, ἡνίκα τοῖς πάρθοις ἐπῆλθεν ἀντίοχος. ὑρκανὸς δὲ ἀντιόχου θανόντος, πολλὰς τῶν τῆς συρίας πόλεων εἷλε, καὶ τῆς ἰδουμαίας ἑτέρας. καὶ ὑποτάξας τοὺς ἰδουμαίους, ἐπέτρεπεν αὐτοῖς τὸ ἐν τῇ χώρᾳ διατρίβειν, εἰ περιτέμνοιντο, καὶ χρῷντο ἔθεσιν ἰουδαϊκοῖς. οἱ δὲ διὰ τὰς πατρίδας ἔρωτα τὴν περιτομὴν καὶ τἆλλα ὑπέμειναν. δημήτριος δὲ στρατεύειν ἐγνωκὼς ἐπὶ ὑρκανόν, ἀνεκόπη, τῶν σύρων καὶ τῶν στρατιωτῶν μισούντων αὐτὸν διὰ πονηρίαν, καὶ διακηρυκευσαμένων πρὸς πτολεμαῖον τὸν φύσκωνα, δοῦναι αὐτοῖς τινὰ τῶν ἐκ σελεύκου προσηκόντων, τῆς βασιλείας ἀντιληψόμενον. ὃς ἀλέξανδρον ἔπεμψε, τὸν λεγόμενον

ἴσα γυναικὸς μητρῴαν.

ζεβινᾶ. μάχης οὖν μέσον αὐτοῦ καὶ δημητρίου συγκροτηθείσης, τρέπεται δημήτριος, καὶ φεύγει εἰς πτολεμαΐδα. μὴ δεχθεὶς δὲ παρὰ κλεοπάτρας τῆς γυναικὸς, εἰς τύρον ἀπῆλθε. ἁλοὺς δὲ, καὶ πολλὰ παθὼν, διεφθάρη. ἀλέξανδρος δὲ τὴν βασιλείαν παραλαβὼν, φιλίαν ποιεῖται πρὸς ὑρκανόν. στασιάσαντος δὲ αὐτῷ ἀντιόχου τοῦ γρυποῦ, τοῦ παιδὸς δημητρίου, ἡττηθεὶς, ἐν τῇ μάχῃ ἀπώλετο. βασιλεὺς δὲ συρίας ὁ ἀντίοχος οὗτος γενόμενος, ἐπὶ πολλοῖς ἔτεσι μετὰ τοῦ ἀδελφοῦ ἀντιόχου, τοῦ ἐπικληθέντος κυζικηνοῦ, ὅτι ἐν κυζίκῳ ἐτράφη, περὶ τῆς βασιλείας ἐμάχετο. ἦν δὲ οὗτος υἱὸς ἀντιόχου τοῦ θανόντος ἐν πάρθοις, τοῦ ἀδελφοῦ δημητρίου, ὡς ἑτεροθαλὴς ἀδελφὸς ὑπάρχων τοῦ γρυποῦ ἀντιόχου. ἡ γὰρ κλεοπάτρα τοῖς δυσὶ συνῴκησεν ἀδελφοῖς, τῷ δημητρίῳ δὲ πρότερον, καὶ τῷ ἀντιόχῳ μετέπειτα, ὥς που γεγράφαμεν. καὶ ἐκ μὲν δημητρίου τὸν γρυπὸν ἀντίοχον ἔτεκεν· ἐξ ἀντιόχου δὲ τοῦ σωτῆρος τοῦ ἀδελφοῦ δημητρίου, τὸν κυζικηνὸν ἀντίοχον ἐγέννατο. ἐν ὅσῳ δ' οὗτοι πρὸς ἀλλήλους ἐμάχοντο, ὁ ὑρκανὸς ἠρέμει, καὶ καταφρονήσας τῶν ἀντιόχων ἀπέστη, μηδὲν ἔτι παρέχων αὐτοῖς· καὶ κατὰ πολλὴν εὐκαρποῦντο τὴν ἰουδαίαν, ὡς ἄπειρόν τι πλῆθος χρημάτων συναγαγεῖν. στρατεύσας δὲ καὶ ἐπὶ σαμάρειαν, ἐπολιόρκει αὐτὴν, διὰ τῶν υἱῶν αὐτοῦ ἀριστοβούλου καὶ ἀντιγόνου. λιμοῦ δὲ τὴν πόλιν πιέζοντος, οἱ σαμαρεῖς εἰς συμμαχίαν μετεκαλέσαντο τὸν ἀντίοχον τὸν κυζικηνὸν, ὃς τοῖς περὶ ἀριστόβουλον συμβαλὼν ἡττᾶται. εἶτ' αὖθις συλλέξας πλῆθος, τὴν χώραν ἐπόρθει τοῦ ὑρκανοῦ, ἵν' οὕτως ἀναγκάσῃ αὐτὸν λῦσαι τὴν πολιορκίαν. πολλοὺς δὲ τῶν σὺν αὐτῷ ἐκβάλλων, ἀπῆρεν εἰς τρίπολιν. ὑρκανὸς δὲ τὴν σαμάρειαν ἑλὼν, πᾶσαν ἠφάνισε. λέγεται δὲ, καθ' ἣν ἡμέραν οἱ υἱοὶ αὐτοῦ τῷ ἀντιόχῳ ἐμάχοντο, αὐτὸς ὡς ἀρχιερεὺς μόνος ἐν τῷ ναῷ θυμιῶν, ἀκοῦσαι φωνῆς, ὅτι οἱ παῖδες αὐτοῦ ἄρτι νενικήκασι τὸν ἀντίοχον· καὶ ἐξελθὼν ἀπήγγειλε τῷ πλήθει τὸ ἀκουσθέν. καὶ γέγονεν οὕτως. εὐπραγήσας δὲ ὑρκανὸς, ἐφθονήθη παρὰ τῶν ἰουδαίων, μάλιστα δ' ἐμισεῖτο παρὰ τῶν φαρισαίων· οἳ δ' εἰσὶ μία τῶν παρ' ἰουδαίοις αἱρέσεων, τριῶν οὐσῶν. οὗτοι μὲν οὖν οἱ φαρισαῖοι εἱμαρμένην δοξάζουσι, τινὰ δὲ καὶ ἐφ' ἡμῖν εἶναι, συμβαίνει ποτὲ καὶ μὴ γίνεσθαι. ἐσσηνοὶ δὲ πάντων κυρίαν τὴν εἱμαρμένην νομίζουσιν εἶναι, καὶ πάντα τοῖς ἀνθρώποις ἐξ ἐκείνης συμβαίνειν. σαδδουκαῖοι δὲ τὴν μὲν εἱμαρμένην ἐκβάλλουσι, πάντα δὲ ἐφ' ἡμῖν τίθενται, καὶ τῶν ἀγαθῶν ἡμᾶς αἰτίους εἶναι διδάσκουσι, καὶ τὰ χείρω δι' ἀβουλίαν ἀφ' ἑαυτῶν αἱρεῖσθαι. τῶν γοῦν φαρισαίων πρότερον φιλίως ἐχόντων πρὸς ὑρκανὸν (μαθητὴς γὰρ αὐτῶν ἐγεγόνει) συνέβη ἐξ αἰτίας τινὸς ἔχθραν κτήσασθαι πρὸς αὐτόν. ἐδυνάστευον δ' οὗτοι παρὰ τῷ πλήθει σφόδρα. ὑρκανὸς δὲ τῇ τῶν σαδδουκαίων προσετίθει μοίρᾳ, τῶν φαρισαίων ἀποῤῥαγεὶς, καὶ τὰ ὑπ' αὐτῶν παραδοθέντα νόμιμα καταλῦσαι ἐπείθετο. οἱ σαδδουκαῖοι γὰρ ἐκεῖνα δεῖν ἡγεῖσθαι νόμιμα ἔλεγον, τὰ γεγραμμένα· τὰ δὲ ἐκ παραδόσεως, μὴ τηρεῖν. διὰ ταῦτα μεμίσητο παρὰ τῶν φαρισαίων ὁ ὑρκανὸς. βιώσας δὲ εὐτυχῶς ἐπ' ἔτη τριάκοντα πρὸς ἑνὶ, ἐτελεύτησεν ἐφ' υἱοῖς πέντε. λέγεται δὲ καὶ προφητείας ἀξιωθῆναι, καὶ προειπεῖν περὶ τῶν δύο αὐτοῦ παίδων τῶν πρεσβυτέρων, ὅτι οὐ μενοῦσι τῶν πραγμάτων κύριοι. τελευτήσαντος δὲ ὑρκανοῦ, ἀριστόβουλος τὴν ἀρχὴν

χὴν

ὅτι σαδδουκαῖοι τὰ ἄγραφα νόμιμα οὐ φυλάσσουσιν ἐν ἱερῷ.

Zebinam misit, à quo Demetrius uictus, Ptolemaidem se recepit: sed ab uxore Cleopatra exclusus, Tyrum confugit, ubi captus & excruciatus perijt. Alexander autem regno potitus, amicitiam cum Hyrcano pepigit: sed ab Antiocho Grypo Demetrij filio regnum sibi uendicante uictus, in pugna occubuit. Is Antiochus suscepto Syriç regno, cum fratre Antiocho cognomento Cyziceno, quòd Cyzici educatus esset, per multos annos bellum gessit. Erat autē is Antiochi à Parthis interfecti, Demetrij fratris, filius, uterinus Antiochi Grypi frater. Nam Cleopatra duobus fratrib. nupta fuit. primùm Demetrio, deinde Antiocho, ut antè scripsimus. Ac è Demetrio Antiochum Grypum: ex Antiocho seruatore, Demetrij fratre, Cyzicenum Antiochum suscepit. Qui dum inter sese digladiantur, Hyrcanus quiete fruens, utroque contempto, defecit: neque quicquam amplius eis pependit: ac Iudææ fructibus per ocium perceptis, infinitam pecuniam coegit. Cum autem Samariā per filios suos Aristobulum & Antigonum obsideret, Samaritani urgente fame, Antiochi Cyziceni opem implorarunt, qui cum Aristobulo congressus uincitur. Deinde redintegratis copijs Hyrcani agros uastat, ut ea ratione obsidionem soluere cogeretur. Sed dum multis suorum amissis Tripolim recedit, Hyrcanus Samariam captam penitus delet. Fertur autem, eo die quo duo eius filij cum Antiocho pugnarūt, dum solus ut pontifex in sacrario suffiret, audisse uocem, quæ diceret, Antiochum modò à suis filijs esse uictum: idq; egressus nunciasse populo. nec deceptus est. Sed dum prosperis fortunæ flatibus utitur, inuidiam Iudæorum effugere non potuit, Pharisæis maximè inuisus, qui sunt ex tribus Iudæorum sectis: & cum fatum asserunt, tamen quædam in nostra esse potestate, ac fortuitò euenire, nec omnia fieri necessariò statuunt. Esseni contrà, fatum rerum omnium dominum constituunt, & hominibus omnia fato contingere censent. Sadducæi fato repudiato, nostræ uoluntati asscribūt omnia, & causas bonorum à nobis pendere, & nos temeritate nostra ultrò amplecti deteriora existimant. Pharisæi porrò, quorum magna erat apud populum autoritas, cum pridem amici essent Hyrcano, quippe quem discipulum habuerant: pòst nescio qua de causa orta simultate, ab ijs auulsus, in Sadducæorum sententiam concessit, ac ritus ab illis traditos abolere instituit. Nam Sadducæi ea pro legibus habenda affirmabant, quæ in scripta relata essent. Quæ uerò quasi per manus traderentur, ea non obseruanda esse. Et hac de causa Pharisæis inuisus fuit: qui annis uno & triginta feliciter exactis obijt, filijs quinque superstitibus. Dicitur etiam prophetiæ dono fuisse præditus, ac prædixisse, duos suos filios natu maximos imperium amissuros esse. Hyrcano defuncto, principatum suscepit

Antiochus Grypus, & Cyzicenus.

Vox ex adyto, Hyrcano uictoriã nunciat.

Pharisæi.

Esseni.

Sadducæi.

Pharisæorum odium in Hyrcanũ & eius obitus.

Aristobulus regijs insignib. sumptis, matrē & fratres malè tractat.

pit Aristobulus: quem cum in regnum commutare ei placuisset, diadema sumpsit, CCCCLXXXI annis pòst, quàm populus Babylone Hierosolyma redierat. ac cæteros fratres & matrem de principatu contendentem, in uincula coniecit. Antigonum autem ætate sibi proximum dilexit, pari honore dignatus.

Antigoni interitus.

Tandem matrem fame necauit. adiecit & Antigoni cædem, calumnijs impulsus. Nam cum is, ægrotante Aristobulo, uictor ab expeditione reuersus, tabernaculorum festo magnificè ornatus cum suis satellitibus in templum ascendisset: id factum calumniatores ita interpretabantur, cum ad festum non more plebeio uenisse, sed regio splendore usum esse: & quia cum tanta militum manu ascenderit, consilia contra regem agitare. Aristobulus, qui & suæ securitati, & fratris rationibus consultum uellet, satellitibus suis, in quodam obscuro subterraneo loco constitutis, mandat, ut fratri inermi parcant, armatum occidant. Mittit &

Antigoni cædes.

ad Antigonum, eum'que inermem uenire iubet. Sed eius uxor, & qui cum ea contra Antigonum conspirarant: nuncio persuaserunt ut diceret, fratrem, quòd audierit eum noua arma parasse, petere, ut armatus se spectandum ipsi præbeat. At ille nihil mali suspicans, panopliam indutus abit: & cum ad Stratonis turrim uenisset, ubi obscurus ille locus erat, à satellitibus occiditur.

Iudas Essæus uates.

Iudas uerò quidam Essæus, multa uerè prædicere solitus, cum Antigonum templum præterire tum uideret, exclamauit, mortem sibi ipsi imprecatus: quòd ille uiueret, quem eo die in Stratonis turri moriturum falso dixisset: quæ cum sexcentis stadijs abesset, non posse Antigonum, die iam inclinante, illuc peruenire. Quæ dum Iudas diceret, nunciatur Antigonus in illo specu, qui & ipse, quemadmodum maritima Cæsarea, Stratonis turris uocabatur, interfectus.

Aristobuli interitus.

Eo ad hunc modum sublato, uindicta statim fraternæ cædis pœnas exegit ab Aristobulo. Nam cum ex intestinis corruptis sanguinem reiecisset, cum minister efferens, in eo loco ubi Antigonus cæsus erat, cruore adhuc conspersso, lapsus effudit, ut cum illo misceretur. Quo Aristobulus ex eorum qui id uiderant, clamore cognito, lachrymans, præter alia illud quoque effatus, impia sua facta utique Deum latere non potuisse: moritur, cum unum regnasset annum.

Ianneus Alexander Aristobuli successor, Iudæos malè tractat.

Salome autem, quæ & Alexandra uocabatur, fratres mariti uinculis soluit: & Ianneam, qui & Alexander, grandiorem & moderatiorem cæteris, regem constituit. qui regno suscepto, alterum ex fratribus rebus nouis studentem occidit: alterum, quieti ingenij hominem, honorauit. Bellis contra quosdam gestis, aliàs uictor, aliàs uictus: tandem ob motam seditionē, contra populares quoque arma cæpit.

Nam

χὴν διεδέξατο, καὶ εἰς βασιλείαν μεταθεῖναι ταύτην δόξαν αὐτῷ, διάδημα περιτίθεται, μετὰ τετρακόσια ἔτη καὶ ὀγδοήκοντα πρὸς ἑνί, ἐξ ὅτου ἐκ Βαβυλῶνος ὁ λαὸς εἰς Ἱερουσαλὴμ ἐπανῆλθεν. οὗτος τοὺς μὲν ἄλλους τῶν ἀδελφῶν, καὶ τὴν μητέρα περὶ τῆς ἀρχῆς αὐτῷ διενεχθῆσαν, καθεῖρξε· τὸν δὲ μετ' αὐτὸν Ἀντίγονον ἠγάπα, καὶ τῶν ὁμοίων ἠξίου. τὴν μὲν οὖν μητέρα λιμῷ διέφθειρε. προσέθετο δὲ καὶ τὸν ἀδελφὸν τὸν Ἀντίγονον, διαβολαῖς πεισθείς. λαμπρῶς γὰρ αὐτοῦ ἀπὸ στρατείας ἐπανελθόντος, ἐν νόσῳ ὁ Ἀριστόβουλος· ἑορταζομένης δὲ τῆς σκηνοπηγίας, ἀνέβη εἰς τὸ ἱερὸν ὁ Ἀντίγονος, μετὰ τῶν περὶ αὐτὸν ὁπλιτῶν, κεκοσμημένος λαμπρῶς. οἱ δὲ τοῦτον πρὸς τὸν ἀδελφὸν διαβάλλοντες, μὴ κατ' ἰδιώτην αὐτὸν ἔλεγον ἐλθεῖν εἰς τὴν ἑορτήν, ἀλλὰ βασιλικῇ κεχρημένον λαμπρότητι· καὶ ὅτι μετὰ τοσαύτης δορυφορίας στρατιωτῶν ἀνελθὼν, βουλεύεται κατ' αὐτοῦ. Ἀριστόβουλος δὲ, καὶ τῆς οἰκείας ἀσφαλείας φροντίζων, καὶ τοῦ ἀδελφοῦ προνοῶν, ἔν τινι τῶν ὑπογαίων ἀφεγγεῖ τοὺς σωματοφύλακας ἵστησιν, ἐντειλάμενος, ἀόπλου μὲν τοῦ ἀδελφοῦ φείδεσθαι, κτείνειν δὲ αὐτὸν μετὰ τῶν ὅπλων ἐρχόμενον. πέμπει δὲ καὶ πρὸς τὸν Ἀντίγονον, ἄοπλον αὐτὸν κελεύων ἥκειν. ἡ δὲ τοῦ Ἀριστοβούλου γυνὴ, καὶ οἱ ταύτῃ συμφρονοῦντες κατὰ τοῦ Ἀντιγόνου, ἔπεισαν τὸν σταλέντα, λέγειν τῷ Ἀντιγόνῳ, ὡς ἀκούσας ὁ ἀδελφός σου ὅτι ὅπλα καινὰ κατεσκεύασας, ἀξιοῖ ὡπλισμένον ἐλθεῖν σε, ἵν' ἴδοι αὐτά. ὁ δὲ μηδὲν ὑποπτεύσας, ἐνδεδυμένος τὴν πανοπλίαν, ἀπῄει. καὶ γενόμενος κατὰ τὸν Στράτωνος πύργον, ὅπου ὁ τόπος ἀφώτιστος ἦν, κτείνεται παρὰ τῶν σωματοφυλάκων. Ἰούδας δέ τις Ἐσσαῖος τὸ γένος, πολλὰ προλέγων καὶ ἀληθεύων, ἰδών ποτε τὸν Ἀντίγονον παριόντα τὸ ἱερὸν, ἀνεβόησεν, ἀποθανεῖν ἐπευχόμενος, ὡς διεψευσμένος· προεῖπε γὰρ αὐτὸν ζῶντος τοῦ Ἀντιγόνου, κατ' ἐκείνην θανούμενον τὴν ἡμέραν ἐν τῷ Στράτωνος πύργῳ· τὸν δὲ σταδίους ἀπέχειν ἑξακοσίους, ὡς ἀδύνατον εἶναι, τὸν Ἀντίγονον ἐκεῖ γενέσθαι, ἤδη τῆς ἡμέρας κλινούσης. ταῦτα λέγοντος τοῦ Ἰούδα, ἀγγέλλεται κτανθεὶς Ἀντίγονος ἐν τῷ ὑπογαίῳ, ὃ καὶ αὐτὸ Στράτωνος ὠνόμαστο πύργος, ὁμωνύμως τῇ παραλίῳ Καισαρείᾳ. τῷ μὲν οὖν Ἀντιγόνῳ τοιοῦτο γέγονε τέλος. τὸν δὲ Ἀριστόβουλον εὐθὺς ἡ δίκη μετῆλθε τῆς ἀδελφοκτονίας, καὶ διαφθαρέντων αὐτῷ τῶν ἐντὸς, αἷμα ἀνέφερεν, ὅ τις τῶν ἐκείνῳ ὑπουργούντων ἐκκομίζων, ὤλισθεν εἰς τὸν τόπον, οὗ ὁ Ἀντίγονος ἐσφάγη, ἔτι τοῦ αἵματος ἐκείνου ἔχοντα σπίλους, καὶ ἐξέχεεν, ὡς ἀναμεμίχθαι ἀμφοτέρων τὰ αἵματα. γενομένης δὲ βοῆς παρὰ τῶν ἰδόντων, μαθὼν τὸ συμβὰν Ἀριστόβουλος, οἰμώξας προήχθη εἰς δάκρυα, καὶ οὐκ ἄρα λήσειν, εἶπεν, ἔμελλον τὸν θεὸν ἐπ' ἀσεβέσιν οὕτω τολμήμασι. καὶ ἄλλα δὲ εἰπὼν, ἀποθνήσκει, βασιλεύσας ἐνιαυτόν. Σαλώμη δὲ ἡ ἐκείνου γυνὴ, ἣ καὶ Ἀλεξάνδρα ἐκέκλητο, λύσασα τοὺς ἀδελφοὺς τοῦ ἀνδρὸς (δεδεμένους γὰρ εἶχεν αὐτοὺς Ἀριστόβουλος) βασιλέα καθίστησιν Ἰανναίαν, τὸν καὶ Ἀλέξανδρον, προύχοντα καθ' ἡλικίαν, καὶ μετριάζοντα. ὃς τὴν βασιλείαν παραλαβὼν, ἔκτεινε μὲν νεωτερίζοντα τὸν ἕνα τῶν ἀδελφῶν· τὸν δ' ἕτερον ἀπραγμόνως ζῶντα, ἐτίμα. πολέμους δέ τινας ποιησάμενος πρός τινας, καὶ τῇ μὲν κρατήσας, ἔστι δ' ὅπου καὶ ἡττηθεὶς, τέλος καὶ πρὸς τοὺς ὁμοφύλους ἦρεν ὅπλα, κατ' αὐτοῦ στασιάσαντας.

ὅτι ὁ ἀντίγονος ἀνῃρέθη κατὰ στράτωνος πύργον, κατὰ τὴν ἰούδα τοῦ ἐσσαίου πρόρρησιν, ἣν [illegible]

ὀργῇ

Περὶ φοινίκων καὶ κιτρίων τῶν ἐν τῇ σκηνοπηγίᾳ.

ἑορτῆς γὰρ οὔσης, καὶ αὐτοῦ ἐπὶ τοῦ βωμοῦ ἀναβάντος ὡς θύσοντος, κιτρίοις αὐτὸν τὸ πλῆθος ἔβαλλον (ἔθος ὄντος ἐν τῇ σκηνοπηγίᾳ, θύρσους φοινίκων καὶ κιτρίων ἐν χερσὶν ἔχειν) καὶ ὕβρεις αὐτοῦ κατέχεον. διὰ ταῦτα παροξυνθεὶς ὁ Ἀλέξανδρος, κτείνει περὶ ἑξακισχιλίους αὐτῶν. εἶτα συνάψας μάχην πρὸς Ἄραβας, καὶ ἡττηθείς, φυγὼν εἰς Ἱεροσόλυμα παραγίνεται, καὶ πρὸς τὴν κακοπραγίαν αὐτοῦ τοῦ ἔθνους ἐπιθεμένου, ἔτεσιν ἓξ μαχόμενος πρὸς αὐτὸ (ἔτρεφε γὰρ Πισίδας καὶ Κίλικας) οὐκ ἐλάττους ἀναιρεῖ μυριάδων πέντε. δι᾽ ἃ ἔτι μᾶλλον ἐμισεῖτο, ὥστε πρὸς αὐτόν, τί δεῖ γενέσθαι, πυνθανόμενον, ὥστε παύσασθαι τὴν δυσμένειαν, τὸ πλῆθος ἀποθανεῖν αὐτὸν ἀποδιδόασι. καὶ μετὰ ταῦτα δὲ Ἰουδαῖοι τῷ Ἀλεξάνδρῳ ἐμάχοντο, καὶ πλεῖστοι ἀπώλλυντο. κατακλείσας δὲ τοὺς δυνατωτάτους αὐτῶν ἔν τινι πόλει, ἐπολιόρκει· καὶ κρατήσας αὐτῶν, ἀπήγαγεν εἰς Ἱεροσόλυμα. καὶ ἐν ἀπόπτῳ μετὰ τῶν γυναικῶν ἑστιώμενος, ὠμότατον ἔργον πεποίηκεν, ἀνασταυρώσας αὐτῶν ὀκτακοσίους, καὶ τοὺς παῖδας αὐτῶν καὶ τὰς γυναῖκας ἐπ᾽ ὄψεσι σφῶν, ἔτι ζώντων, ἀπέσφαττε. τῷ τε ἀπηνεῖ ἔργῳ ἔπεισε τοὺς ἀντιστασιώτας αὐτοῦ περὶ ὀκτακισχιλίους ὄντας, φυγεῖν. καὶ ὁ Ἀλέξανδρος ἐκ τοῦ ἠρεμίας ἀπήλαυσεν. εἶτα Ἀντίοχος, ὁ κληθεὶς Διονύσιος, κατὰ τῶν Ἰουδαίων ἐστράτευε. καὶ μάχης καρτερᾶς γενομένης πρὸς Ἰουδαίους, ἐπέβαινεν ἐν τῷ πολέμῳ Ἀντίοχος νικῶν, καὶ τῷ πονοῦντι μέρει συνεπῆγεν. θανόντος δ᾽ ἐκείνου, τὸ στράτευμα φυγὸν, καὶ λιμῷ διεφθάρη. βασιλεύει δὲ μετ᾽ Ἀντίοχον τῆς κοίλης Συρίας Ἀρέτας, καὶ στρατεύσας ἐπὶ τὴν Ἰουδαίαν, καὶ μάχῃ νικήσας Ἀλέξανδρον, ἐπὶ συνθήκαις ἀνακεχώρηκεν. ὁ μέντοι Ἀλέξανδρος μετὰ ταῦτα πόλεις ἑλὼν πολλὰς Ἰδουμαίων καὶ Κιλίκων, καὶ Φοινίκων, καὶ Σύρων, καὶ τρίτον ἔτος ἐν τῇ στρατείᾳ διηνυκώς, ἐπανῆλθε, προθύμως αὐτὸν διὰ τὴν εὐπραγίαν δεχομένων τῶν Ἰουδαίων. εἶτα ἐκ μέθης νοσήσας, καὶ τρισὶν ἔτεσι τεταρταίῳ πυρετῷ παλαίων, τῶν στρατειῶν οὐκ ἀπείχετο.

Ὑπὸ μέθης ἐνόσει τεταρταίῳ.

ὁρῶσα δὲ αὐτὸν ἡ βασίλισσα ἤδη ἀπεγνωσμένον, ἑαυτήν τε καὶ τοὺς παῖδας ὠδύρετο. ὁ δέ, κρύψαι τὸν θάνατον αὐτοῦ πρὸς τοὺς στρατιώτας, ταύτῃ ὑπετίθετο, ἕως ἂν ἐξέλῃ τὸ χωρίον (ἔτυχε γάρ τι πολιορκῶν) εἶτα ὡς ἐπὶ νίκῃ εἰς Ἱεροσόλυμα παραγενομένην, τοῖς Φαρισαίοις ἐξουσίας μεταδοῦναί τινος. δύνασθαι γὰρ αὐτοὺς θέσθαι τὸ ἔθνος εὔνουν αὐτῇ, καὶ αὐτὸς δὲ διὰ τούτους, ἔλεγε, τῷ ἔθνει προσκροῦσαι, ὑβρισθέντας ὑπ᾽ αὐτοῦ. σὺ τοίνυν, ἔφη, μεταπεμψαμένη τοὺς ἄρχοντας σφῶν, ἐπίτρεπε χρῆσθαί μοι, ὡς βούλονται, τῷ νεκρῷ, ὡς πολλὰ εἰς αὐτοὺς ἐξυβρίσαντος, καὶ μηδὲν παρὰ τὴν ἐκείνων γνώμην ποιεῖν ὑπισχνοῦ. εἰ τοῦτο δὲ εἴποις, ἐγώ τε πολυτελῶς ταφήσομαι, καὶ σὺ βεβαίως ἄρξεις. ταῦτα τῇ γυναικὶ ὑποθέμενος, τετελεύτηκεν, ἄρξας ἔτη εἴκοσι καὶ ἑπτά, πεντήκοντα δὲ γε ζήσας ἑνὸς δέοντος. ἡ δὲ Ἀλεξάνδρα πάντα κατὰ τὰς τοῦ ἀνδρὸς συμβουλὰς θεμένη, τούς τε Φαρισαίους εὔνους ἐποιήσατο ἑαυτῇ, καὶ τὴν βασιλείαν ἐβεβαιώσατο, καὶ τὴν ταφὴν τοῦ ἀνδρὸς λαμπροτέραν τῶν πρὸ αὐτοῦ βασιλέων εἰργάσατο. δύο δὲ παίδων γενομένων τῷ Ἀλεξάνδρῳ, Ὑρκανοῦ καὶ Ἀριστοβούλου, ὁ μὲν Ὑρκανὸς νωθὴς τὸ ἦθος ἦν,

Περὶ Ὑρκανοῦ καὶ Ἀριστοβούλου.

καὶ πρὸς πραγμάτων διοίκησιν ἀπεφυκώς. ὁ δὲ νεώτερος δραστήριος ἦν. ἡ δὲ τούτων μήτηρ ἀρχιερέα τὸν Ὑρκανὸν, διὰ τὸ ἀπράγμον, ἀποδείκνυσι, καὶ πάντα τοῖς Φαρισαίοις ἐπιτρέπει, καὶ τῷ πλήθει τούτοις ἐκέλευσε πείθεσθαι. καὶ αὐτὴ μὲν εἶχε τῆς βασιλείας τὸ ὄνομα, οἱ Φαρισαῖοι δὲ τὴν ἰσχύν. ἠρέμει δὲ ἡ χώ-

ρα,

Nam cum in festo immolaturus aram conscendisset, populus eum thyrsis cedrorũ petijt (moris enim erat, ut in festo tabernaculorum thyrsos palmarum & cedrorum in manibus gestarent) & conuicijs incessit. quibus commotus, circiter VI millia occidit. Deinde prælio uictus ab Arabibus, Hierosolyma refugit. Ad eam cladẽ accessit populi seditio, cũ quo per annos VI dimicando, per stipendiarios Cilices et Pisidas, non pauciores L millibus occidit. qua de causa hominum in eum odia augebantur adeò, ut cum interrogaret, quid sibi agẽdum esset ad abolendas inimicitias? multitudo respõderet, Ei moriendum esse. Post hæc Iudæi plurimi, suscepto cum Alexãdro bello, perierunt. & cum urbem quandam expugnasset, in quam potentissimi confugerant, eos Hierosolyma perduxit: & eminus conuiuium cum mulieribus celebrans, per summam crudelitatem DCCC in cruces sublatis, liberos uxoresq́ eorum in conspectu illorum adhuc uiuentium mactat. Hoc immani facinore id consecutus est, ut aduersariorum ad VIII millia exulatum irent, & ipse deinceps ocio frueretur: donec Antiochus cognomento Dionysius expeditione cõtra Iudæos suscepta, & graui prælio cõmisso, dum laboranti cornu subuenit, uictor cadit: quo mortuo, in fugam uersus exercitus eius, fame perijt. Post Antiochũ Aretas Cœlesyriç rex, Alexandro acie uicto per conditiones recedit. Post hęc alexãder multis urbib. Idumęorũ, Cilicũ, Phœnicũ & Syrorũ triennio expugnatis, Hierosolyma reuersus, à Iudęis ob res benegestas alacriter est susceptus. Deinde morbo ex ebrietate cõtracto, & trib. annis cũ febri quartana conflictatus, expeditionib. nõ abstinuit. Quẽ cũ regina iam deploratũ uidẽs, suã & liberorũ sortẽ miseraretur: eã ille monuit, ut mortẽ suã ad milites celaret, ut castellum, quod obsidebat, expugnatent. Deinde uictrix Hierosolyma regressa, potestatis aliquid Pharisæis impertiretur, qui ei populi studia recõciliare possent, ob quos ipse cõtumeliosè tractatos gentis odia incurrisset. Tu igitur, inquit, accersitis eorũ principib. permittito, ut de meo cadauere, qui multis illos iniurijs onerarim, suo arbitratu statuant, teq́ nihil præter eorũ uoluntatẽ acturã pollicetor. Quæ si dixeris: & ego honorificè sepeliar, & tu secura imperabis. Vbi hæc uxorẽ monuisset, decedit, anno regni XXVII, ætatis XLIX. Alexandra uerò de mariti cõsilio omnia executa, tũ Pharisæorũ beneuolentiã sibi adiunxit, tum regnũ cõstabiliuit, tũ mariti funus luculentius q̃ pro regũ superiorũ consuetudine effecit. Iam cũ Alexãder duos filios reliquisset, Hyrcanũ & Aristobulũ: quorũ ille tardo erat ingenio, & ad res gerẽdas inepto, hic animo excitato et alacri: matter Hyrcano, quẽ ob socordiã põtificẽ designarat, et pharisæis, quib. summã rerũ mãdarat, populũ parère iubet. Ita cũ regni nomẽ penes ipsam, autoritas penes Pharisęos esset; regio paca-

Alexandri in primarios uiros crudelitas, pacificatio, uictoria.

Antiochus Dionysius. Aretas.

Alexandri prudens cõsiliũ regni firmandi, & obitus.

Hyrcanus. Aristobulus.

O ta fuit,

ta fuit, nisi quòd Pharisæi reginam turbabant, et irritabant, ut eos occideret, qui Alexandro autores fuissent DCCC illos perimendi, ac initiò uno occiso, pòst alios atque alios trucidabāt: donec uiri potentes cum Aristobulo, cui illa non placebant, regiā ingressi, multis uerbis factis, & occisis deploratis, eos qui ibi erant, ad misericordiā periclitantium, & ad lachrymas cōmouerunt. Aristobulus etiam cum matre propterea expostulauit, ea uerò quod faceret non habebat. Sub id tempus nunciatur, Tigranē cum ingenti exercitu impressionem fecisse in Syriam, & in Iudæā uenturum. Ea fama & populus & regina territi, multa munera magni precij per legatos ad eum Ptolemaidem obsidentem mittunt. Quibus ille acceptis, eos bonis animis esse iussit. Sed modò uastata Ptolemaide, de Acelai in Armeniā impressione certior factus, domum se ad sua tuenda recipit. Cum autem regina grauiter ægrotaret, Aristobulus clàm egressus, castella adijt, quibus patem iamici præerāt, sola uxore eius rei cōscia, & ab ijs susceptus est. cuius fuga & castellorum omnium occupatione mater cognita, non ipsa tantum, sed populus etiam admodum perturbati, uxorem eius & liberos in castellum quod supra templū est, transtulerunt. Hyrcanus uerò & Iudæorum seniores, ubi didicerunt Aristobulum diebus XV, castellis XXII potitum esse, ac magnā pecuniam & exercitum coegisse: reginam orarunt, ut exponeret quid de illo statuendum esset? Ea uerò se res non amplius curare, ut quæ iamiam moritura esset, dixit, & ipsis permisit, ut ea agerent, quæ ex republica esse iudicarēt. nec multo pòst extincta est, anno regni IX, ætatis III & LXX. Matre defuncta, Aristobulus statim Hyrcano fratri, militibus illius multis ad ipsum deficiētibus, bellum infert. qui cum in arcem, in qua dudum Aristobuli uxor & liberi conclusi fuerant, confugisset: fratres colloquio habito, inimicitias ea conditione ponunt, ut Aristobulus regnum teneat, Hyrcanus in ocio degat. His pactis iureiurando sancitis, Aristobulus in regiam se confert, in Aristobuli ædes Hyrcanus. Cæterùm Idumæus quidam Antipater, Hyrcani amicus, homo factiosus, strenuus, et pecunijs abundans, clam cum Iudæorum procerib. colloquēdo, & Aristobulum quasi uitæ fratris insidiantem calumniando, autor est Hyrcano, ad Arabiæ regem Aretam confugiendi. Itaque Hyrcanus Antipatrum illò mittit, ut fidem ab eo accipiat, se non deditum iri hostibus, si ad illum se receperit. Ea impetrata reuersus Antipater, Hyrcanum noctu secum Petram perducit: regem orat Hyrcanus, ut in Iudæam reductum, in regnum restituat. Quod si fiat, pollicetur se ei & prouinciā & XII urbes redditurū, quas pater suus Alexāder Arabib. ademerit. Aretas igitur expeditione suscepta, Aristobulum acie uictum, multis ad Hircanum deficientibus, Hierosolyma compellit: impetuque facto, in templo obsidet, etiam plebe Hyrcani partes secuta:

Tigranes.

Acelaus.

Aristobulus regnum occupat.

Antipatri Idumæi fraude Aristobulus & Hyrcanus ad bellum impelluntur.

Aretas Arabs Hyrcanum adiuuat.

Onias ob pacis studium lapidatur.

ρεμένων τῶν φαρισαίων τὴν βασίλισσαν ταραττόντων, καὶ πειθόντων κτείνειν τοὺς συμβουλεύσαντας ἀλεξάνδρῳ τὴν τῶν ὀκτακοσίων διαφθοράν. ἵνα δή τινας αὐτοὶ σφάττουσι, καὶ ἐπ' ἐκείνῳ ἄλλους ἐπ' ἄλλοις, ἕως οἱ δυνατοὶ προσελθόντες εἰς τὰ βασίλεια, καὶ ἀριστόβουλος σὺν αὐτοῖς (οὐ γὰρ ἠρέσκετο τοῖς δρωμένοις) πολλὰ εἰπόντες, καὶ τοὺς διαφθαρέντας ἐκκλαυσάμενοι, εἰς οἶκτον τῶν κινδυνευόντων τοὺς παρόντας ἐκίνησαν, καὶ εἰς δάκρυα. ἀριστόβουλος δὲ καὶ τῇ μητρὶ διὰ ταῦτα κατεμέμφετο. ἡ δὲ οὐκ εἶχεν ὅ, τι καὶ πράξει. κατὰ τοῦτον τὸν καιρὸν ἀγγέλλεται τιγράνης σὺν στρατιᾷ μεγάλῃ εἰς τὴν συρίαν ἐμβεβληκὼς, καὶ ἐπὶ τὴν ἰουδαίαν ἀφιξόμενος. τοῦτο ἐφόβησε καὶ τὸ ἔθνος καὶ τὴν βασίλισσαν, καὶ δῶρα πολλὰ καὶ πολλοῦ ἄξια καὶ πρέσβεις αὐτῷ πέμπουσι, τὴν πτολεμαΐδα πολιορκοῦντι. ὁ δὲ ταῦτά τε ἐδέξατο, καὶ χρηστὰ ἐπηγγέλλετο. αὐτῷ δὲ τὴν πτολεμαΐδα πορθήσαντι, ἀγγέλλεταί οἱ ἀκέλαος εἰς ἀρμενίαν ὁρμήσας, καὶ διὰ τοῦτο ἀνεχώρει πρὸς τὴν οἰκείαν. τῆς δὲ βασιλίσσης δεινῶς νοσησάσης, ἀριστόβουλος λάθρα ὑπεξελθὼν, ᾔει ἐπὶ τὰ φρούρια, ὅπου οἱ πατρῷοι κατετάχθησαν φίλοι, μόνης τῆς γυναικὸς αὐτοῦ συνειδυίας τῇ πράξει, καὶ ὑπεδέχθη πρὸς αὐτῶν. αἰσθομένη δὲ ἡ μήτηρ αὐτοῦ τὴν ἀπόδρασιν, καὶ ὅτι πάντα τὰ φρούρια ὑπηγάγετο, ἐν μεγάλῃ ἦν ταραχῇ καὶ αὐτὴ καὶ τὸ ἔθνος, ἔθεντο δὲ τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς παῖδας εἰς τὸ ὑπὲρ τοῦ ἱεροῦ φρούριον. ὑρκανὸς δὲ καὶ οἱ τῶν ἰουδαίων πρεσβύτεροι μαθόντες, ὡς ἐν ἡμέραις πεντεκαίδεκα χωρίων εἴκοσι καὶ δύο ἐκράτησεν ὁ ἀριστόβουλος, καὶ πολλὰ συνήγαγε χρήματα, καὶ συνήθροιζε στράτευμα, ἐδέοντο τῆς βασιλίσσης, ὑποθέσθαι γνώμην περὶ ἀριστοβούλου. ἡ δὲ οὐκέτι μέλειν αὐτῇ τῶν πραγμάτων εἰποῦσα, ὡς ἤδη ἐκλιπούσῃ, ἐφῆκε πράττειν αὐτοῖς, ἃ συμφέρειν κρίνουσι. καὶ μετ' οὐ πολὺ τετελεύτηκε, βασιλεύσασα ἔτη ἐννέα, βιώσασα δὲ τρία καὶ ἑβδομήκοντα. τῆς δὲ ἀλεξάνδρας μέχρι θανούσης, εὐθὺς πόλεμον κατὰ τοῦ ἀδελφοῦ ὁ ἀριστόβουλος ἤρατο, καὶ πολλοὶ τῶν στρατιωτῶν ὑρκανοῦ αὐτομολοῦσι πρὸς ἀριστόβουλον. ὁ δὲ φεύγει πρὸς τὴν ἀκρόπολιν, ἔνθα καὶ ἡ ἀριστοβούλου γυνὴ καὶ οἱ παῖδες πρὶν κατεκλείσθησαν. εἰς λόγους δὲ ἐλθόντες οἱ ἀδελφοὶ, λύουσι τὴν ἔχθραν, ὥστε βασιλεύειν μὲν τὸν ἀριστόβουλον, ὑρκανὸν δὲ ζῆν ἀπραγμόνως. ὅρκοις οὖν ἐμπεδώσαντες τὰς συνθήκας, ὁ μὲν ἀνεχώρησεν εἰς τὰ βασίλεια, εἰς δὲ τὴν οἰκίαν ἀριστοβούλου ὁ ὑρκανός. ἀντίπατρος δέ τις ἰδουμαῖος, φίλος ὢν ὑρκανοῦ, στασιώδης δὲ καὶ δραστήριος καὶ εὔπορος χρημάτων πολλῶν, λάθρα τοῖς δυνατοῖς τῶν ἰουδαίων διαλεγόμενος, καὶ πρὸς ὑρκανὸν διαβάλλων τὸν ἀριστόβουλον, ὡς κτεῖναι αὐτὸν βουλόμενον, πείθει πρὸς ἀρέταν βασιλέα τῶν ἀράβων φυγεῖν. καὶ πέμπει τὸν ἀντίπατρον πρὸς ἀρέταν ὁ ὑρκανὸς, πίστεις ληψόμενον, ὡς οὐκ ἐκδώσει αὐτὸν τοῖς ἐχθροῖς, προσελθόντα αὐτῷ. λαβὼν δὲ πίστεις, ὑπέστρεψεν ὁ ἀντίπατρος, καὶ συμπαραλαβὼν τὸν ὑρκανὸν νύκτωρ, ἤγαγεν αὐτὸν εἰς τὴν καλουμένην πέτραν πρὸς τὸν ἀρέταν. παρεκάλει οὖν ὁ ὑρκανὸς, αὐτὸν καταχθῆναι ὑπ' αὐτοῦ εἰς τὴν ἰουδαίαν, καὶ εἰς τὴν βασιλείαν ἀποκαταστῆναι, ὑπισχνούμενος, εἰ τοῦτο γένοιτο, δώσειν αὐτῷ τήν τε χώραν καὶ τὰς δώδεκα πόλεις, ἃς ἀλέξανδρος ὁ πατὴρ αὐτοῦ τῶν ἀράβων ἀφείλετο. καὶ ὁ ἀρέτας ἐστράτευσεν ἐπὶ τὸν ἀριστόβουλον, καὶ τῇ μάχῃ ἐκράτει. πολλῶν οὖν πρὸς τὸν ὑρκανὸν αὐτομολησάντων, εἰς ἱεροσόλυμα ὁ ἀριστόβουλος ἔφυγε. καὶ ὁ ἄραψ τῷ ἱερῷ προσβαλὼν, ἐπολιόρκει τὸν ἀριστόβουλον, προσθεμένου καὶ τοῦ δήμου τῷ ὑρκανῷ, μόνων τῶν

περὶ τιγράνου τοῦ ἀρμενίου.

βασιλεία ὑρκανοῦ καὶ ἀριστοβούλου.

solis

ὡς τὸ ὂν δι' εὐχῆς αὔξειν.

ἱερέων τοῦ Ἀριστοβούλου προσμενόντων. Ὀνίαν δέ τινα, ἄνδρα δίκαιον καὶ θεοφιλῆ, ὃς αὐχμοῦ ποτὲ γενομένου, δυσχεῖ τὸν θεὸν δυσωπήσας, ἔλυσε τὴν ἀνομβρίαν, ἀξίουν οἱ Ἰουδαῖοι εὔξασθαι κατὰ Ἀριστοβούλου καὶ τῶν μετ' αὐτοῦ. ὁ δὲ οὐκ ἐπείθετο. ὡς δὲ ἐβιάσθη, ὦ θεὲ βασιλεῦ τῶν ὅλων, εἶπεν, ὅτι καὶ οἱ μετ' ἐμοῦ ἑστηκότες σοὶ εἰσί, σοὶ δὲ καὶ οἱ πολιορκούμενοι ἱερεῖς, δέομαι, μήτε κατὰ τούτων ἐκείνοις ἐπαρήξῃς, μήτε μὴν κατ' ἐκείνων τούτοις. καὶ αὐτίκα τὸν ἄνδρα περιστάντες, κατέλευσαν. οὐκ εἰς μακρὰν δὲ τὸ θεῖον δίκας αὐτοὺς εἰσεπράξατο τῆς ἀσεβείας, πνεύματος βιαίου πνεύσαντος, καὶ τὸν τῆς χώρας καρπὸν διαφθείραντος. πεμφθεὶς δὲ παρὰ Πομπηΐου ἐν Ἀρμενίᾳ πολεμοῦντος Τιγράνῃ Σκαῦρος εἰς Συρίαν, πρέσβεις ἐδέξατο παρά τε Ἀριστοβούλου καὶ Ὑρκανοῦ, συμμαχεῖν ἀξιοῦντος ἑκατέρου. λαβὼν οὖν ὑπ' Ἀριστοβούλου τετρακόσια τάλαντα, αὐτῷ προσετίθετο. καὶ κελεύσας ἀναχωρεῖν τὸν Ἀρέταν, ἢ πολέμιον Ῥωμαίων κριθήσεσθαι, ἔλυσε τὴν πολιορκίαν. ὡς λυθείσης, ὁ Ἀριστόβουλος ἐπὶ Ἀρέταν καὶ Ὑρκανὸν ἐπιστρατεύει, καὶ συμβαλὼν νικᾷ. μετ' οὐ πολὺ δὲ Πομπηΐου ἀφικομένου εἰς Δαμασκόν, ἧκον πρέσβεις πολλαχόθεν τε καὶ ἐξ Ἰουδαίας, δῶρον ἐξ Ἀριστοβούλου μέγα κομίζοντες, ἄμπελον χρυσῆν ἐκ πεντακοσίων ταλάντων. ταύτην φησὶν ὁ Ἰώσηπος ἐν Ῥώμῃ θεάσασθαι, τῷ ἐν Καπιτωλίῳ ἀνατεθειμένην Διΐ. καὶ αὖθις ἧκον πρὸς αὐτὸν, Ἀντίπατρος μὲν ὑπὲρ Ὑρκανοῦ, ὑπὲρ δὲ Ἀριστοβούλου Νικόδημος. ὁ δὲ αὐτοὺς ἐλθεῖν τοὺς διαμφισβητοῦντας ἐκέλευσεν. ἀφικομένων δ' εἰς Δαμασκὸν τῶν Ἰουδαίων καὶ τῶν ἡγεμόνων αὐτῶν, οἱ μὲν ἠξίουν μὴ βασιλεύεσθαι· πάτριον γὰρ εἶναι αὐτοῖς, παρὰ τῶν ἀρχιερέων ἄρχεσθαι· τούτους δὲ τοῦ γένους ὄντας ἐκείνου, εἰς βασιλείαν τὴν ἀρχὴν μεταθεῖναι. Ὑρκανὸς δὲ κατηγόρει τοῦ ἀδελφοῦ, ὅτι τῆς ἀρχῆς αὐτῷ νεμηθείσης διὰ τὴν πρεσβυγένειαν, ὑπ' ἐκείνου ταύτην ἀφῄρητο, καὶ ἄλλα κατ' αὐτοῦ συνείρων πολλὰ αἰτιάματα. συνεφθέγγοντο δὲ αὐτῷ ταῦτα λέγοντι καὶ τῶν δοκιμωτάτων Ἰουδαίων πλείους ἢ χίλιοι, Ἀντιπάτρου παρασκευάσαντος. Ἀριστόβουλος δὲ τοῦ μὲν ἐκπεσεῖν τῆς ἀρχῆς τὸν Ὑρκανὸν, τὴν ἐκείνου φύσιν αἰτίαν εἰσήγαγεν, ἄπρακτον οὖσαν, καὶ διὰ τοῦτο εὐκαταφρόνητον· αὐτὸς δ' ἐξ ἀνάγκης ἔλεγεν αὐτὴν ὑπολαβεῖν, φόβῳ τοῦ μὴ πρὸς ἄλλους γενέσθαι αὐτήν, ὀνομάζεσθαι δὲ ὅπερ καὶ ὁ πατήρ. Πομπήϊος δὲ βίαν μὲν κατέγνω Ἀριστοβούλου, πρᾴως δὲ τότε προσομιλήσας αὐτοῖς, ἡσυχίαν τέως ἄγειν ἐκέλευσεν· ἐλθὼν δ' εἰς τὴν χώραν, διατάξειν ἕκαστα ἐπηγγέλλετο. οὐκ ἀναμείνας μέντοι ὁ Ἀριστόβουλος, εἰς τὴν Ἰουδαίαν ἀπῄει. καὶ ὀργισθεὶς ὁ Πομπήϊος, ἐστράτευσε κατ' αὐτοῦ. συμπεφευγότος δ' εἰς ἔρυμα καλούμενον Ἀλεξάνδρειον, ἐκέλευε πρὸς αὐτὸν ἥκειν. ὁ δὲ τῶν φίλων μὴ πολεμεῖν Ῥωμαίοις ἀξιούντων, κατέβη. καὶ δικαιολογησάμενος, πάλιν ὅθεν ἧκεν, ὑπέστρεψε. κελεύοντος δὲ Πομπηΐου παραδεδωκέναι τὰ φρούρια, καὶ αὐτοχείρως ἐπιστεῖλαι τοῖς φρουράρχοις (ἀπείρητο γὰρ τούτους ἄλλως ἀφίστασθαι) πείθεται μὲν, δυσανασχετῶν δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, καὶ πολεμεῖν ἡτοιμάζετο. Πομπηΐῳ δὲ στρατεύοντι ἐπ' αὐτὸν, ἡ Μιθριδάτου μηνύεται τελευτή, ἐκ Φαρνάκου τοῦ παιδὸς αὐτοῦ γενομένη. περὶ Ἱεριχοῦντα δὲ γεγονότι, οὗ τὸ ὀποβάλσαμον τρέφεται, τῶν μύρων τὸ ἀκρότατον, ὃ τῶν θάμνων τεμνομένων ὀξεῖ λίθῳ ἐκπιδύει ὥσπερ ὀπός, πρόσεισιν ὁ Ἀριστόβουλος αὐτῷ,

περὶ Πομπηΐου καὶ δώρου αὐτῷ χρυσοῦ ἀμπέλου ἐξ Ἀριστοβούλου ἐκ πεντακοσίων ταλάντων.

περὶ δὲ Μιθριδάτου θανάτου, καὶ περὶ τοῦ ὀποβαλσάμου, κατὰ τῶν μύρων ἀρίστου.

solis sacerdotibus Aristobulũ defendentibus. Cum autem Iudęi Oniam, uirũ iustum, & Deo charum, qui aliquãdo in æstu & siccitate imbrẽ à Deo precib. impetrarat, rogarent, ut Aristobulũ cum sua factione deuoueret: non paruit. sed cum eogeretur, O Deus rex uniuersi, inquit, « quia & ij qui mihi astant, tui sunt, & sacerdotes « qui obsidentur, ijdẽ tui: oro, ut neq; his contra « illos, neq; illis contra hos opẽ feras. Hac preca« tione peracta, statim uirum lapidib. obruerunt. neq; uerò multo pòst numẽ eius impietatis pœnas exegit, uiolento turbine frugibus regionis uastatis. Scaurus porrò à Pompeio in Armenia bellũ cum Tigrane gerente, in Syriam missus, legatos ab Aristobulo & Hyrcano accepit, utroq; auxilia postulante, & Aristobulo se coniunxit, CCCC talentis acceptis: iussoq; Areta discedere, alioqui à Romanis hostem iudicatum iri, obsidionem discussis. Ea soluta, Aristobulus moto contra Aretam & Hyrcanum bello, utrunq; uincit. Non multo pòst Pompeio Damascũ profecto, cùm multis alijs ex locis, tum ex Iudæa legati uenerunt, Aristobuli munus uitem auream D talentùm ferentes: quam se Iosephus Romæ uidisse asserit, in Capitolio dedicatam. Legatis denuò uenientibus, Antipatro pro Hyrcano, Nicodemo pso Aristobulo: Pompeius ipsos inter quos controuersia sit, adesse iubet. Cum autem Iudæi, eorumq; duces Damascum uenissent, alij regnũ detrectabãt. patrium enim esse, ut pontificib. pareant: illos uerò, quãuis sacerdotalis sint generis, sacerdotiũ regno cõmutasse. Hyrcanus uerò fratrem accusabat, quòd psincipatu ob ætatis prærogatiuam sibi astributo, ab illo spoliatus esset, multis etiam alijs criminibus in illum congestis: Antipatri opera amplius mille probatissimorum Iudæorum suffragantibus. Aristobulus contrà, Hyrcanum ob ignauiam ingenij, quæ contemptum ei facile pareret, Imperiũ amisisse, quod sibi necessariò uendicãdum fuerit, ne ab alijs occuparetur: neq; se aliũ quàm quo pater usus esset, titulum usurpare. Põpeius uim quidem fecisse Aristobulum decernit: sed tum clementer eos allocutus, interim quiescere iubet, donec ipse in Iudęam ueniret: tum enim se ordinaturum esse omnia. Sed cum Aristobulus eo non expectato, in Iudæam recessisses, & Alexandriũ castellum occuparet: Pompeius iratus bello suscepto, eũ ad se uenire iussit. Ille hortantib. amicis ne Romanis aduersaretur, descendit: causaq; dicta, eò unde uenerat, redijt. ac Põpeio iubẽte ut munitiones tradeset, et castellosũ pręsidib. sua manu scsiberet (alioqui enim ijs cedere nõ licebas) paret ille quidẽ, sed indignabũdus Hierosolyma profectus, ad bellũ se parat, Põpeio contra illũ ducẽti, Mithridati cędes à filio Pharnace patrata nũciatur: & ad Hierichũta progresso, ubi opobalsamũ nascitur, unguentorum præstantissimũ, quod fruticibus acuto lapide incisis, instar succi exudat: Aristobulus occurrit, supplicans,

Scaurus Põpeij legatus, Aristobulo fert opem.

Pompeius controuersiæ Hyrcani & Aristobuli disceptator.

ut bellum omittat: se pecuniam ei daturum, & Hierosolymis recepturũ esse pollicens, quiduis agendi potestate permissa. Ille data uenia, Gabinium ad pecuniã & urbem accipiendam mittit. quo, Aristobuli militibus pacta perfici prohibentibus, re infecta reuerso: ipse Pompeius Aristobulo in uincula coniecto, ad ciuitatem uenit non consentientem, alijs Pompeium recepturis. Aristobuli uerò factione contrariũ censente, qui templo occupato, ad tolerandam obsidionem se parabant. Vrbe autem & regia à cæteris Pompeio traditis, & castris in ipsa urbe positis, ac templo tertio mense expugnato: milites eos qui intus erant, trucidabant, nihilo secius sacris operantes, & uictimas immolantes: ac cædibus referta erant omnia, Iudæis partim à Romanis, partim à sese intereuntibus, uel gladio uel præcipitatione. Pompeius uerò cum quibusdam ex suis adytũ templi ingressus est, eaq; uidit quæ non nisi pontificibus uidere fas est: neq; tamen, qua erat pietate, quicquã uel ex donarijs, uel ex pecunijs attigit. Postridie populum hortatus, ut templum repurgarent, & rite immolarent, Hyrcano pontificatum restituit: bellíq; autorib. securi percussis, & tributo Hierosolymis imposito, Romam rediens Aristobulum uinctum cum duab. filiabus, totidemq; filijs secum abduxit. Quorum natu maior Alexander arrepta fuga, post Iudæã incursauit; neque ei resistere Hyrcanus potuit. Gabinius autem cum in Syriam uenisset, M. Antoniũ cum exercitu contra Alexãdrum mittit, qui prælio cõmisso hostium ad tria millia cecidit, non paucioribus captis. Alexander autem in castello Alexandrio obsessus, ueniam à Gabinio per legatos impetrat, munitionibus quas tenebat traditis, Hyrcanusq; pontifex ab eodem Gabinio Hierosolyma reducitur. Aristobulus uerò cũ Roma in Iudæam profugisset, ac Alexãdrium modò euersum instaurare conaretur: Gabinius copias misit, quæ id prohiberent, aut ipsum etiam comprehenderent. Sed cum multi Iudæi maiori ex parte inermes ad Aristobulum confluerent, cæteris dimissis, solos armatos qui ad VIII millia fuere, retinuit: ij à Romanis prælio uicti, partim cæduntur, partim dissipantur. Aristobulus uerò cum mille uiris Machæruntem se cõtulit. ac biduo pòst sauciatus & captus, unà cum Antigono filio fugæ socio ad Gabinium perducitur. & denuò Romam missus, in uinculis tenetur, regno & pontificatu triennium functus. Gabinius uerò in Aegyptum profectus, atq; inde reuersus, reperit Alexandrum cum magno exercitu Iudæam obeuntem, & obuios quosque Romanos trucidantem. Cum eo igitur triginta Iudæorum millia ducente, iuxta montem Itabyrium congressus, circiter decem millia occidit. & Hierosolymitanis rebus ex Antipatri sententia constitutis, & alijs

Pompeius Hierosolymis captis, Aristobulũ Romam ducit.

Alexander Aristobuli filius Iudæam infestat. Marcus Antonius.

Aristobulus Romã reducitur.

Gabinius rebus bene gestis Romam redit.

καὶ ἱκέτευε παύσασθαι τοῦ πολέμου, χρήματά τε δώσειν, καὶ εἰς τὰ Ἱεροσόλυμα αὐτὸν εἰσδεξόμενος, ὥστε πράττειν ὃ βούλεται. ὁ δὲ συγγνοὺς αὐτῷ, πέμπει Γαβίνιον ἐπὶ τὰ χρήματα καὶ τὴν πόλιν. τῶν δὲ Ἀριστοβούλου στρατιωτῶν οὐκ ἐώντων τὰς συνθήκας πληρωθῆναι, ἄπρακτος ἐπανῆλθεν ὁ Γαβίνιος. ἧκε δὴ ἐπὶ τὴν πόλιν Πομπήιος, καθείρξας τὸν Ἀριστόβουλον. οἱ δὲ φίλοι οὐχ ὡμονόουν. τοῖς μὲν γὰρ ἐδόκει δέχεσθαι τὸν Πομπήιον, τοῖς δὲ Ἀριστοβούλου τοὐναντίον, οἳ καὶ τὸ ἱερὸν καταλαβόντες, εἰς πολιορκίαν παρεσκευάζοντο. οἱ δ' ἄλλοι τὴν πόλιν ἐγχειρίζουσι Πομπηίῳ, καὶ τὰ βασίλεια. ὁ δὲ ἐν αὐτῇ τὸ στρατόπεδον ἱδρυσάμενος, ἐπολιόρκει τὸ ἱερόν. ἁλόντος δὲ περὶ τρίτον μῆνα, εἰσπηδήσαντες οἱ πολέμιοι, ἔσφαζον τοὺς ἐν αὐτῷ. οἱ δὲ οὐδὲν ἧττον ὥσπερ ἱερουργοῦντες καὶ θύοντες, φόνου δὲ πάντα μεμέστωτο. οἱ μὲν γὰρ τῶν Ἰουδαίων ὑπὸ Ῥωμαίων, οἱ δὲ ὑπ' ἀλλήλων ἐσφάττοντο, οἱ καὶ ἑαυτοὺς κατεκρήμνιζον. παρῆλθε δὲ εἰς τὸ ἐντὸς τοῦ ναοῦ τὸ ἄβατον ὁ Πομπήιος, καὶ τῶν περὶ αὐτὸν τινές, καὶ εἶδον ὅσα τοῖς ἄλλοις πλὴν τῶν ἀρχιερέων ἦσαν ἀθέατα. οὐδενὸς μέντοι τῶν ἐν αὐτῷ ἀναθημάτων ἢ τῶν χρημάτων ἥψατο, δι' εὐσέβειαν. τῇ δ' ὑστεραίᾳ καθᾶραι παραγγείλας τὸ ἱερόν, καὶ θύειν νομίμως, τὴν ἀρχιερωσύνην παρέδωκεν Ὑρκανῷ, τοὺς αἰτίους τοῦ πολέμου πελέκει διαχρησάμενος, καὶ τὰ Ἱεροσόλυμα ποιήσας Ῥωμαίοις ὑπόφορα. Πομπήιος δὲ ἐπὶ Ῥώμην ἀπιών, ἐπήγετο τὸν Ἀριστόβουλον δεδεμένον, καὶ τοὺς παῖδας αὐτοῦ. ἦσαν δὲ αὐτῷ δύο θυγατέρες, καὶ τοσοῦτοι υἱοί, ὧν ὁ πρεσβύτερος Ἀλέξανδρος ἀποδρὰς, καὶ τὴν Ἰουδαίαν κατέτρεχεν ὕστερον, μὴ δυναμένου τοῦ Ὑρκανοῦ αὐτῷ ἀντικαθίστασθαι. ὡς δὲ Γαβίνιος εἰς Συρίαν ἧκε, πέμπει πρὸς τὸν Ἀλέξανδρον Ἀντώνιον Μάρκον μετὰ στρατεύματος. καὶ γενομένης μάχης, κτείνουσιν οἱ Ῥωμαῖοι τῶν πολεμίων περὶ τρισχιλίους, καὶ οὐκ ἐλάττους ζωγροῦσι. καταφυγόντος δὲ Ἀλεξάνδρου ἐπί τι ἔρυμα, λεγόμενον Ἀλεξάνδρειον, ἐπολιόρκει τοῦτο. διαπρεσβεύεται οὖν πρὸς Γαβίνιον ὁ Ἀλέξανδρος, συγγνώμην αἰτῶν, καὶ παραδίδωσιν ἃ κατεῖχεν ὀχυρώματα. ὁ δὲ ἀρχιερεὺς Ὑρκανὸς εἰς Ἱεροσόλυμα κατήχθη παρὰ τοῦ Γαβινίου. ὁ μέντοι Ἀριστόβουλος διαδρὰς ἐκ Ῥώμης, καὶ εἰς τὴν Ἰουδαίαν ἐλθών, τειχίζειν ἐπειρᾶτο τὸ Ἀλεξάνδρειον, ἄρτι κατεσκαμμένον. ὁ δὲ Γαβίνιος στέλλει τοὺς κωλύσοντας αὐτόν, ἢ καὶ συλληψομένους. πολλοὶ δὲ τῷ Ἀριστοβούλῳ τῶν Ἰουδαίων προσέρρεον, ὧν οἱ πλείους ἐτύγχανον ἄοπλοι. τούτους μὲν οὖν ἀπέλυσεν Ἀριστόβουλος, τοὺς δ' ὡπλισμένους ὄντας περὶ ὀκτακισχιλίους ἦγε μεθ' ἑαυτοῦ. καὶ μάχης αὐτοῖς πρὸς Ῥωμαίους συγκροτηθείσης, ἡττῶνται Ἰουδαῖοι, καὶ φεύγουσι· καὶ οἱ μὲν κτείνονται, σκεδάννυνται δὲ οἱ λοιποί. Ἀριστόβουλος δὲ μετὰ χιλίων εἰς Μαχαιροῦντα συνέφυγε, μετὰ τοῦ παιδὸς Ἀντιγόνου, συναποδράσαντος ἐκ Ῥώμης αὐτῷ. μετὰ δὲ δύο ἡμέρας τραυματισθεὶς ἑάλω, καὶ σὺν τῷ υἱῷ Ἀντιγόνῳ αἰχμάλωτος πρὸς Γαβίνιον ἄγεται, καὶ ἀναπέμπεται αὖθις εἰς Ῥώμην, καὶ δέσμιος κατείχετο, βασιλεύσας καὶ ἀρχιερατεύσας ἔτη τρία. Γαβίνιος δὲ ἀπῄει εἰς Αἴγυπτον. ἐπανελθὼν δ' ἐκεῖθεν, εὗρε τὸν Ἀριστοβούλου παῖδα Ἀλέξανδρον στρατεύματι μεγάλῳ τὴν χώραν ἐπιόντα, καὶ ὅσοις ἐντύχοι τῶν Ῥωμαίων πάντας κτείνοντα. συμβαλὼν δὲ τούτῳ περὶ τὸ Ἰταβύριον ὄρος, τρισμυρίους ἄγοντι Ἰουδαίους, κτείνει περὶ μυρίους. καταστησάμενος δὲ τὰ ἐν Ἱεροσολύμοις ὡς ὁ Ἀντίπατρος ἤθελε, καὶ ἄλλα

ὅπως ὑπὸ Πομπηίου τὰ Ἱεροσόλυμα ἑάλω.

ὅσα ἦσαν τὰ τοῦ ἱεροῦ ἰουδαίων χρήματα, ἐν οἷς καὶ δοκὸς χρυσοῦ. καὶ ὅτι ἡ μνᾶ ἕλκει λίτρας δύο πρὸς τῷ ἡμίσει.

καὶ ἄλλα δὲ στρατηγήσας ἔργα μεγάλα, εἰς ῥώμην ἀπῆρε, κράσσῳ παραδοὺς τὴν ἀρχήν. οὗτος δὲ ὁ κράσσος εἰς τὴν ἰουδαίαν ἐλθὼν, τά τε ἐν τῷ ἱερῷ χρήματα, ὧν οὐχ ἥψατο ὁ πομπήιος, ὄντα δὲ δισχίλια τάλαντα, πάντα ἀφείλετο, καὶ τὸν ναὸν περιδύσας τὸν κόσμον πάντα ἐσύλησεν, εἰς τάλαντα χρυσοῦ ὀκτακισχίλια ἀριθμούμενον. ἔλαβε δὲ καὶ δοκὸν σφυρήλατον, ἐκ χρυσοῦ μνῶν τριακοσίων πεποιημένην. ἡ δὲ μνᾶ παρ' ἰουδαίοις ἕλκει λίτρας δύο καὶ ἥμισυ. ταῦτα λαβὼν ἐπὶ πάρθους ἐξώρμησε, καὶ ἐφθάρη σὺν τῷ στρατεύματι. κάσσιος δὲ εἰς συρίαν ἐκεῖθεν φυγὼν, εἰς τὴν ἰουδαίαν ἀνέβη. μέγα γοῦν παρ' αὐτῷ ἐδύνατο ὁ ἀντίπατρος, καὶ παρὰ ἰδουμαίοις, παρ' οἷς ἄγεται γυναῖκα τῶν ἐξ ἀραβίας, κύπρον ὄνομα, ἐξ ἧς αὐτῷ τέσσαρες ἐγένοντο υἱοί, φασάηλος καὶ ἡρώδης, ἰωσὴφ καὶ φερώρας, καὶ θυγάτηρ σαλώμη. χρόνῳ δὲ ὕστερον καῖσαρ ἰούλιος γάϊος κατασχὼν τὴν ῥώμην, μετὰ τὸ πομπήιον, καὶ τὸ πλεῖον τῆς συγκλήτου ἐκεῖθεν φυγεῖν, λύσας τὸν ἀριστόβουλον, εἰς συρίαν ἔπεμψε σὺν στρατεύματι. ἀλλὰ φθάσαντες οἱ τὰ πομπηίου φρονοῦντες, φαρμάκῳ τὸν ἀριστόβουλον διαφθείρουσι. σκηπίων δὲ, ἐπιστείλαντος αὐτῷ πομπηίου, τὸν ἀριστοβούλου ἀλέξανδρον ἐπελέκισε. μετὰ δὲ τὸν πομπηίου θάνατον καίσαρι πολεμοῦντι κατ' αἴγυπτον, εἰς πολλὰ χρήσιμον ἑαυτὸν παρέσχεν ἀντίπατρος, ὥστε τὸν καίσαρα κεχρῆσθαι αὐτῷ εἰς πάντα τὸν πόλεμον, ὅπου καὶ τραυματίαν συνέβαινεν αὐτόν. ἐλθὼν δὲ καὶ ἀντίγονος τότε ὁ ἀριστοβούλου πρὸς καίσαρα, ἐδεῖτο λαβεῖν οἶκτον αὐτοῦ τῆς ἀρχῆς ἐκβεβλημένου, καὶ τοῦ πατρὸς ἀνεμίμνησκε, καὶ ὡς δι' αὐτὸν ἐτεθνήκει. παρὼν δὲ καὶ ὁ ἀντίπατρος, ἀπελογεῖτο. δόξαντος δὲ τῶν λόγων αὐτοῦ ἐπικρατεστέρων, ὁ καῖσαρ ὑρκανῷ μὲν τὴν ἀρχιερωσύνην ἐπιβεβαιώσας, ἀντίπατρον δὲ ἀποδείκνυσι τῆς ἰουδαίας ἐπίτροπον. ὡς δὲ καῖσαρ εἰς τὴν ῥώμην ἀπῄει, ὁ ἀντίπατρος τὰ κατὰ τὴν ἰουδαίαν καθίστα. βραδὺν δὲ ὁρῶν καὶ νωθῆ τὸν ὑρκανὸν, φασάηλον μὲν τὸν πρεσβύτατον τῶν παίδων, ἱεροσολυμιτῶν καὶ τῶν πέριξ στρατηγὸν ἀποδείκνυσι· τὸν δὲ μετ' αὐτὸν ἡρώδην, ὄντα λίαν νεώτατον, τῆς γαλιλαίας προεστήσατο. γενναῖος δὲ ὢν ὁ ἡρώδης τὸ φρόνημα, ἀφορμὴν εἰς ἐπίδειξιν ἀρετῆς τὴν ἀρχὴν ἐποιήσατο, καὶ τὸν ἀρχιλῃστὴν ἐζεκίαν σὺν μεγάλῳ στίφει τὰ προσεχῆ τῆς συρίας λῃζόμενον συλλαβὼν, κτείνει, καὶ πλείστους ἄλλους σὺν αὐτῷ· ὅθεν τοῖς σύροις περιφίλητο. ἐγένετο δὲ διὰ τοῦτο καὶ σέξτῳ καίσαρι γνώριμος, ὄντι τοῦ μεγάλου καίσαρος συγγενεῖ, καὶ ἄρχοντι τῆς συρίας. ζηλοῖ δὲ τὸν ἀδελφὸν καὶ φασάηλος. ταῦτα δὲ ἐποίει τιμᾶς ὑπὸ τοῦ ἔθνους τυγχάνειν βασιλικᾶς τὸν ἀντίπατρον. οἱ δ' ἐν τέλει τῶν ἰουδαίων διὰ ταῦτα ἐβάσκαινον τῷ ἀντιπάτρῳ καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ ἐδεδίεσαν, ὁρῶντες βίαιον καὶ τολμηρὸν τὸν ἡρώδην, καὶ τυραννίδος ἐρῶντα, καὶ κατηγόρουν ἀντιπάτρου πρὸς ὑρκανὸν, καὶ ἠρέθιζον κατ' αὐτοῦ καὶ τῶν παίδων αὐτοῦ, λέγοντες, μὴ ἐπιτρόπους εἶναι τῶν τῆς βασιλείας πραγμάτων, ἀλλὰ δεσπότας· καὶ γὰρ τὸν ἡρώδην κτεῖναι τὸν ἐζεκίαν, καὶ πολλοὺς τῶν σὺν ἐκείνῳ, τοῦ νόμου ἀπαγορεύοντος, ἄνθρωπον ἀναιρεῖσθαι, κἂν πονηρὸς ᾖ, εἰ μὴ πρότερον ὑπὸ τοῦ συνεδρίου κατακριθῇ. ὑρκανὸς δὲ τούτοις ἠρέθιστο εἰς ὀργὴν· προσεξῆψαν δὲ τὴν ὀργὴν καὶ αἱ μητέρες τῶν ὑπὸ ἡρώδου πεφονευμένων, παρακαλοῦσαι ἵνα δίκας ὑπόσχῃ τῶν πεπραγμένων. κινηθεὶς οὖν ὁ ὑρκανὸς, ἡρώδην ἐκάλει δικασόμενον.

κύπρος ὄνομα γυναικός.

&c aliis magni imperatoris operibus editis, prouincia Crasso tradita, Romam discessit. Crassus autem Iudæam ingressus, templi Hierosolymitani pecuniam, quæ bis mille talēta erant, abstulit, atque omnem templi ornatum spoliauit, qui ad talēta auri octies mille æstimabatur. Rapuit & trabem ex auri CCC minis fabrefactam. Mina porrò Iudaica libras binas & semissem pendit. His acceptis, cōtra Parthos profectus, cum exercitu interiit. Vnde Cassius fuga elapsus, in Iudæam ascendit. Apud quem, ut & apud Idumæos, multum potuit Antipater: ibique uxore Arabica ducta, nomine Cypro, quatuor suscepit filios, Phasaelum, Herodem, Iosephū, Pheroram, & filiam Salomen. Aliquanto post C. Iulius Cæsar, post Pompeii & maximæ partis senatus fugam, Aristobulum uinculis solutum cum exercitu in Syriam mittit: qui antequam eò uenisset, à Pompeianis ueneno sublatus est. Alexander eius filius, iussu Pompeii à Scipione securi percussus. Post Pompeii interitū Antipater Cæsari in Aegypto gerenti bellum, strenuam operam totius belli tempore nauauit, ubi etiam uulnus accepit: & cum Antigonus quoque Aristobuli filius ad Cæsarem uenisset, petens ut sui misereretur principatu deiecti, & patris sui memoriam ob illum interfecti renouaret: Antipater, qui tum ibi aderat, sua defensione id effecit, ut Cæsar Hyrcano, qui causa meliore niti uideretur, sacerdotium confirmaret, & ipse Iudææ procurator constitueretur. Itaque Cæsare Romam abeunte, suscepta rerum Iudææ cura, quia Hyrcanum tardum & socordē esse cernebat: Phasaelum filium natu maximum Hierosolymorum & finitimarum ciuitatum prætorem designat: Herodem, illi ætate proximum, admodum adolescentē, Galilææ præficit. Qui cum generoso esset animo, magistratu in uirtutis materiam conuerso, Ezechiam latronum ducem cum magno globo Syriam finitimam prædantem, comprehensum, eiusque sociorum plurimos occidit. Vnde Syris charus, etiam in S. Cæsaris, qui cognatus Magni Cæsaris Syriæ præturam gerebat, notitiam peruenit. Est & Phasaelus fratrem æmulatus. Quæ res effecerunt, ut Antipater & à gente Iudaica regio honore coleretur, & unà cum filiis procerum inuidiā susciperet, metuentium Herodem, quem uiolentum, audacem, atque imperii cupidum cernerent. Itaque Antipatrum apud Hyrcanum accusant, & hominem contra illum & filios eius concitant. Neque enim curatores esse regiarum functionum, sed dominos. Nam ab Herode Ezechiam cum multis occisum esse: cum legibus cautum sit, ne quis, quamuis improbus, sine concilii sententia condemnetur. Hyrcanus cùm his uerbis, tum matrū interfectorū querelis illū ad suppliciū flagitantiū, ira commotus, Herodem ad causam dicendam accersit. Is ue-

M. Crassus templo spoliato à Parthis occiditur.

Antipatri uxor & liberi.

Aristobuli & Alexandri interitus.

Antipater Iudææ procurator.

Phasaelus.

Herodes.

Herodes armatus causam eludit.

Is uerò cum iusta cohorte uenit, ne nudus & incustoditus in ius iret: & sic prætorium ingressus, ita omnes terruit, ut nemine accusare auso, omnes ambigerent quid agendum esset. Vnus tamen nomine Sameas, uir iustus, & leonina præditus fiducia, dixit: Equidem, uiri, non memini quenquam in ius uocatũ sic astitisse: nec » uos, opinor. Omnes enim rei, habitũ metuen» tium præ se ferre solent. At Herodes ob cędes » perpetratas in iudiciũ uocatus, armatos secum » adduxit, qui nos, si ex lege damnatus fuerit, oc» cidant. Ego tamen non illum reprehenderim, » sed uos, qui tantam ei licentiam dederitis. Sci» tote igitur, iustũ esse Deum: & quem uos nunc » in Hyrcani gratiam absoluetis, ei & uos & ip» sum Hyrcanum olim pœnas daturos. Hanc orationem ipso euentu esse comprobatam, in progressu historię apparebit. Hyrcanus uerò iudicio in alium diem reiecto, Herodem monuit ut urbe excederet: quo abeunte, concilium indignabatur. Sed Herodes, redempta à Sexto Syriæ prætura, non multo pòst cum exercitu uenit: Hyrcano iratus, quòd omnino in ius uocatus esset: Hierosolyma oppugnaturus, ni pater & frater eius impetum repressissent. Hoc Iudææ statu Syria turbata est tali de causa. Bassus Cæcilius, Pompeianæ factionis, Sexto Cæsare per insidias occiso, rerum potiebatur, quem cum Iulij Cæsaris duces persequerentur, Antipater Cæsariani beneficij memor, opem eis per filios tulit. Dum autem eo bello tempus teritur, Marcus ad Sexti præturam suscipiendam Roma uenit, ubi Cæsar interea per Brutum & Cassium occiditur. ob cuius necem bello exorto, & proceribus ad colligendos exercitus alijs aliò dispersis, Cassius in Syriam uenit ad arma & milites comparandos: maxima tributa, & è sola Iudæa DCC talenta postulans, quorum exactionem Antipater utrique filio seorsim mandauit. Ac Herodes cum prior, quantum iussus fuerat, Cassio obtulisset, in amicitiam eius est receptus. Malichus uerò à Cassio fuisset occisus, nisi Hyrcanus eius iram, intercessore Antipatro, C talentis placasset. Verùm Cassio iam ex Iudęa digresso, Malichus Antipatro insidias struit, quòd eo sublato Hyrcani principatus in tuto collocandus esset. Quod cum Antipatrũ haud latêret, quamuis ille eiuraret facinus, se cõtra illũ muniebat. Marcus etiã Syrię prætor parum abfuit quin Malichũ tolleret: ni is quoque salutem eius, precib. Antipatri condonasset. Cassius porrò & Marcus exercituum quos coegerant cura Herodi mandata, promiserunt, se confecto bello, quod tum aduersus Antoniũ & adolescentem Cæsarem parabatur, eum Iudææ regem creaturos. Eodem tempore Malichus corrupto Hyrcani, apud quem uterque epulabatur, pincerna, Antipatrum ueneno sustulit: sed cum filij eius insidias cognouissent, inficiatus est facinus. Cum autem Herodes necem patris statim ulcisci uellet, Phasaelus dolo

Malichum

Sameæ diuinatio de Herodis crudelitate.

Sexti & Iulij Cæsaris cædes.

M. Brutus & Cassius in Syria ab Herode iuuantur.

Malichus Antipatrũ ueneno tollit.

ὁ δὲ ἧκε μετὰ ξίφους ἀπεχρῶντος αὐτῷ, ὥστε μὴ γυμνὸν καὶ ἀφύλακτον εἶναι πρὸς δίκην. ἐλθὼν δ᾽ ἐν τῷ συνεδρίῳ μετὰ τοῦ ξίφους, κατέπληξεν ἅπαντας, καὶ οὐδεὶς ἐθάῤῥει κατηγορεῖν αὐτοῦ, ἀλλ᾽ ἦν ἀπορία τοῦ τί χρὴ ποιεῖν. εἷς δέ τις, Σαμαίας ὀνόματι, δίκαιος ἀνὴρ, καὶ παῤῥησίας ὡς λέων, ὑπὲρ ὦ ἄνδρες, οὐκ οἶδά τινα τῶν κεκλημένων εἰς δίκην οὕτω παραστάντα, οὔτε ὑμᾶς οἴομαι. ἀλλ᾽ ὁ πᾶς κεκρινόμενος, δεδιότος παρίσταται σχήματι. ὁ δὲ βέλτιστος ἡρώδης φόνου δίκην φεύγων, ἕστηκε, περὶ αὐτὸν ἔχων ὁπλίτας, εἰ κατακριθείη κατὰ τὸν νόμον, κτενοῦντας ἡμᾶς. ἀλλ᾽ ἡρώδην μὲν οὐ μεμψαίμην, ὑμᾶς δὲ τοσαύτην ἄδειαν παρασχόντας αὐτῷ. ἔστι τοίνυν, δίκαιος τὸν θεὸν, καὶ ὡς οὗτος ὃν νῦν δι᾽ ὑρκανὸν ἀπολῦσαι βούλεσθε, κολάσει ὑμᾶς ποτὲ, καὶ αὐτὸν ὑρκανόν. ὅτι δὲ ταῦτα ὡς ἔργον ἔδειξε, δηλώσει προϊὼν ὁ λόγος. ὑρκανὸς δὲ εἰς ἄλλην ἡμέραν τὴν δίκην ὑπερέθετο, καὶ λάθρα ὑπέθετο τῷ ἡρώδῃ τὴν πόλιν ὑπεξελθεῖν. καὶ ὁ μὲν ἀπῄει, οἱ δὲ τοῦ συνεδρίου ἠγανάκτουν. σέξτου δὲ τὴν στρατηγίαν τῆς κοίλης συρίας χρημάτων παρὰ ἡρώδου ἐξωνημένου, οὐ πολὺ τὸ ἐν μέσῳ παρῆλθε. καὶ ἧκεν ἡρώδης σὺν στρατιᾷ, ὀργιζόμενος κατὰ ὑρκανοῦ, ὅτι ὅλως εἰς δίκην ἐκλήθη. ἐκώλυσαν δὲ αὐτὸν τοῖς ἱεροσολύμοις προσβαλεῖν ὁ πατὴρ καὶ ὁ ἀδελφός. καὶ τὰ μὲν κατὰ τὴν ἰουδαίαν ἐν τούτοις ἦν, τὰ δὲ κατὰ τὴν συρίαν τετάρακτο ἐξ αἰτίας τοιαύτης. βάσσος κεκίλιος, ὡς τῶν τὰ πομπηΐου φρονούντων, κτείνει μὲν σέξτον καίσαρα δι᾽ ἐπιβουλῆς, αὐτὸς δὲ τῶν πραγμάτων ἐκράτει. τῶν δὲ καίσαρος ἰουλίου στρατηγῶν κατὰ βάσσου ὡρμηκότων, ὁ ἀντίπατρος αὐτοῖς διὰ τῶν υἱῶν συνεμάχησε, μεμνημένος ὧν ὑπὸ τοῦ καίσαρος εὐηργέτητο. τριβομένου δὲ τοῦ καιροῦ ἐν τῷ πολέμῳ, μάρκος ἦλθεν ἐκ ῥώμης εἰς τὴν σέξτου ἀρχήν. ὁ δέ γε καῖσαρ ὑπὸ τῶν περὶ βροῦτον καὶ κάσσιον ἐν ῥώμῃ κτείνεται. πολέμου δὲ συῤῥαγέντος ἐπὶ τῷ θανάτῳ τοῦ καίσαρος, καὶ τῶν ἐν τέλει ἐπὶ στρατιᾶς συλλογὴν ἄλλων ἀλλαχοῦ διεσπαρμένων, κάσσιος ἀφικνεῖται εἰς συρίαν, καὶ περὶ ταύτην, ὅπλα καὶ στρατιώτας συνήθροιζε, καὶ ἐφορολόγει βαρύτατα, καὶ ἐξ ἰουδαίας ἑπτακόσια τάλαντα ἀργυρίου ἐπράξατο, ὧν τὴν εἴσπραξιν ὁ ἀντίπατρος τοῖς υἱοῖς κατεμέρισεν ἀμφοῖν. ὁ οὖν ἡρώδης πρῶτος ὅσα ἦν αὐτῷ προστεταγμένον, κασσίῳ προσενεγκὼν, φίλος ἦν αὐτῷ εἰς τὰ μάλιστα. ἀνῄρητο δ᾽ ἂν ὑπὸ κασσίου ὁ μάλιχος, εἰ μὴ ὁ ὑρκανὸς ἐπέσχεν αὐτῷ τὴν ὁρμὴν, ἑκατὸν ταλάντοις ἐξιλασάμενος δι᾽ ἀντιπάτρου αὐτόν. ἤδη δὲ κασσίου μεταστάντος τῆς ἰουδαίας, ἀντιπάτρῳ μάλιχος ἐπεβούλευεν, ὡς εἰ οὗτος φθαρείη, ἀσφαλείας ἐσομένης τῷ ὑρκανῷ περὶ τὴν ἀρχήν. τοῦτο δ᾽ οὐκ ἐλάνθανε τὸν ἀντίπατρον, ἀλλ᾽ ἠσφαλίζετο ἑαυτὸν, καὶ ὁ μάλιχος ἠρνεῖτο μεθ᾽ ὅρκων. μάρκος δὲ ὁ τῆς συρίας στρατηγῶν μικροῦ ἀνεῖλεν ἂν τὸν μάλιχον, εἰ μὴ ἀντίπατρος παρακαλέσας αὐτὸν περιέσωσε. κάσσιος γε μὴν καὶ μάρκος ἀθροίσαντες στρατιὰν, τῷ ἡρώδῃ τὴν ἐπιμέλειαν ἐνεχείρισαν, στρατηγὸν αὐτὸν κοίλης συρίας ποιήσαντες, ὑποσχόμενοι καὶ βασιλέα τῆς ἰουδαίας ἀναδείξειν μετὰ τὸν πόλεμον, ὃς τότε πρὸς ἀντώνιον καὶ τὸν νέον καίσαρα συνεκεκρότητο. ὅτι καὶ μάλιχος τὸν ὑρκανοῦ οἰνοχόον χρήμασιν ὑπελθὼν, φαρμάκῳ κτείνει ἀντίπατρον. παρὰ γὰρ ὑρκανῷ ἠστιῶντο ἑκάτεροι. γνόντων δὲ τὴν ἐπιβουλὴν τῶν ἀντιπάτρου υἱῶν, ὁ μάλιχος ἔξαρνος ἦν. τοῦ μὲν οὖν ἡρώδου εὐθὺς ἐθέλοντος τὸν φόνον τοῦ πατρὸς ἐκδικῆσαι, ὁ δέ γε φασάηλος δόλῳ μᾶλλον ἀνελεῖν τὸν

μάλιχον

ὅτι ὁ ἡρώδης ἐλθὼν εἰς τὸ δικάσασθαι, ἐξέπληξε τοὺς παρόντας, διὰ τὸ ἐλθεῖν μετὰ δορυφορίας πολλῆς, διὸ καὶ ἐσώθη.

μάλιχον μετελθεῖν, ἵνα μὴ ἐμφυλίου πολέμου γένωνται αἴτιοι. προσθέμενοι οὖν τῇ ἀρνήσει τοῦ μαλίχου ὑπεκρίνοντο. φυλάσσοντος δὲ ἐν ἱεροσολύμοις, ἧκεν ἡρώδης μετὰ στρατιᾶς εἰς τὴν πόλιν· ὑρκανὸς δὲ μαλίχῳ πεισθεὶς, ἐκώλυεν αὐτῷ τὴν εἰς τὴν πόλιν εἴσοδον, προφάσει τοῦ μὴ δεῖν ὄχλον ἀλλοδαπὸν ἀναμίγνυσθαι τῷ πλήθει ἁγνεύοντι. ὁ δὲ μὴ φροντίσας τῶν λόγων, εἴσεισι νύκτωρ εἰς τὴν πόλιν, μάλιχος δ' ἔτι τῆς ὑποκρίσεως εἴχετο, δακρύων τὸν ἀντίπατρον, καὶ ὡς φίλον ἀνακαλούμενος, κρύφα δ' ἐποιεῖτο τοῦ σώματος φυλακήν. ἑλόντος δὲ κασσίου τὴν λαοδίκειαν, ἄμφω πρὸς αὐτὸν ἀπήεσαν, καὶ ἡρώδης μὲν ἐκεῖ τίσαι δίκας τὸν μάλιχον ἔσπευδεν. ὁ δὲ ὑποπτεύσας τὸ πρᾶγμα τοῦ παιδὸς αὐτῷ ὁμηρεύοντος ἐν τύρῳ, ἐμελέτησε τοῦτον ὑποκλέψαι, καὶ εἰς τὴν ἰουδαίαν ἀπᾶραι, καὶ τὴν ἀρχὴν κατασχεῖν, ἡρώδης δὲ τὴν γνώμην τοῦ μαλίχου ὑπονοήσας, προπέμψας εἰς τύρον λάθρα, πείθει τοὺς χιλιάρχους πρὸς μάλιχον ἐξελθεῖν, καὶ διαφθεῖραι αὐτόν. ἤδη γὰρ αὐτοῖς παρὰ κασσίου προείρητο, συμπράττειν ἡρώδῃ ἐπὶ δικαίαν πρᾶξιν. οἱ δὲ πλησίον τῆς πόλεως αὐτῷ ὑπαντήσαντες, κατακεντοῦσιν αὐτόν. ὑρκανὸς δὲ ὑπὸ φόβου ἄφωνος ἦν. ἀνενεγκὼν δὲ ἤρετο, ὅπως ἀνῄρηται μάλιχος; καὶ ἀκούσας ὅτι κασσίου προστάξαντος, ἐπῄνεσε τὴν πρᾶξιν, πονηρὸν εἰπὼν αὐτὸν, καὶ τῆς πατρίδος ἐπίβουλον. κασσίου δὲ ἐκ συρίας ἀπάραντος πρὸς ἀντώνιον, ὁ ἡρώδης ἐν διαφόροις ἠρίστευσε. καὶ τῷ ἀριστοβούλου δὲ υἱῷ ἀντιγόνῳ κατὰ τῶν ὅρων ὑπερβάντι τῆς ἰουδαίων γῆς ὑπαντήσας, μάχῃ ἐνίκησε, καὶ τῶν ὁρίων ταύτης ἐξήλασεν. ὅθεν ἀφικόμενον εἰς ἱεροσόλυμα, ἐστεφάνωσε, τὸ δῆμος καὶ ὑρκανός. μνηστεύεται δὲ καὶ τὴν ὑρκανοῦ θυγατριδῆν, ἀλεξάνδρου δὲ θυγατέρα, τοῦ ἀριστοβούλου παιδός. εἶχε δὲ πρότερον ἐξ ἑαυτοῦ γυναῖκα δημότιν, δωρίδα καλουμένην, ἐξ ἧς αὐτῷ παῖς ἀντίπατρος γίνεται, τῶν ἄλλων πρεσβύτερος. ἀντωνίου δὲ καὶ καίσαρος κάσσιον καὶ βροῦτον περὶ φιλίππους νενικηκότων, ὁ μὲν ἐπὶ γαλλίας ἐχώρει, πρὸς δὲ τὴν ἀσίαν ἀντώνιος. γενομένῳ δ' ἐν βιθυνίᾳ, πανταχόθεν ἀπήντων πρεσβεῖαι. ἧκον δὲ καὶ ἰουδαῖοι, κατηγοροῦντες φασαήλου τε καὶ ἡρώδου. ἐλθόντα δὲ τὸν ἡρώδην ἐπὶ ἀπολογίᾳ, διὰ τιμῆς ἦγεν ἀντώνιος. καὶ οὐδὲ λόγου ἠξίωντο οἱ κατήγοροι, χρήμασι ταῦτα τοῦ ἡρώδου διαπραξαμένου παρ' ἀντωνίῳ. ἐλθόντι δ' εἰς ἔφεσον ἀντωνίῳ, ἔπεμψεν ὑρκανὸς στέφανον χρυσοῦν, καὶ ἀξιῶν τοὺς ἰουδαίους οὓς ᾐχμαλώτισε κάσσιος, οὐ νόμῳ πολέμου, ἐλευθέρους ἀπολυθῆναι, καὶ τὴν χώραν ἀποδοθῆναι, ἣν αὐτοὺς ἀφείλετο κάσσιος. δικαίαν οὖν εἶναι κρίνας τὴν ἀξίωσιν, εἰς ἔργον ἐκβῆναι προσέταξε. μετὰ ταῦτα εἰς συρίαν παραγενομένῳ τῷ ἀντωνίῳ, καὶ ὑπὸ τῶν τῆς κλεοπάτρας ἐρώτων κεκρατημένῳ, προσίασιν ἄνδρες ἑκατὸν, ἰουδαίων οἱ δυνατώτατοι, καὶ κατηγοροῦσιν ἡρώδου καὶ τῶν περὶ αὐτὸν, παρόντος καὶ ὑρκανοῦ. ἀντώνιος δὲ πυνθάνεται ὑρκανοῦ, πότεροι τοῦ ἔθνους προστῆναι ἄμεινον; καὶ ὃς τοὺς περὶ ἡρώδην εἶπεν, ὧν αὐτὸς ἐκδικεῖ. ὁ γοῦν ἀντώνιος οἰκείως πρὸς αὐτοὺς ἔχων, διὰ τὴν τοῦ πατρὸς αὐτῶν ξενίαν, καὶ ἄμφω τετράρχας ὠνόμασε, καὶ τὰ ἰουδαίων αὐτοῖς ἐπέτρεψε πράγματα· καὶ δέκα δήσας τῶν κατηγόρων, ἔκτανεν ἂν αὐτοὺς, εἰ μὴ οἱ ἀδελφοὶ παρῃτήσαντο. αὖθις δὲ χίλιοι περὶ τύρον τῷ ἀντωνίῳ ὑπήντησαν. ὁ δὲ δώροις προκατειλημμένος, τῷ κατὰ τόπον ἄρχοντι κολάσαι τοὺς ἰουδαίους ἐκέλευσεν, ὡς νεωτερίζοντας.

Ἔρως ἀντωνίου ἤρα τῆς κλεοπάτρας.

ὁ δὲ ἡρώδης

Malichum circumuenire potius duxit, ne intestini belli causam præberent. Se igitur inficiationi Malichi fidem habere simulant. Herodē uerò ad festum cum exercitu uenientem, Hyrcanus Malichi impulsu, urbis ingressu prohibuit, per eam causam, ne turba peregrina populo puritatem seruanti permisceretur. At ille spretis illius uerbis, noctu urbē ingreditur. & Malichus simulationem adhuc urget, Antipatrum deplorando, & ut amicum inclamando: sed clàm custodia corpus munit. Laodicæa porrò capta à Cassio, uterq; ad eum proficiscitur, ac Herodes id operā dabat, ut Malichus ibi pœnas lueret. Ille uerò idagi suspicatus, filiū qui Tyri obses erat, suffurari, ac in Iudæam proficisci & regnū occupare cogitabat. Sed Herodes Malichi eō filio sagaci coiectura indagato, nuncio clàm Tyrum misso, tribunis militum persuadet, ut ad illum egrediātur, eumq; occidant. Nam à Cassio iam præscriptū habebant, ut Herodi ad res iustas adiumēto essent. Ita Malicho ab eis prope urbem cōfosso, Hyrcanus præ metu obmutuit. Deinde cum sibi reddito, id Cassij iussu factū esse responderetur: probauit cædem, illum improbum fuisse hominē & patriæ insidiatorem testatus. Cassio ex Syria aduersus Antonium profecto, Herodes uarijs in locis rē bene gessit, et Antigonū Aristobuli filiū fines Iudææ iam ingressum, prælio uictor, finib. regionis expulit. Vnde Hierosolyma ueniēs, & à populo & ab Hyrcano coronatur. cuius ex filia neptē, Alexandri Aristobuli filij natā, uxorē ducit: cum prius etiā Doridē popularē suā uxorē haberet, è qua filiū natu maximū Antipatrū susceperat. Antonius & Cæsar Bruto & Cassio ad Philippos uictis, alter in Galliā abit, Antonius in Asiā: qui cum Bithyniā attigisset, undique legationes ad eū uenerunt. Aderant & Iudæi, Phasaelū & Herodē accusaturi. Herodem uerò sui defendendi causa eò profectū, & munera offerentem, Antonius honorificè excepit, ne dicendi quidem potestate data accusatoribus. Inde Ephesum progresso Antonio, Hyrcanus auream coronam misit, petens, ut Iudæos, quos Cassius cōtra belli morē cæpisset, liberaret, & agros ab eodē ademptos restitueret. Cuius postulatis, q̀ ea æqua iudicaret, Antonius satisfieri iussit. Deinde in Syriam profectū, & Cleopatræ amore captū, Iudæorū c uiri potentissimi cōueniūt, Herodē & Phasaelū accusantes, Hyrcano etiā præsente. qui rogātē Antonio, utri populo rectius præessent: respondit, Phasaelum & Herodē, ut cuius socer esset. Proin de Antonius, ob paternum hospitium eis amicus, utrunq; tetrarcham appellauit, Iudææ administratione illis mandata. ac x ex accusatoribus in uincula coniectos occidisset, nisi fratres pro eis deprecati essent. Rursus mille uiri circa Tyrum Antonio occurrerunt. Is uerò muneribus iam antè cōciliatus, eius loci præfecto mandauit, ut Iudæos tāq; nouis reb. studētes supplicio afficeret.

Malichi cædes.

Herodes Antigono profligato Hyrcani neptem ducit.

Antonius Herodis accusatorib. non præbet audientiā.

Herodes uerò eos monuit, ut abire maturarent, ne graue malum experirentur: qui cum non auscultassent, Romani impetu in eos facto quosdam occiderunt, multos uulnerarunt, maxima uerò pars euitato periculo quieuit. Populo autem contra Herodem uociferante, iritatus Antonius, uinctos interfecit. Enimuerò Antigonus Pacoro Parthorum regi mille talenta & D mulieres pollicitus, si principatum Hyrcano ademptum sibi daret, & Herodem cum suis tolleret: à Parthis in Iudæam reductus est, quos* Herodes sæpius uicit. Sed rex Parthorū cum paucis equitibus urbem ingressus, per speciem componendæ seditionis, reuera ut Antigono opem ferret: Phasaelo hospiti suo persuadet, ut ad Barzapharmanem legatus eat. Phasaelus & Hytcanus legati eunt, duce eos comitante, sed Herode non probante. Ac principio à Barzapharmane sincerè accepti, pòst insidijs appetiti sunt, Phasaelo suspectos habente Barbaros, cum se noctu clàm custodiri animaduerterent, atque etiam indicatum esset, fuisse comprehendendos, nisi id Barbari distulissent, donec Herodes à Parthis qui Hierosolymis essent caperetur, ne cognito ipsorum statu elaberetur. Ac Phasaelo quidam suaserunt, ut statim aufugeret: Ophellius etiam, quòd mare in propinquo esset, naues ad fugam pollicebatur. Sed cum is Hytcanum deserere nollet, ambo comprehensi uinciuntur. Quo Herodes cognito, militib. suis, matre, sorore, desponsa sibi Hyrcani filia, eiusq; matre noctu assumptis, cum omni comitatu uersus Idumæam abit, deceptis hostibus. Cum autem uehiculo in itinere euerso, mater eius de uita periclitaretur: parum abfuit quin sibi ipsi manus afferret. Qua recreata, & ut tempus ferebat, curata, ad Masadam castellum strenuè pergit: interim etiam & Parthis persequentibus, & Iudæis insidiantibus superatis. Iam quia tanta multitudo eum comitabatur, quam Masada castellum, quò properabat, omnem capere non posset: maiori parte dato uiatico dimissa, cum expeditis & maximè necessarijs castellum ingreditur, ibi'que mulieribus & ministris cum sufficienti commeatu relictis, ipse ad Arabiç Petram contendit. Manè Parthi cùm alijs Hierosolymitarum ædibus, tum ipsa regia direptis, sola Hyrcani pecunia, quæ ad L X X X talenta erat, intacta, agros quoque uastarunt. Antigonus autem hoc modo in Iudæam reductus, Hyrcanum & Phasaelum captiuos accipit: & quia timebat ne populus regnum Hytcano restitueret, aures ei præcidit, cum lex sacrorum antistites integros esse iubeat. Phasaelus autem cum intellexisset se iugulatum iri, quia manus in uinculis erant, capite saxo illiso necem sibi cōsciuit, prærepta hosti occidēdi uoluptate. Sed

Antigonus à Pacoro Parthorū rege Hierosolyma reducitur.

Hyrcani mutilatio.

Phasaeli interitus.

ὁ δὲ Ἡρώδης ἀπιέναι ταχὺ αὐτοῖς συνεβούλευεν, ἵνα μὴ μεγάλου πειραθῶσι κακοῦ. ὡς δ' οὐχ ὑπήκουον, ἐκδραμόντων οἱ ῥωμαῖοι, τινὰς μὲν ἀπέκτειναν, πολλοὺς δ' ἐτραυμάτισαν· καὶ οἱ λοιποὶ διαφυγόντες, ἡσύχαζον. τοῦ δὲ δήμου καταβοῶντος ἡρώδου, παροξυνθεὶς ὁ ἀντώνιος, τοὺς δεδεμένους ἀπέκτεινεν. ἀντίγονος δὲ πακόρῳ τῷ πάρθων βασιλεῖ ὑπισχνεῖται χίλια δώσειν τάλαντα, καὶ γυναῖκας πεντακοσίας, εἰ τὴν ἀρχὴν ὑρκανὸν ἀφέλωνται, καὶ παραδῶσιν αὐτῷ, καὶ τοὺς περὶ ἡρώδην ἀνέλοιεν. διὰ ταῦτα ἐπὶ τὴν ἰουδαίαν κατάγοντες ἀντίγονον οἱ πάρθοι, ἐστράτευσαν· οἷς πολλάκις οἱ περὶ ἡρώδην συμμίξαντες, ἐκράτουν. ὁ δὲ τῶν πάρθων βασιλεὺς σὺν ὀλίγοις ἱππεῦσιν εἰς τὴν πόλιν ἧκεν, ὡς τάχα κατευνάσων τὴν στάσιν, τὸ δ' ἀληθὲς ὡς ἀντιγόνῳ συμπράξων. φασαήλου δὲ ξενίσαντος αὐτὸν, πείθει τὸν φασάηλον, παρὰ βαρζαφαρμάνην ἐλθεῖν πρεσβεύοντα. καὶ ᾤχοντο ὑρκανὸς καὶ φασάηλος πρεσβεύοντες, ἡρώδου μὴ συναινοῦντος. ὁ δὲ στρατηγὸς προὔπεμπε σφᾶς. καὶ ὁ βαρζαφαρμάνης τὸ μὲν πρῶτον γνησίως σφᾶς ὑπεδέξατο, εἶτα ἐπεβούλευε· καὶ οἱ περὶ φασάηλον εἰς ὑποψίαν ἦλθον κατὰ τῶν βαρβάρων. ἔγνων δὲ καὶ νύκτωρ λάθρα παρ' αὐτῶν φυλαττόμενοι. μεμήνυτο δ' αὐτοῖς, ὅτι καὶ συνελήφθησαν ἄν, εἰ μὴ ὑπερετίθεντο οἱ βάρβαροι, μέχρις ἂν ἡρώδης τοῖς ἐκεῖ πάρθοις ληφθείη, μὴ τὰ περὶ αὐτῶν μαθὼν διαφύγῃ. φασαήλῳ μὲν οὖν τινὲς συνεβούλευον εὐθὺς ἐξιππεύσασθαι· ὀφέλλιος δὲ καὶ πλοῖα πρὸς τὴν φυγὴν ὑπισχνεῖτο, ἐγγὺς γὰρ ἡ θάλασσα ἦν. ὁ δὲ ὑρκανὸν ἀπολιπεῖν οὐκ ἐβούλετο. συλλαμβάνονται οὖν, καὶ δεσμοῦνται. ἡρώδης δὲ τοῦτο μαθὼν, οὓς εἶχεν ὁπλίτας παραλαβὼν νυκτὸς, καὶ τὴν μητέρα, καὶ τὴν ἀδελφὴν, καὶ τὴν ἐγγεγυημένην αὐτῷ παῖδα τῆς ὑρκανοῦ θυγατρὸς, καὶ τὴν τῆς μνηστῆς ταύτης μητέρα, τήν τε θεραπείαν πᾶσαν, τὴν ἐπὶ ἰδουμαίαν ᾔει, τοὺς πολεμίους λαθών. τοῦ ζεύγους δὲ περιτραπέντος ἐν τῇ ὁδῷ, καὶ τῆς μητρὸς αὐτοῦ κινδυνευούσης ἀποθανεῖν, μικροῦ ἑαυτὸν διεχρήσατο. ἀναστρεψάμενος οὖν τὴν μητέρα, καὶ θεραπεύσας, ὡς ὁ καιρὸς ἤπειγεν, ἀξιώσας, ἐβάδιζε συντονώτερον πρὸς μασάδαν τὸ ἔρυμα. ἐν τῷ μέσῳ δὲ καὶ πρὸς πάρθους διώκοντας μαχεσάμενος, καὶ πρὸς ἰουδαίους αὖθις ἐπιθεμένους αὐτῷ, ἐνίκησε καὶ ἐκράτησε. τοῦ μέντοι πλήθους τοῦ συνεπομένου αὐτῷ πολλοῦ ὄντος, τοῦ δὲ τῆς μασάδας φρουρίου, πρὸς ὅπερ ἠπείγετο, οὐκ ἐξαρκοῦντος ἅπαντας ὑποδέξασθαι, τοὺς μὲν πλείους ἀπέλυσε, δοὺς σφίσιν ἐφόδια. ὅσοι δὲ ἦσαν κοῦφοι, καὶ τοὺς ἀναγκαιοτάτους ἔχων, εἰς τὸ ἔρυμα παραγίνεται· καὶ ἀφεὶς αὐτόθι τάς τε γυναῖκας, καὶ τὴν θεραπείαν ἀρκοῦντα τὰ ἐπιτήδεια ἔχοντας, αὐτὸς ἐπὶ τὴν πέτραν τῆς ἀραβίας ἐξώρμησεν. ἕωθεν δὲ τὰ μὲν ἄλλα τῶν ἱεροσολυμιτῶν οἱ πάρθοι διήρπαζον, καὶ αὐτὰ τὰ βασίλεια· μόνων δὲ ἀπείχοντο τῶν ὑρκανοῦ χρημάτων, ὄντων εἰς ὀγδοήκοντα τάλαντα, καὶ τὴν χώραν δὲ ἐκάκωσαν οἱ πάρθοι. ἀντίγονος μὲν οὖν οὕτω κατεχθεὶς εἰς τὴν ἰουδαίαν, ὑρκανὸν καὶ φασάηλον δεσμώτας παραλαμβάνει. φοβούμενος δὲ τὸν ὑρκανὸν, μὴ τὸ πλῆθος αὐτῷ τὴν βασιλείαν ἀποκαταστήσῃ, ἀποτέμνει αὐτοῦ τὰ ὦτα, τοῦ νόμου τοὺς ἱερᾶσθαι μέλλοντας ὁλοκλήρους εἶναι κελεύοντος. φασάηλος δὲ γνοὺς ἑαυτὸν μέλλοντα σφάττεσθαι, ἐπεὶ τὰς χεῖρας δεδέσμητο, πέτρᾳ προσαράξας τὴν κεφαλὴν, ἑαυτὸν ἐξήγαγε τοῦ βίου, τὴν δ' ἐκ τοῦ κτεῖναι αὐτὸν ἡδονὴν ἐστέρησε τὸν πολέμιον.

Περὶ πακόρου τοῦ πάρθων βασιλέως.

Διὰ τί ἀπετμήθη τὰ ὦτα ὑρκανοῦ. πῶς ὁ φασάηλος ἐτελεύτησεν.

τοῦ δὲ λέγειν τὸ παρὸν ἐκλειπούσης ἀκούσας, ὡς διέδρα τοὺς πολεμίους Ἡρώδης ὁ ἀδελφὸς, εὐθύμως ἀπέθανε, καταλιπὼν ἐκδικητὴν καὶ τῶν ἐχθρῶν τιμωρόν. Ἡρώδης δὲ πρὸς Μάλχον τὸν Ἀράβων ἔσπευδε βασιλέα, εὐεργετηθέντα πρότερον ὑπ' αὐτοῦ, ὡς παρ' αὐτοῦ ληψόμενος χρήματα εἰς λύτρον τοῦ ἀδελφοῦ. οὔπω γὰρ ἦν τὰ κατ' ἐκεῖνον μαθών. ἀγγείλαντος δὲ τοῦ Μάλχου αὐτῷ διὰ τάχους ἀναχωρεῖν, ὡς τῶν Πάρθων παραγγειλάντων μὴ δέχεσθαι αὐτὸν, ἀπεκρίνατο, μηδὲν ἐνοχλήσων ἥκειν, διαλεξόμενος δὲ περὶ τῶν ἀναγκαιοτάτων. καὶ ταῦτα εἰπὼν, ἀπῄει ἐπ' Αἴγυπτον, καὶ ἀπιὼν τὰ κατὰ τὸν ἀδελφὸν ἤκουσε. Μάλχῳ δὲ μετεμέλησε, καὶ ἔστειλε τοὺς ἀναστρέψοντας τὸν Ἡρώδην. ὁ δὲ πορρωτέρω ἦν, καὶ εἰς Αἴγυπτον κατευχθεὶς, κἀκεῖθεν εἰς Ῥώμην ἀφικόμενος, Ἀντωνίῳ φράζει τὰ αὐτῷ καὶ τῷ Φασαήλῳ συμβεβηκότα, καὶ ὡς Ἀντίγονος ὑπὸ Πάρθων εἰς τὴν βασιλείαν ἀνήχθη, χρημάτων ὑποσχέσει καὶ γυναικῶν, καὶ τἆλλα ὅσα ἔδρασέ τε καὶ ἔπαθεν. Ἀντώνιον δὲ οἶκτος εἰσέρχεται τῆς Ἡρώδου μεταβολῆς. καὶ Καῖσαρ διά τε ἄλλα, καὶ χαριζόμενος Ἀντωνίῳ τοῦ Ἡρώδου ὑπεραλγοῦντι, πρὸς συνεργίαν ἑτοιμότερος ἦν. παρεισαχθέντος οὖν τῇ βουλῇ τοῦ Ἡρώδου, τάς τε τοῦ πατρὸς αὐτοῦ διεξῄεσαν εὐεργεσίας, καὶ τὴν αὐτοῦ πρὸς Ῥωμαίους ἔλεγον εὔνοιαν. κατηγόρουν δὲ Ἀντιγόνου, καὶ πολέμιον ὠνόμαζον διά τε ἄλλα, καὶ ὅτι παρὰ Πάρθων ἔλαβε τὴν ἀρχὴν, τοὺς Ῥωμαίους ὑπεριδών. προσεπῆγε δὲ ὁ Ἀντώνιος, ὅτι καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον Ἡρώδην βασιλεύειν συμφέρει. καὶ ἔδοξε πᾶσι, καὶ ψηφίζεται. καὶ ὁ μὲν οὕτω τὴν βασιλείαν εἰλήφει, Ἀντίγονος δὲ τὴν Μασάδαν διὰ τέλους ἐπολιόρκει. οἱ δὲ ἐν αὐτῇ ἐσπάνιζον ὕδατος, ὡς καὶ τὸν ἀδελφὸν Ἡρώδου τὸν Ἰωσὴφ ἀποδρᾶναι βουληθῆναι σὺν διακοσίοις πρὸς Ἄραβας, ἀλλ' ἐπισχεθῆναι νυκτὸς γενομένου ὑετοῦ. Βεντίδιος δὲ ὁ Ῥωμαίων στρατηγὸς πεμφθεὶς ἐκ Συρίας Πάρθους ἀνείργειν, εἰς Ἰουδαίαν παρέβαλεν, ὡς συμμαχήσων δῆθεν τοῖς πολιορκουμένοις, τὸ δ' ὅλον ὡς παρὰ Ἀντιγόνου χρηματισόμενος. ὁ δ' οὖν πληρώσας τὸ βούλημα, ἀνεχώρησε· Σίλωνα δὲ μετὰ μέρους τῆς στρατιᾶς καταλέλοιπεν, ἵνα μὴ γένηται τὸ λῆμμα κατάφωρον. Ἡρώδης δὲ ἐκ τῆς Ἰταλίας εἰς Πτολεμαΐδα καταπεπλευκὼς, ἤλαυνεν ἐπ' Ἀντίγονον δύναμιν ἀθροίσας. ἑλὼν δ' ἐν τῷ μέσῳ τὴν Ἰόππην, ἵνα μηδὲν ἂν τοῖς ἐχθροῖς ἔρυμα, ἔσπευδεν εἰς Μασάδαν, τοὺς οἰκείους ῥυσόμενος· καὶ τούτους ἀναλαβὼν, πρὸς τὰ Ἱεροσόλυμα παρεγίνετο. συνῆν δὲ αὐτῷ καὶ τὸ μετὰ Σίλωνος στρατιωτικὸν, καὶ ἔξω ἐστρατοπεδεύσαντο· οἱ δὲ ἐντὸς ἀπὸ τοῦ τείχους μαχόμενοι, ἀνεῖργον αὐτοὺς ἀπὸ τῶν πύργων. καὶ ὁ Σίλων δὲ τῶν οἰκείων στρατιωτῶν τινὰς καταβοᾶν τοῦ Ἡρώδου ἐποίησε, διὰ σπάνιν τῶν ἀναγκαίων, ἐκίνει τε τὸ στρατόπεδον ὡς ἀναχωρήσων. ταῦτα δ' ἐποίει, τὸν Ἀντίγονον διὰ τὴν δωροδοκίαν αἰδούμενος. Ἡρώδης δὲ ἀξιοῖ μένειν αὐτὸν, καὶ ἐξωρμήσας πλῆθος ἐπιτηδείων ἐκόμισεν, ὥστε μηκέτι ὑπολιπεῖν Σίλωνι τῆς ἀναχωρήσεως πρόφασιν· καὶ οἱ μετ' αὐτοῦ ἐν ἀφθόνοις ἦσαν. Ἡρώδης δὲ παραγενόμενος εἰς Σαμάρειαν, ἐκεῖ τήν τε μητέρα καὶ τοὺς ἄλλους οἰκείους κατέθετο. αὐτὸς δὲ τὴν Γαλιλαίαν ἔχει τε, καὶ προσάγεται πᾶσαν αὐτὴν, πλὴν τῶν ἐν τοῖς σπηλαίοις κατοικούντων. ἦν δὲ τὰ σπήλαια ἐν ὄρεσι πάντοθεν ἀπερρωγόσι καὶ πέτραις ὀξείαις ἐμπεφραγμένα. καὶ τούτων δὲ δυσχερῶς μὲν ἀλλ' ὅμως ἐκράτησε. καταστήσας δὲ τὰ αὐτόθι ὁ βασιλεὺς, εἰς Σαμάρειαν ὥρμησεν, ὡς μάχῃ κριθησόμενος πρὸς Ἀντίγονον. ἐν τούτοις δὲ πεσόντος Πακόρου ἐν πολέμῳ, καὶ τῶν Πάρθων τραπέντων ὑπὸ Ῥωμαίων, πέμπει τῷ Ἡρώδῃ βοηθὸν Μαχαιρᾶν σὺν στρατιᾷ ὁ Βεντίδιος. καὶ τούτῳ μὲν ὁ Ἡρώδης τὸν ἀδελφὸν Ἰω-

σὴφ

Sed cum paulo antè q̃ expiraret, Herodē fratrē è manib. hostiū euasisse audiuisset, hilariter est mortuus, ultore & uindice relicto. Herodes aūt ad Malchū Arabiæ regē properabat, suo beneficio deuinctū, ut ab eo pecuniā ad redimēdum fratrē acciperet, quē mortuū esse adhuc ignorabat. Sed cū Malchus ei denūciasset, ne ueniret, sibi enim interdictū esse à Parthis, ne illū reciperet: respōdit, se nō adesse ut ei molestiā pareret, sed ut de reb. maximè necessarijs colloqueretur. His dictis, in Aegyptū abijt. atq; in eo itinere, quomodo cū fratre actū esset, cognouit. Cū aūt Malchus mutata sententia misisset, qui Herodē iter cōuertere iuberent: ille iā lōgissimè abierat, & ex Aegypto Romam profectus, suos & Phasaeli casus Antonio exponit, & ut Antigonus à Parthis in regnū collocatus sit pecuniarū & mulierū pactione, cæteraq; quæ ipse tū fecisset, tū perpessus esset. Motus est ob eā fortunæ cōmutationē Herodis misericordia Antonius. Cæsar quoq; tū ob alia, tū in Antonij gratiā casum Herodis perq̃ dolenter ferētis, alacrior factus ad suffragādū. Igitur Herode in senatū adducto, paterna beneficia, & ipsius erga Romanos beneuolētiā cōmemorant. Antigonū uerò ut hostē accusant, tùm ob alia, tū q̃ despectis Romanis regnū à Parthis accepisset: Antonio illud etiā adijciēte, è republica esse, ob Parthicū bellū, Herodē rerū potiri. Hac sentētia ab omnib. approbata, regnū Herodi decernitur: Antigono interea Masadā *cōtinēter obsidēte. ac obsessos aqua iā defecerat. & Iosephus Herodis frater cū cc ad Arabes aufugere decreuerat, sed nocturna pluuia cōsiliū id discussit. Ventidius porrò prætor à Romanis missus ad Parthos Syria pellēdos, in Iudæā abijt, per speciē obsessis auxiliādi, reuera ut ab Antigono pecuniā caperet, ac uoti cōpos factus, recessit, Silone cum parte copiarū relicto, ne largitio deprehēderetur. Herodes uerò ex Italia Ptolemaidē transuectus, collecto exercitu cōtra Antigonū ducens, obiter Ioppe capta, ne qua hostib. munitio relinqueretur, Masadā ad suos tuēdos properabat: ijsq; receptis, adiunctis etiam Silonis cohortib. extra Hierosolyma castra metatur. Iis aūt qui in urbe erant, ex propugnaculis hostes arcētibus, etiā Silo quosdā è suis subornauit, ut ob cōmeatus penuriā cōtra Herodē uociferarētur, castraq; mouit tanquā recessurus. Id eò faciebat, q̃ Antigonū ob largitionē reuerebatur. Herodes uerò ab illo petijt, ut maneret: & cōmeatus copiā attulit, ne qua Siloni causa discessus relinqueretur. Cū exercitui abundè prospectū esset, matre cæterisq; necessarijs Samariæ collocatis, Galilæā omnem sibi adiungit: ijs exceptis qui speluncas incolunt, undiq; acutis & præruptis petris obseptas. Tandem ijs quoq; licet difficulter potitus, rebus ibi ordinatis, Samariam redijt, ut acie cum Antigono decerneret. Interea Pacoro in prælio cæso, Parthisq; à Romanis profligatis: Ventidius Herodi Machærā cū legionib. auxilio mittit, apud quas Herodes fratre Iose-

pho

Herodes à Romanis Iudææ rex appellatus, Antigonū obsidet.

Ventidius Silo.

pho relicto, mandat, ne Martis aleã experiatur, ne'ue cum machæra contendat: ipse ad Antonium abit, Samosata urbem ad Euphratem sitam, oppugnantem. Cui cum appropinquasset, Antonius exercitum ei obuiam mittit: præsentem'que amplexus, Sosium ei opitulatum ire iubet. Iosephus uerò frater Herodis dum Hierichuntem properat, ab Antigoni militibus in angustijs exceptus, fortiter pugnans occumbit, omni amisso exercitu: cuius caput amputatum Antigonus fratri illius quinquaginta talentis uendidit. Galilæi quoque per defectionem Herodianos in lacu demerserunt, multa'que in Iudæa nouata sunt. Quibus rebus una cum cæde fratris in Daphne Antiochiæ nunciatis, Herodes properè in Galilæam profectus, hostibus profligatis, & in castellũ quoddam compulsis, Hierichuntem contendit ad necem fratris ulciscendam. Antigonus uerò Pappo duce cum copijs ad Samariam misso, opinionem hostibus eam afferre uoluit, quasi in opum affluentia bellum gereret. Sed Herodes illos acie uictos in uicum persecutus, omnes occidit quos adipisci potuit: cum'que ædes armatis complerentur, & multi in superiora confugerent, tectis ædium destructis, lapidibus milites qui infrà erant obruit. Ea re hostium animos ita fregit, ut statim cum exercitu Hierosolyma intrare potuerit, nisi tempestate magna impeditus esset. Et quia iam serum erat, in domuncula quadam lauit, uno tantum puero ministrante: in cuius interiorem partem, aliquot ex hostibus armati se abdiderant. Dum igitur rex lauat, unus stricto gladio progreditur, dein de alter, post alius, eodem modo armati: neque tamen quenquam percusserunt, ut in metu salutem quæsiuisse contenti. Huiusmodi periculo euitato, postridie Pappi iam interfecti caput amputatum, Pheroræ fratri pro Iosephi capite misit, Pappi manibus interfecti. Tempestate sedata, castris proximè Hierosolyma collocatis, & cura parandæ obsidionis certis hominibus mandata: Samariam abijt, ut eum Alexandri filia sponsa sua concumberet. Nuptijs absolutis, & ipse & Sosius cum exercitu ad Hierosolymorum mœnia profecti, aggeribus excitatis, adductis'que machinis muro deiecto, ijs qui intus erant ex desperatione magis quàm consilio resistentibus: primùm uiginti lecti milites, deinde Sosij centuriones mœnia conscendere. Ac prior murus diebus quadraginta, posterior quindecim est expugnatus. Capto etiam exteriore templo, & urbe inferiore, in templum interius & superiorem urbem confugerunt. Iis quoque expugnatis, cædibus referta fuerunt omnia. Antigonus uerò neque præsentis neque pristinæ fortunæ memor, turri relicta, Sosio supplex accidit. quem

Iosephi cædes.

Galilæorũ defectio.

Pappi cædes.

Herodes Hierosolymis potitur, regnũ stabilit.

σὰφ καταλέλοιπεν, ἐν τῷ λέμβῳ μὴ ἀποκινδυνεύειν, μηδὲ τῇ μαχαίρᾳ διαφέρεσθαι· αὐτὸς δὲ πρὸς ἀντώνιον ἀπῄει, πολιορκοῦντα σαμόσατα, πόλιν τῶν περὶ εὐφράτην. ὡς δὲ ἤγγιζεν ὁ ἡρώδης, πέμπει τὸ στράτευμα ὑπαντησόμενον αὐτῷ ὁ ἀντώνιος, καὶ περιέπει ἀσπαζόμενος, καὶ σοσσίῳ συμμαχεῖν αὐτῷ ἐντέλλεται· καὶ ὃς τὸ κεκελευσμένον ἐπλήρου. ἰωσὴφ δὲ ὁ ἀδελφὸς ἡρώδου ἐπὶ ἱεριχοῦντα σπεύδων, περιπίπτει τοῖς ἀντιγόνου, καὶ ἐν δυσχωρίαις ἀποληφθεὶς, θνήσκει γενναίως μαχόμενος, καὶ ἅπαν ἀπέβαλε τὸ στράτευμα. ἀντίγονος δὲ τὴν αὐτοῦ τεμὼν κεφαλὴν, τῷ ἀδελφῷ αὐτοῦ φερώρᾳ ἀποδίδωσι ταλάντων πεντήκοντα. ἀποστάντες δὲ οἱ γαλιλαῖοι, τοὺς τὰ ἡρώδου φρονοῦντας ἐν τῇ λίμνῃ κατεπόντωσαν, καὶ τῆς ἰουδαίας ἐνεωτερίσθη πολλά. ἠγγέλη δὲ ταῦτα ἡρώδῃ καὶ ἡ τοῦ ἀδελφοῦ τελευτὴ ἐν δάφνῃ τῆς ἀντιοχείας. ἐπειγομένῳ οὖν, ὡς κατὰ γαλιλαίαν ἐγένετο, συνῄντησαν αὐτῷ οἱ πολέμιοι, καὶ ἡττηθέντες, κατεκλείσθησαν εἴς τι χωρίον. ὁ δὲ ἔσπευδεν εἰς ἱεριχοῦντα, τιμωρήσασθαι θέλων αὐτοὺς διὰ τὸν ἀδελφόν. ἀντίγονος δὲ ἐπὶ τὴν σαμάρειαν πέμπει στρατηγὸν πάππον ὄνομα, σὺν δυνάμει, παρέχων τοῖς ἐναντίοις δόξαν πολεμοῦντος ἐκ περιουσίας. καὶ ἡρώδης ἦλθεν ἐπὶ τὸν πάππον, καὶ συμβαλὼν τοῖς πολεμίοις κρατεῖ, καὶ ἡττηθέντες φεύγουσιν εἰς τὴν κώμην, κτείνων οὓς ἂν καταλάβοι. πεπληρωμένων δὲ τῶν οἰκιῶν ὁπλιτῶν, καὶ πολλῶν ἐπὶ τὰς στέγας ἀναφυγόντων, τοὺς ὀρόφους τῶν οἴκων καθαιρῶν, ἐκράτει τούτων. καθαιρουμένων δὲ τῶν ὀρόφων, ἔμπλεα ἑωρῶντο τὰ κάτω στρατιωτῶν, οὓς λίθοις ἄνωθεν βαλόντες ἔκτανον. τοῦτο τὰ τῶν πολεμίων φρονήματα ἔθραυσε· καὶ ἧκεν ἂν εἰς ἱεροσόλυμα ὁ ἡρώδης μετὰ τῆς στρατιᾶς αὐτίκα, καὶ τὸ πᾶν ἐξειργάσατο, εἰ μὴ χειμὼν ἐπέσχε βαθύς. τότε ὀψίας οὔσης, ὁ βασιλεὺς ἡρώδης εἴς τι δωμάτιον εἰσελθὼν, πρὸς λουτρὸν ἦν, καὶ ἀποδυσάμενος ἐλούετο, ἑνὸς αὐτῷ ὑπηρετουμένου παιδός· κατὰ δέ γε τὸ ἐνδότερον οἴκημα τῶν πολεμίων τινὲς συμπεφευγότες ὡπλισμένοι, ἐκεῖ διὰ φόβον ἐκρύπτοντο. καὶ μεταξὺ λουομένου τοῦ βασιλέως, εἷς τις ἐξέρχεται ξίφος ἔχων γυμνὸν, καὶ μετ' αὐτὸν ἄλλος, καὶ αὖθις ἕτερος, ὁμοίως ὡπλισμένοι, οὐδένα πλήξαντες τῶν ἡρώδου, ἀγαπῶντες δὲ εἰ αὐτοὶ σωθεῖεν. τοιοῦτον ἔφυγε κίνδυνον ὁ ἡρώδης. τῇ δ' ὑστεραίᾳ τὴν τοῦ πάππου τεμὼν κεφαλὴν, ἤδη ἀνῃρημένου, ἔπεμψε φερώρᾳ τῷ ἀδελφῷ ἀντὶ τῆς κεφαλῆς ἰωσήφ· οὗτος γὰρ ἦν ὁ πάππος, αὐτόχειρ ἐκείνου γενόμενος. λήξαντος δὲ τοῦ χειμῶνος, ἀφικνεῖτο πρὸς ἱεροσόλυμα, καὶ στρατοπεδεύεται τῆς πόλεως ἐγγίστα· καὶ καταλιπὼν ἐκεῖ τοὺς τὰ πρὸς τὴν πολιορκίαν ἑτοιμάσοντας, αὐτὸς εἰς σαμάρειαν ᾤχετο, τῇ ἀλεξάνδρου θυγατρὶ συνευνασθησόμενος, ἤδη κατεγγυηθείσῃ αὐτῷ, ὡς εἴρηται. μετὰ δὲ τοὺς γάμους ἀφικνεῖτο ἐκ σαμαρείας, ἅμα δὲ σὺν στρατιᾷ καὶ ὁ σόσσιος, καὶ πρὸς τὸ τεῖχος τῶν ἱεροσολύμων ἀθροίζονται, καὶ χώματα ἐγείραντες, καὶ πολιορκητικὰς μηχανὰς προσάγοντες, τὸ τεῖχος κατέσειον. καὶ οἱ ἐντὸς δὲ ἀπονοίᾳ μᾶλλον ἢ προνοίᾳ ἀντικαθίσταντο στρατηγούμενοι, ἀναβαίνουσι ἐπὶ τὸ τεῖχος πρῶτον μὲν λογάδες εἴκοσιν, εἶτα ἑκατοντάρχαι σοσσίου. ἡρέθη δὲ τὸ μὲν πρῶτον τεῖχος ἡμέραις τεσσαράκοντα, τὸ δὲ δεύτερον πεντεκαίδεκα. ἁλόντος δὲ τοῦ ἔξωθεν ἱεροῦ, καὶ τῆς κάτω πόλεως, εἰς τὸ ἐντὸς ἱερὸν καὶ τὴν ἄνω πόλιν ἰουδαῖοι συνέφυγον. ἑάλω δὲ καὶ ταῦτα, καὶ ἦν ἅπαντα φόνων μεστά. ὁ δὲ ἀντίγονος μήτε τῆς τότε τύχης μήτε τῆς πάλαι μεμνημένος, κάτεισιν ἐκ τῆς βάρεως, καὶ τοῦ σοσσίου τοῖς ποσὶ προσπίπτει.

κἀκεῖνος

ἐκεῖνος μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολὴν, καὶ ἐπεκρότησε, καὶ Ἀντιγόνην ἐκάλεσε, καὶ δήσας ἐν φυλακῇ εἶχεν. ὁρμήσαντας δὲ τῶν συμμάχων ἐπὶ θέαν τοῦ ἱεροῦ καὶ τῶν ἱερῶν τὸν ναὸν ἁγίων, ὁ βασιλεὺς Ἡρώδης τοὺς μὲν παρακαλῶν, τοῖς δὲ ἀπειλῶν, ἔστι δὲ καὶ τοῖς ὅπλοις ἀνέστελλεν, ἐκώλυέ τε καὶ τὰς κατὰ τὴν πόλιν ἁρπαγὰς, αὐτὸς τοὺς μισθοὺς δώσειν ἑκάστοις οἴκοθεν ὑπισχνούμενος. καὶ οὕτω τὸ λοιπὸν περισώσας τῆς πόλεως, τὰς ὑποσχέσεις ἐπλήρωσεν. αὐτῷ δὲ Σοσσίῳ βασιλικώτατα ἐδωρήσατο, ὃς ἀνέζευξεν ἐξ Ἱεροσολύμων τῷ Ἀντωνίῳ δεσμώτην ἄγων Ἀντίγονον. δείσας δ᾽ Ἡρώδης, μὴ κομισθεὶς εἰς Ῥώμην Ἀντίγονος, δικαιολογήσηται πρὸς τὴν σύγκλητον, ἑαυτὸν μὲν ἐκ βασιλέων ἀποδεικνύων, Ἡρώδην δὲ ἰδιώτην, καὶ ὡς ἐὰν αὐτὸς εἰς Ῥωμαίους ἐξήμαρτε, προσήκειν ἡ βασιλεία τοῖς αὐτοῦ παισί· πείθει χρήμασι πολλοῖς τὸν Ἀντώνιον, ἀνελεῖν τὸν Ἀντίγονον. καὶ ὁ μὲν ἀνῄρετο, ἡ δὲ ἀρχὴ ἐκ τοῦ τῶν Ἀσαμωναίων γένους ἀφῄρετο, ἐπ᾽ ἔτεσιν ἑκατὸν καὶ εἴκοσι διαρκέσασα· μετέστη δὲ εἰς Ἡρώδην τὸν Ἀντιπάτρου, ἰδιωτικοῦ τυγχάνοντα γένους, καὶ οἰκίας δημοτικῆς. οὕτω δὲ τῆς ὅλης Ἰουδαίας Ἡρώδης ἀνειλημμένος τὴν ἀρχὴν, τοὺς μὲν τὰ αὐτοῦ φρονοῦντας προσήγετο, τοὺς δὲ ἀντικειμένους ἐκόλαζεν. ἐτίμα δὲ μάλιστα Πολλίωνα τὸν Φαρισαῖον, καὶ Σαμαίαν τὸν τούτου μαθητήν. τῆς γὰρ πολιορκίας συνισταμένης [?], συνεβούλευον ὑποδέξασθαι τὸν Ἡρώδην. ὁ δὲ Σαμαίας οὗτος, ὡς ἤδη ἔμπροσθεν εἴρηται, καὶ προεῖπεν Ὑρκανῷ τε καὶ τοῖς δικάζουσιν, ὡς περισωθεὶς Ἡρώδης, ἅπαντας αὐτοὺς μετελεύσεται. ἀπέκτεινε δὲ τῶν τοῦ Ἀντιγόνου τεσσαράκοντα τοὺς πρώτους, καὶ τὰς αὐτῶν οὐσίας ἀφείλετο, ὕβρεις τε κακῶν ἦν οὐδέν. Ὑρκανὸς μέντοι παρὰ Πάρθοις αἰχμάλωτος ὢν, φιλανθρωπίας ἔτυχε τοῦ Πάρθων βασιλέως Φραάτου· καὶ λυθεὶς τῶν δεσμῶν, ἐν Βαβυλῶνι διῆγεν παρακεχωρηθεὶς, ἔνθα καὶ πλῆθος ἦν Ἰουδαίων, οἳ τὸν Ὑρκανὸν ὡς ἀρχιερέα καὶ βασιλέα ἐτίμων. μαθὼν δὲ τὸν Ἡρώδην παρειληφέναι τὴν βασιλείαν, ἐβούλετο μεταχωρῆσαι πρὸς αὐτὸν διά τε τὸ κῆδος, καὶ μνησθήσεσθαι οἰηθεὶς [?] αὐτὸν, ὅτι κρινόμενον ἐπὶ φόνοις τοῦ κινδύνου ἐρρύσατο. οἱ δ᾽ ἐν Βαβυλῶνι Ἰουδαῖοι μένειν ἠξίουν αὐτὸν, ὡς ἀρχιερέα καὶ βασιλέα τιμώμενον παρ᾽ αὐτῶν, καὶ ὅτι καὶ ὡς πάλιν [?] τυχεῖν τῆς ἀρχιερωσύνης ἀδύνατον, λελωβημένος τὸ σῶμα ὑπ᾽ Ἀντιγόνου. οἱ μὲν οὖν ἐκώλυον· ὁ δ᾽ οὐκ ἐπείθετο, αὐτός τε ποθῶν ἐπανελθεῖν, καὶ παρὰ Ἡρώδου παρακαλούμενος. Ἡρώδης δὲ καὶ πρὸς Φραάτην πρεσβείαν ἐποιήσατο, καὶ δῶρα ἔπεμψεν, ἀξιῶν μὴ κωλῦσαι τὰς εἰς τὸν εὐεργέτην αὐτοῦ χάριτας. ἦν δὲ οὐχ ὑπὲρ Ὑρκανοῦ ἡ σπουδὴ, ἀλλ᾽ ὅτι μὴ κατ᾽ ἀξίαν ἦρχεν, ἐδεδίει τὰς τῶν εὐλόγων μεταβολὰς, καὶ ἔσπευδεν ἢ ἐκ ποδῶν θέσθαι τὸν Ὑρκανὸν, ἢ τέως ὑποχείριον ἔχειν. συγχωρήσαντος δὲ τοῦ Πάρθου τὴν ἀναχώρησιν, ἀπελθὼν Ὑρκανὸς, διὰ πάσης ἤγετο τιμῆς πρὸς Ἡρώδου, πατήρ τε καλούμενος, καὶ παρὰ τὰς ἑστιάσεις προκατακλινόμενος, καὶ παντοίως ἐξαπατώμενος, ἵνα μὴ ἐπιβουλευόμενος αἴσθηται. εὐλαβούμενος δ᾽ ὁ Ἡρώδης, τῶν ἐπισήμων τινὰ ἀποδεῖξαι ἀρχιερέα, ἐκ Βαβυλῶνος μεταπεμψάμενος ἱερέα τῶν ἀσημοτέρων, Ἀνάηλ ὄνομα, τούτῳ τὴν ἀρχιερωσύνην ἀπένειμεν. Ἀλεξάνδρα δὲ ἡ πενθερὰ Ἡρώδου, παῖδα ἔχουσα Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου, ὥρᾳ κάλλιστον, καλούμενον Ἀριστόβουλον, χαλεπῶς ἔφερε τὴν παρόρασιν τοῦ υἱοῦ· καὶ γράφει τῇ Κλεοπάτρᾳ, αἰτήσασθαι τῷ παιδὶ παρ᾽ Ἀντωνίου τὴν ἀρχιερωσύνην. Ἀντωνίου δὲ ῥᾳθύμως διατεθέντος πρὸς τὴν αἴτησιν, ἐς Ἰουδαίαν ἐλθὼν Δέλλιος,

ἀναίρεσις ἀντιγόνου.

quem ille, tantę mutationis nihil misertus, cum plausu manuum, Antigonem appellat, & uinctum in custodiā tradit. Herodes socios ad tēplum & sacrarij adytū spectandū properantes, partim rogando, partim minitando, partim armis sustinuit, & direptionē urbis prohibuit, se de suo stipendia soluturū omnibus pollicitus. Reliquijs urbis ita conseruatis, promissa præstitit, ipsum Sosiū plus ꝙ regia liberalitate prosecutus: qui cū Hierosolymis recedēs, Antigonū ad Antoniū in uinculis duceret, ueritus Herodes, ne ille Romā perductus apud patres conscriptos pro sua defensione afferret, se regib. esse oriundū, Herodē uerò hominē priuatū, ac ut ipse in Romanos deliquerit, regnū tamē ad suos filios pertinere: magna pecunia data ab Antonio impetrat, ut Antigonū occidat. Eo sublato, principatus Asamonæorū familiæ ademptus, quē per annos C & XX tenuerat, ad Herodem transijt, Antipatri filiū, ex genere priuato & plebeia domo ortū. Sic Herodes totius Iudææ imperio potitus, sui studiosos fouit, aduersarios supplicijs affecit. Pollioni Pharisæo & Sameæ illius discipulo honorem in primis habuit: qui cū urbs obsideretur, deditionis faciēdæ autores fuerant. Samæas porrò, ut suprà narratū est, Hyrcano & iudicib. prędixerat, Herodē cōseruatū, ipsos omnes ulturū esse. Occidit aūt ex Antigoni factione circiter XL principes, bonis etiam ereptis, nec malorū ullus finis fuit. Enimuerò Phraates Parthorū rex Hyrcanū captiuū benignè habuit, et uinculis solutū Babylone degere permisit, ubi à gēte Iudaica & pōtificio et regio honore colebatur. Sed cū Herodē regnū successisse audiuisset, discedere statuit: illū cùm ob affinitatē, tum ꝙ cędis reū periculo exemisset, sui rationē habiturū esse ratus. Quod etsi Babylonij Iudęi dissuadebant, tū ꝙ à se pro rege et pontifice coleretur, tū ꝙ Hierosolyma reuersus, ob mutilatū ab Antigono corpus sacerdotio fungi nō posset: tamē suū desiderium, & Herodis preces, illorū monitis prętulit. nā Herodes etiā à Phraate ꝑ legatos missis munerib. petierat, ne obstaret, quo minus uiro de se bene merito gratiā referret. Neq; uerò Hyrcani cōmodū spectabat: sed quia regnū alienū tenebat, mutationes haud ab re ueritus, id dabat operam, ut aut Hyrcanū è medio tolleret, aut in sua potestate haberet. Reditu à Parthis impetrato, Hyrcanus perquàm honorificè ab Herode habebatur, cū & pater appellaretur, & prior accūberet in cōuiuijs, et omni genere calliditatis deciperetur, ne insidias parari sibi animaduerteret. Herodes porrò aliquē ex illustriorib. pontificē designare ueritus, Anaeli cuidā obscuro sacerdoti, quē Babylone accersierat, pontificatum tradit. Alexandra uerò socrus Herodis, filiū suum Aristobulum, puerū formosissimum, Alexandro Aristobulo filio natum, præteritū esse ęgrè ferens, à Cleopatra petit, ut filio pontificatū impetret ab Antonio: quib. precibus segnius ab illo acceptis, Dellius

Antigonus impulsu Herodis ab Antonio occiditur.

Pollio.
Sameas.

Hyrcanus relicta Babylone, temerè se fidei Herodis committit.

Aristobulus Anaelo moto, pontifex designatur.

Dellius in Iudæā profectus, Aristobuli & Mariamnę coniugis Herodis formam admiratus, Alexandræ persuadet, ut amborum liberorum imagines Antonio mittat: quibus ille conspectis, nihil non concessurus esset. Antonius imaginibus acceptis, puellam Herodi nuptam accersere uerecundatus, etiam Cleopatræ criminationes declinans, ad Herodem scribit, ut sibi puerū mittat, cum hac appēdice, Nisi graue ipsi uideretur. Herodes uerò minimè è re sua esse ratus, si Aristobulus adolescens formosissimus & nobilissimus ad Antonium Romanorū potentissimum, qui facilè amoribus irretiretur, & ad uoluptates propensus esset, mitteretur: rescripsit, si adolescens Iudæa excessisset, omnia tumultu fore plena. itaq; se Antonio excusauit: & amicis conuocatis, Alexandram incusauit, tanquam regnum sibi fraude eripere conātem. Se tamen propterea nō iniustum fore dixit, sed iam adolescenti pontificatum daturum: qui cū pridem planè puer esset, propterea se alium pōtificem interea designasse. Quæ cū dixisset, Alexādra & lætitia & metu affecta est. lætitia, ob filij honorē: timore, ob Herodis suspicionem. seq; cum lachrymis excusauit, se pontificatum quidem appetiuisse, regnum autem nō affectasse: ac iam honorē filio tributū amplecti, et morigerā in omnib. ei se futurā pollicita est. Sic inter se collocuti, discesserūt, quasi omnis suspicio sublata esset scilicet. Pōtificatu puero Aristobulo tradito, Herodes res domesticas cōstituēdi cupidus, Alexādrā, quā suspectā habebat, in regia degere iussit, neq; suapte autoritate quicq; agere.

Alexandræ fuga deprehenditur.

Quæ cū accuratè à quibusdā obseruaretur, exasperata, et quiduis potius tolerādū rata, q̃ uitā seruilē & solicitā, Cleopatræ opem implorat, statu rerū suarū exposito. Quæ cū eā cū filio ad se confugere iussisset: duab. cistis quasi ad efferēdū funus præparatis, in eas se & filiū includere statuit. quas seruis rei cōscijs mandauit, ut noctu ad mare deferrēt, ubi paratā nauim habebāt, qua in Aegyptū nauigarēt. Id cōsilium Herodes è quodā seruorū illius cognitū, eousque progredi passus est, donec in ipsa fuga deprehenderētur. ac delictū id nō tam humanitate, q̃ Cleopatræ metu adductus, illis condonauit.

Aristobulus pontifex per insidias suffocatur.

Sed cū omnino in animo haberet è medio tollere adolescētē, accidit ut is annū ætatis XVII agens, in festo tabernaculorum pontificia stola ornatus, aram ad immolādas uictimas conscenderet, ac populus impetu quodam ad eius beneuolētiā ferretur tū ob formā & corporis magnitudinē, tum ob familię dignitatē, ac simul et gauderet et mœreret, & faustis acclamationib. preces misceret. His reb. cōmotus Herodes, magis etiā id cōsiliū ursit, quod cōtra illū cœperat. festoq; peracto, post cōuiuium ei se iucūdū præbuit, iuueniliter ac festiuè collusit, ac in piscina unà cum eo natauit. Verùm Herodis amici, arcani conscij, quasi per iocum Aristobulum premere & mergere non prius destiterunt, quàm suffocassent. Eo nondum annos nato XVIII sic

Δέλλιος, καὶ ἰδὼν τὸν ἀριστόβουλον, ἠγάσθη, οὐχ ἧττον δὲ τὴν μαριάμμην τὴν συνοικοῦσαν τῷ βασιλεῖ· καὶ πείθει τὴν ἀλεξάνδραν, ἀμφοτέρων τῶν παίδων εἰκόνας πρὸς ἀντώνιον στεῖλαι· θεασάμενος γάρ, εἶπε, μή τινος ἀτυχήσειν ὧν ἀξιοῖ. ἡ μὲν οὖν πέμπει τὰς εἰκόνας τῷ ἀντωνίῳ. ὁ δὲ τὴν μὲν κόρην ᾐδέσθη μεταπέμψασθαι γεγαμημένην ἡρώδῃ, καὶ ἅμα τὰς εἰς κλεοπάτραν διαβολὰς ὑπεξέκλινεν. ἐπέστειλε δὲ τῷ ἡρώδῃ, πέμψαι τὸν παῖδα, προσθέμενος, εἰ μὴ δοκοίη βαρύ. ἡρώδης δὲ ἀσύμφορον ἑαυτῷ κρίνας, ὡραιότατον ὄντα τὸν ἀριστόβουλον, καὶ γένει προύχοντα, πρὸς ἀντώνιον ἥκειν, ἰσχύοντα ὡς οὐδεὶς ῥωμαίων, ἕτοιμον δὲ πρὸς ἔρωτας, καὶ πρὸς ἡδονὰς εὐκατάφορον, ἀντέγραψεν, ὡς εἰ ἐξέλθοι τῆς χώρας τὸ μειράκιον, ἅπαντα ταραχῆς ἐμπλησθήσονται. καὶ οὕτω μὲν παρῃτήσατο τὸν ἀντώνιον· τοὺς δὲ φίλους ἀθροίσας, ᾐτιᾶτο τὴν ἀλεξάνδραν, ὡς ἐπιβουλεύουσαν, ἵν᾽ αὐτὸς ἀφαιρεθῇ τὴν ἀρχήν. ἀλλ᾽ οὐκ αὐτός, ἔφη, διὰ τοῦτο ἄδικος ἔσομαι, ἀλλὰ νῦν δίδωμι τὴν ἱερωσύνην τῷ μειρακίῳ· παιδὸς γὰρ ὄντος παντάπασι πρώην, διὰ τοῦτο ἑτέρῳ ἀρχιερατείαν ἐποίησα. οὕτως εἰπόντος, χαρὰ ἅμα καὶ δέος τὴν ἀλεξάνδραν εἶχε· χαρὰ μέν, διὰ τὴν τιμὴν τοῦ παιδός. δέος δέ, διὰ τὴν ὑποψίαν ἡρώδου. καὶ ἀπελογεῖτο δακρύουσα, περὶ μὲν τῆς ἱερωσύνης σπουδάσαι, βασιλείας δὲ μὴ ἐπιχειρῆσαι· καὶ νῦν δέχεσθαι εἰς τὸν υἱὸν τὴν τιμήν, ἔσεσθαι δὲ πρὸς πᾶν ὑπήκοος διεβεβαιοῦτο. οὕτως ὁμιλήσαντες διελύοντο, ὡς πάσης δῆθεν ὑποψίας ἐξηρημένης. τῆς δ᾽ ἀρχιερωσύνης ἐπὶ παιδὶ δοθείσης ἀριστοβούλῳ, ἔδοξε τὰ κατὰ τὴν οἰκίαν θεραπεῦσαι. ἡρώδης δὲ ἡ ἀλεξάνδρα ὕποπτος ἦν, καὶ ἐν τοῖς βασιλείοις διατρίβειν αὐτὴν ἀπέταξε, καὶ μηδὲν ἐπ᾽ ἐξουσίας δρᾶν, καὶ ἐπιμελῶς αὐτὴν ἔταξέ τινας φυλάσσοντας. ἡ δ᾽ ἐξηγριοῦτο, πᾶν ὁτιοῦν ὑπομένειν προκρίνουσα, ἢ μετὰ δουλείας καὶ φόβου βιοῦν. καὶ τὴν κλεοπάτραν παρεκάλει ἐπικουρεῖν, τὰ ἐν οἷς ἦν δηλοῦσα. ἡ δὲ σὺν τῷ παιδὶ πρὸς αὐτὴν ἀποδρᾶσαι ἐκέλευε. δύο γοῦν λάρνακας παρασκευασαμένη ὡς εἰς ἐκκομιδὴν σωμάτων νεκρῶν, ταύταις ἔμελλεν ἑαυτὴν καὶ τὸν υἱὸν ἐμβαλεῖν, ἐπιτάξασα τοῖς συνειδόσι τῶν οἰκετῶν, νυκτὸς ἐκφέρειν καὶ κομίζειν πρὸς θάλασσαν, ἔνθα καὶ πλοῖον αὐτοῖς ᾧ πλεῖν ἐπ᾽ αἴγυπτον ἔμελλον παρεσκεύαστο. ταῦτα ὁ ἡρώδης ἔκ τινος τῶν οἰκετῶν ἐκείνης μαθών, καὶ προελθεῖν ἐάσας μέχρι τῆς ἐγχειρήσεως, ἐπ᾽ αὐτῇ τῇ πράξει τοῦ δρασμοῦ συνέλαβε. ἠφίει δὲ τὸ ἁμάρτημα φόβῳ τῆς κλεοπάτρας, ἀλλ᾽ οὐκ ἐπιεικείᾳ. ἐδέδοκτο δ᾽ αὐτῷ ἐκ ποδῶν ποιήσασθαι τὸ μειράκιον. ἕβδομον οὖν καὶ δέκατον γεγονὸς ἔτος, ἀνῆλθεν ἐπὶ τὸν βωμόν, θύσων κατὰ τὴν τῆς σκηνοπηγίας ἑορτήν, ἐστολισμένον ἀρχιερατικῶς. ὁρμὴ δὲ τῷ πλήθει πρὸς αὐτὸν εὐνοίας ἐγένετο διά τε τὸ κάλλος, καὶ τὸ τοῦ σώματος μέγεθος, καὶ τὸ τοῦ γένους ἀξίωμα, ἔχαιρόν τε ἅμα καὶ συνεχέοντο, καὶ φωνὰς εὐφήμους ἀφίεσαν εὐχαῖς μεμιγμένας. τούτοις κινηθεὶς ἡρώδης, μᾶλλον εἴχετο τῆς κατὰ τοῦ μειρακίου σκοποῦ. καὶ τῆς ἑορτῆς παρελθούσης, μεθ᾽ ἑστίασιν φιλοφρονούμενος τὸ μειράκιον, συνανεδύετο καὶ προσέπαιζεν αὐτῷ χαριζόμενος, κἀν ταῖς κολυμβήθραις ἐνήχοντο. οἱ δ᾽ ἡρώδου φίλοι συννηχόμενοι ὡς ἐν παιδιᾷ, οἱ συνάπτειν τὸ ἀπόρρητον, οὐκ ἀνῆκαν συμπαίζοντες ἀεὶ τὸν ἀριστόβουλον καὶ βαπτίζοντες, μέχρι τοῦ ἀποπνῖξαι. καὶ ὁ μὲν οὕτως ὤλετο, ἄρτι τὸν ὀκτωκαιδέκατον ἀνύσας ἐνιαυτόν.

Περὶ δὲ ἀρχιερωσύνης ἀριστοβούλῳ τῇ οἰκείᾳ. ὅπως ἡ ἀλεξάνδρα ἔγραψε διὰ κλεοπάτρας, καὶ ἡρώδῃ.

ὅπως ἀπεπνίγη ἀριστόβουλος.

enecato,

ἐνιαυτόν· πᾶσι δὲ τὸ πάθος οἰκεῖα νενόμιστο συμφορά. καὶ ἀλεξάνδρα συνεῖσα καὶ τὴν αἰτίαν τῆς ἀπωλείας, ἔτι μᾶλλον τῷ πάθει συνείχετο, ἐνεκαρτέρει δὲ φόβῳ κακῶν ἑτέρων. ἡρώδης δὲ πάντα ἐπετήδευεν, ἀποσκευαζόμενος τὴν ὑπόνοιαν, καὶ δακρύων, καὶ συγχεόμενος, καὶ πολυτελῆ τὴν ἐκφορὰν ἐνδεικνύμενος. ἀλεξάνδρα δὲ τούτων οὐδενὶ ἐμαλάττετο, ἀλλὰ τῇ κλεοπάτρᾳ γράφει τὴν ἐξ ἐπιβουλῆς ἡρώδου τοῦ υἱοῦ ἀπώλειαν. ἡ δὲ τὸν ἀντώνιον ἠρέθιζε, τίσασθαι τὸν τοῦ παιδὸς φόνον. πέμπει οὖν ἀντώνιος, κελεύων ἐλθεῖν ἡρώδην εἰς λαοδίκειαν, καὶ ἀπολογήσασθαι. ὁ δὲ τὴν αἰτίαν δεδιὼς, καὶ τὴν κλεοπάτρας δυσμένειαν, ἀπιὼν ἰωσὴφ, τὸν θεῖον αὐτοῦ ἐπίτροπον τῶν ἐκεῖ πραγμάτων καταλιπὼν, ἐντειλάμενος λάθρα, εἰ πάθοι τι παρ' ἀντωνίου αὐτὸς, αὐτίκα τὴν μαριὰμ ἀνελεῖν, ἵνα μὴ τεθνηκότος αὐτοῦ, ἑτέρῳ διὰ τὴν ὡραιότητα γένηται. ἡρώδης μὲν οὖν ἀπῄει. ἰωσὴφ δὲ τὰ τῆς ἀρχῆς διοικῶν, καὶ συνεχῶς ἐντυγχάνων τῇ μαριὰμ καὶ τῇ ἀλεξάνδρᾳ, τὴν πρὸς τὴν μαριὰμ διηγεῖτο τοῦ βασιλέως διάθεσιν. εἰρωνευομένων δ' ἐκείνων πρὸς τοὺς λόγους, προήχθη καὶ τὸ τῆς ἐντολῆς ἐκφῆναι ἀπόρρητον. τὸ δὲ μᾶλλον εἰς πλείω τὰς γυναῖκας ἐνῆγεν ἀπόνοιαν. γίνεται δὲ καὶ λόγος παρὰ τῶν ἀπεχθανομένων ἡρώδῃ, ὡς ἐκτάνοιεν αὐτὸν ὁ ἀντώνιος. ἐν τούτοις γράμματα ἐξ ἡρώδου ἀφίκετο, τὴν ἀντωνίου τιμὴν τὴν πρὸς αὐτὸν διηγούμενα, καὶ ὡς συνεδρεύει αὐτῷ ἐν ταῖς διαγνώσεσι, καὶ ὡς συνεστιᾶται, καὶ ὅτι τούτων τυγχάνει, καίτοι τῆς κλεοπάτρας χαλεπῶς ἐχούσης αὐτῷ πρὸς διαβολήν. τούτων τῶν γραμμάτων κομισθέντων, ἡ ψευδὴς ἐπαύσατο φήμη. ἐπεὶ δὲ προπέμψας ὁ βασιλεὺς ἡρώδης τὸν ἀντώνιον ἐπὶ πάρθους, εἰς τὴν ἰουδαίαν ὑπέστρεψεν, εὐθὺς ἡ ἀδελφὴ σαλώμη, καὶ ἡ μήτηρ αὐτῶν, κατηγόρουν ἀλεξάνδρας καὶ μαριάμ. ἡ δὲ σαλώμη καὶ κατὰ τοῦ ἀνδρὸς ἑαυτῆς λόγον εἰσῆγεν, ὡς μιγνυμένου τῇ μαριάμ· οὗτος δ' ἦν ἰωσὴφ, ὁ τῶν τῆς βασιλείας πραγμάτων ἐπίτροπος. ἔλεγε δὲ ταῦτα, ἐκ πλείονος αὐτῇ χαλεπαίνουσα, ὅτι τὴν αὐτῶν δυσγένειαν ὠνείδιζεν. ἡρώδης δὲ εὐθὺς ἐταράττετο, καὶ ζηλοτυπῶν, ἰδίᾳ τὴν μαριὰμ ἀνέκρινεν. ἀπομνυμένης δ' ἐκείνης, ἐχάλα τὴν ὀργὴν, καὶ τοῦ ἔρωτος ἡττᾶτο, καὶ τὴν εἰς αὐτὴν ὑπεσῆτο φιλοστοργίαν. ἡ δὲ, οὐ στέργοντος ἔφη εἶναι τὸ καμὲ ἀναιρεῖσθαι ἐντέλλεσθαι, εἴ γέ τι παρ' ἀντωνίου χαλεπόν τι ἐπενεχθῇ. οὗτος ὁ λόγος τὸν ἡρώδην ἐτάραξε, καὶ ἐβόα, σαφῶς ἐκ τούτου πεφωρᾶσθαι τὸν τοῦ ἰωσὴφ πρὸς αὐτὴν ἔρωτα. οὐ γὰρ ἂν ἐξειπεῖν τὸ ἀπόρρητον, ἔλεγεν, εἰ μὴ μεγάλως συνῆψαν αὐτοὺς διαθέσεις. καὶ ἀπέκτεινεν ἂν τὴν γυναῖκα αὐτίκα, εἰ μὴ ὑπ' αὐτῆς δεδούλωτο ἔρωτι. τὸν ἰωσὴφ δὲ, μηδ' εἰς ὄψιν αὐτοῦ ἀγαγὼν, προσέταξε διαχρήσασθαι, καὶ τὴν ἀλεξάνδραν ὡς ἐπ' αὐτῶν αἰτίαν δήσας ἐφύλαττεν. ἀντώνιος δὲ ὑπὸ τοῦ κλεοπάτρας ἔρωτι, μᾶλλον δὲ φαρμακείαις διεφθαρμένος, ταῖς ἐκείνης θελήσεσιν ἐδεδούλωτο. ἣ τὸν μὲν ἀδελφὸν, ᾧ ἡ βασιλεία διέφερε, φαρμάκῳ διέφθειρε· τὴν δ' ἀδελφὴν ἀρσινόην, δι' ἀντωνίου ἀπέκτεινε· τὸν μέντοι ἀντώνιον ἐβιάζετο, τὴν ἰουδαίαν αὐτῇ καὶ τὴν ἀραβίαν προσνεῖμαι. ὁ δὲ τὸ προφανὲς τῆς ἀδικίας δυσωπούμενος, ἱκανόν τι χαρίζεσθαι διὰ τὸν ἔρωτα καὶ τὰς γοητείας ἀναγκαζόμενος, ἐξ ἑκατέρων τῶν χωρῶν μέρη ἀποτεμόμενος, τούτοις αὐτῆς τὴν ἀπληστίαν παρεμυθήσατο. ὁ μὲν οὖν ἀντώνιος εἰς ἀρμενίαν ἐστράτευσεν· ἡ δὲ ὑποστρέψασα, εἰς τὴν ἰουδαίαν ἐληλύθει, συντυχόντος

enecato, casum illum quisq; non secus ac suam calamitatem ferebat. Alexandræ uerò dolor, causa quoque interitus cognita, magis etiam augebatur. & quanquam Herodes ad eam suspicionem à se amouendam nihil non faceret, flendo, lugendo, & funus magnificè efferendo: mater tamen nulla rerum earum mitigata, Cleopatræ scribit, ut Herodis insidijs suus filius interisset, à qua incitatus Antonius, illum ad causam dicendam Laodiceam uocat. Ille & crimen & Cleopatræ inimicitias, cum abiret, ueritus, Iosephum patruum suum rerum administrationi præficit: clam'que mandat, si quid sibi ab Antonio accidisset, ut Mariammen statim tolleret, ne se mortuo alteri ob formæ elegantiam nuberet. Iosephus post Herodis discessum rebus gerendis intentus, crebrò cum Alexandra & Mariamme congressus, ut rex erga hanc affectus sit commemorat. Illis uerò ea uerba per dissimulationem eludentibus, sibi non temperauit quo minus arcanum mandatum effutiret. Ea oratio maiorem desperationem mulieribus attulit. Sparso autem rumore ab Herodis inimicis, eum ab Antonio occisum esse: literæ ab ipso afferuntur, quibus exponebat, quàm honorificè ab illo tractaretur, ut pro tribunali illi assideret, ut eius conuiuijs interesset: eaq; sibi tribuerentur, quamuis Cleopatra grauiter criminante. Iis literis falsum rumorē aboleuit. Cum aūt Antoniū in Parthos proficiscentē prosecutus, Hierosolyma redisset, statim Salome soror, & mater eius, Alexandrā & Mariāmē accusarūt. Salome etiā uerba interiecit, maritū suum Iosephum, regiorum negociorum procuratorem, cum Mariamme rem habere. Hæc dicebat ex inueterato odio, propter obiectam sibi à Mariamme ignobilitatem. Herodes uerò statim perturbatus, ex æmulatione Mariammen seorsim percontatur. Illa crimen eierante, remissa iracundia uictus amore, suum erga illam affectum testatur. Illa uerò respondet, mandatum illud non esse amantis, quo si quid ipsi accidisset ab Antonio grauius, se quoque interfici iussisset. Id dictum Herodem ita perculit, ut exclamaret, ex eo constare de Iosephi erga illam amore. Neque enim arcanum fuisse proditurum, nisi magnus eos affectus copulasset. Ac statim uxorem occidisset, nisi amore illius subactus fuisset. Iosephū certè quidem, nec in cōspectū suum admissum, interfici iussit: Alexandrā, ut malorū omnium autorem, in uincula cōiectam asseruauit. Antonius porrò amore, ac potius ueneficijs Cleopatræ corruptus, cupiditatibus illius seruiebat. Ea fratrem, ad quem regnum pertinebat, ueneno sustulerat: sororem Arsinoem per Antoniū occiderat: Antonium ipsum cogere nitebatur, ut sibi Iudæam & Arabiam attribueret. Qui ut & manifestam iniuriam uelaret, & mulieris amoribus ac potius præstigijs indulgeret: ablatis ab utraque prouincia partibus, insatiabilem illius cupiditatem mitigauit. Antonio in Armeniam ducente exercitum, Cleopatra in reditu

Iosephi futilitas causa odij inter Herodē & Mariammen.

p cum

cum Herode in Iudæam uenit, familiaritate in tantum aucta, ut eum etiam ad cubile inuitarit, siue ex effrenata libidine, siue ex illius amore: siue, quod probabilius est, ut principium insidiarum ex illo congressu contra hominẽ captaret. Sed Herodes uerbis illius elusis, muneribus placatam in Aegyptum deduxit. Septimo Herodis anno Iudæa tanto terræmotu est concussa, quanto nunquam aliàs: nec iumẽta duntaxat multa perierunt, sed & hominum ad XXX millia ruinis ædificiorum sunt oppressa. Herodes uerò redemptis uectigalibus earum prouinciarum, quæ in Arabia & Iudęa Cleopatræ attributę erant, cum Arabs in pendendis tributis parum æquum se præberet: bellum ei Antonij permissu inferre constituit. ac multis prælijs factis, tandem uictor gente supplice in clientelam accepta, domum reuertitur, ob rem fortiter gestam nomine magno parto, & plenus animorum. Sed Antonio recèns ad Actium à Cæsare superato, res eius turbatæ sunt, ac potius planè deploratæ. Neque enim sperari poterat, cum in tanta Antonij amicitia, nullam á Cæsare cladem accepturum. Cum autem iam ante in animo habuisset, Hyrcanũ è medio tollere: tum magis etiã id cõsilium probabat, ne uir superesset regno se dignior, idq; tali casu est cõfirmatũ. Nam Alexãdra, cõtentiosa muliercula, non prius urgere patrem destitit, ut ad Malchũ Arabum principem confugeret, quàm principió refragantẽ deniq; impulisset, ut per literas ab illo se suscipi peteret, ijs Dositheo amico ut perferret datis. Is uerò cum epistolam Herodi tradidisset, iussus est ea ad Malchum perlata, responsum illius afferre. Quo per Dositheũ confecto, rescripsit Arabs, se & Hyrcanum & omnes illius necessarios esse recepturum. Ea epistola recepta Herodes Hyrcanum accersit, de fœdere cum Malcho icto quærit: inficias euntem, literis in concilio prolatis, interficit. Sunt qui Herodem hoc contra Hyrcanum commentum esse arbitrẽtur, ut hominem è medio tollere posset, argumento ex facilitate & simplicitate uiri sumpto: qui ne adolescens quidem, quicquam audax aut temerariũ tẽtarit, ne dum tùc LXXXI ætatis annum agens. Herodes uerò ad Cæsarẽ festinans, matrem, sororem, & omnes liberos Masadis collocauit: Mariammẽ uxorem cum eius matre Alexandra Alexandrium duxit, custodibus per speciem honoris adhibitis, Iosepho quæstore, & Ituręo Soemo fidissimis suis, cum hoc mandato, si quid de se aduersi audiuissent, ut ambabus interfectis, regnũ suis filijs & fratri Pheroræ conseruarent. Deinde ad Cęsarẽ Rhodũ profectus, solo diademate posito, alijs in reb. nihilo se humilius gessit: ac in colloquio cum Cæsare magnitudinem animi præ se tulit, non ad preces conuersus, & ratione actorum suorum citra submissionem reddita. Qua

Cæsar

Herodes Cleopatrã muneribus placat.

Terræmotus in Iudea.

Herodis Arabica uictoria.

Hyrcani cædes.

Herodi regnum à Cæsare Augusto confirmatur.

αὐτῇ τοῦ Ἡρώδου. συνηθείας δὲ αὐτῇ πρὸς Ἡρώδην γενομένης, προσεκαλεῖτο αὐτὸν εἰς εὐνήν, ἀκρατῶς πρὸς μίξιν διακειμένη, τάχα δέ τι καὶ παθοῦσα πρὸς ἐκεῖνον ἐρωτικόν, ἢ τὸ πιθανώτερον, ἀρχὴν ἐνέδρας τὴν ἐπ' αὐτῇ ὁμιλίαν κατὰ τοῦ ἀνδρὸς συσκευάζουσα. ὁ Ἡρώδης δὲ τοὺς μὲν λόγους αὐτῆς διεκρούσατο, δωρεαῖς δὲ θεραπεύσας, ἐπ' Αἴγυπτον προὔπεμψεν. ἑβδόμου δὲ ἤδη ἔτους Ἡρώδου τῆς βασιλείας ἐνεστηκότος, ἐσείσθη τῶν Ἰουδαίων ἡ γῆ, ὡς οὐκ ἄλλοτε, καὶ τῶν τε κτηνῶν φθορὰ πολλὰ γέγονε, καὶ τῶν ἀνθρώπων ὡσεὶ τρισμύριοι ἐν ταῖς καταπεπτωκυίαις οἰκίαις συγκατεχώσθησαν. τοὺς φόρους δὲ τῶν ἀπονεμηθεισῶν τῇ Κλεοπάτρᾳ χωρῶν ἐξ Ἀραβίας καὶ Ἰουδαίας Ἡρώδου μισθωσαμένου, ὁ Ἄραψ περὶ τὴν τοῦ δασμοῦ καταβολὴν ἠγνωμόνει. ἔγνω οὖν ὁ βασιλεὺς χωρῆσαι κατὰ τοῦ Ἄραβος, καὶ ὑπ' Ἀντωνίου τοῦτο ἐπιτραπείς, καὶ συμβαλὼν πολλάκις, τελευταῖον νικᾷ, καὶ προστάτης τοῦ ἔθνους ὑπὸ τῶν Ἀράβων ᾑρέθη. καὶ ὑπέστρεψεν εἰς τὰ οἰκεῖα, μέγα διὰ τὰ ἀνδραγαθήματα κτησάμενος ὄνομα, καὶ φρονήματος ἔμπλεως. ἐπεὶ δὲ Καῖσαρ τὸν Ἀντώνιον ἐν Ἀκτίῳ μάχῃ νικήσαντος, Ἡρώδῃ τὰ πράγματα τεθορύβητο, ἢ καὶ ἀπέγνωστο τέλεον. οὐ γὰρ ἦν ἐλπὶς τοσαύτης αὐτῷ πρὸς Ἀντώνιον φιλίας γενομένης, μὴ κακωθῆναι ὑπὸ τοῦ Καίσαρος. Ἡρώδης δὲ τὸν Ὑρκανὸν ἐκ μέσου ποιῆσαι διανοούμενος, τότε μᾶλλον ᾤετο συμφέρειν αὐτῷ τὴν ἐγχείρησιν, ἵνα μὴ ἀνὴρ περισώζοιτο, τυχεῖν τῆς βασιλείας αὐτοῦ ἀξιώτερος. Ἡρώδης μὲν οὖν οὕτω διανοούμενος ἠρέθιστο· ἔδει δὲ καὶ συμβὰν πρὸς τὴν πρᾶξιν πλέον αὐτόν. ἡ γὰρ Ἀλεξάνδρα φιλόνεικον ὑπάρχουσα γύναιον, οὐκ ἀνίει ἀναπείθουσα τὸν πατέρα, Μάλχῳ προσχωρῆσαι τῷ τῆς Ἀραβίας ἄρχοντι. ὁ δὲ πρῶτον μὲν διωθεῖτο τοὺς λόγους, ἀγχόμενος δ' ἐκείνης, τέλος ἐπιστολὴν πρὸς τὸν Μάλχον ἐγχαράττει περὶ τοῦ δέξασθαι σφᾶς, καὶ Δοσιθέῳ τινὶ τῶν φίλων δίδωσι ταύτην. καὶ ὃς Ἡρώδῃ τὴν ἐπιστολὴν ἐνεχείρισεν. ὁ δὲ ἀποδοῦναι τῷ Μάλχῳ τὴν γραφὴν ἠξίωσε τὸν Δοσίθεον, καὶ τὰ παρ' ἐκείνου γράμματα ἐνεγκεῖν. τοῦτο δὲ τοῦ Δοσιθέου πληρώσαντος, ἀντεπέστειλεν ὁ Ἄραψ, αὐτόν τε τὸν Ὑρκανὸν δέξασθαι, καὶ πάντας τοὺς σὺν αὐτῷ. ταύτην οὖν Ἡρώδης δεξάμενος τὴν ἐπιστολήν, μεταπέμπεται τὸν Ὑρκανόν, καὶ περὶ τῶν πρὸς τὸν Μάλχον ἀνέκρινε συνθηκῶν· ἀρνουμένου δέ, τὰς ἐπιστολὰς δείξας τῷ συνεδρίῳ, τὸν ἄνδρα διεχειρίσατο. πολλοὶ δὲ σκῆψιν Ἡρώδου τὰ κατὰ τὸν Ὑρκανὸν γενέσθαι φασί, βουλομένου αὐτὸν ποιήσασθαι ἐκποδών. καὶ τούτου ποιοῦνται τεκμήριον, τὴν τοῦ ἀνδρὸς ἐπιείκειαν ἢ ἀφέλειαν, καὶ τὸ μηδ' ἐν νεότητι θράσους τι ἢ προπετείας ἐνδείξασθαι, τότε δὲ ἦν ἐτῶν ὀγδοήκοντα πρὸς ἑνί. Ἡρώδης δὲ ἀπιὼν πρὸς Καίσαρα, τὴν μὲν μητέρα καὶ τὴν ἀδελφὴν καὶ πᾶσαν τὴν γενεὰν ἐν Μασάδοις κατέστησε· Μαριάμμην δὲ τὴν γυναῖκα, σὺν Ἀλεξάνδρᾳ τῇ μητρί, εἰς Ἀλεξάνδρειον ἤγαγε, προφάσει τιμῆς φρουροὺς ἐγκαταστήσας αὐταῖς, Ἰώσηπον τὸν ταμίαν, καὶ τὸν Ἰτουραῖον Σόεμον πιστοτάτους αὐτῷ, ἐντειλάμενος αὐτοῖς, ἄν τι περὶ αὐτοῦ πύθοιντο δυσχερές, ἐξ αὐτῆς καὶ ἄμφω διαχειρίσασθαι, τὴν δὲ βασιλείαν τοῖς παισὶν αὐτοῦ καὶ τῷ ἀδελφῷ Φερώρᾳ διατηρεῖν. τοιαύτας δοὺς ἐντολὰς εἰς Ῥόδον ἀπῄει πρὸς τὸν Καίσαρα. καταπλεύσας δέ, περιῄρει μὲν τὸ διάδημα, τοῦ ἄλλου δ' ἀξιώματος οὐδὲν ὑφῆκεν· ἀλλὰ καὶ κοινωνήσας λόγων τῷ Καίσαρι, τὸ μεγαλεῖον ἐνέφηνε τοῦ φρονήματος, οὔτε πρὸς ἱκεσίας τραπόμενος, καὶ τὸν λογισμὸν τῶν πεπραγμένων οὐ μεθ' ὑποστολῆς ἀποδούς, ἀμετρίως οὖν ἐπεσπάσατο τὸν

Καίσαρ

Ὅτι Ἡρώδου ὠρέχθη ἡ Κλεοπάτρα.

Περὶ τοῦ ἐν Ἰουδαίᾳ μεγάλου γενομένου σεισμοῦ.

Ὅπως καὶ παρὰ τοῦ Καίσαρος Ἡρώδης ἐτιμήθη.

Καίσαρα, καὶ τό, τε διάδημα πάλιν ἀπεκατέστησεν αὐτῷ, καὶ ἦγε διὰ τιμῆς. οὕτω δὲ παρ' ἐλπίδα ἰσχυρῶς βεβαιωσάμενος τὴν βασιλείαν, προὔπεμψεν εἰς Αἴγυπτον Καίσαρα, δωρησάμενος αὐτόν τε καὶ τοὺς φίλους φιλοτιμότατα. ἐπανιόντα δὲ πρὸς τὴν Ἰουδαίαν πλείονι τιμῇ καὶ παρρησίᾳ, καὶ τεταραγμένην αὐτῷ τὴν οἰκίαν κατέλαβεν. οἰηθῆσαι γὰρ ἥ, τε Μαριάμμη καὶ ἡ Ἀλεξάνδρα, ὅπερ ἦν, ὅτι ὡς ἐν φρουρᾷ κατακλείσθησαν εἰς τὸ Ἀλεξάνδρειον, ἵνα μηδὲ ἑαυτῶν ἐξουσίαν ἔχοιεν, χαλεπῶς ἔφερον, καὶ διὰ θεραπείας τοὺς φρουροὺς ἐπεποίηντο, καὶ μᾶλλον τὸν Σόεμον, λόγοις αὐτὸν καὶ δωρεαῖς θεραπεύουσαι. ὁ δ' ἡττᾶτο κατὰ μικρόν, καὶ τὰς ἐντολὰς τοῦ βασιλέως ταύτας ἐξέφηνεν. αἱ δὲ χαλεπῶς πρὸς ταύτας διέκειντο, καὶ μᾶλλον ἡ Μαριάμμη. Ἡρώδην γὰρ πρῶτον τῇ γυναικὶ περὶ τῶν κατ' αὐτόν, ὡς εἰκός, εὐαγγελιζομένου, καὶ πρὸ τῶν ἄλλων ἀσπαζομένου, ἡ δὲ πρὸς μὲν τοὺς ἀσπασμοὺς ἔστεργε, πρὸς δὲ τὰς εὐτυχίας ἀχθομένη ἐῴκει, ὡς ἐκταραχθῆναι τὸν βασιλέα, καὶ ἀδημονεῖν διὰ τὸ τοῦ μίσους παράλογον· καὶ ὁρμῆσαι μὲν πολλάκις εἰς ἄμυναν τῆς ὑπεροψίας αὐτῆς, ἀνακόπτεσθαι δ' ὅτι προκατείληπτο ὑπὸ ἔρωτος. τὸ δὲ σύμπαν, ἐδεδίει μὴ λάθῃ κολάσας ἐκείνην, μᾶλλον ἑαυτὸν κακῶς διαθέμενος, τῆς ἀφαιρουμένης οὔσης. ἡ δέ γε μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ παρόξυνον τὸν Ἡρώδην διαβολαῖς, ζηλοτυπίαν αὐτῷ καὶ μῖσος ἐμποιήσασαι. καὶ ὁ χεῖρον εἶχεν ἀεὶ πρὸς αὐτήν, τῆς μὲν οὐκ ἀποκρυπτούσης τὴν πρὸς ἐκεῖνον διάθεσιν, τοῦ δὲ τὸν ἔρωτα πρὸς ὀργὴν ἀεὶ μεταβάλλοντος. καὶ εἰ μὴ πρὸς Καίσαρα ἐσπουδάζεν, ἤδη κεκρατηκότα, Ἀντωνίου καὶ Κλεοπάτρας θανόντων, εἰς Αἴγυπτον, τάχα εὐθὺς ἂν ἐπράχθη τὸ δεινόν. νῦν δὲ τὰ περὶ τὴν οἰκίαν ὡς εἶχε κατέλιπε, καὶ εἰς Αἴγυπτον ἀφικόμενος, μεγίστων ἠξιώθη παρὰ τοῦ Καίσαρος, καὶ ἐπανῄει λαμπρότερος. ἤρα δὲ τῆς Μαριάμμης καὶ σφόδρα διαρκῶς. ἡ δὲ τὰ μὲν ἄλλα σώφρων ἦν αὐτῷ, καὶ πιστή, κατατρυφῶσα δὲ τοῦ ἀνδρὸς δεδουλωμένου διὰ τὸν ἔρωτα, πολλάκις μὲν ἐξύβριζεν εἰς αὐτόν, καὶ τὴν αὐτοῦ δὲ μητέρα καὶ τὴν ἀδελφὴν ἐπὶ δυσγενείᾳ ἐχλεύαζεν. ἐξερράγη δὲ τὸ μῖσος εἰς τοὐμφανὲς ἐκ τοιαύτης λαβῆς. μεσημβρίας οὔσης ὁ βασιλεὺς εἰς τὸν θάλαμον εἰσῄει ἀναπαυσόμενος, καὶ ἐκάλει τὴν Μαριάμμην· ἡ δ' εἰσελθοῦσα ἐλοιδορεῖτο αὐτῷ, ὡς τὸν πάππον αὐτῆς καὶ τὸν ἀδελφὸν ἀπεκτονότι. ἐχαλέπαινε δὲ ἐπὶ τούτοις ὁ βασιλεύς. καὶ ἡ Σαλώμη τοῦ καιροῦ δραξαμένη, τὸν οἰνοχόον προδιαφθείρασα, κατηγορῆσαι τῆς Μαριάμμης, πείθει τὸν τότε τῷ βασιλεῖ προσελθεῖν, καὶ ἃ παρ' ἐκείνης ἐδιδάχθη, αὐτῷ διαλέξασθαι. ὁ δέ, δώροις ἔλεγε παρὰ τῆς Μαριάμμης ἀξιωθῆναι, ἀναπειθούσης φίλτρον αὐτῷ δοῦναι· τὸ δ' εἶναί τι φάρμακον, οὗ τὴν δύναμιν ἰσχυρίζετο ἀγνοεῖν. τούτων ἀκούσας ὁ βασιλεύς, ἔτι μᾶλλον ἐκεκίνητο εἰς ὀργήν, καὶ τὸν τῆς γυναικὸς οἰνοχόον, πιστότατον ὄντα αὐτῇ, ἐβασάνιζεν. ὁ δὲ οὐδὲν περὶ ὧν ἐβασανίζετο οὔτε ᾔδει, οὔτ' ἔλεγεν, ἀλλὰ τὸ μῖσος τῆς γυναικὸς ἔφασκε γενέσθαι διὰ τοὺς λόγους, οὓς ὁ Σόεμος αὐτῇ φράσειεν. οὔπω τὸν λόγον ἐκεῖνος εἰς τέλος ἤνεγκε, καὶ μέγα βοήσας Ἡρώδης, οὐκ ἂν (ἔφη) Σόεμος τὰς ἐντολὰς ἐξεφαύλισεν, εἰ μή τις αὐτῷ πρὸς τὴν γυναῖκα κοινωνία ἐγένετο. τὸν μὲν οὖν Σόεμον εὐθὺς κτανθῆναι ἐκέλευσε. τῆς δὲ γυναικὸς κατηγόρει, τοὺς οἰκειοτάτους συναγαγών, περὶ φίλτρου καὶ φαρμάκου, καὶ ὀργίλως κατ' αὐτῆς δίκαζε.

ὅπως ἂν τὸ [illegible] αὐτοῦ.

Cæsar non mediocriter ei conciliatus, & diadema restituit, & honorem habuit. Sic regno præter opinionem suam firmato, Cæsarem cum amicis munificentissimè donatum, in Aegyptum prosecutus est. Inde in Iudæam maiore cum honore & fiducia regressus, domum suam turbatam reperit. Nam Alexādra & Mariamme, ratæ, id quod res erat, se in Alexandrio tanquam in custodia cōclusas esse, ut nec in semetipsas potestatem haberent: grauiter id tulerūt, ac custodibus, Soemo præsertim, tum uerbis, tum muneribus conciliatis, hominem paulatim, eò usque impulerūt, donec regis mandata eloqueretur. Quibus auditis cōmotæ sunt, Mariamme potissimum. Cui cum Herodes primæ, ut uxori par est, statum suum nunciasset, & præ cæteris salutem dixisset: illa ad salutationes ingemuit, ad felicitatis cōmemorationem mœrorem præ se tulit, ut percelleretur rex, & angeretur inexpectato sui odio, & ad eam insolentiam uindicandam sæpius concitaretur: sed amoris uehementia impetum illius retardauit. Ad summā, ueritus est, ne dum per imprudentiam adamatam multaret, in seipsum grauius amissa illa animaduerteret. Sed quoniam à matre & sorore calumnijs ad zelotypiā & odium extimulabatur: indies peius erga eam est affectus, illa suum animum non dissimulante, ipso amorem ira commutante. Quod si ad Cæsarem uictorem in Aegyptū non festinasset, Antonio & Cleopatræ iam mortuis, statim fortasse facinus perpetratum esset. Nunc rebus domesticis relictis, maxima à Cæsare in Aegypto est consecutus, maiorique eum splendore reuersus. Mariamme uerò, quam ardentissimè amabat, aliàs casta erat, & fida illi: sed amore subacto interdum contumeliose insultabat, et matri ac sorori eius ignobilitatem per derisum obijciebat. Odium porrò hac occasione erupit. Rex meridiano tempore thalamum ingressus, ut quiesceret, Mariammen uocauit: ea uerò illi maledixit, ob fratrē & auum suum interfectos. Quod illo grauiter ferente, Salome opportuno tempore arrepto, pincernam, quem antè corruperat ut Mariammen accusaret, impulit ut tum regem conueniret, & ea quæ ab ipsa edoctus esset, proferret. Ille uerò sibi munera ab illa oblata esse asserebat, ut philtrum ei propinaret. id uerò esse uenenum quoddam, cuius ipse uires ignoraret. His rex auditis, iracūdia maiore inflammatus, de pincerna uxoris, quem ei fidissimū esse sciebat, quæstiones habuit. Is cum de ijs ob quę torquebatur, neque sciret neque diceret quicquam, odium mulieris è Soemi uerbis ortū dicere asserebat. Nondū eam orationē finierat, cum Herodes magna uoce exclamauit, Soemū mandata sua non fuisse pro nihilo habiturū, nisi aliquid rei cum muliere habuisset, eum'que statim interfici iussit: uxorem uerò intimis suis conuocatis, de poculis amatorijs et ueneficijs iratus accusauit.

Mariamme ob superbiam suam, et socrus ac glossis calumnias, ab Herode occiditur.

Quam ij qui aderant, ut rex affectus esset cernentes, capitis condemnarunt. Dum ad necem abducitur, Alexandra mater eius iam suæ quoque uitæ timens, & ignorationem criminum, quæ Mariammæ obiecta essent, præ se ferens, exiliit, filiamque malam & ingratam erga maritum appellauit. Illa uerò neque perturbata ea re, neque ullum effata uerbum, uultu intrepido, & forti animo ad mortem iuit, generosam indolem in extremis etiam præ se ferens. Cum Mariamme interitu à Salome maturato, ita perijsset, Herodes amore illius magis exarsit, sæpe nomine eam inclamauit, indecore lamentatus, & usque adeò affectu illo uictus, ut per ministros Mariammen uocari iuberet. Denique in deserta egressus, ibique mœrori indulgens: in grauem morbum incidit, qui erat inflammatio & punctio ceruicis, & mentis alienatio. Alexandra uerò Hierosolymis degens, cum regem ijs malis conflictari audiuisset, duo suburbana castella occupare conata, iussu eius statim occiditur: qui cum mortis periculum ægrè euitasset, sæuum se præbuit, & implacabilem, ad uindictam & cædes propensus, non uulgi duntaxat, sed intimorum etiam amicorum. Patria quoque instituta uiolauit, & peregrinis moribus ueterem statum corrupit. Quibus rebus populo turbato & concitato, ciues decem coniurati, sicas sub uestibus gestãtes, theatrum ex composito ingressi sunt, uel ipsum Herodem, uel satellitum eius multos interfecturi. Cæterùm deprehensi, nec inficiati consilium suum, sed & sicis prolatis, omni supplicij genere tolerato perierunt. Delatorem uerò quidam paulo pòst membratim discerptum canibus obiecerunt. Eos Herodes compertos cum omni familia ultus est, indignatione populi haud quicquam imminuta. oppresserunt autem mala grauissima Iudæam, fames, & morbus ex cibis ob penuriam insolitis, & pestilentia denique. Herodes qui opem ferre tali tempore cuperet, cum pecunia destitueretur, quam per ostentationem in urbibus instaurandis insumpserat, nec finitimæ regiones frumentum haberent, eadem inopia conflictantes: tamen ut pro uirili opem ferret, ex ornatu regio percussis nummis, in Aegypto annonam mercatus est, qua allata, ijs qui ipsi cibos sibi conficere poterant, frumentum largitus est: qui uerò uel ob senectam, uel ex alia imbecillitate id non poterant, eorum rationem habuit, pistoribus conductis, qui cibos eis paratos offerrent. Hæc animos eorum qui prius illi succensebant, non modò mitigarunt, sed ad beneuolentiam quoque traduxerunt. Regno suo afflicto sic refocillato, finitimorum non minus laborantium calamitatem ex æquo subleuauit, extra regnum decies mille, in ipso regno octogies mille coros dimensus. Continet autem corus, autore Iosepho, x medimnos

Alexandra filiæ moriture insultans, paulo pòst & ipsa occiditur.

Coniuratio X uirorũ contra Herodem, ob sæuitiam.

Herodes liberalitate in penuria annonæ populos sibi reconciliat.

οὕτω δ' ἔχοντα ὁρῶντες αὐτὸν οἱ παρόντες, θάνατον ἐκείνης κατεψηφίσαντο. καὶ ἡ μὲν ἤγετο τὴν ἐπὶ θανάτῳ. ἀλεξάνδρα δ' ἡ μήτηρ αὐτῆς ἤδη καὶ περὶ ἑαυτῆς δεδοικυῖα, καὶ τὴν ἄγνοιαν ὧν ἡ μαριὰμ κατηγορεῖτο ἐμφαίνουσα, ἐκπηδήσασα κακὴν καὶ ἀχάριστον πρὸς τὸν ἄνδρα τὴν θυγατέρα ἐκάλει, καὶ δίκαια πάσχειν ἔλεγεν. ἡ δὲ οὔτε ταραχθεῖσα πρὸς ταῦτα, οὔτε λόγον δοῦσα, ἀπῄει πρὸς τὸν θάνατον ἀτρεμαίῳ τῷ καταστήματι, καὶ γενναίῳ φρονήματι, καὶ τὴν εὐγένειαν κἀν τοῖς ἐσχάτοις ἐμφαίνουσα. καὶ ἡ μὲν οὕτως ἀπέθανε, τῆς σαλώμης αὐτῇ κατεπραξάσης τὸν θάνατον. ἡρώδης δὲ τότε μᾶλλον ἐξεκαίετο πρὸς τὸν ἐκείνης ἔρωτα, καὶ πολλάκις ἀνακλήσεις ἦσαν αὐτῆς, καὶ θρῆνοι ἀσχήμονες. καὶ οὕτως αὐτοῦ τὸ πάθος ἐκράτησεν, ὡς καὶ καλεῖν τὴν μαριὰμ κελεύειν τοῖς ὑπηρέταις. καὶ τέλος ταῖς ἐρήμοις ἐκδοὺς ἑαυτὸν, καὶ ταύταις ἐνδιημερεύων, δεινῇ περιπίπτει νόσῳ· ἡ δὲ φλόγωσις ἦν καὶ πόνος ἰνίου, καὶ τῆς διανοίας παραλλαγή. καὶ ὁ μὲν οὕτως ἐνοσηλεύετο. ἡ ἀλεξάνδρα δὲ ἐν ἱεροσολύμοις διάγουσα, καὶ τὰ τῆς νόσου πυθομένη τοῦ βασιλέως, τῶν περὶ τὴν πόλιν δύο φρουρίων ἐπεχείρησε κρατῆσαι. ὃ μαθὼν ἡρώδης, αὐτίκα αὐτὴν ἀποκτεῖναι προσέταξεν· αὐτὸς δὲ μόλις διαφυγὼν τὸν ἐκ τοῦ νοσεῖν κίνδυνον, χαλεπὸς ἦν, καὶ δυσάρεστος, καὶ πρὸς τιμωρίας καὶ φόνους ἕτοιμος, καὶ οὐ τῶν πολλῶν μόνον ἐγίνοντο φόνοι, ἀλλὰ καὶ τῶν ἀναγκαιοτάτων φίλων αὐτοῦ. παρέβαινε δὲ καὶ τὰ ἔθη τὰ πάτρια, καὶ ξενικοῖς ἐπιτηδεύμασι διέφθειρε τὴν πάλαι κατάστασιν. πρὸς ἃ τὸ πλῆθος ταραχθέν τε, καὶ ἐχαλέπαινε. δέκα δὲ ἄνδρες τῶν πολιτῶν συνωμοσάμενοι, καὶ ξιφίδια τοῖς ἱματίοις ὑποβαλόντες, εἰς τὸ θέατρον εἰσῄεσαν ἀπὸ συνθήματος, ἢ καὶ αὐτὸν τὸν ἡρώδην διαχρησόμενοι, ἢ τινας τῶν περὶ ἐκεῖνον πολλούς. φωραθέντες δὲ, καὶ μὴ ἀρνησάμενοι τὸ βούλευμα, ἀλλὰ καὶ τὰ ξίφη ἀναδείξαντες, πᾶσαν αἰκίαν ὑπομείναντες διεφθάρησαν. τὸν δὲ τούτους καταμηνύσαντα μετὰ μικρόν τινες διαρπάσαντες, καὶ μελιστὶ διελόντες, κυσὶν ἐπέρριψαν. οὓς εὑρηκὼς ἡρώδης, ἐτιμωρήσατο πανοικί. ἡ δὲ τοῦ πλήθους μῆνις ἐπέμενε. συνέβη δὲ κατὰ τὴν χώραν τότε πάθη δεινότατα, λιμός τε καὶ νόσος σωμάτων ἐξ ἀσυνήθους διαίτης, δι' ἔνδειαν σιτίων γινομένης, καὶ ἐπὶ τούτοις πᾶσι λοιμός. ἡρώδης δὲ τῷ καιρῷ βοηθεῖν προθυμούμενος, οὔτε χρημάτων εὐπόρει, προκαταναλώσας αὐτὰ δι' ἐπίδειξιν εἰς πόλεων ἐπισκευάς, οὔτε αἱ πλησιάζουσαι χῶραι σῖτον εἶχον, τῆς αὐτῆς ἐνδείας καὶ γὰρ ἐκείνας ἐπικρατούσης, τέως δὲ, ὡς ἂν δύναιτο βοηθεῖν ἐγνωκὼς, τὸν ὄντα κατὰ τὰ βασίλεια κόσμον συγκόψας εἰς νόμισμα, ἔπεμψεν εἰς αἴγυπτον, καὶ σῖτον ἐκεῖθεν ὠνητὸν κομισθέντος, τοῖς μὲν δυναμένοις δι' ἑαυτῶν τὰ περὶ τὰς τροφὰς ἐκπονεῖν, σῖτον διένειμε. οἱ δὲ διὰ γῆρας, ἢ δι' ἑτέραν ἀσθένειαν οὐχ οἷοί τε ἦσαν ἑαυτοῖς ἑτοιμάζειν σιτία, τούτοις προνοίᾳ καταστήσας ἀρτοποιούς, καὶ τὰς τροφὰς ἑτοίμους παρεῖχεν αὐτοῖς. ταῦτα δὲ οὐ μόνον τὰς γνώμας μετέβαλε τῶν πρὶν χαλεπαινόντων αὐτῷ, ἀλλὰ καὶ πρὸς εὔνοιαν αὐτὰς μετεστήσατο. καὶ οὕτω κακωθεῖσαν αὐτῷ ἀνακτησάμενος τὴν ἀρχὴν, οὐχ ἧττον καὶ τοὺς περὶξ δυσπραγοῦντας ἐπ' ἴσης τῆς συμφορᾶς ἐπεκούφισεν, ὥστε γενέσθαι τὸν μὲν ἔξω τῆς ἀρχῆς δοθέντα σῖτον κόρους μυρίους, τὸν δὲ εἰς τὴν αὐτοῦ βασιλείαν περὶ ὀκτακισμυρίους. ὁ δὲ κόρος δύναται, κατὰ τὸν ἰώσηπον, μεδίμνους ἀττικὰς

[illegible]

[illegible]

[illegible]

ἀπλανῶς δίεισι. τοῦτο τὸ φιλοτίμημα, καὶ τὸ τῆς χάριτος ἐπίκαιρον, καὶ τοὺς Ἰουδαίους εἰς ἀγάπην ἐκ τῆς ἀπεχθείας μετήνεγκε, καὶ παρὰ τῶν ἔξωθεν αὐτῷ προὐξένησεν εὔκλειαν. προσκατεργάσατο δὲ καὶ γάμον ἑαυτῷ διὰ τὰς ἐρωτικὰς ἐπιθυμίας. ἱερεὺς γάρ τις Σίμων ἱεροσολυμίτης θυγατέρα εἶχε καλλίστην, ταύτης ὁ Ἡρώδης ἤχθη εἰς ἔρωτα. ὄντος δὲ τοῦ Σίμωνος ἀδοξοτέρου πρὸς κῆδος δ' ἀξίαν, ἀφαιρεῖται μὲν τὴν ἱερωσύνην τὸν ταύτην ἔχοντα τότε, Ἰησοῦν τὸν τοῦ Φαβητος, ἀρχιερέα δὲ ποιεῖται τὸν Σίμωνα, καὶ τὴν αὐτοῦ θυγατέρα γαμεῖ. πάντων δὲ αὐτῷ προκεχωρηκότων εἰς δίαιταν, προὐβάλλετο τὴν ἔξωθεν ἀσφάλειαν, πόλεσί τε δεξιῶς ὁμιλῶν, καὶ τοὺς δυνάστας θεραπεύων, ὥστε αὐτῷ πάντα διὰ πάντων αὐξῆσαι. ὑπὸ δὲ τῆς εἰς Καίσαρα φιλοτιμίας, καὶ τῆς εἰς Καίσαρα καὶ τοὺς ἐπὶ πλεῖστον δυναμένους Ῥωμαίων θεραπείας, καὶ τὰ ἔθη παρέβαινε, καὶ τὰ νόμιμα παρεχάραττε, πόλεις τε κτίζων, καὶ ναοὺς ἐγείρων, οὐκ ἐν τῇ τῶν Ἰουδαίων, τῇ δ' ἔξω χώρᾳ, Ἰουδαίοις μὲν ἀπολογούμενος ἐκ προσταγμάτων ταῦτα ποιεῖν, ἀλλ' οὐκ ἀφ' ἑαυτοῦ. Καίσαρι δὲ καὶ Ῥωμαίοις χαριζόμενος νέμων τοῦ καὶ τῶν πατρίων ἐκβαίνειν ἐθῶν διὰ τὴν ἐκείνων τιμήν. ἀγάλματά τε γὰρ ἀνίστη, καὶ τύπους μεμορφωμένους, καὶ πόλεις ᾠκοδόμει, καὶ λιμένας εὐρεῖς καὶ ἀσφαλεῖς, καὶ βασίλεια πολυτελῆ, καὶ διαίτας λαμπράς. ἐν τοιούτοις δ' ὢν, τοὺς παῖδας Ἀλέξανδρον καὶ Ἀριστόβουλον εἰς Ῥώμην ἀπέστειλε, συντευξομένους τῷ Καίσαρι. τούτους ὁ Καῖσαρ φιλανθρώπως ἐδέξατο, καὶ δίδωσιν Ἡρώδῃ ὅτῳ βούλεται τῶν ἐξ αὐτοῦ γεγονότων ἐπικυρῶσαι τὴν βασιλείαν. ἐγκατέμιξεν δὲ αὐτὸν καὶ τοῖς τῆς Συρίας ἐπιτρόποις, ἐντελλόμενος, πάντα μετὰ τῆς ἐκείνου γνώμης ποιεῖν. τοσαύτης δ' εὐτυχίας, τῷ μὲν ἀδελφῷ Φερώρᾳ τετραρχίαν ᾐτήσατο παρὰ Καίσαρος, τὸ δὲ τρίτον μέρος τῶν φόρων ἀφῆκε τοῖς ἐν τῇ βασιλείᾳ, ὡς μὲν ἐκεῖνος ἔλεγεν, ἵνα ἀναπνεύσωσιν ἐκ τῆς ἀφορίας, ὡς δὲ τοῖς ἄλλοις ἐδόκει, ἵνα τὸ πλῆθος εἰς ἑαυτὸν θεραπεύσῃ δυσμενῶς ἔχον. μετακινουμένων γὰρ αὐτοῖς τῶν ἐθῶν, χαλεπῶς ἔφερον. διὸ καὶ ἀφῃρεῖτο τὰς ἀδείας αὐτῶν, ἀεὶ καμάτους ἐπιτάττων αὐτοῖς, καὶ τὰς συνόδους κωλύων, καὶ τοὺς περιπάτους, καὶ τὰς διαίτας ἐπιτηρῶν, καὶ τοὺς φωραθέντας κολάζων βαρύτατα, καὶ ἐν τῇ πόλει καὶ ἐν ταῖς ὁδοιπορίαις ἦσαν οἱ τοὺς ἀθρόον συνιόντας ἐπισκοποῦντες. τινὲς δέ φασι καὶ αὐτὸν ἰδιώτου σχῆμα λαμβάνοντα, πολλάκις νύκτωρ τοῖς ὄχλοις ἐγκαταμίγνυσθαι, καὶ ἀποπειρᾶσθαι αὐτῶν τῆς διανοίας, ἣν περὶ τῆς ἀρχῆς ἔχοιεν. καὶ τοὺς μὲν ἐξαυθαδιαζομένους ἐπεξῄει ἅπασι τρόποις, τὸ δὲ πλῆθος ὅρκοις ἠξίου τὴν πίστιν αὐτῷ βεβαιοῦν. οἱ μὲν οὖν πολλοὶ εἶκον, τοὺς δὲ γάμῳ δυσχεραίνοντας ἠφάνιζεν ἐκ παντὸς τρόπου. συνέπειθε δὲ καὶ τοὺς περὶ Πολλίωνα τὸν Φαρισαῖον, καὶ Σαμαίαν, καὶ τῶν συμφοιτώντων αὐτοῖς τοὺς πλείστους ὀμνύειν. οἱ δὲ οὔτε ἐπείσθησαν, οὔτ' ἐκολάσθησαν, διὰ τὸν Πολλίωνα, ὑπὸ τοῦ βασιλέως αἰδούμενοι. ἐφείσθησαν δὲ ταύτης τῆς ἀνάγκης καὶ οἱ Ἐσσαῖοι καλούμενοι· γένος δὲ τοῦτο διαίτῃ χρώμενον πυθαγορικῇ, ἐτίμα δὲ τούτους διὰ τὸν Μαναήμην. ἦν δὲ οὗτος εἷς τῶν αὐτῶν, ἀνὴρ τά τε ἄλλα ἀγαθὸς, καὶ τὰ μέλλοντα προεγνωκὼς. ἔτι παῖδα τὸν Ἡρώδην ὄντα εἰς διδασκάλου φοιτῶντα ἰδὼν, βασιλέα Ἰουδαίων προσεῖπεν. ὁ δὲ ἰδιώτης ἐλέγχων εἶναι, Μαναὴμ δὲ μειδιάσας, καὶ τύπτων αὐτὸν ἠρέμα, ἀλλὰ καὶ βασιλεύσεις, ἔφη, καὶ τὴν ἀρχὴν εὐδαιμόνως

[illegible]

[illegible]

Atticos. Ea liberalitas, tam'que opportuna beneficētia, & Iudæos ex inimicis amicos ei reddidit, & apud exteros gloriam conciliauit. Adornauit sibi quoq; nuptias, amoris impulsu. Nam Simon quidam Hierosolymitanus sacerdos filiam habuit formosissimam, cuius lepore captus, quia pater ob humilitatē tantæ affinitati minime par erat, pontificatū Iesu Fabetis filio, à quo tum gerebat, ademptum, in illum contulit, & filiam eius duxit. Cum autem ei domi omnia ex sententia succederent, etiam foris se muniji, tum urbes comites tractando, tum Dynastas officijs adiungendo, ut res eius undique incrementa caperent. Verum ambitione illa, & Cæsaris ac potentissimorum Romanorum cultu atq; obseruantia fiebat, ut receptos mores & patria instituta uiolaret, urbibus condendis, & templis ædificandis, non quidem in Iudæa, sed in exteris prouincijs. Iudæis quoq; se excusabat, facere illa non suapte sponte, sed ex mandatis, & in gratiam & honorem Cęsaris & Romanorum. Nam & statuas collocabat, & exculpta insignia, & urbes condebat, & portus amplos ac tutos, & regias sumptuosas, & ædes splendidas. His rebus occupatus, filios Alexandrum & Aristobulum Romam ad salutandum Cæsarem misit. Quibus Cæsar humaniter susceptis, Herodi potestatem dedit, cui uellet ex filijs relinquendi regni: & alias ei ditiones adiecit, & in Syriæ procuratores retulit. quibus mandauit, ut omnia illo cōsentiēte agerent. Tantā felicitatē adeptus, fratri Pheroræ tetrarchiā à Cæsare petijt, & subditis trientē tributorū remisit: siue ut, quod ipse dicebat, populus ex annonæ caritate se crearet, siue, quemadmodū alijs uidebatus, ut odiū à se amoueset. Iudæi enim patriorum situum mutationem iniquis ferebant animis. quamobrē libertatē eis adimebat, subinde laborib. imperādis, et cōcilijs, phibēdis, deābulationib. etiā & diuerforijs obseruādis, et ijs qui deprehēsi essent, grauissime puniēdis. Erāt enim tam in urbe, q̄ in itinerib. qui congressus hominū obseruarēt. Quidā etiam autores sunt, cum ipsum priuati habitu se interdū noctu turbis immiscuisse, quid de imperio sentiēt, animos eorum periclitantē. Contumaces omnib. modis ulciscebatus. à plebe postulabat, ut sacramento fidem sibi firmaret. ac plebecula postulatis eius annuēbat, refragantes autem quauis ratione tollebat. Petijt à Pollione Pharisæo quoque, & Samea, eorumq; discipulis plerisque, ut iurarent. Sed hi neque iurarunt, neque puniti sunt, ob regis erga Pollionem reuerentiam. Sunt & Esseni ea necessitate liberati, gens Pythagorici instituti in uictu æmulatrix, quos ob Manaimum illius sectæ hominem, cùm cæterà bonum, tum futurorum præscium, honorabat. Is Herodem adhuc puerum scholam frequentantem, regem Iudęorū salutauit. qui cum se priuatæ conditionis esse diceret, Manaimus leniter arridens, eumq; sensim percutiens: Atqui & regnabis, inquit, et imperium felicissime

Herodis secunde nuptiæ, et prosperi successus.

Herodis tyrannica diligentia.

Manaimum Essenum uates.

geres. horum igitur uerberum memento. Eris autem optimus, si iusticiæ & pietati erga Deū, & erga populum clementiæ studueris. Enimuero scio te talem non fore. Herodes regno potitus, Manaimum accersinim de imperij diuturnitate percōtatus, tacēte illo, dixit: An annis X, an XX, an XXX regnaturus esset? atq; illo terminum non adijciente: uel his contentus, Manaimo porrecta dextera dimisso, propter illum Essenos omnes honorauit. Anno autem regni XVIII, consiliū templi mutandi, idq; altius & magnificentius extruendi cæpit. Populo autē ab illo conatu abhorrente, se non prius id diruturū esse dixit, q̄ omnia ad opus necessaria præparasset. Quę cum in promptu essent omnia, ueteribus fundamētis sublatis, nouisq; iactis, templum inchoauit longitudine C cubitorum, altitudine CXX. Structuræ adhibuit saxa candida & robusta, singula circiter XXV cubitos longa, alta VIII, lata XII. Ad septentrionale latus arx angularis, firma & munitissima inædificata erat, quam reges, ijdemq; pontifices ex Asamonæorum familia structam, Barin uocarāt, ut pontificia stola in ea reponeretur. Eam igitur Barin Herodes instauratā, & pro templi defensione munitiorem redditam, in Antonij memoriam Antoniam uocauit. Ipsum porrò templū, & quæ in circuitu eius sunt omnia, VIII annis sunt absoluta. Traditum autem est, eo tempore quo ipsum templum strueretur (id quod uno anno & mensibus sex perfectum est) interdiu non pluisse, sed imbres noctu esse factos, ne opera impedirentur. Deinde Herodes ad facinora cōprimenda legem tulit, ut fures peregrè uenderent: quæ res & facinorosis grauis, & legib. euertēdis erat. Nam exteris seruire, eorumq; ritu necessariò uiuere: quod ad illos quidē attinebat, religionis erat abrogatio. Lex enī fures, ni quadruplū soluere possent, uēdi iubebat. sed popularib. ne & religione exciderēt, & per omnem ætatē seruirēt, sed post sexenniū manumitterentur. Hoc in parte erat criminationū & odij popularis aduersus Herodē. Qui sub idtēpus in Italiā profectus, ut cū Cęsare colloquerer, & filios Romæ degētes uiseret: benignè à Cæsare susceptus, filios ut absolutè iā in disciplinis institutos, domū reduxit. Qui in patriam reuersi, cùm animorū magnitudine, tū formę elegantia uulgò cōspicui, Salomæ regis sorori, & ijs qui matrē eorū calumnijs sustulerant, inuisi fuerūt. Itaq; iam cōtra ipsos etiā arma eadē expediuerunt, quibus genitricē eorū cōfecerant: rumore sparso, adolescētes abhorrere à patris cōsuetudine, ob matris necē, & ita patre ad odiū filiorum pro uirili instigato. Is uerò eos & dilexit, & honoris participes aliquādiu fecit, & adultis uxores dedit, Aristobulo Salomę filiā Bernicē: Archelai Cappadocū regis filiā Glaphyram, Alexandro.

Herodes tēplū Hierosolymitanū ædificat. *Baris.* *Antonia.* *Herodis lex de furibus.* *Salome & Pheroras Aristobulo & Alexandro insidias struunt.*

διαμονήσεται, καὶ μέμνησο τῶν ἐμῶν τούτων πληγῶν. ἄριστος δ' ἔσῃ, εἰ δικαιοσύνην ἀγαπήσειας, καὶ εὐσέβειαν πρὸς θεόν, καὶ πρὸς τοὺς πολίτας ἐπιείκειαν. ἀλλ' οὐ γὰρ οἶδά σε τοιοῦτον ἐσόμενον. βασιλεύσας δ' ὁ Ἡρώδης, μετακαλεῖται τὸν Μανάημον, καὶ περὶ τοῦ χρόνου τῆς ἀρχῆς ἐπυνθάνετο. ὡς δὲ σιωπῶντος ἐκείνου, αὐτὸς ἐπιλέγων τὸν τῆς βασιλείας ἤρετο χρόνον, εἰ δέκα, ἢ εἴκοσιν, ἢ τριάκοντα· ὁ δὲ ὅρον οὐκ ἐπέθηκε τῷ τέλει τῆς προθεσμίας, ἀρκεσθεὶς καὶ τούτοις ὁ Ἡρώδης, τὸν Μανάημον ἀφῆκε δεξιωσάμενος, καὶ πάντας δι' ἐκεῖνον ἐτίμα τοὺς Ἐσσηνούς. ἤδη δὲ ὀκτωκαιδέκατον αὐτῷ ἔτος φθάσαντος, τὸν ναὸν ἔγνω μετασκευάσαι, καὶ πρὸς ὕψος ἆραι μεῖζον, καὶ ἀξιοπρεπέστερον ἐκτελέσαι. τὸ δὲ πλῆθος ὤκνει πρὸς τὴν ἐγχείρησιν. ὁ δ' οὐ πρότερον, ἔφη, τὸν ναὸν καθαιρήσειν, πρὶν ἂν πάντα ὅσα δεῖ εἰς τὸ ἔργον προπαρασκευάσηται. ἤδη δὲ ἑτοιμασμένων αὐτῷ πάντων, καθελὼν αὐτόν, καὶ θεμελίους ἄλλους καταβαλόμενος, τὸν ναὸν ἤγειρε, μῆκος πηχῶν ἑκατόν, τὸ δ' ὕψος ἐπέκεινα εἴκοσιν. ᾠκοδόμει δὲ λίθοις λευκοῖς τε καὶ κραταιοῖς, ὧν ἑκάστου περὶ τὰ εἰκοσιπέντε τὸ μῆκος πήχεις, τὸ δ' ὕψος ὀκτώ, εὖρος δὲ περὶ δώδεκα. κατὰ δὲ τὴν βόρειον πλευρὰν ἀκρόπολις ἐγγώνιος ἐν τοῖς τείχεσι, διάφορος ὀχυρότητι, ἣν οἱ τοῦ γένους τῶν Ἀσαμωναίων γεγονότες βασιλεῖς ὁμοῦ καὶ ἀρχιερεῖς ᾠκοδόμησαν, καὶ βᾶριν ἐκάλεσαν, ὥστε τὴν ἀρχιερατικὴν ἀποκεῖσθαι στολὴν ἐν αὐτῇ. καὶ ταύτην τὴν βᾶριν ὁ Ἡρώδης ἐπισκευάσας ὀχυρωτέραν ἐπ' ἀσφαλείᾳ τοῦ ἱεροῦ, εἰς μνήμην Ἀντωνίου προσηγόρευσεν Ἀντωνίαν. αὐτὸς δὲ ὁ ναός, καὶ πάντα τὰ περὶ τὸν ναόν, ἐν ὀκτὼ διειργάσθη ἔτεσι. παραδίδοται δὲ κατ' ἐκεῖνον τὸν καιρόν, ὅτε αὐτὸς ὁ ναὸς ἠγείρετο (ἐν ἐνιαυτῷ γὰρ ἐν καὶ μησὶν ἓξ ᾠκοδόμηται) τὰς μὲν ἡμέρας μὴ ὕειν, γίνεσθαι δὲ τοὺς ὄμβρους ἐν ταῖς νυξίν, ἵνα μὴ τὰ ἔργα κωλύωνται. τὰς ἀδικίας δὲ ἀναστέλλειν πειρώμενος ὁ Ἡρώδης, τίθησι νόμον, τοὺς τοιχωρύχους ἐπ' ἐξαγωγῇ τῆς χώρας πιπράσκεσθαι· ὃ καὶ πρὸς τιμωρίαν τῶν πασχόντων ἦν φορτικόν, οὐχ ἥκιστα δὲ καὶ τῶν νόμων κατάλυσις. τὸ γὰρ ἀλλοφύλοις δουλεύειν, καὶ βιάζεσθαι κατὰ τὰ ἐκείνων ἔθη βιοῦν, τῆς θρησκείας ἦν, ὅσον ἐπ' ἐκείνοις, κατάλυσις. πιπράσκεσθαι μὲν γὰρ οἱ νόμοι τοὺς φῶρας ἐκέλευον, εἰ μὴ ἔχοιεν κατὰ τὸ τετραπλοῦν ἐκτιννύναι τὰ φώρια· ἀλλ' οὐ πρὸς ἀλλοφύλους, πρὸς δέ γε ὁμοεθνεῖς, ἵνα μήτε τῆς θρησκείας ἐκπίπτοιεν, μήτε τὸν ὅλον τὸν βίον δουλεύοιεν, ἀλλὰ τυγχάνοιεν μετὰ ἑξαετίαν ἀφέσεως. ταῦτα μέρος ἦν τῶν κατ' ἐκείνου διαβολῶν, καὶ τῆς δυσνοίας τοῦ πλήθους τῆς ἐπ' αὐτῷ. εἰς τὴν Ἰταλίαν δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ἀπαγγειλάμενος ὁ Ἡρώδης, ἵνα Καίσαρί τε προσομιλήσῃ, καὶ τοὺς παῖδας ἐν τῇ Ῥώμῃ διατρίβοντας ὄψηται, φιλοφρόνως τε ἀπεδέχθη παρὰ τοῦ Καίσαρος, καὶ τοὺς παῖδας ὡς ἤδη τελειωθέντας ἐν τοῖς μαθήμασιν ἔλαβεν, ἄγων εἰς τὰ οἰκεῖα. ὡς δ' ἐπανῆλθον, ἐπίσημοι γεγόνασι τῷ τε τῆς ψυχῆς φρονήματι, καὶ τῇ κατὰ τὰς μορφὰς ὡραιότητι, ἐπίφθονοί τε ὤφθησαν Σαλώμῃ τῇ τοῦ βασιλέως ὁμαίμονι, καὶ τοῖς τὴν αὐτῶν μητέρα καταφαγοῦσι διαβολαῖς. καὶ ἤδη καὶ κατ' ἐκείνων τὰ ὅπλα ἐπήγαζον, δι' ὧν καὶ τὴν αὐτῶν γεννησαμένην κατηγωνίσαντο, λογοποιοῦντες, ἀηδῶς ἔχειν τῷ πατρὶ τὰ μειράκια διὰ τὸν φόνον τῆς μητρός, καὶ μῖσος φυλάσσειν τῷ πατρὶ πρὸς τοὺς παῖδας, ὡς φθόνον κατεσκεύαζον. τέως μέντοι φιλοστόργως εἶχε πρὸς αὐτὰ ὁ πατὴρ διακείμενος, καὶ τιμῆς μετεδίδου, καὶ γυναῖκας ἐν ἡλικίᾳ γεγονόσιν ἐζεύγνυε, Ἀριστοβούλῳ μὲν τὴν Σαλώμης θυγατέρα Βερνίκην, Ἀρχελάου δέ του Καππαδοκῶν βασιλέως τὴν παῖδα Γλαφύραν τῷ Ἀλεξάνδρῳ.

ἀρχῇ. τῇ δὲ Σαλώμῃ τοῦτό τε τῆς κατὰ τῶν νεανίσκων δυσμενείας μᾶλλον ὑπέτριφεν, εἰκασμένῃ καὶ πάντας οἷς συνῆψεν αὐτῇ τὸν τῆς Μαριάμμης φόνον συνεξειργάσατο, δεδιότων δ' ἐκείνους καὶ βίον νεανικὸν λαβόντας μνήμῃ τε τῆς μητρὸς καὶ τῇ τοῦ κράτους ἐπιθυμίᾳ. βλασφημίαι δὲ ἐκείνων δὲ τῆς Σαλώμης καὶ τὴν Φερώραν ἐγίνοντο, πρὸς ἐκείνους δὲ αὖ τῶν ἐπιβουλευόντων διαβολαὶ κακοήθεις κατ' αὐτῶν πεβιασμένον, τῶν αὐτῶν ἐκείνων τὰς αἰτίας λαμβανόντων. καὶ πῶς γὰρ τὸ μῖσος Σαλώμης καὶ σφᾶς καὶ τὴν μητέρα λεγόντες, καὶ πρὸς λόγους ἐγκεκλεισμένους αὐτοῦ, ἐκεῖνοι ἀνεκάλυπτον ἐπιφαίνοντες τὴν καταστροφὴν τῆς μητρός, ἀδελφῶν δὲ γαμβρῶν ἐκείνην τοὺς ἐκείνους φονεῦσιν ἀναγκαζομένους συζῆν. ταῦτα μὲν ἀποδημοῦντος τοῦ βασιλέως. ἐπανελθόντι δὲ αὐτοὺς ταῦτα φθόγγα καὶ τῆς Σαλώμης οἱ λόγοι προσῆγον, λεγόντων μὴ ἂν αὐτοῖς ὑπεργηρᾶσθαι τὸν κίνδυνον, αὐχοῦντων ἐπαπειλουμένων τῶν νεανίσκων, τὸν φόνον τίσασθαι τῆς μητρός. Ἡρώδης δὲ ταῦτα καὶ ἄλλων ἀπαγγελλόντων ταράξας, τοῦτο δὲ διατιθείς, ἔγνω υἱὸν καθαιρεῖσθαι τὸν νέον, ἕτερον γὰρ Ἀντίπατρον ὄνομα, ἰδιωτεύοντι ἐπὶ αὐτοῦ γεγονότα, προσεταιρίσασθαι καὶ τιμὴν ἐδίδου μᾶλλον, ἵνα κατασχέλῃ τὸ θράσος τοῖς ἐκ τῆς Μαριάμμης γεγονόσιν, ὡς οὐ μόνοις αὐτοῖς, οὐδ' ἐξ ἀνάγκης τῆς διαδοχῆς τῆς βασιλείας ὀφειλομένης. ὅθεν ὡς ἐφεδρόν τινα τὸν Ἀντίπατρον ἐπεισήγαγεν. ὁ δὲ δεινὸς ὤν, ἐπεὶ παρρησίας ἔλαβε, μίαν ἔσχεν ὑπόθεσιν, ἔχεσθαι τοῦ πατρός, καὶ τῶν ἀδελφῶν ἀλλοτριοῦν ταῖς διαβολαῖς. κἀκεῖνοι δὲ ἐπεδίδοσαν ἀφορμάς, καὶ δακρύοντες ὡς ἀτιμαζόμενοι, καὶ τὴν μητέρα ἀνακαλούμενοι, καὶ τὸν πατέρα φανερῶς ἄδικον λέγοντες. ἃ καὶ κακοήθως οἱ περὶ τὸν Ἀντίπατρον Ἡρώδῃ μετὰ προσθήκης διαγγέλλοντες, μείζονα τὴν πρὸς ἐκείνους ἐποίουν ἀπέχθειαν. ἐκεῖνον μὲν δὴ πατὴρ τεταπείνωσε τοὺς ἐκ τῆς Μαριάμμης, πλείονας αὐτῷ παρέχων τιμάς. τέλος δὲ καὶ τὴν μητέρα αὐτοῦ ἐπεισήγαγε, καὶ Καίσαρι συνίστησιν αὐτὸν γράφων ὑπὲρ αὐτοῦ, καὶ εἰς Ῥώμην αὐτὸν μετὰ πολλῶν δώρων ἀπέστειλεν, ὥστε ἤδη ἐπ' ἐκείνῳ δοκεῖν πάντα, ἀπεῖρχθαι δὲ ἐκ τῆς ἀρχῆς παντάπασι τὰ μειράκια. Ἀντίπατρος δὲ δεδοικώς, μὴ αὐτοῦ ἐκδημήσαντος, εὐμενέστερος εἰς τοὺς ἐκ Μαριάμμης γένηται ὁ πατήρ, καὶ ἐκδημῶν ἐν αὐτῇ συνεχῶς ἐπέστελλον κατὰ τῶν ἀδελφῶν τῷ πατρί, καὶ παροξύνων πρὸς τὴν δυσμένειαν, ἕως εἰς τοῦτο προήγαγεν αὐτόν, ὡς τὸ πλεῦσαι πρὸς Ῥώμην, κἀκεῖ τῶν παίδων κατηγορεῖν πρὸς Καίσαρα. ἀνελθὼν δὲ εἰς Ῥώμην σὺν τοῖς παισί, κατηγόρει μὲν αὐτῶν τῷ Καίσαρι, ὅτι τῆς ἀνοίας, ὡς τὸν ἑαυτῶν πατέρα μισοῦντες, καὶ διαχειρίσασθαι μελετῶντες αὐτόν, καὶ οὕτω τὴν βασιλείαν λαβεῖν. τῶν δὲ νεανίσκων καὶ λέγοντος ἔτι τοῦ πατρὸς δακρυόντων, καὶ τέλος οἰμωγῇ, δεδιότων, ὡς εἰ σιγῷεν, δόξειεν ἐκ τοῦ συνειδότος μὴ εὐπορεῖν ἀπολογίας. ὡς δὲ ἔγνων εὐμενῆ ὄντα παρὰ Καίσαρος, τῶν δὲ ἄλλων τοὺς μὲν συνδακρύοντας, συναλγοῦντας δὲ ἅπαντας, ὁ Ἀλέξανδρος ἐπεχείρει διαλύειν τὰς αἰτίας, πρὸς τὸν πατέρα λόγους ποιούμενος. καὶ διαλεχθέντος πρὸς τὸ ἐπαγωγότερον, ὁ Καῖσαρ οὐδὲ πρότερον ταῖς κατ' αὐτῶν πιστεύων διαβολαῖς, ἔτι μᾶλλον διεβεβαιοῦτο, καὶ συνεχῶς εἰς τὸν Ἡρώδην ἀπέβλεπεν, ὁρῶν κἀκεῖνον ὑποσυγκεχυμένον, καὶ ἀγωνία τὸ θέατρον. Καῖσαρ δέ, τοῖς νεανίσκοις, εἰ καὶ τῶν διαβολῶν πόρρω δοκοῖεν, αὐτὸ τοῦτο ἁμαρτεῖν ἔφη, τὸ μὴ θεραπεύειν τῷ πατρὶ διάγειν, ὡς μηδὲ γενέσθαι τὸν ἐπ' αὐτοῖς λόγον. Ἡρώδην δὲ παρεκάλει, διαλλαχθῆναι τοῖς παισὶν, ἀφέντα πᾶσαν ὑπόνοιαν.

[illegible]

[illegible]

xandro. Quib. rebus Salomes inimicitiæ contra adolescẽtes magis alebantur, omnes eos sibi adiungẽtis, qui cædis Mariãmes adiutores fuerant: adolescentib. etiam causas nonnullas suppeditantibus, dum tam ex recordatione matris, quàm ex imperij cupiditate maledictis et ipsam & Pheroram insectantur: quibus illorum maleuolentia augebatur, & subdolæ calũniæ, causa ab ipsis suppeditata, contra eos adornabantur. Nam cum nefaria Salome & matri & ipsis cõuiciaretur, ut eos ad respondendum irritaret: illi & interitũ matris & suas fortunas miserabant, qui parricidarũ illius consuetudine uti cogerentur. Hæc absente rege acta; reuerso Pherosas & Salome statim ea uerba insusurrãt, se in magno uersari periculo, adolescentib. se necem matris ulturos, apertè minitantib. Herodes his per alios quoq; nunciatis turbatus, alium filium Antipatrum, in priuata uita susceptũ, ad coercẽdos adolescentes sibi conciliare statuit, eiq; honorem habuit, ut Mariammæ filiorũ audaciam reprimeret, cum intelligerent, nõ sibi solis, neq; necessariò regni successionẽ deberi. Itaq; Antipatrum, tanq; spectatorem certaminis ad dimicandũ paratũ, introduxit. Qui, ut homo callidus, data occasione, unũ sibi negociũ esse ratus est patri adhærere, cumq; per calũnias à fratribus alienasse: quib. calũnijs illi ansas dabant, sui contemptum deplorando, & matrẽ inuocãdo, & patrem apertè iniustũ uocitando. Ea uerba cum additamẽto renuncians Antipater, patris erga illos simultatem malitiosè augebat: ab eoq; ut Mariãmæ filios premeret, amplioribus honorib. auctus, deniq; matre ipsius etiam introducta, cum multis munerib. Romam mittitur, Cæsariq; commendatur, ut iam penes illum esse omnia, adolescentes uerò spe imperij planè deiecti uiderẽtur. Cæterum ueritus, ne se absente pater Mariãmæ filijs æquior fieret: nec in itinere subinde ad eum scribere destitit, & eius inimicitias cõtra fratres exacuere: donec perpulit, ut ipse Romã nauigaret, filios apud Cæsarẽ accusatũ. Quos cum secum adduxisset, de eorũ deplorata indole querebatur, qui patrem exosi, eiusq; perimendi auidi, regnum affectarent. Adolescẽtes uerò patre quoq; adhuc dicente flebant: & tandem suspirabant, ueriti, ne silentium suum confessio criminis & conscientiæ argumentum haberetur. Ut autem & Cæsaris beneuolentiam, & aliorum lachrymas & commiserationem omnium animaduerterunt: Alexander oratione ad patrem instituta, crimina diluere exorsus, cum probabiliter disseruisset: Cæsar, qui ante quoq; illorum criminationibus non credidisset, magis in ea sententia cõfirmatus, Herodem continenter intuetur: quem cum & ipsum subtristem cerneret, ac spectatoribus æstuantibus, adolescentibus ait: Etsi sese criminis omnino expertes esse putarent, tamen id ipsum eos delinquere, quòd patrem non ita colerent, ne quis de ipsis rumor spargi posset. Herodem autem hortatus est, ut omni suspicione abiecta, filijs reconciliaretur.

Antipater ab Herode fratrib. opponitur.

Herodes à Cæsare filijs reconciliatur.

Nam talia contra liberos credere, iniquum esse. Dum hæc monet, innuit adolescentibus, ut coram patre procumbant. Quod cum alacriter facturi essent, pater prior eos lachrymantes salutauit, & utrunque amplexus est. Ac tum gratijs actis Cæsari, una discesserunt, Antipatro etiam comitante, qui se illorũ reconciliatione gaudere simulabat. Postridie Cæsar Herodi liberum fecit, quem uellet é filijs successorẽ designare, aut regnum inter eos diuidere, sed post obitum demum. Nam dum uiueret, eum & regnũ & imperium in filios tenere iussit. In reditu Archelaus Alexandri socer ei circa Ciliciã occurrit, filiorum reconciliationẽ gratulans. Inde in Iudæam reuersus indicto cõcilio, ut in itinere secum esset actum, exposuit, orationemque filiorũ admonitione conclusit. quibus cum denũciasset, se regnum relinquere primùm Antipatro, deinde Mariammæ quoque filijs, conciliũ dimisit. Fuit

Elogia Herodis. Herodes erga alios liberalissimus & beneficentissimus, subditis uerò grauis & iniquissimus, cognatorũ & amicorũ punitor inexorabilis. In causa fuit gloriæ imperijque cupiditas. Nam gloriæ gratia si uel posteritatis memoriam, uel in præsentia nominis celebritatẽ consecuturus esset, nullis parcebat impensis: quas cum multas requireret, grauibus exactionib. subditos cum sæuitia onerabat. Imperij porrò cupiditas in causa erat, ut si quam contra aliquem suspicionẽ regni affectati aut studij nouarũ rerum cõcepisset, eum pro hoste ulcisceretur. Itaque cũ solus honorari uellet, cognatos & amicos inclementer supplicijs afficiebat.

Dauidis monumentum spoliatum. Eius auaritiæ ex profusionib. ortæ illud argumentũ est, quod cum audisset Hyrcanum decessorem suũ, aperto Dauidis monumẽto tria millia talentũm argenti abstulisse: noctu fidissimis amicorũ adhibitis, ne res efferretur, idem monumentum aperit, ingreditur: ac argentum quidẽ, ut Hyrcanus, nõ reperit, sed multum aurei ornatus; quo omni sublato, ad cellas interiores, quib. Dauidis & Salomonis regum cadauera condita erant, properat. Quò dum penetrare contendit, duo eius satellites perierunt, flamma, ut fertur, erumpente: ipse perterritus discessit, atque ob id facinus, res eius domesticæ laborare uidebantur.

Herodis familia ciuili bello similis. Nam quæ in regia gerebantur, belli ciuilis faciem præ se ferebant. Antipater enim homo callidus exercitũ instruebat contra fratres: quos cum per alios criminaretur, ipse aliquando defendebat, ut per beneuolentiæ speciem a mota insidiarum suspicione patrem falleret, & solus salutẽ eius curare uideretur. Ac in eo patri erant omnia: Mariãmæ uerò filij indies magis exasperabantur, ignominiam, ut generosis erant animis, non ferentes, cũ repulsi ac quasi in ordinem coacti essent. Eò incitabantur ab uxoribus etiam.

Glaphyra. Nã Alexandri coniunx Glaphyra, Salomen oderat, ob eius in maritum suũ maleuolentiam: & ob filiam illius Aristobuli uxorem, quã superbè tractabat, & sibi dignitate æquatam esse indignabatur.

Pheroras. Pheroras quoque frater in regis suspicionem & odium uenit, hoc modo: Cum

καὶ τὸ πιστὰ γὰρ ἡγεῖσθαι ταῦτα κατὰ τῶν παίδων, οὐ δίκαιον ἔκρινε. τοιαῦτα συμβουλεύων, ἔνευσε τοῖς νεανίσκοις, προσπεσεῖν τῷ πατρί. κἀκείνων ὁρμησάντων, προλαβὼν αὐτοὺς ὁ πατὴρ δακρύοντας ἠσπάζετο, ἐγκαλιζόμενος ἕκαστον. τότε μὲν οὖν εὐχαριστήσαντες Καίσαρι, μετ᾽ ἀλλήλων ἀπῄεσαν, καὶ Ἀντίπατρος μετ᾽ αὐτῶν, ταῖς διαλλαγαῖς ὑποκρινόμενος ἥδεσθαι. τῇ δ᾽ ὑστεραίᾳ περὶ τῆς βασιλείας τῷ Ἡρώδῃ τὴν ἐξουσίαν ἀφῆκεν ὁ Καῖσαρ, ὃν ἂν αἱρεῖται τῶν παίδων, διάδοχον καθιστᾶν, ἢ καὶ διανέμειν ἅπασι ταύτην, μετὰ θάνατον μέντοι. ζῶντι δὲ οὐκ ἐπέτρεψε τὴν διανομήν, ἀλλὰ καὶ τῶν παίδων ἄρχειν αὐτόν, καὶ τῆς βασιλείας κρατεῖν. ἐπανιόντι δὲ περὶ Κιλικίαν Ἀρχέλαος ὁ πενθερὸς Ἀλεξάνδρου συναντᾷ τῷ Ἡρώδῃ, συνηδόμενος ἐπὶ ταῖς τῶν παίδων διαλλαγαῖς. ἐντεῦθεν Ἡρώδης εἰς τὴν Ἰουδαίαν ἐλθών, καὶ συναγαγὼν ἐκκλησίαν, τὰ κατὰ τὴν ἀποδημίαν αὐτῷ πεπραγμένα διηγεῖτο, καὶ εἰς νουθεσίας τῶν παίδων τὸν λόγον κατέστρεψε, καὶ τοῖς υἱοῖς μετ᾽ αὐτὸν τὴν βασιλείαν καταλιμπάνειν. πρώτῳ μὲν Ἀντιπάτρῳ, εἶτα καὶ τοῖς ἐκ Μαριάμμης. ταῦτα εἰπών, τὸν σύλλογον διέλυσεν.

ὁποῖον τὸ ἦθος καὶ τοὺς τρόπους ὁ ἡρώδης. ὑπῆρχε δὲ τὴν γνώμην πρὸς μὲν τοὺς ἄλλους φιλοτιμότατός τε καὶ εὐεργετικώτατος, πρὸς δὲ τοὺς ὑπηκόους ἐπαχθής τε καὶ ἀδικώτατος, πρὸς δὲ τοὺς οἰκείους καὶ φίλους κολαστὴς ἀπαραίτητος. αἰτία δὲ τούτων ἡ φιλοδοξία καὶ φιλαρχία. ὑπὸ μὲν γὰρ φιλοδοξίας, εἰ μνήμης ἔμελλε τυγχάνειν εἰσαῦθις ἢ εὐφημίας κατὰ τὸ παρόν, οὐκ ἐφείδετο δαπανῶν. πολυδάπανος δ᾽ ὤν, βαρείαις εἰσπράξεσι τοὺς ὑποτεταγμένους ἐπίεζε, καὶ χαλεπὸς ἦν αὐτοῖς. ὑπὸ δὲ φιλαρχίας, εἴ κατά τινος ὑπόνοιαν ἔσχεν ὡς ἐφίεται ἀρχῆς, ἤ τι περὶ αὐτὴν νεωτερίζειν, ἴσα πολεμίοις αὐτῷ προσεφέρετο. κἀντεῦθεν συγγενεῖς τε καὶ φίλους ἐτιμωρεῖτο ἀφειδῶς, μόνος θέλων τετιμῆσθαι. τεκμήριον δὲ τοῦ ἀνδρὸς χρηματίζεσθαι θέλειν διὰ τὸ πολυδάπανον, ὅτι ἀκηκοὼς ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεύσας, ἀνοίξας τὸν τάφον Δαβίδ, ἀργυρίου λάβοι τάλαντα τρισχίλια, νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται, σὺν πιστοτάτοις τῶν φίλων παραληφθείς, ἵν᾽ ἀνέκφορον ἂν τὸ δρᾶμα μείνῃ.

ὅτι ὑρκανὸς καὶ ἡρώδης τάλαντα ἀργυρίου καὶ χρυσοῦ τάλαντα ἐκ τοῦ τάφου δαβίδ, καὶ ἐπιὼν καὶ εἰς αὐτὰ τὰ σώματα δαβὶδ καὶ σολομῶντος ἐκωλύθη ἡρώδης δεινὰ παθών. καὶ χρήματα μὲν οὐχ εὗρεν, ἀργύρια δηλαδή, κόσμον δὲ πολὺν κειμηλίων χρυσῶν, ὃν ἀνελὼν πάντα, ἀπεδύετο ἂν καὶ ἐνδοτέρω χωρεῖν κατὰ τὰς θήκας, ἐν αἷς τῶν βασιλέων Δαβὶδ καὶ Σαλομῶντος τὰ σώματα τεθησαύριστο. ὡς δ᾽ ἐβιάζετο εἰσιέναι, δύο μὲν αὐτοῦ τῶν δορυφόρων ἐφθάρησαν, φλογὸς ἔνδοθεν ἀπαντησάσης, ὡς λόγος, αὐτὸς δὲ περιδεὴς ἐξῄει, καὶ διὰ τὴν ἐπιχείρησιν χεῖρον ἔχειν ἐδόκει τὰ κατὰ τὴν οἰκίαν αὐτῷ. ἐμφυλίῳ γὰρ ἐῴκει πολέμῳ τὰ κατὰ τὴν αὐλὴν τὴν βασιλικήν. ἐστρατήγει δὲ ἀεὶ κατὰ τῶν ἀδελφῶν ὁ Ἀντίπατρος, δεινὸς ὤν, δι᾽ ἄλλων μὲν φύων προσβάλλων αἰτίας, αὐτὸς δὲ πολλάκις ὑπεραπολογούμενος, ἵνα δοκοίη εὔνους ἐκείνοις, ἀνύποπτός τε ἂν τῷ πατρὶ πρὸς τὰς ἐγχειρήσεις, καὶ μόνος τῆς ἐκείνου σωτηρίας φροντίζειν δοκῇ. καὶ ὁ μὲν τὰ πάντα ἦν τῷ πατρί, οἱ δ᾽ ἐκ τῆς Μαριάμμης χαλεπώτερον ἀεὶ διετίθεντο, καὶ τὴν ἀτιμίαν οὐκ ἔφερον ὑπ᾽ εὐγενείας, ἠξιωμένοι καὶ τάξιν ἀτιμοτέραν ἔχοντες. αἵ τε γυναῖκες, ἡ μὲν Ἀλεξάνδρῳ συνοικοῦσα Γλαφύρα ἡ Ἀρχελάου, μῖσος εἶχεν εἰς τὴν Σαλώμην, διά τε τὴν πρὸς τὸν ἄνδρα διάθεσιν, καὶ διὰ τὴν ἐκείνης θυγατέρα συνοικοῦσαν Ἀριστοβούλῳ, ᾗ περ ὑπερηφάνως προσεφέρετο ἡ Γλαφύρα, καὶ τὴν ἰσοτιμίαν αὐτῆς ἀναξιοπαθοῦσα. γέγονε δέ τις ὑπόνοια, ὡς τὸν τοῦ βασιλέως ἀδελφὸν Φερώραν εἰς ὑποψίαν καὶ μῖσος τῷ ἀδελφῷ φέρεσθαι.

κατηγγύητο μὲν γὰρ αὐτῷ ἡ τοῦ βασιλέως θυγάτηρ. ὁ δὲ δούλης αὐτῷ γυναικὸς ἡττώμενος, καὶ περιμανῶς τοῦ γυναίου ἐρῶν, τῇ μὲν τοῦ ἀδελφοῦ θυγατρὶ οὐ προσεῖχε, τῇ δὲ δούλῃ προσέκειτο. ἤχθετο δὲ διὰ τοῦτο Ἡρώδης, καὶ τὴν μὲν κόρην υἱῷ Φασαήλου ζεύγνυσι. χρόνου δὲ διελθόντος, περί τε τῆς προτέρας ᾐτιᾶτο τὸν ἀδελφόν, καὶ τὴν δευτέραν ἠξίου λαμβάνειν, ἀπηρτημένον ἤδη αὐτὸν οἰόμενος τῆς δούλης τὸν ἔρωτα. ὁ δὲ τὴν μὲν δούλην καὶ παιδία δὴ αὐτῆς χρόνον ἐκπέμπει, τὴν δὲ τοῦ βασιλέως θυγατέρα μετὰ τριακοστὴν ἡμέραν κατεγγυήσεσθαι ὑπέσχετο. διελθούσης δὲ τῆς προθεσμίας, οὕτω πρὸς τὸν τῆς δούλης ἔρωτα ἐμεμήνει, ὡς ἀθετῆσαι τὰ ὡμολογημένα, τῇ δὲ προτέρᾳ συμφθείρεσθαι. ταῦτα τὸν Ἡρώδην ἐξῄμαινε· καὶ ἀεὶ δὲ τι καινὸν προσαπήντα, ἀτρεμεῖν αὐτὸν οὐκ εἴα. καὶ ἡ Σαλώμη δὲ χαλεπὴ τοῖς ἐκ Μαριάμμης ἦν, καὶ τὴν ἑαυτῆς θυγατέρα Ἀριστοβούλῳ συνοικοῦσαν ἀνέπειθε, μὴ εὐνοϊκῶς πρὸς τὸν ἄνδρα διακεῖσθαι· ἀπαγγέλλειν δὲ αὐτῇ, εἴ τι κατ' ἰδίαν λαλήσειεν. ἡ δὲ μεμνῆσθαι τοὺς νεανίσκους ἔλεγε τῆς μητρός, τὸν δὲ πατέρα στυγεῖν, ἀπειλεῖν δὲ τῆς ἀρχῆς τυχόντας, τοὺς μὲν ἐκ τῶν ἄλλων γυναικῶν παῖδας Ἡρώδου κωμογραμματεῖς καταστήσειν, τὰς δὲ γυναῖκας καθείρξειν, ὡς μηδὲ τὸν ἥλιον βλέπειν. ταῦτα διὰ τῆς Σαλώμης τῷ βασιλεῖ ἀπηγγέλλετο, κἀκεῖνος ἤκουεν ἀλγεινῶς, ἐπειρᾶτο δὲ διορθοῦν. τῶν δὲ παίδων ἀπολογουμένων, ῥᾴων ἐγίνετο. Φερώρας δ' αὖθις τὰ πράγματα συνετάραξεν, εἰπὼν Ἀλεξάνδρῳ ἀκηκοέναι Σαλώμης λεγούσης ἐρᾶν τὸν Ἡρώδην Γλαφύρας. ὁ δὲ Ἀλέξανδρος πρὸς τὸν λόγον ἐκ ζηλοτυπίας τετάρακτο, καὶ τὴν ὀδύνην οὐκ ἤνεγκεν, τὰ ὑπὸ τοῦ Φερώρα λεχθέντα τῷ πατρὶ καταμηνύσας. ὁ δ' Ἡρώδης περιπαθήσας, καὶ τὸ τῆς διαβολῆς ἐψευσμένον οὐ φέρων, θορυβηθείς τε, μεταπέμπεται τὸν Φερώραν, καὶ κάκιστε, εἶπε, τοιαῦτα καθ' ἡμῶν λαλήσας, πότερον οἷον λόγον εἰς τὴν ψυχὴν τοῦ παιδὸς, ἢ ξίφος εἰς τὴν δεξιὰν αὐτοῦ ἐμβαλεῖν; Φερώρας δὲ Σαλώμην, ἔφη, ταῦτα συνθεῖναι, κἀκείνης εἶναι τοὺς λόγους. ἡ δὲ ἀνεβόα, καὶ τὰς τρίχας ἐπεσπάραττε, καὶ ἐστερνοτυπεῖτο. διὰ δὲ τὴν τοῦ τρόπου ἐκ τῶν συνήθων κακοήθειαν. τέλος δὲ ὁ βασιλεὺς καὶ τὸν ἀδελφὸν καὶ τὴν ἀδελφὴν ἀποπέμπεται, τὸν υἱὸν δὲ τῆς ἐγκρατείας ἐπῄνεσε, καὶ τοῦ πρὸς αὐτὸν τοὺς λόγους ἀνενεγκεῖν. ἕτερον δέ τι συνέπεσε ταραχὰς αὖθις ἐγεῖραν κατὰ τὴν οἰκίαν τοῦ βασιλέως· ὅσοι αὐτῷ εὐνοῦχοι, διὰ κάλλος ἀσπαζόμενοι, ὧν ὁ μὲν οἰνοχοεῖν, ὁ δὲ δεῖπνον προσφέρειν, ὁ δὲ κατευνάζειν αὐτὸν ἐτέτακτο. τούτους ὑπ' Ἀλεξάνδρου χρήμασι διεφθάρθαι μεμήνυτο, καὶ βασάνοις ἐκδοθέντες οἱ εὐνοῦχοι, μῖξιν μὲν αὐτοῖς γενέσθαι πρὸς τὸν νεανίαν ἀνωμολόγουν, ἄλλο δὲ οὐδὲν κατὰ τοῦ πατρὸς συνειδέναι τῷ Ἀλεξάνδρῳ. ἐπιτεινόντων δὲ τῶν βασανιζόντων τὰς μάστιγας, ἔλεγον, ὡς εἴη δυσμένεια καὶ μῖσος Ἀλεξάνδρῳ πρὸς τὸν πατέρα, παραινεῖν δὲ Ἡρώδην μὲν ἀπεγνωκέναι διὰ τὸ γῆρας, αὐτῷ δὲ προσέχειν, ὡς τῆς βασιλείας αὐτῷ περιελευσομένης, κἂν μὴ βούληται ὁ πατήρ, καὶ διὰ τὸ γένος, καὶ διὰ τὴν τῶν ἡγεμόνων καὶ τῶν φίλων διάθεσιν. τούτων ἀκούσας Ἡρώδης, περίφοβος ἦν, καὶ πρὸς πάντας ὑποψίας εἶχε καὶ μῖσος, πολλοῖς δὲ τῶν φίλων καὶ τὴν εἰς τὰ βασίλεια πρόσοδον ἀπηγόρευσε. πάντων δ' αἴτιος ἐτύγχανεν ὁ Ἀντίπατρος. πρῶτον μὲν οὖν ὅσους ᾤετο πιστοὺς Ἀλεξάνδρῳ, βασάνοις ὁ Ἡρώδης ἐξήταζεν, εἴ τι κατ' αὐτοῦ πλημμελοῦντα ᾔδεσαν. οἱ δὲ ἀπέθνησκον, οὐδὲν ἔχοντες λέγειν. εἷς δέ τις τὰς βασάνους μὴ φέρων, εἶπε, λέγειν Ἀλέξαν-

ἃ ὁ ἀδελφὸς αὐτοῦ ἀνεπλάττετο, καὶ ἐπηγγέλλετο.

Cum ei regis filia desponsa esset, mulierẽ ancillã insano amore deperibat, neglectaq; coniuge, seruæ amplexib. indulgebat. Id Herodes ęgrè ferẽs, puellam Phaselí filio iũgit. sed aliquãto pòst, tum de priore delicto expostulat, tum ut alteram filiam ducat postulat, ancillæ amorẽ iam deferbuisse ratus. Ille ancilla & puero ex ea nato dimissis, se regis filiã ad diem trigesimũ ducturum pollicet. Quo tẽpore elapso, tãtus eius amoris ardor erga ancillã fuit, ut pactis conuentis neglectis, in adamatæ mulierculę stupris uolutaret. Id Herodis furorẽ accendit: ac subinde noui aliquid exortũ est, quod eum quietum esse non pateret. Ad hęc Salome filijs Mariammes infesta, filiæ quoq; suæ Aristobulo nuptæ suasit, ne marito bene cuperet: sed si quid arcani loqueretur, id sibi renũciaret. Ea uerò dicebat, adolescentes meminisse matris, patrẽ odisse: minitari, se regno potitos, Herodis liberos ex alijs mulierib. natos, paganos scribas effecturos: ipsas mulieres ita inclusuros, ut ne solem quidem intuerentur. Quæ cũ rex ex improbissimæ Salomæ indicio cognosceret, dolenter ferebat, ac corrigere conabatur, auditáq; filiorũ defensione mitigabatur. Sed Pheroras denuò res turbauit. Dixit enim Alexãdro, se ex Salome audiuisse, Herodẽ Glaphyræ amore captũ esse. Qua oratione turbatus Alexander, ac zelotypiæ dolorem non ferens, quod ex illo audierat, patri indicauit. Herodes uerò magno dolore affectus, & ementitæ calumniæ impatiens, ac turbatus, accersito Pherora: Pessime, inquit, istis cõtra nos dictis utrum te uerba infigere animo filij, an dextram eius armare gladio censes? Pheroras respondit, commentũ id Salomes esse: cui quãuis negãti, & capillũ uellicanti, & pectus plangẽti, ob insitam morũ improbitatem fides non habebatur. Tandẽ rex & fratrem & sororẽ ablegat, filio ob cõtinentiã & relatos ad se sermones collaudato. Cæterùm aliud quiddã accidit, quo tumultus in ędibus regijs est renouatus. Habebat Herodes eunuchos ob formę elegantiã charos, quorũ uni pincernæ, alteri dapiferi munus assignarat, tertius ipsi à somnis erat. Iĩ ab Alexãdro pecunia corrupti esse dicebãtur, & quæstionib. adhibiti, rem secũ habuisse adolescentẽ confessi sunt, sed de patre nullius consilij se conscios esse Alexandro affirmarũt. Verùm tortorib. flagra intendentibus, adiecerunt, intercedere Alexandro inimicitias & odiũ cũ patre, seq; ab eo monitos, ut Herode ob senectutẽ destituto, sibi auscultarent, ad quem regnũ uel inuito patre uẽturum esset, tum ob genus, tum propter ducum et amicorũ erga se beneuolentiã. His auditis Herodes in metu fuit, omnes suspectos atque inuisos habuit, multis amicorũ aditu regiæ interdixit: quarum rerum omnium causa erat Antipater. Primùm igitur quos Alexandro fidos esse putabat, quæstionibus adhibitos examinabat, nunquid ei facinoris alicuius, quo ipse peteretur, cõscij essent? Illi uerò cum quod dicerent, non haberent, cruciatibus immoriebantur. Quidam tamen tormentorum dolore uictus, dixit, Alexandrum,

Salome.

Pheroras & Salome regia pelluntur.

Eunuchorum de Alexandro indicium.

Alexander in uincula conijcitur.

drum, cum ob proceritatem corporis, sagittandi peritiam, cæterasque dotes laudaretur, dixisse: Si quid sibi præclari uel à natura tributum, uel studio comparatum esset, id sibi calamitati esse, quod pater suis bonis doleret. Adiecit, eum cum Aristobulo consilia agitasse, de patre in uenatione occidendo, & uendicandi regni causa Romã confugiendo. Sunt & literæ Alexandri inuentæ, quib. ad fratrem scribebat, patrem iniquè facere, qui Antipatrum ipsis anteferret. Ob hæc Alexandrũ in uincula coniecit: sed euidentius argumentũ quæsiuit, ne filium temerè uinxisse uideretur. ac multos insignes uiros in quæstionib. occidit, nihil tale elocutos, quale expectabat. Sed quidam adolescens fidiculis contensis, dixit, Alexandrum ab amicis Romanis petijsse, ut à Cæsare uocaretur, ad indiciũ faciendum de Mithridate Parthorũ rege, qui cum patre amicitiam contra Romanos iniisset: eundem habére uenenũ Ascalone præparatum. Hæc temeritatem Herodis consolata sunt. Ac uenenũ statim quæsitũ est, sed non inuentũ. Alexander autem malorũ magnitudine exacerbatus, ut inimicos ulcisceretur, & unà secũ in exitiũ traheret: ad patrẽ scripsit, nihil opus esse quæstionib. Nam se insidias cogitasse: earũque socios esse Pherorã, & intimos eius amicos. Salomen uerò etiã noctu cubiculũ ingressam, secũ inuito rem habuisse. enimuerò omnes in eo cõsentire, ut ipso è medio sublato, perpetuo exitij metu liberẽtur. Cæterùm Archelaus Cappadocũ rex ijs cognitis, de filia & genero solicitus, Hierosolyma uenit, artificiose molestias sedare conatus. Nã adolescentem accusabat, & Herodem æquũ uocabat, seque diremturũ esse coniugiũ profitebatur. Illo ea dicẽte, Herodes sæuitia remissa, in mœrorem & lachrymas erupit: eũque rogauit, ne matrimoniũ dirimeret, sed omissa iracũdia, delictis adolescentis ueniã daret. Archelaus, cũ Herodem iam mitigatũ uideret, culpam in alios transferebat, Pherorã præsertim. Cui roganti ut pro se apud Herodẽ intercederet, suasit, ut ipse fratrem conueniret ac oraret, & culpam omnẽ agnosceret. Sic enim iracũdiæ rigorẽ facilius mitigaturũ, seque illi affore est pollicitus. Paret Pheroras, per Archelaũ Herodi reconciliatur, etiam Alexandro crimine liberato. Verùm lõgo tempore pòst liberi & res domesticæ Herodis lõgè peius habuerũt. nã Eurycles Lacedæmonius, homo apud suos non obscurus, sed pessimi animi, Herodi munerib. oblatis, & plurib. acceptis, in regis intimam amicitiã est receptus. Diuersabatur autem apud Antipatrum. sed & Alexandri ædes frequentabat, se Archelao quoque notum esse asserens, eaque de causa Glaphyram colere simulabat. Huic in familiaritatẽ recepto Alexander suas tragœdias & matris interitũ referebat, ac non ferenda esse illa dicebat. Quæ cum dolenter effaretur, Eurycles omnia narrabat Antipatro: ab eoque muneribus acceptis, ut eadem patri referret, sic regem commouit, ut odio implacabili arderet. Hac ratione partis opibus discessis.

Archelaus Herodem placat.

Eurycles Lacedæmonius nouas tragœdias Herodi ciet.

δρον, ἐπαινούμενον διὰ τὸ τοῦ σώματος μέγεθος, καὶ τὸ εὔστοχον βάλλειν τόξῳ καὶ τἄλλα ὅσα ἦν περὶ αὐτὸν τῆς φύσεως ἢ τῆς διαίτης καλόν, ἢ ἐξ ἀσκήσεως προσεγένετο, εἰς δυστύχημα περιίστασθαι. ἄχθεσθαι γὰρ ἐπὶ τοῖς καλοῖς αὐτοῦ τὸν πατέρα. προσετίθει δέ, ὡς καὶ βουλεύσαιτο σὺν ἀριστοβούλῳ, ἐν κυνηγεσίῳ ἀνελεῖν τὸν πατέρα, καὶ εἰς ῥώμην φυγεῖν, τὴν βασιλείαν μετελευσόμενος. εὑρέθη δὲ καὶ γράμματα ἀλεξάνδρου πρὸς τὸν ὁμαίμονα, μὴ δίκαια λέγοντα ποιεῖν τὸν πατέρα, προτιμῶντα τὸν ἀντίπατρον. ἐπὶ τούτοις συλλαβὼν ἔδησε τὸν ἀλέξανδρον· ἐσπούδαζε δὲ καὶ μεῖζόν τι λαβεῖν τεκμήριον κατὰ τοῦ υἱοῦ, ἵνα μὴ προπετῶς δόξῃ αὐτὸν δεδεκώς. πολλοὺς οὖν καὶ τῶν ἐν τέλει βασανίζων διέφθειρε, μηδὲν εἰπόντας, οἷον ἐκεῖνος ᾤετο. ὡς δὲ εἷς τῶν νεωτέρων ἐν ταῖς ἀνάγκαις ἐγένετο, ἐπιστεῖλαι ἔλεγε τὸν ἀλέξανδρον τοῖς ἐν ῥώμῃ φίλοις, ἀξιοῦντα κληθῆναι ὑπὸ τοῦ καίσαρος, μηνύσοντα, μιθριδάτην τὸν βασιλέα πάρθων ἐπὶ τῷ πατρὶ φιλιωθέντα κατὰ ῥωμαίων, εἶναι δὲ αὐτῷ καὶ φάρμακον κατεσκευασμένον ἐν ἀσκάλωνι. ταῦτα ἡρώδης τῆς προπετείας ἐλογίζετο παραμύθιον· τὸ μέντοι φάρμακον ζητηθέν, οὐχ εὑρέθη. διὰ δὲ τὴν τῶν κακῶν ὑπερβολὴν ὁ ἀλέξανδρος φιλονείκως διατεθείς, καὶ βουληθεὶς ἀμύνασθαι τοὺς ἐχθρούς, ἵν᾽ αὐτῷ συναπόλωνται, γράμματα πέπομφε τῷ πατρί, ὡς οὐδὲν δεῖ βασανίζειν· μελετηθῆναι γὰρ τὴν ἐπιβουλήν, καὶ ταύτης μετέχειν τόν τε φερώραν καὶ τοὺς πιστοτάτους αὐτοῦ τῶν φίλων. σαλώμην δὲ καὶ νύκτωρ ἐπεισελθοῦσαν αὐτῷ μιγῆναι καὶ ἄκοντι· ἀλλὰ καὶ πάντας εἰς ταὐτὸ ἥκειν, ἵν᾽ ἐκ μέσου αὐτοῦ γεγονότος, ἀπηλλαγεῖεν τοῦ ἀεὶ φοβεῖσθαι προσδοκᾶν. ἀρχέλαος δὲ ὁ τῶν καππαδοκῶν βασιλεὺς ταῦτα μαθών, καὶ ἀγωνιῶν ὑπέρ τε τῆς θυγατρὸς καὶ τοῦ κηδεστοῦ παραγέγονε, καὶ εὐφυῶς μετῄει τὴν τῶν λυπούντων ἐπανόρθωσιν, τοῦ μὲν νεανίσκου καταγινώσκων, ἐπιεικῆ δὲ τὸν ἡρώδην ἀνακαλῶν, τόν τε γάμον διαλύσειν ἔλεγε. τοιαῦτα δὲ λέγοντος τοῦ ἀρχελάου, ἐνδίδωσι τῆς χαλεπότητος ἡρώδης, καὶ κατενύγη πρὸς λύπην καὶ δάκρυα· ἐδεῖτό τε, μὴ λύειν τὸν γάμον, ἀλλὰ χαλᾶν τὴν ὀργήν, ἐφ᾽ οἷς ὁ νεανίσκος ἡμάρτηκεν. ἀρχέλαος δὲ ἤδη μαλαχθέντα τὸν ἡρώδην θεώμενος, εἰς ἄλλους τὰς αἰτίας μετέφερε, καὶ μᾶλλον εἰς τὸν φερώραν. ὁ δὲ πρὸς ἀρχέλαον ἐτράπετο, ἵν᾽ ἑαυτῷ πρὸς ἡρώδην αὐτὸν διαλλάξῃ. ὁ δὲ συνεβούλευεν αὐτῷ, βέλτιον δι᾽ ἑαυτοῦ προσιέναι τῷ ἀδελφῷ, καὶ δεῖσθαι, πάντων ὁμολογοῦντα αἴτιον ἑαυτόν· μαλάξαι γὰρ οὕτω τὸ σκληρὸν τῆς ὀργῆς. καὶ αὐτὸς δὲ παρὼν συλλήψεσθαι ἐπηγγέλλετο. πείθεται ὁ φερώρας, καὶ ἀλέξανδρος μὲν τῶν αἰτιῶν ἀπελύετο, ἀρχέλαος δὲ τῷ ἡρώδῃ τὸν φερώραν διήλλαξε. μετὰ καιρὸν δὲ πολλῷ χεῖρον εἶχε τὰ κατὰ τοὺς παῖδας καὶ τὴν οἰκίαν ἡρώδῃ. εὐρυκλῆς γάρ τις λακεδαιμόνιος οὐκ ἄσημος τῶν ἐκεῖ, κάκιστος δὲ τὴν προαίρεσιν ἄνθρωπος, ἐπιδημήσας πρὸς ἡρώδην, δίδωσιν αὐτῷ δῶρα, καὶ πλείω λαβών, γέγονε φίλος ἐν τοῖς μάλιστα τοῦ βασιλέως. ἦν δὲ αὐτῷ καταγωγὴ ἐν τοῖς ἀντιπάτρου, προσῄει δὲ καὶ ἀλεξάνδρῳ, γνωστὸς εἶναι λέγων καὶ ἀρχελάῳ, ὅθεν καὶ τὴν γλαφύραν τιμᾶν ὑπεκρίνετο. τούτῳ συνήθει γεγονότι ἀλέξανδρος τὰ καθ᾽ ἑαυτὸν διετραγῴδει, καὶ τὰ κατὰ τὴν μητέρα ἐδίδασκε, καὶ ἔλεγε μὴ δοκεῖν αὐτὰ ἀνεκτά. καὶ ὁ μὲν ἀλέξανδρος τοιούσδε λόγους πεποίητο πρὸς τὸν εὐρυκλῆ. ὁ δὲ πάντα τῷ ἀντιπάτρῳ ἀνέφερεν. ἀντίπατρος δὲ δώροις αὐτὸν ἐδεξιοῦτο, καὶ ἀξιοῖ πρὸς τὸν πατέρα τοὺς λόγους φράζειν. ὁ δὲ οὕτω τὸν βασιλέα διέθηκεν, ὡς ἀμείλικτον αὐτῷ γενέσθαι ἐποίησε τὸ μῖσος. καὶ ὁ μὲν ἀπάτῃ χρηματισάμενος,

περὶ τοῦ κακοαίτου δημαίου.

Herodes

Ἡρώδης δὲ εἰς τοῦτον προῆλθε τῆς πρὸς τοὺς παῖδας ὀργῆς, ὡς μηκέτι δεῖσθαι διαβαλλόντων, ἀλλ' αὐτὸς περιεργάζεσθαι τὰ ἐκείνων, καὶ παρατηρεῖν ἕκαστα. δύο γὰρ τῶν σωματοφυλάκων τοῦ βασιλέως κατ' ὀργὴν αὐτοῦ ἀπωσμένοι, οἷς πρὸς Ἀλέξανδρον συνιππάζοντο, καὶ δῶρα δὲ ἐκείνου ἐλάμβανον. ὑποπτεύσας οὖν τούτους Ἡρώδης, εὐθὺς ἐβασάνιζεν. οἱ δὲ τὸ μὲν πρῶτον διεκαρτέρουν, αὖθις ἀπήγγελλον, ὡς πείθοι αὐτοὺς κτεῖναι θηρῶντα τὸν Ἡρώδην Ἀλέξανδρος. καὶ ὁ φρούραρχος δὲ τοῦ Ἀλεξανδρείου ἀνεζητεῖτο, ὡς ἐπαγγειλάμενος δέξασθαι τοὺς νεανίσκους ἐν τῷ φρουρίῳ· κἀκεῖνος μὲν οὐδὲν ὡμολόγει· ὁ δὲ υἱὸς αὐτοῦ ταῦτα γενέσθαι κατετίθετο, καὶ γράμμα ἐπεδίδου περὶ τούτων, ὡς εἰκάσαι διὰ τοῦ Ἀλεξάνδρου χειρός. ὁ μὲν οὖν Ἡρώδης ἐκεῖνο διάσημον ἦν πεῖραν τῆς τῶν παίδων ἐπιβουλῆς. Ἀλέξανδρος δὲ δι' Ἀντιπάτρου τὸ γραμματίδιον κακουργηθῆναι ἀπισχυρίζετο. τότε μὲν οὖν φυλακὴ τῶν νεανίσκων ἐγίνετο, καὶ κατάδικον εἶχον ἀδοξίαν καὶ δέος. ὁ δ' Ἀριστόβουλος τὴν ἑαυτοῦ πενθερὰν Σαλώμην συναλγεῖν οἰόμενος, καὶ μισεῖν τὸν τὰ τοιαῦτα πιστεύοντα, ταῦτα καὶ σοί, ἔφη, κίνδυνον προμηνύει, διαβεβλημένῃ κατ' ἐλπίδα γάμου Συλλαίου. τούτους ἐκείνη τοὺς λόγους εὐθὺς προσφέρει τῷ ἀδελφῷ. ὁ δὲ δεθῆναι κελεύει ἄμφω τοὺς υἱούς, καὶ ἀπ' ἀλλήλων διασωθῆναι, γράψαι τε ὅσα κατὰ τοῦ πατρὸς ἐμελέτησαν. οἱ δὲ γράφουσιν, ἐπιβουλὴν μὲν οὔτε βουλεῦσαι κατὰ τοῦ πατρός, οὔτε μὴν συσκευάσασθαι, δρασμὸν δὲ μελετῆσαι, καὶ τοῦτον δι' ἀνάγκην, ὑπόπτου καὶ προσάντους οὔσης αὐτοῖς τῆς ζωῆς τότε. ἥκοντος δὲ Ἀρχελάου πρεσβευτοῦ, ἐξῆγε τὸν Ἀλέξανδρον δεσμώτην, καὶ περὶ τῆς φυγῆς ἐπυνθάνετο ἐπ' ἀκροάσει τοῦ πρεσβευτοῦ, ὅπῃ καὶ πῶς ἐγνώκεσαν ἀποχωρεῖν; ὁ δὲ πρὸς Ἀρχέλαον ἔφη, ἐκεῖθεν εἰς Ῥώμην συνθέμενον διαπέμψειν, ἄλλο δὲ οὐδὲν ἄτοπον ἢ δυσχερὲς λογίζεσθαι κατὰ τοῦ πατρός. τούτων οὕτω ῥηθέντων, ὁ βασιλεὺς γράμματα πρὸς Καίσαρα δίδωσι, δύο τῶν αὐτοῦ ἐκέλευσεν ἐν τῷ παράπλῳ τῆς Κιλικίας προσχόντας, ἐντυχεῖν Ἀρχελάῳ, καὶ μέμψασθαι, ὅτι τῆς ἐπιβουλῆς τοῖς παισὶ συνεφάψαιτο. Ἀρχέλαος μέντοι ἀπελογεῖτο, δέξασθαι τοὺς νεανίας συνθέσθαι, διὰ τὸ συμφέρον ἐκείνοις καὶ τῷ πατρί, οὐ μὴν πρὸς Καίσαρα πέμψειν. εἰς Ῥώμην δὲ ἀνακομισθέντες οἱ τῆς ἐπιστολῆς κομισταί, ταύτας δεδώκασι Καίσαρι. ὁ δὲ ἀντεπέστειλεν, ἄχθεσθαι περὶ τοῖς παισίν, ἐπ' ἐκείνῳ δὲ τὴν πᾶσαν ἐξουσίαν ποιεῖν. καὶ εἰ μὲν τὸ ἀνόσιον πεποιήκασιν, ἐπεξιέναι ὡς πατραλοίας. εἰ δὲ δρασμὸν ἐγνώκασιν, ἀλλὰ νουθετήσαντα μηδὲν ἀνήκεστον διαπράξασθαι. συμβουλεύειν δ' αὐτῷ περὶ Βηρυτὸν συναγαγόντα συνέδριον, καὶ παραλαβόντα τοὺς ἡγεμόνας καὶ τὸν τῶν Καππαδοκῶν βασιλέα Ἀρχέλαον, καὶ ὅσους τῶν ἄλλων οἶδεν ὑπερφανεῖς ἀξιώμασι, μετ' ἐκείνων τὸ δέον σκοπεῖν. ταύτην δεξάμενος τὴν ἐπιστολὴν ὁ Ἡρώδης, ἐκάλει πρὸς τὸ συνέδριον οὓς ἐβούλετο, Ἀρχέλαον δὲ ἔχθραν προσποιούμενος, ἢ καὶ ἐναντιωθήσεσθαι τῇ γνώμῃ νομίζων αὐτοῦ. ἤδη δὲ συνηγμένων τῶν τε ἡγεμόνων καὶ τῶν ἄλλων, κατηγόρει τῶν παίδων ὁ βασιλεύς, καὶ τὰ δι' αὐτῶν ἐκείνων γραφέντα ἀνεγίνωσκεν, ἐν οἷς οὐδὲν ἐγέγραπτο, ὅτι φυγὴν βουλεύοιντο, καὶ λοιδορίας τινὰς εἰς αὐτόν, ἐνδεῖ διὰ τὴν δύσνοιαν ἔχουσαι. καὶ τέλος εἰπών, καὶ ἐκ τῆς φύσεως καὶ ἐκ τοῦ Καίσαρος αὐτῷ τὴν ἐξουσίαν δεδόσθαι, καὶ νόμον προσέθηκε πάτριον, ὃς ἐκέλευεν, ἄν τινα κατηγορήσωσιν οἱ γονεῖς, ἐπιθεῖσι τὰς χεῖρας τῇ κεφαλῇ, τοὺς περιεστῶτας τοῦτον ὀφείλειν λιθοβολεῖν, καὶ οὕτως ἀποκτείνειν.

[illegible]

[illegible]

Herodes uerò tanta iracundia contra filios efferbuit, ut calumniatorib. iam nihil esset opus, sed ipse dicta factaqȝ eorum omnia curiose indagaret atqȝ obseruaret. Cum autem duo ex regis satellitibus per iracundiam expulsi, cum Alexandri ministris equitarent, ab eoqȝ munera accepissent: Herodes statim sinistri aliquid suspicatus, quæstiones de ijs habuit. Ii uerò principiò cruciatus tolerantes, deinde narrarunt, Alexandrum à se petijsse, ut Herodem in uenatu occiderent. Sunt & de Alexādrij castelli præfecto quæstiones habitæ, quasi promisisset, se adolescentes castello recepturū. illo autem nihil confitente, filius eius ita factum esse affirmauit, et literas ea de re obtulit, quæ Alexandri manu scriptæ uiderentur. Tum uerò Herodes nō iam dubitabat de filiorū insidijs, licet Alexandro Antipatri dolo id scriptum esse concinnatum affirmante. Adolescentes igitur tum obseruabātur, atqȝ in ignominia & metu damnatorū erāt. Aristobulus autem socrū Salomen uicem suam dolere, & eū odisse qui talia crederet, putans: Hęc, inquit, tibi quoqȝ periculū denunciant, cui spes nuptiarū Sylæi crimini datur. Ea uerba mulier statim ad fratrem defert. Qui utrunqȝ filium uinctū seorsim custodiri, ac singulatim scribere iubet, quæ contra patrem meditatus esset. Illi scribunt se insidias contra patrem neqȝ animis agitasse, neqȝ comparasse: sed fugā spectasse necessariò, quòd uitam solicitam & suspectam degerent. Tum igitur Alexandrum uinctum eduxit, pręsente & audiēte Archelai legato, & de fuga percontatus est, quò & quomodo discedere uoluerint: Ille uerò, ad Archelaū, respondit, qui pollicitus esset, se eum inde Romam missurum, nihil autem aliud grauius in patrē cogitasse. His dictis, rex duos è suis Romam ad Cæsarē cum literis misit, ac iussit naui ad Ciliciā appulsa cum Archelao expostulare, quòd insidiarū filijs suis adiutor fuisset. Archelaus uerò respōdit, se promisisse adolescētes susceptur ū, propter & ipsorum & patris utilitatem, sed ad Cæsarē missurū fuisse negauit. Illi Romam profecti Cæsari literas reddiderūt: qui rescripsit, se dolere propter eius filios, sed omnem ipsi autoritatē dare: qui si facinus impiū in se admiserint, puniendos pro parricidis: sin fugā duntaxat cogitarint, in eos uerbis castigatos nihil grauius consulendū. Consultum aūt uideri sibi, ut conuocato Beryti concilio, & ducibus atqȝ Cappadocū rege Archelao, & alijs uiris dignitate illustrib. adhibitis, quid statuendum esse uideatur, deliberet. Herodes hac epistola accepta, ad concilium uocauit quos uoluit: Archelao, siue quòd eum oderat, siue quòd uoluntati suæ refragaturū putabat, præterito. Ducibus & cęteris iam congregatis, rex filios accusat, recitatis ipsorum scriptis, quæ nihil aliud continebant, præter fugæ consilium, & conuicia quædam patri maleuolentiam exprobrantia. Postremò dixit, & à natura & à Cæsare potestatem sibi datam esse: legemqȝ patriam adiecit, quæ iuberet, si quem parentes, manibus illius capiti impositis, accusarent: eos qui circumstarent, necessariò lapidibus reum occidere. «

Alexander & Aristobulus uincti.

Cæsaris ad Herodem literæ.

Berytium conciliū filios Herodis capitis cōdemnat.

Quod

ἦσαν δὲ ἥ τε τοῦ Ἀντιπάτρου μήτηρ καὶ ἡ τοῦ ἀρχιερέως θυγάτηρ, ἐξ ἧς, ὡς εἴρηται, παῖς αὐτῷ ἐγεγόνει ὁμώνυμος. ἦν δὲ καὶ ἀδελφοῦ παῖς αὐτῷ μία γεγαμημένη καὶ ἀνεψιὰ σὺν αὐτῇ, ἐξαδέλφη δηλαδή (τὰς γὰρ ἐξαδέλφας ἀνεψιὰς ἐκάλουν οἱ παλαιοί, ὡς ἔστιν εὑρεῖν πολλαχοῦ καὶ παρὰ τῷ Πλουτάρχῳ, καὶ παρὰ ταῖς βίβλοις ταῖς νομικαῖς) ἦν δ' ἐν ταῖς γυναιξὶν Ἡρώδου καὶ ἐκ τοῦ ἔθνους τῶν Σαμαρείων μία, ἐξ ἧς ἦσαν παῖδες Ἀντίπας τε καὶ Ἀρχέλαος, καὶ θυγάτηρ Ὀλυμπιάς, καὶ Κλεοπάτρα δὲ Ἱεροσολυμῖτις ταῖς τούτου γυναιξὶ συνηρίθμητο. καὶ ταύτης παῖδες Ἡρώδης καὶ Φίλιππος. καὶ Πάλλας δὲ ἦν ἐν ταῖς αὐτοῦ γαμεταῖς, Φασάηλον πεποιημένη παῖδα αὐτῷ, καὶ ἐπὶ ταῖς λοιπαῖς Φαίδρα καὶ Ἐλπὶς συνῴκουν αὐτῷ. ἦσαν δὲ Ἡρώδῃ καὶ δύο θυγατέρες ἐκ Μαριάμμης, καὶ ἐκ Φαίδρας δὲ καὶ Ἐλπίδος ἔφυσαν αὐτῷ θυγατέρες Ῥωξάνη καὶ Σαλώμη. τοιοῦτον μὲν οὖν τὸ γένος Ἡρώδου. τὰ δὲ πράγματα πρὸς μόνον τὸν Ἀντίπατρον ἀφεώρων, καὶ ἦν ἅπασι φοβερός, οὐ τοσοῦτον τῇ δυναστείᾳ, ὅσον τῇ τῶν τρόπων κακότητι. μάλιστα δὲ αὐτὸν Φερώρας ἐθεράπευε, καὶ αὐτὸς ἐθεραπεύετο. ἦν ἀντίτακτος δὲ αὐτοῖς ἡ Σαλώμη, ἐναντίως ἀεὶ πρὸς τὴν τῆς κλήσεως αὐτῆς σημασίαν διακειμένη. ἡ μὲν γὰρ εἰρήνης σημαντικόν, καὶ εἰρηνικὴν ἔδει τὴν οὕτω κεκλημένην εἶναι. ἡ δὲ καὶ σφόδρα μάχιμος ἦν, καὶ ἐπὶ στάσεις καὶ μάχας καὶ συγγενείας ἀλλοτρίωσιν διεγείρουσα. αὕτη κατασκοποῦσα τὴν Ἀντιπάτρου καὶ Φερώρου οἰκείωσιν, ἔλεγε πρὸς Ἡρώδην, ἐπὶ κακῷ πρὸς αὐτοῦ τὴν τούτων γενέσθαι εὔνοιαν. γνόντες οὖν ἐκεῖνοι τὴν τῆς Σαλώμης διαβολήν, ἐν τῷ φανερῷ μὲν μῖσος κατ' ἀλλήλων καὶ λοιδορίας ἦσαν ὑποδεικνύντες, κεκρυμμένως δὲ τὴν πρὸς ἀλλήλους ἐτήρουν ὁμόνοιαν. τὴν Σαλώμην δὲ οὐκ ἐλάνθανον, πάντα τε ἀνιχνεύουσαν, καὶ πρὸς βασιλέα ἀπαγγέλλουσαν συνόδους λαθραίας, συμπόσιά τε καὶ ἀπόρρητα βουλεύματα. ὁ δὲ καὶ αὐτὸς τὰ πολλὰ συνίει. Φαρισαῖοι δὲ τὴν γυναικωνῖτιν οἰκειούμενοι, ἄνθρωποι μέγα φρονοῦντες ἐπ' ἀκριβώσει τοῦ πατρίου νόμου, καὶ βασιλεῖ ἀντιπράττοντες, οἳ παντὸς ὁμνύοντος τὴν Καίσαρι εὔνοιαν καὶ τῷ βασιλεῖ Ἡρώδῃ, αὐτοὶ οὐκ ἐπώμοσαν, ὄντες ὑπὲρ ἑξακισχίλιοι. τῇ δὲ γυναικὶ Φερώρου εὐνοοῦντες προὔλεγον, Ἡρώδῃ τέλος τῆς ἀρχῆς καταψηφισθῆναι παρὰ θεοῦ, νεμηθῆναι δὲ αὐτὴν Φερώρᾳ τε καὶ τοῖς ἐξ αὐτοῦ. οὐδὲ ταῦτα τὴν τῆς Σαλώμης μοχθηρίαν διέδρα, καὶ αὐτίκα πρὸς βασιλέα ἀπηγγέλλοντο. τῶν μὲν οὖν Φαρισαίων οἱ ἐπὶ τούτοις ἐληλεγμένοι ἀνῄρηντο, καὶ εὐνοῦχος Βαγώας, Κάρος τέ τις ἐπὶ σώματος κάλλει διαπρεπής, καὶ Ἡρώδου ὢν παιδικά, καὶ ἕτεροι τῶν περὶ τὸν βασιλέα ὡς συνίστορες. εἶτα συνέδριον καθίσας ὁ βασιλεύς, τῆς Φερώρου γυναικὸς κατηγόρει, καὶ ἀπηρίθμει πολλὰ αἰτιάματα, καὶ τέλος πρὸς τὸν Φερώραν τὸν λόγον τρέψας, δεῖν, ἔλεγε, καὶ πρὶν αὐτοκέλευστόν σε διὰ ταῦτα τὸ γύναιον ἀποπέμψασθαι. νῦν γοῦν εἰ τῆς ἡμῶν συγγενείας ἀντιποιῇ, τὴν μετ' αὐτῆς συμβίωσιν παραιτοῦ. ὁ δὲ πρότερον θανεῖν αἱρεῖσθαι ἀπεκρίνατο, ἢ ζῶν ἀποσπασθῆναι τῆς γυναικός. ἐντεῦθεν Ἡρώδης Ἀντιπάτρῳ καὶ τῇ ἐκείνου μητρὶ Φερώρᾳ συνομιλεῖν ἀπηγόρευσεν, ἢ ταῖς γυναιξὶ συνιέναι. οἱ δὲ κατετίθεντο, συνῄεσαν δὲ ἀλλήλοις καὶ συνεκώμαζον εἰ καιρός. Ἀντίπατρος δὲ τὴν ὀργὴν τοῦ πατρὸς ὑφορώμενος, γράφει τοῖς ἐν Ῥώμῃ φίλοις, ἐπιστεῖλαι Ἡρώδῃ, στεῖλαι πρὸς Καίσαρα τὸν Ἀντίπατρον. πέμπεται γοῦν εἰς Ῥώμην μετὰ δώρων Ἀντίπατρος, φέρων καὶ διαθήκην Ἡρώδου, αὐτῷ τὴν ἀρχὴν διδοῦσαν. εἰ δὲ φθάσει θανών,

Ὅτι ἀνεψιοὶ οἱ ἐξάδελφοι.

Ὅτι οἱ φαρισαῖοι οὐκ ἐπώμοσαν ὅμως, καὶ ὅτι προεῖπον τὴν τοῦ ἡρώδου βασιλείαν, διὸ καὶ ἀναιρέθησαν πολλοὶ ἐξ αὐτῶν.

inter quas fuere Antipatri mater & filia pontificis: è qua, ut dictum est, filium sibi cognominem procreauit. Fuit ei & fratris filia nupta, & consobrina cum ea, præterea Samaritana quædam, cuius filij fuere Antipas & Archelaus & Olympias filia. Inter eius uxores etiã Cleopatra Hierosolymitana numerabatur, cuius filij fuerunt Herodes & Philippus. Præterea Pallas, è qua Phasaelum suscepit: ac Phædra & Elpis, quæ ei Roxanen & Salomen filias pepererunt. Susceperat & è Mariamme duas filiolas. Atq; hæc familia Herodis fuit: sed summa rerum ad solum Antipatrum spectabat, omnibus formidabilem, nõ tam potestate, quàm morum improbitate: quem Pheroras maximè colebat, et ab eo uicissim colebatur. Salome uerò eis aduersabatur, quę rebus suo nomini contrarijs (id enim pacem significat) semper studebat, nõ pacifica, sed pugnax admodum, & alios ad seditiones, ad pugnas, ad iura cognationis & necessitudinis dirimenda incitare solita. Ea explorata Antipatri & Pherorę coniunctione, Herodi ait, eorum beneuolentiam in ipsius fraudẽ tendere. Cuius illi calumnia intellecta, quamuis clàm concordiam colerent, publicè autem mutuis odijs & conuicijs certarent: Salomen tamẽ non fefellerunt, indagãtem omnia, & regi nunciantem, occulta conciliabula, compotationes & consilia arcana: quæ ipse etiam pleraq; intelligebat. Pharisæi uerò gynæconitide sibi conciliata, homines accurata patriæ legis obseruatione tumidi, regi aduersabantur. Nam cum cæteri omnes in fidem Cæsaris & regis Herodis iurassent: illi soli refragati sunt, sex millium numero. & quia Pherorę coniugi bene cupiebãt, prædixerunt, regnum Herodi diuinitùs abrogatum, Pheroræ eius'que posteris attributum esse. Ne hæc quidem Salomes improbitatem latuerunt, quin statim regi renunciarentur. Pharisæi autem orationis illius conuicti, eunuchus Bagoas, Carus quidam excellenti forma Herodis amasius, atq; alij regij, tanquam arcanorũ conscij, interfecti sunt. Deinde rex indicto concilio Pheroræ cõiugem, multis criminibus in medium adductis, accusauit, ac deniq; oratione ad Pherorã conuersa: His de causis, inquit, muliercula pridẽ ultrò tibi repudianda fuit. At nunc saltem, si te fratrẽ meum perhiberi cupis, illius consuetudinẽ uitato. Ille uerò se mortem præoptare potius respondit, q̃ ut uiuens uxorem deserat. Ex eo Herodes Antipatro & matri eius, Pherorę cõsuetudinẽ, & mulieribus, ne inter se conuenirent, interdixit. Qui etsi id pollicerentur, tamen per tempus comessatũ conueniebant. Antipater uerò patris iram metuens, ab amicis petit, ut Herodi scribant, ut se Romam mittat. Ita pater eum cum muneribus in urbem mittit, testamentum ferentem, quo ei regnum legabatur. Sin ipsi aliquid accidisset, Hero-

Salome Antipatro & Pheroræ insidiatur.

Pharisæorũ assentatio occasionẽ præbet Pheroræ ablegandi.

Herodi ex filia pontificis genito. Pheroram, cum uxorem non repudiaret, discedere iussit. Is uero cum in tetrarchiam suam abiret, iurauit se ante auditum fratris obitum reuerti nolle. Unde factum, ut nec rege ægrotante accersitus ueneris, ne iusiurandum uiolaret. Herodes uero post, Pheroram ægrotantem ultro inuisit, & mortuo honorem habuit. Cæterum Pheroræ exitium Antipatro malorum fuit initium, numine fratricidium eius ulciscente. Nam duo honorati Pheroræ liberti rogarunt Herodem, ne fratris necem ueneno sublati inultam esse pateretur. Quod cum probabile uideretur, regem ad rem certius indagandam permouit: habitæ sunt quæstiones de mulieribus ingenuis, & ancillis. Cæteris cum silentio cruciatus tolerantibus, una quædam nihil aliud dixit, nisi quod Deum precata est, ut Antipatri mater, malorum autor, tali necessitate urgeretur. Ea oratio regem ad diligentiorem inquisitionem perpulit: ac mulieres cruciatibus auctis, arcana omnia detexerunt, comessationes, occultos congressus, sermones Antipatri cum Pheroræ mulieribus habitos, odium patris, lamentationes apud matrem, quod pater diutissime uiueret, itaque se suauitatis imperii sensu cariturum, si quando id adipisceretur, ob urgentem iam senectutem. Hæc atque alia plura, quæ patrem quoque tangerent, mulieres referebant. Ob quæ rex Antipatro iam apud animum suum condemnato, matrem eius Doridem repudiat, & omnem ei mundum eripit, precii multorum talentum. In primis tamen Herodem contra filium inflammauit Antipater procurator illius: cum alia in quæstionibus confessus, tum illud, cum Pheroræ uenenum dedisse, ac mandasse ut id patri per absentiam suam, quo minus suspectus esset, offerret. Pheroram autem id uxori asseruandum dedisse. Mulier id fatebatur, atque ad uenenum afferendum egressa, de tecto se præcipitem dedit, nec tamen illo casu mortua est. Recreata igitur, & denuo a rege interrogata, iurauit, se rem omnem, ut gesta esset, exposituram. Dixit autem, se uenenum a marito accepisse, ab Antipatro contra ipsum patrem præparatum: sed cum ægrotantem se Pherora, ipse rex fratrem coram coluisset, Pheroram eius beneuolentia perspecta, sibi dixisse, ut uenenum afferret, atque in conspectu suo cremaret. se statim dicto audientem, maxima parte in ignem coniecta, parum sibi reseruasse, quo uteretur, si post mariti obitum a rege male tractaretur. Ipsam quoque pyxidem cum ueneno in medium protulit. Accusata est & regis uxor, pontificis filia, quam statim eiecit, eiusque filium ex testamento deleuit, in quo ut regis, eius mentio fiebat. & socero Simoni Boethi filio, pontificatu abrogato, Matthiam Theophili filium successorem dedit. Interea Bathylus Antipatri libertus Roma adest, patroni matri & Pheroræ uenenum ferens: qui in tormentis dixit, id missum esse, ut si prius patrem non attigisset, uel hoc eum conficeret. Afferebat etiam literas

Antipater post Pheroræ obitum, deprehensis insidiis a patre occiditur.

Bathylus Antipatri libertus.

Roma

Ἡρώδῃ τῷ ἐκ τῆς ἀρχιερέως γενομένῳ θυγατρός. Φερώραν δὲ μὴ ἀφιέντα τὴν γυναῖκα, ἀναχωρεῖν ἐπέταττεν ὁ Ἡρώδης. καὶ ὃς ἐπὶ τὴν τετραρχίαν ἀπιὼν, ὤμοσε πρότερον ἥξειν, ἢ πύθοιτο τελευτῆσαι τὸν ἀδελφόν. ὡς τε καὶ νοσήσαντος τοῦ βασιλέως κληθεὶς, οὐχ ὑπήκουσεν, ἵνα μὴ παραβαίη τὸν ὅρκον. Ἡρώδης δ' ὕστερον, Φερώρα νοσήσαντος, ἧκε πρὸς ἐκεῖνον αὐτόκλητος, καὶ θανόντα ἐτίμησεν. ἡ δὲ Φερώρου τελευτὴ ἀρχὴ κακῶν τῷ Ἀντιπάτρῳ ἐγένετο, ποινωμένου τοῦ θεοῦ τὴν ἀδελφοκτονίας αὐτόν. ἀπελεύθεροι γὰρ δύο τῶν Φερώρα τιμίων, ἠξίουν Ἡρώδην, μὴ ἐᾶσαι τὸν ἀδελφὸν ἀνεκδίκητον, φαρμάκῳ διαφθαρέντα. ταῦτα πιστὰ δοκοῦντα, ἐς ἐξέτασιν τὸν βασιλέα ἐκίνησαν· καὶ ἐβασάνιζον τὰς γυναῖκας δούλας τε καὶ ἐλευθέρας. αἱ μὲν οὖν ἄλλαι ἐγκαρτεροῦσαι ἐχεμυθοῦσαι, μία δέ τις ἄλλο μὲν ἔφη οὐδὲν, θεὸν δ' ἐπεκαλεῖτο, τοιαύταις ἀνάγκαις τὴν Ἀντιπάτρου μητέρα περιπεσεῖν, ὡς κακῶν αἰτίαν. τοῦτο εἰς πλέονα τὸν Ἡρώδην ἐκίνησεν ἔρευναν· καὶ πάντα, σφοδροτέραις βασάνοις αἱ γυναῖκες περιβληθεῖσαι, τὰ ἀπόρρητα ἐξέπυσαν, τοὺς κώμους καὶ τὰς κρυφίας συνόδους, καὶ λόγους Ἀντιπάτρου πρὸς τὰς γυναῖκας γενομένους Φερώρου, μῖσος πρὸς τὸν πατέρα, ὀλοφύρσεις πρὸς τὴν μητέρα, ὅτι ἐπὶ μήκιστον ἡ ζωὴ παρατείνεται τῷ πατρὶ, ὡς μόλις αὐτὸν δεῖσθαι τῶν τῆς βασιλείας ἡδέων, ἤν ποτε αὐτῷ γένηται, διὰ γῆρας ἤδη αὐτῷ ἐπικείμενον· καὶ ἄλλα δὲ πλείω, καὶ τοῦ πατρὸς καθαπτόμενα, αἱ γυναῖκες ἔλεγον. τούτοις ἤδη κατεγνωκὼς Ἀντιπάτρου ὁ βασιλεὺς, ἀφαιρεῖται μὲν τὴν ἐκείνου μητέρα τὴν Δωρίδα, τὸν περὶ αὐτὴν πάντα κόσμον ταλάντων ὄντα πολλῶν· αὐτὴν δὲ ἐκπέμπει. μάλιστα δ' ἐξώτρυνε κατὰ τοῦ υἱοῦ τὸν Ἡρώδην ὁ ἐπίτροπος ἐκείνου Ἀντίπατρος, ἄλλα τε κατειπὼν ἐπὶ τῷ βασανίζεσθαι, καὶ ὅτι φάρμακον δοίη Φερώρᾳ, ἐντειλάμενος δοῦναι αὐτὸ τῷ πατρὶ παρὰ τὴν ἀποδημίαν αὐτοῦ, ἵν' ἂν ἀνύποπτος μὴ παρὼν, καὶ τοῦτον τὸν Φερώραν φυλάσσειν δοῦναι τῇ γυναικί. καὶ ἡ γυνὴ δὲ ὡμολόγει, καὶ ἀπιοῦσα κομίσαι τὸ φάρμακον, ἐκ τοῦ τέγους ἐξέρριψεν ἑαυτὴν, οὐ μὴν ἐτελεύτησε. καὶ ἀνακτηθεῖσαν πάλιν ἠρώτα ὁ βασιλεύς· ἡ δὲ ὤμοσε πάντα ἐρεῖν, ὡς ἐπέπρακτο. καὶ λαβεῖν, ἔφη, τὸ φάρμακον παρὰ τοῦ ἀνδρὸς, ἡτοιμασμένον ἐπ' αὐτὸν τὸν πατέρα ὑπ' Ἀντιπάτρου. νοσήσαντος δὲ Φερώρα, ἐπεὶ ἐλθὼν αὐτὸς ἐθεράπευε τὸν ἀδελφὸν, ὁρῶν σου τὴν εὔνοιαν ἐκεῖνος, πρὸς ἐμὲ, ἔφη, κόμισον ὦ γύναι τὸ φάρμακον, καὶ κατάκαυσον ἐπ' ὄψει ἐμῇ. κἀγὼ αὐτίκα ὡς ἐκεῖνος ἐνετέλλετο ἔπραττον, τὸ μὲν πλεῖστον πυρὶ παραδοῦσα, ἑαυτῇ δ' ὑπολειπομένη ὀλίγον, ἵν' αὐτῷ χρησαίμην, εἰ μεταστάντος Φερώρου κακά μοι παρὰ σοῦ ἀπαντᾷ. προῆγε δὲ εἰς τὸ μέσον τὴν πυξίδα τε καὶ τὸ φάρμακον. κατηγορεῖτο δὲ καὶ ἡ τοῦ βασιλέως γυνὴ, ἡ τοῦ ἀρχιερέως θυγάτηρ, ὡς συνίστωρ ἁπάντων· ἣν αὐτίκα ἐξέβαλε, καὶ τὸν υἱὸν αὐτῆς ἀπήλειψε τῶν διαθηκῶν, εἰς τὸ βασιλεῦσαι μεμνημένων ἐκείνου. καὶ τὸν πενθερὸν Σίμωνα τὸν τοῦ Βοηθοῦ τὴν ἀρχιερωσύνην ἀφείλετο, ἕτερον δὲ καθιστᾷ τὸν τοῦ Θεοφίλου Ματθίαν. ἐν τούτῳ δὲ ἀπελεύθερος Ἀντιπάτρου Βάθυλλος ἀπὸ Ῥώμης παρῆν, φάρμακον κομίζων τῇ τοῦ Ἀντιπάτρου μητρὶ καὶ Φερώρᾳ· ὃς βασανιζόμενος, ἔλεγε πεμφθῆναι αὐτὸ, ἵν' εἰ μὴ τὸ πρότερον ἅψαιτο τοῦ πατρὸς, τούτῳ γοῦν κατεργάσαιτο. ἐπεφέρετο δὲ καὶ γράμματα παρὰ τῶν ἐν

Ῥώμῃ

ῥώμῃ περὶ Ἡρώδην φίλων, κατηγορεῖν πεποιημένα Ἀρχελάου καὶ Φιλίππου, οἳ Ῥώμῃ διέτριβον ἐπὶ μαθήμασιν, ὡς τάχα τὸν πατέρα κατηγορούντων τῶν περὶ φόνου τῶν ἀδελφῶν, καὶ δεδιότων καὶ περὶ αὑτοῖς. ταῦτα δὲ μεγάλων μισθῶν περὶ Ἀντιπάτρῳ ἐγίνετο. Ἡρώδης δ' ὑποκρυψάμενος τὴν ὀργὴν, ἐκέλευε μὴ βραδύνειν, καὶ τῇ μητρὶ αὐτοῦ μέμψεις ἐπάγων, ἐπηγγέλλετο ἀναλύσειν ταύτας αὐτῷ, ὁπότε ἀφίκοιτο. τούτοις τοῖς γράμμασι περὶ Κιλικίαν ἐντυγχάνει. ἐν Τάραντι μαθὼν τὴν Φερώρου τελευτὴν, δεινῶς ἤνεγκεν, οὐ δι' εὔνοιαν, ἀλλ' ὅτι μὴ φθάσας, ὡς ὑπέσχετο, τὸν Ἡρώδην ἀνελεῖν, ἀπέθανε. κατενεχθεὶς δ' εἰς τὸν λεγόμενον Σεβαστὸν λιμένα, ἐπ' ὀνόματι τοῦ Καίσαρος οὕτω καλούμενον, ἐν πένθεσιν ἦν ἤδη τοῖς κακοῖς, μή τινος αὐτῷ προσιόντος, μηδὲ προσαγορεύοντος. ἔτυχε δ' ἐν Ἱεροσολύμοις Οὔαρος ὁ τῆς Συρίας ἡγεμονεύων, συνεδρεύων Ἡρώδῃ, κληθεὶς ἐπὶ συμβουλὴν περὶ τῶν ἐνεστηκότων. καὶ … πορφυρίδα ἔτι φορῶν. οἱ γὰρ ἐπὶ ταῖς θύραις … μὲν τὸν Ἀντίπατρον, τοὺς δὲ φίλους αὐτοῦ εἴργουσιν … δὲ, ἵνα κατανοῶν οἷ ἐλήλυθεν, ἐπεὶ καὶ ὁ πατὴρ … ὡς ἀσπάσασθαι προσιόντα ἀπώσατο, ἀδελφοκτόνον τε καλῶν καὶ ἐπίβουλον αὐτοῦ τῆς ζωῆς, ἀκροατήν τε τούτων καὶ δικαστὴν ἔσεσθαι τῇ αὔριον Οὔαρον λέγων. καὶ ὁ μὲν … τοῖς κακοῖς ᾤχετο. ὑπαντῶσι δ' αὐτῷ ἥ τε μήτηρ καὶ ἡ γυνή (αὕτη δ' ἦν παῖς Ἀντιγόνου, τοῦ πρὸ Ἡρώδου βασιλεύσαντος) παρ' ὧν ἅπαντα ἐκμαθὼν, πρὸς τὸν ἀγῶνα παρεσκευάζετο. τῇ δ' ἑξῆς συνεκάθιζον Ἡρώδης καὶ Οὔαρος. συνῆλθον δὲ καὶ οἱ ἀμφοῖν φίλοι, καὶ οἱ συγγενεῖς Ἡρώδου, καὶ οἱ μηνυταὶ τῶν Ἀντιπάτρῳ μελετωμένων, καὶ δοῦλοι μητρῷοι τοῦ Ἀντιπάτρου, ἐπιστολὴν φέροντες αὐτῆς, μὴ ἐπανήκειν, ὡς πάντα τῷ πατρὶ πεπυσμένου, μόνην τε ἂν καταφυγὴν αὐτῷ λείπεσθαι Καίσαρα, καὶ τὸ μὴ γενέσθαι τῷ πατρὶ ὑποχείριον. Ἀντιπάτρου δὲ προσπεσόντος τῷ πατρὶ, καὶ δεομένου ἀκροάσασθαι αὐτοῦ, καὶ οὕτω ψηφίζεσθαι, ἐκεῖνον μὲν εἰς μέσον ἀπάγειν ἐκέλευεν· αὐτὸς δὲ ὠλοφύρετο τὴν τῶν παίδων διάθεσιν, καὶ ὅτι τὸ γῆρας αὐτοῦ περιέστηκεν εἰς Ἀντίπατρον, πεπονθέναι τι ἔλεγεν, ὅπως Ἀντίπατρος τῶν τοιούτων χωρήσειε, διάδοχος μὲν τῆς ἀρχῆς γεγραμμένος, ζῶντος δ' αὐτοῦ τὰ πάντα δυνάμενος, καὶ ἀντὶ τούτων πρὸς τὸν αὐτοῦ φόνον ἐρεθίζων τοὺς συγγενεῖς. τοῦθ' ἅμα λέγοντος ἐπεδάκρυσε. Νικόλαος ὁ Δαμασκηνὸς τοῦ βασιλέως ἐπιτρέψαντος κατηγόρει τοῦ Ἀντιπάτρου, πάντα ἑξῆς διηγούμενος. πολλοὶ δὲ καὶ ἄλλοι κατ' Ἀντιπάτρου … λόγους ἐποιοῦντο. Οὔαρος δὲ Νικολάου παυσαμένου τῶν λόγων, ἐκέλευε τὸν Ἀντίπατρον ἀπολογεῖσθαι. ὁ δ' ἐπὶ στόμα κείμενος ἀνατετραμμένος, τὸν θεὸν ἐπικαλούμενος, ἐπιμαρτυρῆσαι αὐτῷ μηδὲν ἀδικῶν. ὡς δ' οὐδὲν πλέον Ἀντίπατρος ἔλεγε, πλὴν τῆς ἀνακλήσεως τοῦ θεοῦ, τὸ φάρμακον εἰς τὸ μέσον ἐνεχθῆναι ἐκέλευσε. καὶ κομισθέντος, τῶν ἐπὶ θανάτῳ τις ἑαλωκότων πίνειν ἐκέλευσε, καὶ πιὼν εὐθὺς ἔθανε. καὶ ἀναστὰς ὁ Οὔαρος ἀπῄει τοῦ συνεδρίου. Ἡρώδης δὲ αὐτίκα ἔδησε τὸν Ἀντίπατρον, καὶ εἰς Ῥώμην ὡς Καίσαρα γράμματα πέμπει περὶ αὐτοῦ. ἑάλω δὲ τότε καὶ ἐπιστόλιον, ὑπ' Ἀντιφίλου σταλὲν πρὸς Ἀντίπατρον, φράζον· ἔπεμψά σοι τὴν διὰ Ἀκμῆς ἐπιστολὴν, μὴ φεισάμενος τῆς ἐμῆς ψυχῆς. οἶδα γὰρ ὅτι αὖθις κινδυνεύω ὑπὸ δύο οἰκιῶν, εἰ γνωσθείην. σὺ δ' εὐτυχοίης περὶ τὸ πρᾶγμα.

[illegible] τοῦ λεγομένου σεβαστοῦ.

κατηγορία ἀντιπάτρου.

[illegible]

Roma ab amicis Herodis, quibus Archelaus & Philippus, Romæ studiorum gratia degentes, accusabantur, quasi patrem fraternarum cædium reum agerent, ac sibi ipsis timerent. Eæ literæ magnis largitionibus Antipatro constiterunt. Herodes uero ira occultata, eum maturare iussit, & de matre eius quædã conquestus, cum se arbitrum sumpturum dixit, ubi redisset. Eas literas in Cilicia accepit: sed Pheroræ obitum Tarenti cognitum ægerrimè tulit, non ex beneuolentia, sed quòd ille Herodem non ut receperat, ante suum obitum sustulisset. Cum in portu Augusto, cui id nomen à Cæsare est inditum, appulisset, mala sua in conspectu habuit, nemine obuiam eunte, nemine alloquente. Venit autem Hierosolyma, Varo, Syriæ prætore, in concilio assidente, quem Herodes accersierat, ut de rebus præsentibus cum eo cõsultaret. Regiam ingreditur purpuratus adhuc: à ianitoribus admittitur, amicis eius exclusis. & quo redactus esset, cogitans, turbatur: præsertim cum à patre, ad quem salutandum accedebat, repelleretur, & fratricida atque insidiator uocaretur. quarum rerum auditorem & iudicem postridie Varum fore. Cum in tantis malis abiret, occurrũt ei mater & uxor, filia Antigoni, eius qui ante Herodẽ regnauit: è quib. toto negotio cognito, se ad iudicium parabat. Postridie Herodes & Varus consederunt, conuenerunt utriusque amici, & cognati Herodis, & consiliorum Antipatri indices, & materni serui Antipatri, epistolam mulieris ferentes, qua filium monebat, ne rediret, patrem enim rescisse omnia, & unum ei confugium superesse Cæsarem: caueret, ne in patris manus incideret. Cum autem Antipater supplex ante patrem procubuisset, obtestans, ut se audito demum sententiam ferret: Herodes eum in medium produci iubet, ipse filiorum in se scelus & senectutem suam deplorat, quæ in Antipatrum impegisset. ac se mirari dixit, quo consilio talia facinora suscepisset Antipater, qui & successor in testamẽto scriptus esset, & se uiuente posset omnia: ac tanta beneficia sic remuneraretur, ut cognatos ad cædem suam instigaret. Hæc dicenti lachrymæ eruperunt. Nicolaus uerò Damascenus iussu regis Antipatrum accusauit, cunctis ordine cõmemoratis: sed & alij multi ultrò in illũ orationes habuerũt. Varus, postquã Nicolaus perorauerat, Antipatrũ se defendere iussit. Ille uerò pronus humi iacẽs, Deum inuocabat, ut suã innocentiã testaret. Cum aũt nihil prȩter Dei obtestationẽ afferret, uenenum in mediũ afferri, & cuidam capitis cõdemnato dari iussit: qui eo epoto, statim exanimis concidit. quo facto, Varus surrexit, & è cõcilio abijt. Herodes uero statim uinxit Antipatrũ, & Romam ad Cæsarem de eo scripsit. Interceptũ est eodẽ tẽpore epistoliũ, ab Antiphilo ad Antipatrũ missum, in hãc sententiã: Misi tibi Acmes epistolam, uitȩ meȩ nulla ratione habita. Nosti enim, mihi, si deprehensus fuero, à duab. familijs imminere periculũ. Tibi, quod agis, uelim bene

Quintilius Varus Syriæ prætor

Antiphili & Acmes literæ.

uertat. Rege alteram Antiphili epistolam requirente, seruus illius negabat se alteram accepisse. Sed quidam conspicatus serui tunicam sublutam, illic latere epistolium recte coniectauit, quod ita habebat. Acme Antipatro. Scripsi patri tuo literas quales uoluisti: & exemplū literarū, quas Salome ad dominā meā scripserit, misi: qua lecta, scio ei Salomē pœnas daturam. Epistola uerò ad Herodē huiusmodi fuit. Cum in eo elaborem, ne quid earum rerum quæ contra te parantur, ignores: Salomes epistolę ad dominam meam contra te scriptæ exemplum tibi misi, cum periculo meo, fructu'que tuo. Erat autem Acme Iudæa genere, sed Liuiæ Cæsaris uxori seruiebat: & illa agebat, magna pecunia ab Antipatro conducta. Herodes etsi concitatus erat ad Antipatrum statim tollendum, ut magnarum rerum turbatorem, & à Salome irritabatur, quæ pectus plangeret, se que occidi iuberet, si quod argumentum fide dignum contra se deprehenderetur: tamen se repressit, & filium accersitum, nihil metuentem respondere iussit. Qui cum omnem culpam in Antiphilum conferret, ab Herode denuò per literas apud Cæsarem accusatur, etiam Acmes fraudibus detectis, & exemplis literarum illius adiectis. Interea rex morbo oppressus, testamētum scribit, in quo filio natu minimo regnum reliquit, Archelao & Philippo ex Antipatri calumnijs infensus: & longiore uita desperata, cum annum septuagesimū ageret, seq; contemni, ac suis infortunijs lætari omnes putaret, efferatus est huiusmodi occasione. Hesodes cum multa contra legem fecisset, inter alia in magno templi uestibulo auream aquilam dedicarat, lege imagines hominum aut animantium dedicari uetante. Eam aquilam Iudas & Matthias Iudæorum doctissimi, & plebi ob adolescentum institutionem charissimi, euelli iusserunt. Nam etsi periculum ex eo alicui crearetur, tamen beatum esse, qui pro defensione legum interiret. Cum huiusmodi sermones adolescentum auribus insusurrarent, rumor oritur de regis obitu: aquila sub meridiem reuellitur, securibus conciditur. Comprehenduntur multi adolescentes, & Iudas ac Matthias facinoris autores, & quasi lanistæ. ac ad Hesodem pesducti rogantur, An ausi fuerint suum donarium se uellere? Illi respondent, Factum esse. neque uerò mirandum, si Mosis leges diuinitùs edocti, ipsius decretis anteferrent. Eos igitur uinctos Hierichuntem misit: & primoribus Iudæorum accersitis, in lectulo recubans, suorum beneficiorum & templi ædificati memoriam refricuit, exclamans, sibi adhuc uiuenti contumeliam fieri, detractis suis donarijs: ac populum, dum sibi insultare studeat, sacrilegio se obstringere. At illi crudelitatem eius ueriti, eos qui id ausi essent, supplicium esse meritos dixerūt. Rex cæteris clementius tractatis, pōtificatū Matthię ademptū Iozaro suę cōiugis fratri dedit,

Herodis asperitas ob aureā aquilam reuulsam à templi ianua.

πρᾶγμα. ὁ δὲ βασιλεὺς καὶ τὴν ἑτέραν ἐζήτει ἐπιστολήν, καὶ ὁ τοῦ Ἀντιφίλου δοῦλος μὴ λαβεῖν ἑτέραν ἀπηγόρευε. ἰδὼν δέ τις τοῦ δούλου τὸν χιτῶνα ἐπιρραμμένον, ὑπενόησεν ἐκεῖ κεκρύφθαι τὸ γραμμάτιον, καὶ ἔτυχεν οὕτως. λαμβάνουσιν οὖν τὴν ἐπιστολήν, δηλοῦσαν ὡς· Ἀκμὴ Ἀντιπάτρῳ. ἔγραψα τῷ πατρί σου, οἵας ἤθελες ἐπιστολάς. καὶ ἀντίγραφον ποιήσασα τῆς πρὸς τὴν ἐμὴν κυρίαν, ὡς παρὰ Σαλώμης ἐσταλμένης, ἔπεμψα. ἣν ἀναγνοὺς οἶδα ὡς τιμωρήσεται Σαλώμην. ἡ δὲ πρὸς Ἡρώδην ἐπιστολὴ τοιάδε ἦν· ἔργον ἐγὼ ποιουμένη, μηδέν σε λανθάνειν τῶν κατὰ σοῦ γινομένων, εὑροῦσα ἐπιστολὴν Σαλώμης πρὸς τὴν ἐμὴν κυρίαν κατὰ σοῦ, τὸ ἀντίγραφον ταύτης ἔπεμψα, ἐπικινδύνως ἐμοί, ὠφελίμως δὲ σοί. ἦν δὲ ἡ Ἀκμὴ Ἰουδαία τὸ γένος, ἐδούλευε δὲ Λιβίᾳ τῇ Καίσαρος γυναικί· καὶ ἔπραττε ταῦτα, χρήμασι πολλοῖς ὠνηθεῖσα ὑπ' Ἀντιπάτρου. Ἡρώδης δὲ ὥρμησε μὲν εὐθὺς ἀνελεῖν τὸν Ἀντίπατρον, ὡς κύκηθρον μεγάλων πραγμάτων· διήγειρε δὲ αὐτὸν ἡ Σαλώμη στερνοτυπουμένη, καὶ κτείνειν αὐτὴν ἀξιοῦσα, εἰ εὕροι πίστιν τινὰ ἐπὶ τοῖς κατ' αὐτῆς ἀξιόχρεων. κατέσχε δ' ἑαυτόν, μετεπέμψατο τὸν υἱόν, κελεύων αὐτὸν ἀπολογεῖσθαι μηδὲν ὑπεσταλμένον. ὁ δὲ Ἀντιφίλῳ τὴν πάντων αἰτίαν ἀνετίθει. Ἡρώδης δ' αὖθις γράμματα πρὸς Καίσαρα ἐπέστελλε περὶ κατηγορίας τοῦ Ἀντιπάτρου, δηλῶν ὅσα καὶ ἡ Ἀκμὴ συγκακουργήσασα εὕρητο, ἔστειλε δὲ καὶ τῶν ἐκείνης ἐπιστολῶν τὰ ἀντίγραφα. εἰς νόσον δὲ μεταξὺ ὁ βασιλεὺς ἐμπεσών, διαθήκας γράφει, τῷ νεωτάτῳ τῶν υἱῶν τὴν βασιλείαν διδούς, μίσει τῷ πρὸς Ἀρχέλαον καὶ Φίλιππον ἐκ τῶν Ἀντιπάτρου διαβολῶν. ἀπεγνωκὼς δὲ βιῶναι, ἐπεὶ καὶ ἔτος ἦν ἑβδομηκοστόν, ἐξηγριοῦτο· αἴτιον δ' ἦν, ὅτι καταφρονεῖσθαι ἐδόκει, καὶ ἥδεσθαι πάντας ἐπὶ τοῖς αὐτοῦ δυστυχήμασιν. εἰς τοῦτο δὲ ἐκ τοιοῦδε παρώρμητο. πολλὰ παρὰ τὸν νόμον Ἡρώδης πεποίηκε, ὧν ἓν ἦν καὶ τό, παρὰ τὸν μέγαν τοῦ ναοῦ πυλῶνα ἀναθεῖναι χρυσοῦν ἀετόν. κωλύει δὲ ὁ νόμος εἰκόνων ἀναθέσεις, ἢ ζῴων ἐπί τινος ἱδρύεσθαι. τοῦτον τὸν ἀετὸν Ἰούδας καὶ Ματθίας Ἰουδαίων λογιώτατοι, καὶ δήμῳ προσφιλεῖς διὰ παιδείαν τῶν νεωτέρων, ἐκέλευον κατασπᾶν. κἂν γάρ τινι κίνδυνος διὰ τοῦτο γένηται, ἔλεγον, μακάριος ἔσται ἐκεῖνος ὑπὲρ τῶν νόμων θανούμενος. τοιούτοις οὖν λόγοις ἐπαλειφόντων τὴν νεότητα, γίνεται λόγος τεθνάναι τὸν βασιλέα. καὶ αὐτίκα μεσούσης ἡμέρας κατέσπων τὸν ἀετόν, καὶ συνέκοπτον τοῖς πελέκεσι. συλλαμβάνονται τοίνυν καὶ τῶν νέων πολλοί, καὶ Ἰούδας καὶ Ματθίας οἱ τοῦ τολμήματος ἀρχηγοί, καὶ ἀλεῖπται τῶν τοῦτο εἰργασμένων, καὶ ἀνήχθησαν πρὸς Ἡρώδην. ὁ δὲ ἤρετο, εἰ ἐτόλμησαν καθελεῖν αὐτοῦ τὸ ἀνάθημα; καὶ οἱ ἄνδρες, πεπρᾶχθαι, εἶπον, καὶ θαυμάζειν οὐ χρή, εἰ τῶν σῶν δογμάτων τοὺς νόμους, οὓς Μωσῆς ἡμῖν κατέλιπεν ἐκ θεοῦ διδαχθείς, προτιμώμεθα. τοὺς μὲν οὖν δεδεμένους ἔπεμψεν εἰς Ἱεριχοῦν· καλέσας δὲ τοὺς ἐν τέλει τῶν Ἰουδαίων, κατακεκλιμένος ἐν κλινιδίῳ, τῶν εἰς αὐτοὺς εὐποιϊῶν ἀνεμίμνησκε, καὶ τῆς δομήσεως τοῦ ναοῦ, καὶ κατεβόα, ὅτι καὶ ἔτι ζῶντα ἐξυβρίζουσι, καθαιροῦντες τὰ αὐτοῦ ἀναθήματα, ὡς δοκεῖν μὲν αὐτὸν ὑβρίζειν, κατὰ δέ γε τὸ ἀληθὲς ἱεροσυλεῖν. οἱ δὲ δείσαντες τὴν ἐκείνου ὠμότητα, τοὺς τοῦτο τολμήσαντας ἀξίους εἶναι κολάσεως ἔφασαν. καὶ ὁ βασιλεὺς τοῖς μὲν ἄλλοις πρᾳότερον προσεφέρετο, Ματθίαν δὲ τὸν ἀρχιερέα τῆς τιμῆς ἀφελόμενος, ἕτερον εἰς τὸ

ἀκμὴ ἰουδαία γυνή.

κύκηθρον τὸ ταραχῶν ποιητικόν.

[illegible] διὰ τὸν ἀνατεθέντα ἀετὸν εἰς τὸν μέγαν πυλῶνα τοῦ ναοῦ.

εἰς τὸ ἱερᾶσθαι κατέστησεν, Ἰώζαρον ἀδελφὸν ὄντα αὐτοῦ γυναικός. Ματθίαν δὲ τὸν τὴν στάσιν ἐγείραντα, καί τινας τῶν στασιαζόντων κατέκαυσε ζῶντας. ἡ μέντοι νόσος αὐτῷ μᾶλλον ἐπετείνετο, δίκην ὧν ἠνόμησεν ἐκτίνοντι. πῦρ γὰρ μαλθακὸν τὰ ἐντὸς ἐνέκαιεν αὐτοῦ, καὶ τῶν ἐντέρων ἦσαν ἑλκώσεις, καὶ μάλιστα τοῦ κώλου ἀλγήματα, καὶ φλέγμα περὶ τοὺς πόδας ὑγρόν τε καὶ διαυγές, τοῦ ἤτρου τε κάκωσις, καὶ τοῦ αἰδοίου σῆψις γεννῶσα σκώληκας, καὶ ἐπὶ τούτοις ὀρθόπνοια, τῇ τε ἀποφορᾷ ἀηδὴς καὶ διὰ τοῦ ἄσθματος συνεχές, καὶ σπασμοὶ περὶ πᾶν αὐτοῦ μέλος ἐγίνοντο. ὁ δὲ καὶ οὕτω κακῶς διακείμενος, ἐν ἐλπίδι ζωῆς ἦν, οὐδὲ ἀποτετραμμένοις ἐν χρῆσθαι ἀπαναινόμενος. περάσας δὲ καὶ τὸν Ἰορδάνην, τοῖς κατὰ Καλλιρρόην ἐχρῆτο θερμοῖς, ἃ σὺν τῇ λοιπῇ ἀρετῇ τυγχάνει καὶ πότιμα. ἔνθα εἰς πύελον ἐλαίου πλήρη παρὰ τῶν ἰατρῶν ἐμβληθεὶς, ἔδοξεν ἐκλιπεῖν. ἀναψύξας δὲ εἰς Ἱεριχοῦντα κομίζεται, ἔνθα μέλαινα αὐτοῦ ἐπὶ πᾶσιν ἥψατο χολή. τελευτῶν δὲ ἐννοεῖται πρᾶξιν ἀνόσιον. προσάγεσθαι γὰρ αὐτῷ ἐκ παντὸς τοῦ ἔθνους τοὺς ἐπισημοτάτους ἀφικομένους ἐκεῖ, συγκλείσας πάντας ἐν τῷ ἱπποδρόμῳ, τῇ ἀδελφῇ Σαλώμῃ καὶ τῷ ἀνδρὶ αὐτῆς Ἀλεξᾷ ἐνετέλλετο, ἐπεὰν αὐτὸς ἀφῇ τὴν ψυχὴν, τοὺς καθειργμένους ἅπαντας ἀνελεῖν, ἵνα μὴ ἐφήδωνται, λέγων, οἱ Ἰουδαῖοι τῇ τελευτῇ μου, μηδὲ ἐπικροτοῖεν, ἀλλ' ἑκάστου θρηνοῦντος τοὺς ἑαυτῶν, ὅπως καὶ αὐτὸς δόξω θρηνεῖσθαι, καὶ πολλοῖς ἡ ἔξοδός μου τιμηθείη τοῖς δάκρυσι. καὶ ὁ μὲν ἐπισκήπτων ταῦτα δακρύων καὶ [illegible]. οἱ δὲ μὴ παροφθῆναι τὴν ἐντολὴν ἐπηγγέλλοντο. ἐν τούτοις γράμματα ἀπὸ τῆς Ῥώμης ἀπεσταλμένα κεκόμισται, τήν τε Ἄκμην ἀνῃρημένην δηλοῦντα, καὶ τὰ περὶ τὸν Ἀντίπατρον τῇ τοῦ πατρὸς γνώμῃ ἀνατεθειμένα. τούτων ἀκούσας ἥσθη ἤδη, καὶ βραχύ τι ἀνελώφησε. τῶν δ' ἀλγηδόνων εἰς μέγα ἠρμένων, ἀπείχετο μὲν σιτίων· μῆλον δ' αἰτήσας καὶ μάχαιραν, γνώμης ἦν ἑαυτὸν ἀναιρήσων, καὶ ἐπεπράχει ἂν τὸ ἐνθύμημα, εἰ μή τις αὐτοῦ προγνοὺς κατέσχε τὴν δεξιάν, καὶ μέγα ἀνακραγόντος οἰμωγή τε ἦν καὶ θόρυβος μέγας, ὡς οἰχομένου τοῦ βασιλέως. καὶ ὁ Ἀντίπατρος ὡς ἤδη θανόντος ἀναθαρσήσας, καὶ τῷ δεσμοφύλακι ἀφεῖναι αὐτὸν ἀξιῶν μεγάλα ὑπισχνεῖτο. ὁ δὲ τῷ βασιλεῖ γνωρίζει τὴν ἐκείνου διάνοιαν, καὶ ὃς ἀνεβόησέ τε καὶ πέμπει τινὰς, οἳ αὐτίκα κτείνουσιν αὐτόν. μεταποιεῖ δὲ αὖθις τὰς διαθήκας, Ἀντίπᾳ μὲν τετραρχίαν δοὺς, Γαλιλαίαν τε καὶ Περαίαν· Ἀρχελάῳ δὲ ἀπονέμει τὴν βασιλείαν· τὴν δὲ Γαυλανῖτιν καὶ Τραχωνῖτιν καὶ Βατανέαν καὶ Πανιάδα Φιλίππῳ παιδὶ μὲν αὐτοῦ, Ἀρχελάου δὲ ἀδελφῷ, τετραρχίαν ἀποκληρῶν· Ἰάμνειαν δὲ καὶ Ἄζωτον καὶ Φασαηλίδα Σαλώμῃ τῇ ἀδελφῇ χαρίζεται. ταῦτα πράξας, καὶ Καίσαρι καὶ τῇ ἐκείνου γαμετῇ Λιβίᾳ δωρεὰς πολυταλάντους καταλιπὼν, ἡμέρᾳ πέμπτῃ μετὰ τὸ Ἀντίπατρον κτανεῖν, τελευτᾷ, βασιλεύσας μετὰ τὸ ἀνελεῖν Ἀντίγονον ἔτη τέσσαρα καὶ τριάκοντα, μετὰ δὲ τὸ ὑπὸ Ῥωμαίων ἀποδειχθῆναι βασιλεὺς ἑπτὰ καὶ τριάκοντα. Σαλώμη δὲ καὶ Ἀλεξᾶς, πρὶν ἔκπυστον γενέσθαι τὸν αὐτοῦ θάνατον, τοὺς ἐν τῷ ἱπποδρόμῳ κατακεκλεισμένους ἐκπέμπουσι, λέγοντες τὸν βασιλέα κελεύειν ἀπιέναι αὐτοὺς ἐπὶ τοὺς ἀγροὺς νέμεσθαι τὰ οἰκεῖα. καὶ μεγίστη αὕτη εὐεργεσία παρ' αὐτῶν εἰς τὸ ἔθνος ἐγένετο. εἶτα ὁ θάνατος τοῦ βασιλέως δημοσιεύεται, καὶ αἱ διαθῆκαι ἀνεγνώσθησαν, τὴν βασιλείαν ἀποκληροῦσαι Ἀρχελάῳ. Πτολεμαῖος δὲ ὁ σημαντῆρα τοῦ βασιλέως πεπιστευμένος δακτύλιον, οὐκ ἄλλως, ἔλεγε, κυρωθῆναι τὰς διαθήκας, εἰ μὴ

[illegible]

περὶ τῶν τῆς Καλλιρρόης θερμῶν.

[illegible]

τελευτὴ Ἡρώδου.

[illegible]

Herodis morbi.

dit, Matthiam seditionis autorem & quosdam ex seditiosis uiuentes cremauit. Enimuerò morbus exasperabatur, ut pœnas scelerum daret. Ignis enim lentus eius uiscera torrebat, intestina exulcerata erãt, in primis coli doloribus cruciabatur, et pituita mollis ac pellucida pedes uexabat. accedebat imi uentris dolor, & pudendorum putredo uermibus scatens: nec non orthopnœa, et fœtor teter, & crebrum anhelitum conuulsiones omnium membrorũ comitabantur. Etsi autem in tantis malis uersabatur, tamẽ uitæ spem alebat, nec ab ullo medicamenti genere abhorrebat. Itaq; Jordane traiecto, calidis aquis Callirrhoes usus est, quæ præter cæteras uirtutes etiam potui sunt. Ibi à medicis in alueum oleo plenum iniectus, animam agere uisus est. Sed recepto spiritu Hierichuntem perlatum, ad cætera mala atra bilis accessit. Moriturus nefarium consilium capit. Nam cum totius gentis primores edicto conuocasset, omnes in Hippodromo conclusit: & sorori Salomæ, ac eius marito Alexæ mandauit, ubi animam exhalarit, ut eos omnes tollerent, ne, inquit, populi meam mortem sibi gratulentur, néue applaudant: sed singulis suos deplorantibus, ipse quoque deplorari uidear, & obitus meus multis lachrymis honoretur. Quæ cum flens, & Deum obiectans diceret, illi se mandatum non neglecturos pollicentur. Interea literæ Roma afferuntur, quibus certior reddebatur, Acmen esse interfectam, & negocium Antipatri patris arbitrio permitti. Quibus Herodes lætatus est, & nonnihil recreatus. Sed doloribus in immensum auctis, cibo abstinuit: ac cultello petito, in animo habuit semetipsum occidere. ac fecisset, nisi quidam animaduerso consilio, dexterã eius inhibuisset: qui cum exclamasset, gemitus & tumultus magnus fuit, quasi rege mortuo. eaq; spe Antipater animis receptis, à carceris custode magnis muneribus promissis, petijt se dimitti. Quo indicato, rex exclamauit, ac statim spiculatoribus missis qui illum interficerent, testamentum denuò mutauit, Antipæ tetrarchia Galilææ & Peraææ legata, Archelao regno assignato: Philippo filio Archelai fratri tetrarchia Gaulanitidis, Trachonitidis, Batanææ, & Paneadis concessa: Iamniam uerò, Azotum & Phasaelidem Salomę sorori donauit. His actis, ac Cæsari & uxori eius Liuiæ muneribus multorum talentũm relictis, quinto post occisum Antipatrum die obijt. Regnauit post sublatum Antigonum annos IIII & XXX, postquam à Romanis rex appellatus fuerat XXXVII. Salome uerò & Alexas, priusquam eius mors uulgò innotesceret, eos qui in Hippodromo conclusi erant, emittunt, dicentes: regem iubere, ut in agros egressi, rebus suis fruantur, idq; summum eorum in gentem beneficium extitit. Deinde regis obitu publicato, lectum est testamentum, quod Archelao regnum assignabat. Ptolemæus uerò, cui sigillum regis erat creditum, negauit id nisi

Antipatri cædes.

Herodis testamentum & obitus.

Antipas. Archelaus. Philippus. Salome.

Cæsaris autoritate ratum fore. Tum statim sublato clamore Archelaus rex est salutatus: pòst, regi funus magnificè factum. Qui cum naturę debitum ita exoluisset, Archelaus cum lætis acclamationibus in templum ascendit, & in solio aureo considens, populum humaniter est allocutus. sed coronā regiam à militib. accipere recusauit, ni Cæsar prius testamentum patris confirmasset: factaq; re diuina cōuiuiū celebrauit. Cęterùm Iudęi quidā congressi, Matthiam et cæteros ob reuulsam auream aquilam ab Herode supplicijs affectos lamentati sunt, cum magno eiulatu. & conciliabulo indicto, ab Archelao postularunt, ut punitis ijs qui apud Herodē autoritate ualuissent, necem illorum ulcisceretur, ac in primis pontifici sacerdotium abrogaret, & aliū secundū leges crearet, eo honore digniorem. Annuit Archelaus, ad impetum eorum reprimendum: quanquam molestè ferens. ac per præfectū militū populo dici iussit, ea nunc intēpestiua esse, ac tum rectius actū iri, cum sibi regnum Cæsaris autoritate confirmatū esset. Sed illi uociferantes & tumultuantes, neque ducem neq; aliū quenq; dicere quicq; passi sunt, quod ad castigationem & seditionis repressionē pertineret. atq; in festo Azymorū magna multitudo in templum cōfluxit, seditionis amplificādę studiosa. Qua territus Archelaus, tribunū cum cohorte misit, ad populi motum sedandū. Verum seditiosi impetu in milites facto, plerosq; lapidibus obruerunt, pauci admodum & tribunus uulnerati effugerunt. Cum igitur perspiceret, nisi populus concitatus reprimeretē, magnū è seditione malum oriturū: misit omnem exercitum. à quo tribus circiter millibus cæsis, cæteri dissipati in montes confugerunt, & ex regis edicto festiuitate omissa, ad sua quisq; redierūt: Archelaus uerò cum matre & Herodis sorore Salome Romam abijt, summa rerū interea Philippi fratris fidei commissa. Alia ex parte Antipas Herodis filius eòdem contendebat, regnū & ipse uendicaturus, ut quod sibi ex priore testamento deberetur: eam spem eius Salome incitante. Cum in urbem uenissent, alijs Archelao, alijs Antipæ patrocinantibus: Cæsar suffragium pro Archelao tulit. Dum hæc geruntur, Iudæorum seditio nunciatur. Nam in festo Pentecostes multis millibus undique congregatis: Romani cum prætore Sabino sunt obsessi: & acri pugna commissa uicerunt. Iudæi uerò porticibus, quæ extra templum sunt, occupatis, & inde telis ex superiore loco coniectis, multum Romanis nocuerunt. At illi ignem porticibus iniecerunt, eum'que materia aluerunt, quæ flammam excitare posset. Ea celeriter in altum elata, alij una cum tectis corruerunt, alios hostes circunfusi iaculis confecerunt, alij se in ignem coniecerunt, alij in suos enses incubuerunt: nemo deniq; ex ijs qui in porticus conscenderant, euasit. Romani aūt sacro thesauro sunt potiti. et quāquam magna pecunia direpta à militibus,

Sabinus

Iudæorum seditio ob Matthiā interfectum.

Archelao regnū à Cæsare cōfirmatur.

Sabinus prætor à Iudæis obsidetur.

καίσαρος. βοὴ δ' εὐθὺς ἦν εὐφημούντων τὸν ἀρχέλαον βασιλέα, καὶ ἐπὶ τούτοις ἡ τοῦ βασιλέως ἐκφορὰ ἐπράχθη πολυτελῶς. καὶ ὁ ἡρώδης μὲν οὕτως ἀπέτισε τὸ χρεών. ἀρχέλαος δὲ εἰς τὸ ἱερὸν ἀνελθὼν, καὶ εὐφημούμενος, ἐπὶ θρόνου τε καθίσας χρυσοῦ, ἐδεξιοῦτο τὸ πλῆθος. τοῦ μέντοι στρατεύματος καὶ τὸ διάδημα προτιθέντος αὐτῷ, οὐκ ἐδέξατο, εἰ μὴ πρότερον καῖσαρ τὰς πατρικὰς διαθήκας ἐπικυρώσειε, καὶ θύσας ἐπ' εὐωχίαν ἐτράπετο. συνελθόντες οὖν τῶν ἰουδαίων τινὲς, ματθίαν τε καὶ τοὺς σὺν αὐτῷ κολασθέντας ὑπὸ ἡρώδου διὰ τὴν τοῦ χρυσοῦ ἀετοῦ κατάσπασιν, ὠλοφύροντο, ἐπὶ μέγα τὴν οἰμωγὴν αἴροντες· συνόδου τε αὐτοῖς γενομένης, ἠξίουν τοὺς ὑφ' ἡρώδου τιμωμένους κολάσαντα τὸν ἀρχέλαον, ἐκδικῆσαι τοὺς τεθνεῶτας, καὶ πρό γε τῶν ἄλλων τὸν ἀρχιερέα παῦσαι, ἕτερόν τε καταστῆσαι νομιμώτερον. τούτοις ἀρχέλαος καίπερ ἀχθόμενος, τὴν ὁρμὴν αὐτῶν ἐπέχων, ἐπείθετο· καὶ τὸν στρατηγὸν τῷ πλήθει διαλεξόμενον ἔστειλεν, ὡς οὐ νῦν τούτων καιρὸς, ἀλλ' ὅτε αὐτῷ ἡ ἀρχὴ βεβαιωθῇ ἐπινεύσει τοῦ καίσαρος. οἱ δὲ βοῶντες καὶ θορυβοῦντες, οὐκ εἴων λέγειν τὸν στρατηγὸν, οὐδέ τινος ἄλλου ἠνείχοντο ἐπὶ σωφρονισμῷ καὶ ἀποτροπῇ τῶν στάσεων ὁρμωμένου λέγειν αὐτοῖς. ἀγομένης δὲ τῆς τῶν ἀζύμων ἑορτῆς ἐνεστηκυίας, καὶ πλήθους πανταχόθεν συρρεύσαντος εἰς τὸ ἱερὸν, ἐπὶ μέγα τὴν στάσιν ἐξάραι προεθυμοῦντο. δείσας ἀρχέλαος, χιλίαρχον μετὰ σπείρας ἐξέπεμψε, τὴν ὁρμὴν καταστελοῦντα τοῦ δήμου τοῦ στασιάζοντος. καὶ οἱ στασιασταὶ παραχρῆμα ἐπὶ τοὺς στρατιώτας ὡρμήκασι, καὶ κατέλευσαν τοὺς πλείστους αὐτῶν, ὀλίγοι δέ τινες καὶ ὁ χιλίαρχος τραυματίαι διέφυγον. ἀρχέλαος δὲ συνιδὼν, ὡς εἰ μὴ τὸ τοῦ πλήθους ὅρμημα κωλυθῇ, εἰς μέγα κακὸν τὰ τῆς στάσεως ἀποβήσεται, ἐκπέμπει πᾶν τὸ στρατόπεδον, καὶ εἰς μὲν τρισχιλίους ἀνῃρέθησαν, οἱ δέ γε λοιποὶ ἐπὶ τὰ ὄρη διεσκεδάσθησαν, καὶ κήρυγμα γέγονε πάντας ἀναχωρεῖν ἐπὶ τὰ οἰκεῖα. οἱ δὲ τὴν ἑορτὴν λιπόντες, ἀπῄεσαν. ἀρχέλαος δὲ ἐπὶ ῥώμην ἐξέπλει σὺν τῇ μητρὶ, φιλίππῳ τῷ ἀδελφῷ πιστεύσας τὰ πράγματα· συνεξῄει δὲ αὐτῷ καὶ σαλώμη ἡ ἀδελφὴ ἡρώδου. καὶ ἀντίπας δὲ ὁ ἡρώδου υἱὸς ἐντεῦθεν ἐπὶ ῥώμην ὥρμητο, καὶ αὐτὸς τῆς βασιλείας ἀντιληψόμενος ὡς ἐν προτέραις διαθήκαις καταγεγραμμένης αὐτῷ, ἐπῆρε δὲ αὐτὸν πρὸς τὰς ἐλπίδας σαλώμη. ἐπεὶ δὲ εἰς ῥώμην ἀφίκοντο, καὶ παρέστησαν καίσαρι, οἱ μὲν ὑπὲρ ἀρχελάου τοὺς λόγους ἐποιοῦντο, οἱ δὲ ὑπὲρ ἀντίπα, τοῦ ἀρχελάου κατηγοροῦντες. καῖσαρ δὲ μᾶλλον ὑπὲρ ἀρχελάου ῥοπὴν ἐδείκνυ. ἐν τούτοις δὲ ἀγγέλλεται καίσαρι τὸ τῶν ἰουδαίων ἔθνος στασιάσαν, καὶ τοὺς ἐκεῖ ῥωμαίους πολιορκεῖν. κατὰ γὰρ τὴν τῆς πεντηκοστῆς ἑορτὴν μυριάδων πολλῶν συναθροισθεισῶν πανταχόθεν, ὑπ' αὐτῶν οἱ ῥωμαῖοι συγκατεκλείσθησαν, καὶ αὐτὸς σαβῖνος (στρατηγὸς δὲ ἦν οὗτος ῥωμαίων) καὶ μάχη ἦν καρτερὰ, καὶ οἱ ῥωμαῖοι ἐκράτουν. προκαταλαβόντες οὖν οἱ ἰουδαῖοι, ἐπὶ τὰς στοὰς αὐλὰς τὰς ἔξω τοῦ ἱεροῦ, κἀντεῦθεν ἐξ ὑπερδεξίων βάλλοντες, μεγάλα ἔβλαπτον τοὺς ῥωμαίους. οἱ δὲ πῦρ ταῖς στοαῖς ἐνιᾶσι, καὶ τῶν ὑπεκκαυμάτων ὕλαις, ἐγείρειν φλόγα πεφυκυίας. καὶ ταχὺ ἥπτετο τοῦ ὀρόφου, καὶ οἱ ἐπὶ τῶν στοῶν οἱ μὲν τοῦ ὀρόφου καταρρηγνυμένου συγκατεφέροντο· τοὺς δὲ περισταδὸν ἔβαλλον οἱ πολέμιοι, οἱ δὲ εἰς τὸ πῦρ ἐρρίπτουν ἑαυτοὺς, οἱ δὲ τοῖς ἑαυτῶν ἐκτάνοντο ξίφεσιν, ἐσώθη τε τῶν ἐν ταῖς στοαῖς ἀνελθόντων οὐδ' εἷς. καὶ οἱ ῥωμαῖοι ἐκράτουν τοῦ ἱεροῦ θησαυροῦ, καὶ πολλὰ μὲν ὑπὸ τῶν στρατιωτῶν διήρπαστο.

σαβῖνος

περὶ τῆς τῶν ἰουδαίων στάσεως κατὰ ῥωμαίων, ὅτι ὁ ναὸς ἐνεπρήσθη

Σαβῖνος δ᾽ εἰς τὸ φανερὸν τριακόσια περιέσωσε τάλαντα. οἱ γοῦν περιλελειμμένοι τῶν μαχεσαμένων τὸ βασίλειον περισχόντες, πῦρ ἐμβαλεῖν αὐτῷ ἠπείλουν, καὶ ἀποκτενεῖν πάντας ἐκεῖ. εἰ δ᾽ ἀπίοιεν, ἄδειαν τοῖς ῥωμαίοις ἐπηγγέλλοντο, καὶ σαβίνῳ. καὶ πολλοὶ τῶν βασιλικῶν πρὸς αὐτοὺς ηὐτομόλησαν. ῥοῦφος δὲ καὶ γρᾶτος, τρισχιλίους τοῦ ἡρώδου στρατεύματος ἔχοντες ἄνδρας ἐῤῥωμένους τοῖς σώμασι ῥωμαίοις προσέθεντο. ἰουδαῖοι δὲ οὐ μεθίεντο πολιορκίας, καὶ σαβῖνος ἐκαρτέρει πολιορκούμενος. ἐπὶ τούτοις καὶ ἕτεροι θόρυβοι τὴν ἰουδαίαν κατέλαβον. ἰούδας γὰρ ἐζεκίου τοῦ ἀρχιλῃστοῦ υἱός, ὃς ὑφ᾽ ἡρώδου μεγάλοις ληφθεὶς πόνοις, συγκροτήσας πλῆθος, τῷ περὶ σέπφωριν τῆς γαλιλαίας ἐνέδραμε βασιλείῳ, καὶ τῶν ἐκεῖ κρατήσας ὅπλων, ὥπλισε τοὺς περὶ αὐτόν, φοβερός τε ἅπασιν ἦν. ἀλλὰ καὶ σίμων δοῦλος μὲν ἡρώδου τοῦ βασιλέως, ἀνὴρ δ᾽ εὐπρεπὴς καὶ μεγέθει σώματος καὶ ῥώμῃ προὔχων, ἀρθεὶς τῇ ταραχῇ τῶν πραγμάτων, ἐτόλμησε περιθέσθαι διάδημα. καὶ πλήθους συστάντος περὶ αὐτόν, βασιλεὺς καὶ αὐτὸς ἀναῤῥηθεὶς, τὸ ἐν ἱεριχοῦντι βασίλειον ἐμπίπρησι, καὶ ἄλλους δὲ τῶν βασιλικῶν οἴκων, διαρπάσας τὰ ἐν αὐτοῖς. ἀλλὰ τούτῳ γρᾶτος μάχην συνάψας, τό, τε πλεῖον τοῦ μετ᾽ αὐτοῦ πλήθους διαφθείρει, καὶ αὐτοῦ τοῦ σίμωνος τὴν κεφαλὴν καταλαβὼν ἀποτέμνει. καὶ ἄλλοι δὲ στασιασταὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἐγένοντο, κακοῦντες καὶ ῥωμαίους καὶ τοὺς βασιλικούς. οὔαρος δ᾽ ἐν συρίᾳ μαθὼν τὰ κατὰ τὸν σαβῖνον, ἠπείγετο τοῖς ἐν ἰουδαίᾳ πολιορκουμένοις ἀλέξασθαι. ἀθροισθείσης δὲ ἐν πτολεμαΐδι τῆς αὐτοῦ δυνάμεως πάσης, μέρος τι ταύτης σὺν τῷ υἱῷ παραδοὺς, γαλιλαίοις ἐξέπεμψε πολεμήσοντα. ὃς συμβαλὼν ἐκείνοις, ἐκράτησεν. οὔαρος δὲ σὺν τῷ λοιπῷ τοῦ στρατεύματος προσιὼν εἰς ἱεροσόλυμα, δειλίαν τοῖς πολιορκοῦσι τῶν ἰουδαίων ἐνέβαλε, καὶ λιπόντες τὴν πολιορκίαν ἀπέφυγον, ᾤχοντο. οὐάρου δὲ τοῖς ἱεροσολυμίταις ἐγκαλοῦντος διὰ τὸν πόλεμον, ἐκεῖνοι τὴν τοῦ πλήθους σύνοδον διὰ τὴν ἑορτὴν ἔλεγον γεγονέναι, τὸν δὲ πόλεμον παρὰ τῶν ἐπηλύδων. καὶ ὁ οὔαρος πέμψας κατὰ τὴν χώραν, ἐπεζήτει τοὺς αἰτίους τῆς στάσεως, καὶ εὑρὼν ἐνίους ἐκόλασε. δισχιλίους γὰρ ἐσταύρωσεν. καὶ ἕτεροι δὲ περὶ μυρίους, τῷ κατ᾽ αὐτῶν ὁρμήσαντι παρέδωκαν ἑαυτούς. ὁ δὲ πρὸς καίσαρα πέμπει τοὺς ἡγεμόνας αὐτῶν. καῖσαρ δὲ μόνους ἐκόλασεν, ὅσοι συγγενεῖς ὄντες ἡρώδου συνεστρατεύοντο τοῖς στασιασταῖς. εἰς δὲ ῥώμην τῶν ἰουδαίων πρέσβεις ἀφίκοντο, καὶ τοῦ καίσαρος συνειλεγμένου συνέδριον, οἱ πρέσβεις συνεστηκότας ἔχοντες τῶν ἐν ῥώμῃ ἰουδαίων περὶ ὀκτακισχιλίους, αὐτονομίαν ᾔτουν, καὶ τὴν κατηγορίαν τοῦ ἡρώδου ἐποιοῦντο παρανομιῶν. οὐ γὰρ βασιλέα, τύραννον δ᾽ ἐκεῖνον ἐκάλουν. πολλῶν γὰρ πολλάκις κακώσεων σφίσιν ἔφησαν συμβεβηκυιῶν, οὐδεμίαν ἐξισωθῆναι ταῖς αὐτοῦ ἐπενηνεγμέναις ἐκείνου κακώσεσιν. οἰόμενοι οὖν πάντα τοῦ βασιλέως κρατήσαντα ἡρώδου ἔσεσθαι μετριώτερον, ἀσμένως τὸν ἀρχέλαον προσειπεῖν βασιλέα. ὁ δὲ εὐθὺς, ὥσπερ μὴ ἐξ ἡρώδου νομίζοιτο παῖς, εἰ τοῖς ἰουδαίοις ἠπιώτερος φαίνοιτο, τρισχιλίων ἀνδρῶν σφαγὴν κατὰ τὸ τέμενος ἐποιήσατο, καὶ ταῦτα μηδέπω τοῦ καίσαρος αὐτῷ τὴν ἀρχὴν βεβαιώσαντος. καὶ ταῦτα λέγοντες, ἠξίουν βασιλείας καὶ τοιαύτης ἀρχῆς ἀπηλλάχθαι, προσθήκην δὲ γενέσθαι συρίας, καὶ τοῖς ἐκεῖ στελλομένοις ῥωμαίων στρατηγοῖς ὑπακούειν. οἱ μὲν οὖν ταῦτα ᾐτοῦντο. οἱ δὲ περὶ τὸν ἀρχέλαον ἀπελογήσαντο, τούς τε βασιλεῖς, τόν τε πατέρα λέγω καὶ τὸν υἱόν, τῶν ἐγκλημάτων ἀπέλυον, καὶ ἰουδαίοις ἐπεκάλουν στάσεις καὶ νεωτερισμούς. ὁ μέντοι καῖσαρ βασιλέα μὲν οὐκ ἀνεδείκνυσι τὸν ἀρχέ-

ὅτι δοῦλος ἡρώδου διάδημα περιέθετο.

ὅτι καὶ ὁ ἀρχέλαος ὠμὸς ἦν κατὰ τὸν πατέρα.

Sabinus tamen CCCC talenta cōseruata in apertum protulit. Sed qui ex pugnantibus superfuere, regiā circundederunt, eam se crematuros esse minati, atq; omnes occisuros: sin abirēt, impunitatē Romanis & Sabino pollicebant. ac multi regij satellites ad illos defecerunt. Rufus aūt & Gratus, qui tria millia ex Herodis exercitu uirorū robustorū habebant, ad Romanos se cōtulere: nec tamen obsidionē Iudæi soluerūt, quā Sabinus fortiter tolerauit. Preter hęc alij quoq; tumultus orti sunt. Nam Iudas Ezechiæ latronum ducis filius, quē Herodes ęgrè cæperat, in Galilæę regiam iuxta Sephorim facto impetu, armis quæ ibi erant suos instruxit, & omnibus fuit formidabilis. Sed & Simon Herodis regis seruus, cæterùm uir pulcher, & magnitudine et robore corporis præcellens, rerū turbis impulsus, diadema sumere ausus, multitudinis cōcursu & ipse rex appellatus, Hierichuntiā & alias multas domos regias incēdit atq; diripuit. Verum Gratus prælio cōmisso, plerosq; cecidit, ipsiusq; Simonis caput amputauit. Atq; alij quoque illo tēpore seditionib. motis, & regios & Romanos infestarunt. Varus aūt cum in Syria audiuisset, quo loco res Sabini essent, opem obsessis in Iudæa serie maturabat, & omnib. legionib. suis Ptolemaide coactis: filiū cum parte ad bellū in Galilæa gerendū ablegauit. eoq; uictoriā adepto cum reliquo exercitu Hierolyma profectus, Iudæis terrorē incussit, ut omissa obsidione abirent. Hierosolymitani uerò à Varo ob bellum factū accusati, responderunt, populi conuentū ob festiuitatē esse factum, bellum uerò ab aduenis esse excitatū. Itaq; Varus militibus in agros missis, autores seditionis inquisiuit: & nōnullis repertis, ad II millia in cruces egit. Sed & alij circiter decies mille Varo cōtra eos ducenti se dediderūt, quorū principibus Romā missis, ij dūtaxat à Cęsare supplicijs affecti sunt, qui à cognatis Herodis cum seditiosis militarāt. Post hæc Iudæorū legati Romā profecti sunt, qui indicto à Cæsare cōcilio, Iudęorū circiter VIII millibus qui Romę degebant, suffragantib. libertatē postularūt: et ad iniquitatis Herodianæ accusationē cōuersi, eū nō regē, sed tyrannū uocabāt. Nā cum Iudaica gens sæpè grauiter afflicta esset, nullas tamē ærūnas cū ijs esse cōferendas, quas sub illo tolerassent. Cū aūt Archelaū, quē rerū potitū Herode moderatiorē fore putassent, cupidè regē appellassent: eū ueritum, ne non germanus Herodis filius haberet, si mitiorē Iudæis se præberet, trium millium uirorum cædem in templo edidisse, idq; regno à Cæsare nondū cōfirmato. His dictis petierunt, ut regno & id genus imperijs liberati, & Syriæ attributi, Romanorum prætoribus eò mitti solitis, parēre iuberentur. Quæ cum Iudæi postularent, Archelai patroni, utriusque regis, tam patris quàm filij, defensione suscepta, & obiectis criminibus refutatis, Iudæis seditiones, nouarumq; rerum studium obiecerunt. Cæsar autem Archelaum non declarauit re-

Iudas latronum princeps.

Q. Varus Iudæorū seditionē cōpescit.

Iudæorū legatio ad Cæsarē, libertatis petendæ ergò.

Cæsaris sententia de Iudææ administratione.

v

gem: sed paterni principatus semisse concesso, pollicitus est, si bene imperaret, se eum etiam regem appellaturum esse. Fuit autem prouentus ditionis illi attributæ DC talentûm: alterum semissem, in duas partes diuisum, Antipæ & Philippo, alijs Herodis liberis, distribuit, unde hic C, ille CC talentûm reditus percipiebat. Salomę legata Herodis reliquit, & Ascalonē regiā attribuit, ex quib. omnib. LX talenta ad eā redibāt. His ita ordinatis, Iudæus quidā adolescens, quia Alexādro Herodis interfecto filio facie similis erat, ascito quodam populari suo, uiro improbo & turbulento, Alexandrum Herodis filium se professus est. Nam cum quidam ad utrunque fratrem tollendum missi essent: alios esse interfectos, ipsos uerò conseruatos, & clàm subductos asserebat. Qua oratione imponebat hominibus, & maxima pecunia sic coacta, Romam properauit. Cęsar uerò, qui non temerè deceptum esse Herodem crederet: Alexandro ficticio in conspectum adducto, non deceptus est. nam facie quidem similis erat Herodis Alexandro: sed opere manuum factus asperior, & corpore rigidiore, non, ut ille, delicato & molli. Cæsare uerò quærente, ubi Aristobulus esset? respondit, in Cypro esse relictum, ut si quid sibi accidisset, Mariammæ genus nō penitus interiret. Cæsar uerò hominem seductum, hortatus est, ut ueritatem sibi diceret, impunitate promissa. Qui cum imposturam exposuisset, Cæsarque illum tolerando labori aptum uideret, in remiges retulit: eius uerò socium occidit. Archelaus Ethnarchia suscepta, sacerdotium Ioazaro Boethi filio ereptum, in fratrem eius Eleazarum transfert. Et Glaphyram matrimonio sibi iungit, Archelai F. Alexandri fratris, è quo illa susceperat liberos, uiduā. Est autem lege interdictum, ne mortuorum fratrum uxores, è quibus illi susceperint liberos, fratribus nubant. Sed & Eleazaro paulo pòst eiecto, Iesum Seis filium in eius locum substituit. Decimo imperij anno accusatus est à subditis apud Cæsarem, quòd crudelem ac planè tyrannum se præberet. ab eo que celeriter accersitus, causa dicta, opibus ademptis in exilium missus est: cum quidem ex somnio eum euentum antè cognouisset. uisus erat sibi decem spicas robustas, & frumento plenas uidere, quæ à bobus comederētur. Id somnium alijs aliter interpretantibus, Simon professione Essæus uisione illa mutationem ei portendi, eamque non felicem, dixit. Boues enim ærumnarum esse symbolum, animal quod laboribus urgeatur: & rerum uicissitudinem designare, propterea quòd terra ab ijs arando inuertatur. Decem uerò spicas totidem annos significare, quibus tanto spacio completis messis absoluatur, ac tum principatus Archelai finem fore. Atque etiam Glaphyræ coniugi eius, uisum quoddam in somnis est oblatum: quæ, ut antea dictum est, maritum habuit Alexandrū, Archelai fratrem. Eo mortuo, Iubæ

Alexander ficticius ad remos condemnatur.

Archelaus decimo regni anno in exiliū mittitur.

Archelai somnium.

Boues.

Spicæ.

Glaphyræ somnium & obitus.

λαον, τὸ δ' ἥμισυ δέδωκε τῆς πατρικῆς ἀρχῆς, ἐπαγγειλάμενος ὀνομάσειν καὶ βασιλέα, εἰ καλῶς ἄρχοι. ἦν δὲ τῆς αὐτῷ νεμηθείσης χώρας δασμὸς ἐτήσιος ἑξακόσια τάλαντα. τὴν δ' ἑτέραν ἡμίσειαν μοῖραν διχῆ διελὼν, Ἀντίπᾳ καὶ Φιλίππῳ παισὶν ἑτέροις Ἡρώδου δέδωκε. καὶ τῷ μὲν Ἀντίπᾳ ἡ νεμηθεῖσα χώρα εἰσφορὰν εἰσεποίει διακόσια τάλαντα, Φιλίππῳ δὲ ἡ παραδοθεῖσα μερὶς ἑκατὸν εἰσέφερε τάλαντα. τῇ δὲ Σαλώμῃ ἐφ' οἷς ὁ Ἡρώδης κατέλιπε, καὶ τὸ ἐν Ἀσκάλωνι βασίλειον δέδωκεν· ἐκ πάντων δ' αὐτῇ ἦν ὁ ταύτῃ δασμὸς ἑξήκοντα τάλαντα. καὶ ταῦτα μὲν οὕτως διῴκητο. νεανίας δέ τις Ἰουδαῖος, εἰσῴκισεν ἑαυτὸν εἰς τὴν Ἡρώδου συγγένειαν, ἐπεὶ τὴν μορφὴν ὡμοίωτο Ἀλεξάνδρῳ τῷ ἀνῃρημένῳ υἱῷ Ἡρώδου. καί τινα παραλαβὼν ὁμόφυλον, ἄνδρα πονηρόν τε καὶ συγχέαι δυνάμενον πράγματα, Ἀλέξανδρον ὠνόμαζεν ἑαυτὸν τὸν Ἡρώδου υἱὸν, ὡς ὑπό τινων τῶν σταλέντων ἄμφω τοὺς ἀδελφοὺς ἐκκλαπέντων, ἄλλων ἀνῃρημένων, αὐτῶν δὲ περισωθέντων καὶ διακεκλεμμένων. καὶ λόγοις τοιούτοις ἠπάτα τοὺς ἐντυγχάνοντας. κἀντεῦθεν πλεῖστα συναγαγὼν χρήματα, εἰς Ῥώμην ἠπείγετο. Καῖσαρ δὲ ἠπίστει μὲν ῥᾳδίως ἀπατηθῆναι Ἡρώδην, ἀγαγὼν δ' εἰς ὄψιν αὐτοῦ τὸν ψευδαλέξανδρον, οὐκ ἠπάτητο. τὸ μὲν γὰρ εἶδος εἶχεν ἐμφερὲς πρὸς τὸν Ἡρώδου Ἀλέξανδρον, ὑπ' αὐτουργίας δ' ἐτετράχυντο, καὶ πρὸς τὸ σκληρότερον αὐτῷ ἐπεφύκει τὸ σῶμα, ἀλλ' οὐχ ὡς τὸ ἐκείνου ὑπὸ τρυφῆς μεμαλάκιστο. ἐξετάζοντος δὲ τοῦ Καίσαρος περὶ Ἀριστοβούλου, ποῦ ἂν εἴη; φαμένου δ' ἐκείνου, ἐν Κύπρῳ καταλελεῖφθαι, ἵν' εἴ τι περὶ ἐμὲ συμβαίη δεινὸν, μὴ παντάπασι τὸ τῆς Μαριάμμης ἐκλίπῃ γένος· κατὰ μόνας ὁ Καῖσαρ τὸν ψευδαλέξανδρον ἀπολαβὼν, τὸ ἀληθὲς εἰπεῖν αὐτῷ προετρέπετο, ἄδειαν μισθὸν τοῦ τυχεῖν σωτηρίας. ὁ δ' ἐκφαίνει τῷ Καίσαρι τὸ σκαιώρημα. ὁ Καῖσαρ δ' ἐρρωμένον αὐτὸν πρὸς αὐτουργίαν ὁρῶν, τοῖς ἐρέταις συνέταξε· τὸν δ' ἐν τούτοις ἐκείνῳ συμπνέοντα, ἔκτεινεν. Ἀρχέλαος δὲ τὴν ἐθναρχίαν παραλαβὼν, ἀφαιρεῖται τῆς ἀρχιερωσύνης Ἰωάζαρον τὸν Βοηθοῦ, καὶ ἀντικαθίστησιν Ἐλεάζαρον τὸν ἐκείνου ἀδελφόν, καὶ Γλαφύραν ἄγεται πρὸς γάμον τὴν Ἀρχελάου παῖδα, Ἀλεξάνδρου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ γαμετὴν, ἀφ' οὗ καὶ τέκνα ἦν αὐτῇ, ἀπηγορευμένον ὑπὸ νόμου, ἀδελφῶν ἄγεσθαι γυναῖκας, παῖδας ἐκ τῶν τεθνεώτων ἐχούσας. καὶ τὸν Ἐλεάζαρον δὲ μετὰ μικρὸν ἐκβαλὼν, Ἰησοῦν ἀντικατέστησε, τὸν παῖδα Σιέ. ἀνύων δ' ἔτος τῇ ἀρχῇ δέκατον, κατηγορεῖται παρὰ Καίσαρι πρὸς τῶν ὑπηκόων, ὡς ὠμῶς καὶ τὸ ὅλον τυραννικῶς κεχρημένος τοῖς πράγμασιν. ὁ τοίνυν Καῖσαρ μετακαλεῖται ταχέως αὐτὸν, καὶ ἀκροασάμενος τῶν κατηγόρων κἀκείνου, ἐκείνου μὲν φυγαδείαν καταψηφίζεται, τὰ δὲ χρήματα ἀπενέγκατο. ὀνείρῳ δὲ τὸ μέλλον ἐδηλώθη τῷ Ἀρχελάῳ. ἐδόκει γὰρ στάχυας ὁρᾶν δέκα ἀκμαίους καὶ πλήρεις σίτου, βιβρωσκομένους ὑπὸ βοῶν. ἄλλοι μὲν οὖν ἄλλως ἐξηγοῦντο τὸν ὄνειρον. Σίμων δὲ τὸ μὲν γένος Ἐσσαῖος, μεταβολὴν πραγμάτων ἔλεγε φέρειν Ἀρχελάῳ τὴν ὄψιν, καὶ μὴ ταύτην ἐπ' ἀγαθῷ. τοὺς μὲν γὰρ βόας κακοπαθείας σύμβολον εἶναι, ζῶα ἐπ' ἔργοις ταλαιπωρούμενα, καὶ δηλωτικὰ πραγμάτων μεταβολῆς, ὅτι δι' αὐτῶν ἀρουμένη ἡ γῆ, οὐκ ἐᾶται μένειν ἐκείνως. τοὺς δὲ δέκα στάχυας σημαίνειν ἐτῶν ἀριθμόν. περιόδου γὰρ ἐνιαυτοῦ πληροῦσθαι τούτους, καὶ ἀπαρτίζεσθαι θέρος, καὶ τὸν τῆς ἡγεμονίας χρόνον ἐξήκειν τοῦ Ἀρχελάου. καὶ τῇ γυναικὶ δὲ τοῦ Ἀρχελάου Γλαφύρᾳ ὄνειρος τεθέαται ἕτερος. αὕτη γὰρ, ὡς εἴρηται, Ἀλεξάνδρῳ πρότερον συνῴκει, Ἀρχελάου ὁμαίμονι. ἀναιρεθέντος δ' ἐκείνου, Ἰόβᾳ

περὶ τοῦ ψευδαλεξάνδρου.

κατηγορία κατὰ Ἀρχελάου.

περὶ τοῦ ὀνείρου ὃ εἶδεν Ἀρχέλαος.

ὄνειρος ἕτερος τῆς Ἀρχελάου γυναικός.

Ἰόβᾳ τῷ Λιβύων γεγάμητο βασιλεῖ· ἐκείνου δὲ τὴν ζω-
ὴν μεταλλάξαντος, Ἀρχελάῳ γίνεται, τὴν γυναῖκα
σαν αὐτοῦ Μαριάμμην [illegible], καὶ ταῦτα παῖδας
ἐξ Ἀλεξάνδρου ἐσχηκυῖα. [illegible] γὰρ ἡ γυνὴ τὸν Ἀλέξανδρον
αὐτῇ ἐπιστάντα, μέμφεσθαί τε αὐτῇ καὶ λέγειν· Γλαφύ-
ρα, ἀληθῆ δὴ ἄρα τὸν λόγον κατέδειξας, ὃς ἀπίστους εἶ-
ναι ἀνθρώποις τὰς γυναῖκας φησί. σὺ γάρ μοι συνοι-
κήσασα, καὶ παῖδας γεννήσασα, [illegible]
[illegible], δευτέροις γάμοις συνεμίγης, καὶ οὐδ' οὕτως [illegible]
[illegible]

[illegible]

Iubæ Libyæ regi, qui uxorem Mariammen repudiarat, nupsit: idque, cum liberos ex Alexandro suscepisset. Visus igitur est Alexander astare mulieri, & cum ea expostulare his uerbis: Vtique uerum illud uerbum esse demonstrasti Glaphyra, uxores infidas esse maritis. Nam tu cum mihi uirgo nupta fueris, & liberos pepereris, secundas nuptias experta es: nec ea nostri contumelia contenta, cum tertio sponso concubuisti, eo'que fratre meo. Sed ego te rursus mihi uendicatam, isto dedecore liberabo. Hæc ubi mulieribus familiaribus exposuit, paulo post decessit. Regio uerò quæ Archelao paruerat, Syriæ est attributa: ac Cyrenius missus, qui Syriam, ipsam'que Iudæam, Syriæ additamentum, describeret. ac Iudæi qui pridem ne nomē quidem descriptionis audire uoluerant, suasu Ioazari pontificis refragari destiterunt. Verum quidam Gaulanites, Sadoco phari$\text{s}$æo asscito, bellis & latrocinijs Iudæam impleuit. Dicebant enim, facultatū æstimationem nihil esse aliud nisi manifestam seruitutem, ac prætendebant illi quidem Reipublicæ curam, sed reuera priuatorum emolumentorum occasiones captabāt: unde seditiones & multorum cędes, principum etiam uirorum, extiterunt, partim ex intestinis bellis, partim ab hostibus accersit fames, urbium expugnationes, excidia, & templi cōflagratio. Nam cum antiquitus tria essent apud Iudæos philosophiæ genera, Essenorum, Pharisæorum, & Sadducæorum: quartum hoc & nouum à Iuda & Sadoco introductum est. Nam Pharisæi, uili uictu utentes, ad mollitiem se non deflectunt, obseruatores legum & rituum accurati: senibus honorem præbent, neque confidenter illorum autoritati aduersantur: fatum esse docent, hoc tamen hominibus tribuentes, ut illius impulsus uincere possint, si seriò renitantur. Animos immortales, & sub terra uitæ actæ rationes reddendas esse censent. Qua de causa & apud populum plus autoritate ualent, & ad uota, ad sacra peragenda tanquā interpretes adhibentur. Sadducæi mortales esse animos arbitranē, atque unà cum corporib. interire, neque quicquam nisi leges obseruant: senioribus ac magistris refragari, in parte uirtutis ponunt. Si qui uerò illorum ad magistratus adhibentur, uel inuiti assentiuntur Pharisæis, alioqui enim à populo nō tolerarent. Esseni Deo asscribunt omnia: animorum immortalitatem credunt: iusticiam colunt. Donaria in templum mittunt, sed in eo non immolant, de expiationibus à cæteris dissentientes. Vnde cum à communi sacrario arceantur, priuatim sacrificant: labores agriculturæ capessunt: res cōmunes habēt. Quare diues omniū pauperrimo nihilo uiuit lautius: neque uxores ducunt, neque seruos cōmū: hoc iniquū esse rati, illud discordiæ incitamentū, sed uitam agentes solitariā, alij alijs ministrant. Quæstores & terræ frugū, & eorū quæ illuc afferuntur, designant. Quarta secta cum Phari-

Cyrenius Syriæ præses.

Iudas Gaulanites, & Sadocus pharisæus, Iudæos ad seditionem impellunt.

Pharisæi.

Sadducæi.

Esseni.

Galilæi libertatis uindices.

Pharisæis cætera consentit, sed libertatis altè infixum amorem gerit: cuius alumni, solum principem & Dominum Deum appellant, ea nomina tribuere homini dedignantes: imò nec mortes nec supplicia uaria & atrocia recusantes, ne ab instituto suo recedant. Hinc populus Iudaicus ex amentiæ morbo in desperationem est delapsus, Gesij Flori côtumelijs irritatus. Nam Cyrenius descriptione ac censu peracto, trigesimoseptimo anno post Cæsaris Actiacam Antonij uictoriam: Ioazaro pontifici, factione populi oppresso, ademptam dignitatem in Annam Sethei filium contulit. Cyrenio Romam reuerso, Coponius Iudæam administrauit. Ei successit Marcus Ambibuchus: Marco Rufus Annius: sub quo Romanorum Imperator obijt, regni anno quinquagesimoseptimo, mense VI, diebus II. Collegā Antoniū habuit annis quatuordecim. solus imperauit annos XLIII aut XLIIII, ut quidam tradunt. Vixit annos septuagintaseptem. Monarchia uerò translata est in Tiberium, Cæsaris ex Liuia priuignum, à quo Valerius Gratus dux in Iudæam missus est: qui pontificatu Annæ abrogato, Ismaelem Fabij filium summum sacerdotem designauit. & hoc etiam non multo post in ordinem coacto, Eleazaro Annæ filio sacerdotij honorem largitus est: annoque elapso, Simonē Camithi filium illi substituit. Huic pari tempore sacris operato, Iosephus Caiaphas successor fuit. Grato, cum Iudææ per annos undecim præfuisset, his actis Romam reuerso, Pontius Pilatus successit. Herodes tetrarcha Tiberij priuati adhuc usus amicitia, eo rerū potito, urbem de illius nomine Tiberiadem ad Genesarethæ lacum condidit. Pilatus exercitum Cæsarea, ut Hierosolymis hybernaret, traducturus: noctu uexilla cum Cæsaris imaginibus in urbem intulit, quibus lege Iudæis interdictū est. Quo cognito, multitudo properè Cæsareā accurrit, petēs, ut illa transferrent, supplicatione per dies quinque continuata. Cui cum Pilatus refragaret, ea enim re lædi maiestatē Cæsaris, nec populus orare desisteret: die sexto militibus armatis circumpositis, mortem eis comminatus est, nisi tumultuandi finem facerent. At illi proni prostrati, se mortem cum uoluptate oppetituros dixerunt. Pilatus igitur fortitudinē eorum & alacritatem obseruandæ legis admiratus, e uestigiò Cæsaream imagines retulit. Ad aquæductū uerò Hierosolymis struendū sacrā pecuniam insumpsit. Ob eam rem multi cōuenere, cum clamorib. atque etiā per cōuicia postulātes, ut desineret. At ille cohortes militū sub stolis Iudaicis flagella gerētes circumire tumultuantes, atque ita Iudæos abire iussit. ut uerò maledicere cœperūt, signo militib. dato, uerberib. eos castigare instituit. Illi uerò quāuis inermes cæderentur, de pertinacia nihil remittebāt, sed multi cadebant, multi uulneribus affecti recedebant.

Octauio Augusto Cæsari Nero succedit.

Pontificum successiones.

Tiberiadis ædificatio.

Pontius Pilatus Iudæorum pertinacia uictus, uexilla Hierosolymis aufert.

Iudæi flagellis cæsi.

τοῖς φαρισαίοις ὁμογνώμων δέ, τῆς δ' ἐλευθερίας αὐτῇ δυσνίκητος ἔρως ἐντέτηκεν, ἧς οἱ τρόφιμοι μόνον ἡγεμόνα καὶ δεσπότην τὸν θεὸν ὀνομάζουσιν, ἀνθρώπῳ τῶν ὀνομάτων τούτων μεταδιδόναι μὴ ἀνεχόμενοι· ἀλλὰ καὶ θανάτους καὶ τιμωρίας ποικίλας τε καὶ δεινὰς ὑφίστασθαι μὴ ἀπαναινόμενοι, ἵνα μὴ τῆς σφετέρας ἐκσταῖεν ἐνστάσεως. ἐντεῦθεν ἤρξατο τὸ τῶν ἰουδαίων ἔθνος νοσεῖν δὲ ἀνοίας ἀπόνοιαν, γεσσίου φλώρου τοῦ ἡγεμόνος εἰς ταύτην αὐτοὺς ἐρεθίσαντος ὕβρεσιν. ὁ μέντοι κυρήνιος τῆς ἀπογραφῆς καὶ τῶν ἀποτιμήσεων πεπεραιωμένων, αἳ γεγόνασι τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει μετὰ τὴν ἐν ἀκτίῳ ἧτταν τοῦ ἀντωνίου ὑπὸ τοῦ καίσαρος, ἰώαζαρον τὸν ἀρχιερέα καταστασιασθέντα ὑπὸ τοῦ πλήθους ἀφελόμενος τὴν τιμήν, ἄνναν τὸν σεθὶ ἀρχιερέα καθίστησι. κυρηνίου δ' εἰς ῥώμην ἀπάραντος, κωπώνιος τὴν ἰουδαίαν διέπει. τούτου δὲ διάδοχος γίνεται μάρκος ἀμβιβοῦχος· καὶ τὸν μάρκον ῥοῦφος διαδέχεται ἄννιος· ἐφ' οὗ δὴ τελευτᾷ καῖσαρ ὁ αὐτοκράτωρ ῥωμαίων, ἄρξας ἔτη ἑπτὰ καὶ πεντήκοντα, μῆνας τε ἓξ ἐφ' ἡμέραις δυοῖν. ἀφ' ὧν τεσσαρεσκαίδεκα ἔτη αὐτῷ συνῆρξεν ἀντώνιος, ὡς εἶναι τὸν τῆς μοναρχίας αὐτοῦ χρόνον ἐνιαυτοὺς τεσσαράκοντα πρὸς τρισί, κατὰ δέ τινας τέσσαρσιν. ἐβίω δὲ ἔτη ἑβδομήκοντα καὶ ἑπτά. ἡ δὲ μοναρχία μετῆλθεν εἰς τιβέριον, τὸν τῆς καίσαρος γυναικὸς λιβίας υἱόν· ὑφ' οὗ γράτος οὐαλέριος εἰς ἰουδαίαν ἐστάλη ἡγεμών, ὃς παύσας τὸν ἄνναν τῆς ἀρχιερωσύνης, ἰσμαὴλ ἀποδείκνυσι τὸν τοῦ φαβί. καὶ τοῦτον δὲ μεταστήσας μετ' οὐ πολύ, ἐλεάζαρον τὸν τοῦ ἄννα υἱὸν ἀπονέμει τὴν τοῦ ἱερᾶσθαι τιμήν, καὶ μετ' ἐνιαυτὸν αὖ τοῦτον ἐκβαλὼν σίμωνα τὸν καμίθου. καὶ τούτῳ τὸν ἴσον χρόνον ἱερασαμένῳ, ἰωσὴφ ὁ καϊάφας διάδοχος ἦν. καὶ γράτος ἐπὶ ἕνδεκα ἔτη τῆς ἰουδαίας ἄρξας, καὶ ταῦτα πράξας, εἰς ῥώμην ὑπανεχώρησε. πόντιος δὲ ὁ πιλᾶτος τὴν ἡγεμονίαν ἀνεδέξατο. ὁ δὲ τετράρχης ἡρώδης φίλος ὢν τιβερίῳ χρηματίζοντι πρὸ τῆς ἀρχῆς, οἰκοδομεῖ μετὰ τὴν μοναρχίαν πόλιν αὐτῷ ἐπώνυμον ἐν τῇ γαλιλαίᾳ ἐπὶ τῇ λίμνῃ γεννησαρέτ, τιβεριάδα καλέσας αὐτήν. πιλᾶτος δὲ στρατιὰν ἐκ καισαρείας μεθιδρύσας, χειμάσουσαν ἐν ἱεροσολύμοις, σημαίας εἰς τὴν πόλιν ὑπὸ νύκτα εἰσήγαγεν, εἰκόνας ἐχούσας καίσαρος, ἀπαγορεύοντος ἰουδαίοις τοῦ νόμου εἰκόνας ἔχειν. ἐπεὶ δ' ἐγνώσθη τὸ πεπραγμένον, πλῆθος ὥρμησεν εἰς καισάρειαν, αἰτούμενον τὴν τῶν εἰκόνων μετάθεσιν, καὶ πενθημέρους ἱκετείας διὰ τοῦτο ποιούμενον. μὴ συγχωροῦντος δὲ πιλάτου, ὡς ἐντεῦθεν δῆθεν ὑβριζομένου τοῦ καίσαρος, ἔτι τὸ πλῆθος ἐνέκειτο δεόμενον, κατὰ τὴν ἕκτην ἡμέραν περιστήσας στρατιώτας ἐνόπλους σφίσιν, ἠπείλει θάνατον, εἰ μὴ παύσοιντο θορυβεῖν. οἱ δὲ πρηνεῖς καταβαλόντες ἑαυτούς, σὺν ἡδονῇ δέξασθαι τὸν θάνατον ἔλεγον. καὶ θαυμάσας πιλᾶτος τὸ γενναῖον αὐτῶν καὶ πρόθυμον ἐπὶ τηρήσει τοῦ νόμου, παραχρῆμα τὰς εἰκόνας ἐπανεκόμισεν εἰς καισάρειαν. ὑδάτων δ' εἰσαγωγὴν ποιούμενος εἰς ἱεροσόλυμα, τὰ ἱερὰ πρὸς ταύτην ἀνήλωσε χρήματα. συνελθόντες οὖν πολλοί, κατεβόων πιλάτου, παύσασθαι ἀξιοῦντες. τινὲς δὲ καὶ λοιδορίαις ἐχρῶντο κατ' αὐτοῦ. ὁ δὲ στολαῖς ἰουδαϊκαῖς πλῆθος στρατιωτῶν κεχρημένον, σκυτάλας τε ὑπὸ ταῖς στολαῖς ἔχον, περιελθεῖν κύκλῳ τῶν θορυβούντων ἐκέλευσε, καὶ οὕτως ἀναχωρεῖν τοῖς ἰουδαίοις ἐπέταττεν. ὡς δ' ἤρξαντο λοιδορεῖν, τοῖς στρατιώταις δίδωσι σύνθημα. οἱ δὲ πληγαῖς τοὺς θορυβοῦντας ἐκόλαζον. ἐκεῖνοι δ' ἄοπλοι ὄντες καὶ πληττόμενοι, οὐδὲν ἐνδόσιμον ἐφρόνουν, ἀλλὰ πολλοὶ μὲν ἔπιπτον, οἱ δ' ἄλλοι τραυματίαι ἀπῄεσαν.

πότε ἐγένετο ἡ ἀπογραφή.

πόσα ἐβασίλευσεν ὁ καῖσαρ, καὶ πόσα ἔτη ἐμονάρχησεν.

ἐπὶ τιβερίου ὁ ποντίος πιλᾶτος.

περὶ ποντίου πιλάτου, καὶ ὅπως ὁ ἡρώδης τετράρχης ᾠκοδόμησε τιβεριάδα.

περὶ δὲ τῶν ἰουδαίων ἐτύπτοντο.

Hoc

ὅτι ἐφάνη ὁ χριστὸς ἐν ἰουδαίᾳ, καὶ τί φησιν ὁ ἰώσηπος περὶ αὐτοῦ.

κατὰ τοῦτον τὸν καιρὸν καὶ ὁ κύριος ἡμῶν καὶ θεὸς ἰησοῦς χριστὸς ἐν ἰουδαίᾳ ἐφάνη, περὶ οὗ ταῦτα κατὰ λέξιν φησὶν ὁ ἰώσηπος ἐν τῷ ὀκτωκαιδεκάτῳ λόγῳ τῆς ἀρχαιολογίας· γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον ἰησοῦς, σοφὸς ἀνήρ, εἴγε ἄνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδόξων ἔργων » ποιητής, διδάσκαλος ἀνθρώπων τῶν σὺν ἡδονῇ τἀληθῆ » δεχομένων. καὶ πολλοὺς μὲν ἰουδαίους, πολλοὺς δὲ καὶ τοῦ ἑλ» ληνικοῦ ἐπηγάγετο. ὁ χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν » πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος πιλά» του, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες. ἐφάνη » γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν, πάλιν ζῶν, τῶν θείων » προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμά» σια εἰρηκότων. εἰσέτι τε νῦν τῶν χριστιανῶν ἀπὸ τοῦδε ὀ» νομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον. καὶ ταῦτα μὲν ἀρ» χαιολογῶν ὁ ἰώσηπος ἔγραψε περὶ τοῦ χριστοῦ.

ὅτι περὶ χριστοῦ φησιν ὁ ἰώσηπος.

ἐν δὲ τῷ πρὸς ἕλληνας αὐτοῦ λόγῳ, ὃς κατὰ πλάτωνος ἐπιγέγραπται περὶ τῆς τοῦ παντὸς αἰτίας, οὗ καὶ ὁ ἅγιος ἰωάννης δαμασκηνὸς μνείαν πεποίηται ἐν τῇ συντεθείσῃ αὐτῷ βί» βλῳ τῇ καλουμένῃ παράλληλα, ταῦτά φησι· πάντες δὲ » δίκαιοί τε καὶ ἄδικοι, ἐνώπιον τοῦ θεοῦ λόγου ἀχθήσονται. » τούτῳ γὰρ ὁ πατὴρ τὴν κρίσιν δέδωκε, καὶ αὐτὸς βουλὴν » πατρὸς ἐπιτελῶν, κριτὴς παραγίνεται, ὃν χριστὸν προσ» αγορεύομεν. οὐ γὰρ μίνως καὶ ῥαδάμανθυς κριταί, καθ' » ὑμᾶς ἕλληνες, ἀλλ' ὃν ὁ θεὸς καὶ πατὴρ ἐδόξασε. περὶ οὗ ἐν » ἑτέροις λεπτομερέστερον διεληλύθαμεν, πρὸς τοὺς ζητοῦντας » τὴν ἀλήθειαν. οὗτος τὴν τοῦ πατρὸς ἑκάστῳ δικαιοκρισίαν ποιού» μενος, πᾶσι κατὰ τὰ ἔργα παρασκευάσει τὸ δίκαιον. οὗ τῇ κρί» σει παραστάντες πάντες ἄνθρωποί τε καὶ ἄγγελοι καὶ δαί» μονες, μίαν ἀποφθέγξονται φωνήν, τοῦτο λέγοντες, δι» καία σου ἡ κρίσις. ἧς φωνῆς τὸ ἀνταπόδομα ἐπ' ἀμφο» τέρους ἐπάγει τὸ δίκαιον, τοῖς μὲν εὖ πράξασι, δικαίως » τὴν ἀΐδιον ἀπόλαυσιν παρασχόντος· τοῖς δὲ τῶν φαύλων » ἐρασταῖς, τὴν αἰώνιον κόλασιν ἀπονείμαντος. καὶ τούτοις » μὲν τὸ πῦρ ἄσβεστον διαμένει, καὶ ἀτελεύτητον, σκώληξ » δέ τις ἔμπυρος μὴ τελευτῶν, μηδὲ σῶμα διαφθείρων, » ἀπαύστῳ δ' ὀδύνῃ ἐκ σώματος ἐκβράσσων, παραμένει. καὶ ἄλλα δὲ πρὸς τούτοις φησίν. οὕτω μὲν οὖν περὶ χριστοῦ γέγραφεν ὁ ἰώσηπος.

περὶ δὲ ῥωμαίας παυλίνας.

ἐν δὲ ῥώμῃ τότε παυλῖνά τις ἦν, καὶ γένους περιφανείᾳ καὶ τρόπων χρηστότητι διαφέρουσα, καὶ πλούτῳ περιττῶς ἔχουσα, ὥστε δὲ καὶ τὴν ὄψιν χαρίεσσα, καὶ τῆς ἡλικίας ἐν ᾗ γυναῖκες ἀγάλλονται σωφροσύνῃ κεκοσμημένη. συνῴκει δὲ σατουρνίνῳ ἀνδρὶ μηδὲν αὐτῆς εἰς ἕκαστον τῶν καλῶν ἐνδέοντι. ταύτης ἑάλω τῷ ἔρωτι δέκιος μοῦνδος, ἐν ἀξιώματι ὢν μεγάλῳ τῶν τότε ἱππέων, καὶ ἐπαίρει δώροις. εἴκοσι γὰρ μυριάδας δραχμῶν ἀττικῶν εὐνῆς ἐδίδου μιᾶς. ἡ δὲ οὐκ ἐνείχετο. κἀκεῖνος ἐξάπτεται πλέον εἰς ἔρωτα, ὥς τε βρώσεως ἀποχῇ ἑαυτῷ μνηστεύεσθαι θάνατον. ἦν δὲ τούτῳ ἀπελευθέρα πατρῴα ἴδη καλουμένη, παντοίων ἴδρις κακῶν. αὕτη οὕτως ἔχοντα τὸν νεανίαν ὁρῶσα, ἀναθαρσύνει λόγοις, καὶ ἀναζωπυροῖ ὑποσχέσει, ὡς πέντε μυριάδων αὐτῇ δόσιν λέγουσα μόνον, ὥστε τὴν πρᾶξιν αὐτῷ κατεργάσασθαι. καὶ λαβοῦσα τὸ αἰτηθὲν ἀργύριον, ἐπεὶ οὐχ ἁλωτὴν ἑώρα τὴν παυλῖναν τοῖς χρήμασι, τῇ δὲ θεραπείᾳ τῆς ἴσιδος (θεὸς δ' αὕτη τοῖς ῥωμαίοις τότε νενόμιστο) ὅλῃ ταύτῃ προσκειμένην θερμότατα, πρόσεισι τῶν τῆς ἴσιδος ἐκείνης θεοῦ ἱερέων τισί, καὶ χρήμασιν ἀναπείθει τὴν παυλῖναν ἐξαπατῆσαι, ὡς δύναιντο μηχαναῖς, καὶ τῷ μούνδῳ συγκατακλῖναι· οἱ δὲ θελχθέντες τοῖς χρήμασι, τῇ πράξει ἐπέβαλον. καὶ αὐτῶν ὁ γεραίτατος πρὸς τὴν παυλῖναν

ὅτι μέγιστον τῶν ἱππέων ἀξίωμα.

περὶ δὲ πονηρίας ἴδης.

De Iesu Christo Iosephi uerba.

Hoc tempore Dominus quoq; noster & Deus IESVS CHRISTVS in Iudæa uisus est, de quo hæc Iosephi uerba in XVIII lib. Antiquitatum extant. Nascitur hoc tempore Iesus, uir sapiēs, « si modò uir dicēdus est. Fuit enim mirabilium « operū effector, et magister hominū qui ueritatē « amplectūtur, ac multos Iudæos, multos ex gen « tibus sibi cōciliauit. Christus ille fuit. quē cum « à principibus apud nos uiris delatum cruci Pi« latus affixisset, eum ij qui principiò adamarant, « colere nō destiterūt. Nam triduo pòst eis uiuēs « iterum apparuit: id quod, aliaq; infinita & admi « randa uates diuini de eo prædixerunt. Ac natio « Christianorum, nomine ex illo accepto, uel ho« die nō defecit. Hæc in Antiquitatib. Iosephus « de Christo scripsit. In oratione uerò sua ad Græcos, quæ & contra Platonem inscribitur, de causa uniuersitatis, cuius etiam D. Ioannes Damascenus in Parallelis suis meminit, hęc dicit: O« mnes iusti & iniusti ad Dei uerbum adducent. « Huic enim pater præturam dedit, atq; ipse pa« tris uoluntatē exequens, iudex aduentat, quem « Christum appellamus. Neq; enim Minos aut « Rhadamanthus, ò Gręci, quemadmodū uestra « fert opinio, sententiā ferent: sed is, quem Deus « & pater gloria ornauit. De quo alibi subtilius « disseruimus ad eos qui ueritatem inquirunt. Is « de * patris sententia iustum de unoquoq; iudi « ciū faciens, ius unicuiq; pro factis suis reddet. « Cuius iudicio omnes homines, angeli & dæ« mones astantes, una uoce clamabūt: Iustū tuum « est iudicium. post quam uocem, ita ut ęquū est, « remunerabitur utrosq;: eos qui uirtutem ritè co « luerunt, æterna beatitate: improbitatis amato« res, æterno supplicio. & hos ignis æternus atq; « infinitus manet, & uermis quidam ignitus im« mortalis & corpus non perimēs, cum perpetuo « cruciatu è corpore erumpens, infestabit. His alia quoq; subiungit. Ac de Christo ad hunc modum Iosephus scripsit.

Paulina Romana, fraus de sacerdotum Isidis stuprata.

Romæ autem Paulina quædam, & generis splendore, & morum integritate præstans, & opibus abundans, & uultu uenusto, & ætate integra, & modestia ornata, nupta erat Saturnino, uiro nullo bonorum genere ipsa inferiori. Huius amore captus Decius Mūdus, inter equites dignitate pręstās, mulieris pudicitiā munerib. solicitabat, CC millia drachmarū Atticarū pro uno concubitu pollicēs. eaq; recusante, amore magis inflāmabatur, adeò ut abstinētia ciborū necē sibi cōsciscere institueret.

Ide.

Habebat aūt paternā libertā nomine Iden, omnis generis malorū peritam. Ea adolescentē sic affectū uerbis confirmat, & pollicitationib. resocillat, ac sibi duntaxat quinquagies mille drachmis opus esse dicit ad rem conficiendā: quib. acceptis, cū illā pecunia non expugnari posse cerneret, sed cultui Isidis (ea sū à Rom. p diua colebat) esse deditissimā: quosdā falsæ illius deæ sacerdotes conuenit, pecuniā offert, ut Paulinā quibus possint dolis circumuentā, Mundo sui copiā facere cogant. Illi pecunia deliniti, facinus aggrediunt, eorū natu maximus Paulinā seorsim con-

conuenit, se ab Anubide, ipsius amore capto, missum esse profitetur, ut eam accerseret. Mulieri ea uerba optatissima acciderunt, si à Deo amaretur: & nuncium illum cum marito communicat, qui gnatus modestiæ coniugis, eam abire sinit. Cum in lucum uenisset, sub somni tempus mulieri in ipsa æde lectus paratur, lucernæ extinguuntur. Mundus iam antea ibi abditus, per totam noctem sub Anubidis nomine libidine sua expleta, discedit. Illa reuersa, Anubidis apparitionem marito narrat, apud familiares de congressu Dei gloriatur. Sed tertio post id facinus die, Mundus ei obuiam factus: Paulina, inquit, & ducenta millia habeo, & tu mihi gratis gessisti morem. Tua uerò erga Mundum iniuria me non attigit, qui Anubidis nomen ipse mihi fecerim. E' quibus uerbis mulier intellecto facinore, uestib. laceratis marito insidias indicat. Is apud Tiberiũ cõqueritur. Imperator facinore comperto, sacerdotes & Iden in cruces tollit, ædem diruit, Isidis simulacrum in Tiberim demergit, Mundum in exilium agit, pœnam grauiorem ob amoris uim clementia moderatus. Hæc Romæ acta sunt.

Samaritana seditio. Samariæ uerò tumultus hac de causa extitit. Quidam Samaritanos Garizinium montem sanctitatis opinione celeberrimum secum conscendere iussit, nam ibi se eis sacra uasa à Mose defossa, ostensurum esse. Qui cum armati

Pilatus Romam mittitur. conuenissent, Pilatus exercitu misso, alios occidit, alios in fugam uertit, & captiuorum præcipuos interfecit. Samaritani uerò Vitellium Syriæ prætorem conueniunt, Pilatum ob popularium suorum cædem accusantes. Is Marcello Iudæis præposito, Romam ire Pilatum iubet, ad causam apud Cæsarem dicendam. Abit ille, cum decennium Iudæis præfuisset. Sed antequam Romæ appropinquaret, Tiberius

Vitellij liberalitas erga Iudæos. iam obierat. Vitellius uerò in festo Paschatis Hierosolymis magnificè exceptus, uectigalia frugum Hierosolymitanis remisit, et stolam pontificis in templo reponi, ac penes sacerdotes esse, ut olim, passus est, cum ea tempestate in Antonia seruaretur. Nam primus Hyrcanus pontifex proxime templum ædificauit turrim, in qua uitam egit, stolamq́ Pontificiam, ut quę ad se ex officio pertineret, asseruauit. Idem etiã eius successores imitati sunt. Sed Herodes turrim illam magnificentius adornatam, de Antonij amici nomine appellauit: & stolã ibi repertam, in ea detinuit. Idem Archelaus fecit. Idem Romani illum secuti de stola statuerunt, quæ illic sub sigillis sacerdotum & gazæ custodum reponebatur. Eam igitur, cum in festiuitatibus pontifici restitueret, & post unũ festi diẽ ibidẽ reponeret, Vitellius populo cõcessit. Iosepho uerò, q & Caiaphas, põtificatũ adẽptũ Ionathę dedit, põtificis Annę filio. Idẽ iussu Tiberij cũ Arta-

ἐλθὼν, καὶ ἰδίᾳ αὐτῇ ἐντυχὼν, ἔλεγεν ἄρτι πεμφθῆναι ὑπὸ τοῦ Ἀνούβιδος, κελεύοντος τοῦ θεοῦ πρὸς αὐτὸν ἄγειν, αὐτῆς ἐρῶντα. τῇ δὲ ὁ λόγος ἔδοξεν εὐκταιότατος, εἰ ἐρῷτο ὑπὸ θεοῦ, καὶ τῷ ἀνδρὶ κοινοῦται τὴν ἀγγελίαν, κἀκεῖνος συγχωρεῖ, τὴν σωφροσύνην γινώσκων τῆς γυναικός. ἀπῆλθεν οὖν εἰς τὸ τέμενος, καὶ ὡς ὕπνου καιρὸς ἦν, ἔνδον ἐν τῷ σηκῷ τῇ γυναικὶ καθεύδειν ἡτοίμαστο, καὶ τὰ λύχνα κατέσβεστο. ὁ γοῦν Μοῦνδος (προεκέκρυπτο γὰρ ἐκεῖ) παννύχιον ἐνεφορεῖτο αὐτῆς, ὡς Ἄνουβις αὐτῇ προσφοιτώμενος. εἶτα ὁ μὲν ἀπῆλθεν. ἡ δὲ πρὸς τὸν ἄνδρα φοιτήσασα, διηγεῖτο αὐτῷ τὴν ἐπιφάνειαν τοῦ Ἀνούβιδος, καὶ πρὸς τὰς συνήθεις ἐφιλαμπρύνετο, ὡς ὁμιλίας ἀξιωθεῖσα θεοῦ. τρίτῃ δὲ μετὰ τὴν πρᾶξιν ἡμέρᾳ, συναντήσας ὁ Μοῦνδος αὐτῇ· Παυλῖνα, φησί, καὶ τὰς εἴκοσι μυριάδας ἔχω, καὶ σύ μοι τούτων διηκονήσω χωρίς. ἃ δὲ πρὸς Μοῦνδον ἐξύβριζες, τούτων οὐδέν μοι προσῆπτο, Ἄνουβιν ὄνομα θεμένῳ αὐτῷ. ἐκ τούτων εἰς ἔννοιαν ἐλθοῦσα τοῦ τολμήματος ἡ γυνὴ, περιρρήγνυται τὴν στολὴν, καὶ τῷ ἀνδρὶ ἐδήλου τὸ ἐπιβούλευμα. ὁ δὲ Τιβερίῳ προσῆλθε. καὶ ὁ αὐτοκράτωρ ἐξετάσας τὸ γεγονὸς, τοὺς μὲν ἱερεῖς ἀνεσταύρωσε, καὶ τὴν Ἴδην, τόν τε ναὸν καθεῖλε, καὶ τὸ τῆς Ἴσιδος ἄγαλμα εἰς τὸν Θύβριν ποταμὸν κατεπόντισε, τὸν δὲ Μοῦνδον φυγῇ ἐζημίωσε, συγγνοὺς μὲν τάχα αὐτῷ, ὥς τι μὴ μεῖζον κολασθῆναι διὰ τὴν βίαν τοῦ ἔρωτος. ἀλλὰ ταῦτα μὲν ἐν τῇ Ῥώμῃ ἐπέπρακτο. ἐν δὲ Σαμαρείᾳ συμβέβηκε θόρυβος· ἀνὴρ γάρ τις ἐκέλευε τοὺς Σαμαρεῖς ἐπὶ τὸ Γαρίζιν ὄρος αὐτῷ συνελθεῖν (ἁγιώτατον δὲ τοῦτ' αὐτοῖς ὑπείληπται τῶν ὀρῶν) καὶ ἀφικομένοις ἐπηγγέλλετο ἱερὰ σκεύη ἐμφανίσαι, κατορωρυγμένα ἐκεῖ ὑπὸ Μωυσέος. οἱ δὲ ἠθροίζοντο, καὶ ἐν ὅπλοις ἦσαν. Πιλᾶτος δὲ στρατιώτας πέμψας, τοὺς μὲν ἔκτεινε, τοὺς δὲ ἐτρέψατο εἰς φυγὴν, καὶ τῶν ζωγρηθέντων τοὺς κορυφαίους διέφθειρεν. οἱ δὲ Σαμαρεῖς πρὸς Οὐιτέλλιον ἦλθον Συρίας ἡγεμονεύοντα, Πιλάτου κατηγοροῦντες ἐπὶ τῇ τῶν ὁμοφύλων σφαγῇ. καὶ Οὐιτέλλιος Μάρκελλον πέμψας τῶν Ἰουδαίων προστησόμενον, ἐπὶ Ῥώμην ἀπιέναι τὸν Πιλᾶτον ἐκέλευεν ἐπὶ τοῦ αὐτοκράτορος ἀπολογησόμενον, ἐφ' οἷς ἐγκαλοῖτο. καὶ ὁ μὲν ἀπῄει ἐπὶ δέκα ἔτεσιν ἡγεμονεύσας τῆς Ἰουδαίας. πρὶν δὲ τῇ Ῥώμῃ ἐγγίσαι αὐτὸν, ἔφθη Τιβέριος μεταστάς. Οὐιτέλλιος δὲ εἰς Ἱεροσόλυμα ἐλθὼν τῆς τοῦ πάσχα ἑορτῆς τελουμένης, ὑπεδέχθη μεγαλοπρεπῶς, καὶ τὰ τέλη τῶν γεωργουμένων καρπῶν τοῖς Ἱεροσολυμίταις ἀνίησι, καὶ τὴν στολὴν τοῦ ἀρχιερέως εἰς τὸ ἱερὸν συνεχώρησε κεῖσθαι, καὶ παρὰ τοῖς ἱερεῦσιν εἶναι, καθάπερ καὶ πρότερον. τότε δὲ ἐν τῇ Ἀντωνίᾳ ἀπέκειτο. τῶν γὰρ ἀρχιερέων τις ὁ πρῶτος διαλαβὼν Ὑρκανὸς, ἔγγιστα τοῦ ἱεροῦ βᾶριν ἐγείρας, καὶ ἐν αὐτῇ διαιτώμενος, ἐκεῖ καὶ τὴν στολὴν τῆς ἀρχιερατικῆς εἶχεν, αὐτῷ ἀνήκουσαν ὡς ἀρχιερεῖ. τὰ αὐτὰ δὲ ἐποίουν καὶ οἱ μετ' ἐκεῖνον ἐπειδὴ διαδεξάμενοι. Ἡρώδης δὲ τὴν βᾶριν ἐκείνην ἐπικατασκευάσας ἐπὶ τὸ πολυτελέστερον, φίλου ὄντος αὐτῷ Ἀντωνίου, ἐπὶ τῷ ἐκείνου ταύτην ὀνόματι μετωνόμασε. καὶ τὴν στολὴν ἐν αὐτῇ εὑρηκὼς, κατεῖχεν ἐκεῖ. τοῦτο δ' ἐποίει καὶ ὁ Ἀρχέλαος, καὶ μετ' ἐκεῖνον οἱ Ῥωμαῖοι τὰ αὐτὰ περὶ τῆς στολῆς ἔπραττον, ἀπέκειτο μὲν ἐκεῖ ὑπὸ σφραγῖσι τῶν ἱερέων καὶ τῶν γαζοφυλάκων. ἑορτῆς δ' ἐφισταμένης ἐπεδίδοτο τοῖς ἀρχιερεῦσιν ὑπὸ τοῦ φρουράρχου, καὶ μετὰ μίαν τῆς ἑορτῆς ἡμέραν αὖθις ἐν τῷ ἀπετίθετο. Οὐιτέλλιος δὲ παρακεχώρηκε τὴν στολὴν ἐπὶ ἔθνει. τὸν δὲ ἀρχιερέα Ἰώσηπον, τὸν καὶ Καϊάφαν, ἀφῃρηκὼς τῆς ἱερωσύνης, Ἰωνάθῃ δίδωσι ταύτην, τῷ Ἀνάνου τοῦ ἀρχιερέως υἱῷ. κατ' ἐντολὰς δὲ Τιβερίου σπένδεται Οὐιτέλλιος

ἀρταβάνῳ

ἵνα ὁ [illegible] τε αὐτῇ συγγένηται, ἀπομιμούμενος θεόν.

ὅπως τὸ κατὰ τῆς Παυλίνας σκέμμα ἐξετάσας Τιβέριος καὶ ἱερεῖς τοὺς τολμήσαντας ἀνεσταύρωσε.

περὶ τῆς βάρεως τῆς μετονομασθείσης Ἀντωνίας.

ἀρταβάνῳ τῷ πάρθων βασιλεῖ, πέμψαντι τὸν υἱὸν δαρεῖον μετὰ δώρων πολλῶν ὁμηρεύσοντα. ἦν δὲ ἐν ταῖς συνόδοις καὶ ὁ τετράρχης ἡρώδης, ἐκπέμπει πρὸς καίσαρα τὰ πραχθέντα, γράψας τὰ γεγονότα. ἅτε τοῦ οὐιτελλίου πρὸς τοῦτο ἀποστείλαντος τιβερίῳ, ἐκεῖνος ἀντέγραψε, μαθὼν πάντα παρὰ ἡρώδου. ὥστε εἰς ὀργὴν τὸν οὐιτέλλιον κατὰ τοῦ ἡρώδου κεκινήκει. ἐβυσσοδόμευε δὲ τὸν θυμὸν, καὶ μετῆλθεν αὐτὸν γαΐου κρατήσαντος. τότε καὶ φίλιππος ἡρώδου ὄντα ὢν ἀδελφὸς τετελεύτηκεν, ἀποθανὼν εἰκοστῷ τῆς τιβερίου ἀρχῆς, ἄρξας ἑπτὰ καὶ τριάκοντα ἔτη. ἦν δὲ τὸν τρόπον ἐπιεικὴς, καὶ μέτριος τοῖς ἀρχομένοις, προόδους σὺν ὀλίγοις τῶν ἐκκρίτων ποιούμενος. καὶ εἴ τις περὶ ὁδὸν προσέτυχε δεόμενος βοηθείας, οὐδὲν αὐτῷ κατὰ τὸν τόπον τὸν θρόνον τιθεμένου (ἅπαντα γὰρ οἱ αὐτὸν φέροντες) καθήμενος ἠκροᾶτο, καὶ ἐτιμωρεῖτο τοὺς ἀδικοῦντας, καὶ τοὺς ἀδίκως αἰτιωμένους ἀπέλυε. τὴν δ' ἀρχὴν ὁ τιβέριος (παῖδας γὰρ φιλίππῳ οὐκ ἦσαν) τῇ τῆς συρίας ἐπαρχίᾳ προσέθετο. ἡρώδης δὲ τετράρχης ἐπὶ ῥώμην στελλόμενος, κατέλυσεν ἐν ἡρώδου τοῦ ἀδελφοῦ αὐτοῦ, ὃν ἐκ τῆς σίμωνος τοῦ ἀρχιερέως θυγατρὸς τῷ βασιλεῖ ἡρώδῃ ἐγεγόνει. ἐρασθεὶς δὲ ἡρωδιάδος τῆς τοῦ ἀδελφοῦ γυναικὸς, θυγατρὸς ἀριστοβούλου τοῦ ἀδελφοῦ αὐτῶν, ἀδελφῆς δὲ τοῦ μεγάλου ἀγρίππα, λόγους περὶ γάμου πρὸς αὐτὴν ἐποιήσατο. καὶ δεξαμένη, συνέθετο μετοικίσασθαι πρὸς αὐτὸν, εἰ τὴν ἀρέτα θυγατέρα ἐκβάλοι. καὶ ὁ μὲν ἐπὶ ῥώμην ἔπλει ἐπὶ τοιαύταις συνθήκαις. ὡς δὲ ἐπανῆλθε, γνοῦσα ἡ γυνὴ αὐτοῦ, ἡ δὲ ἀρέτα θυγάτηρ, τὰς πρὸς ἡρωδιάδα συνθήκας, ἀξιοῖ πρὸς μαχαιροῦντα πεμφθῆναι τὸ φρούριον (μεθόριον δ' ἦν τῆς τε ἀρέτα καὶ τῆς ἡρώδου ἀρχῆς) καὶ ὁ ἡρώδης διέπεμψε, μὴ γινώσκων ὅτι δὴ αὐτῇ τὸ βουλόμενον. ἡ δὲ ἐκεῖθεν πρὸς ἀρέταν ἀφικνεῖτο πρὸς τὸν πατέρα διαράμενη, καὶ τὴν ἡρώδου διηγεῖτο γνώμην περὶ αὐτῆς. κἀκεῖνος ἔχων ταῦτα ἔχθρας ὑπόθεσιν, καὶ μάχης μέσον ἀμφοῖν συγκαλεσάντων διὰ στρατηγῶν, καὶ οἱ ἡρώδου ἡττήθησαν, καὶ ἅπαν τὸ ἐκείνου στράτευμα πέπτωκε. ταῦτα διὰ γραφῆς ἡρώδης μηνύει τῷ τιβερίῳ. ὁ δὲ γράφει πρὸς οὐιτέλλιον, πόλεμον πρὸς ἀρέταν ποιήσασθαι, καὶ ἢ ζωγρηθέντα δέσμιον ἀναπέμψαι εἰς ῥώμην, ἢ ἀνῃρημένου πέμψαι τὴν κεφαλήν. τισὶ δὲ ὑπὸ θεοῦ τῆς ἡρώδου στρατιᾶς ὀλέθρου ἐδόκει, δίκας τιννύντος διὰ τὸν φόνον τοῦ προφήτου καὶ βαπτιστοῦ ἰωάννου. ταῦτα γὰρ καὶ περὶ τούτου κατὰ λέξιν ὁ ἰώσηπος ἔγραψε. κτείνει γὰρ τοῦτον ἡρώδης ἀγαθὸν ἄνδρα, καὶ τοῖς ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπασκοῦντας, καὶ τὰ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ τὰ πρὸς θεὸν εὐσεβείᾳ χρωμένους βαπτισμῷ συνιέναι· οὕτω γὰρ καὶ τὴν βάπτισιν αὐτῷ φανεῖσθαι ἀποδεκτήν. δείσας δὲ ἡρώδης τὸ ἐπὶ τοσοῦτον πιθανὸν αὐτοῦ τοῖς ἀνθρώποις μὴ ἐπὶ στάσει φέροι τινί (πάντα γὰρ ἐῴκεσαν συμβουλῇ τῇ ἐκείνου πράξοντες) πολὺ κρεῖττον ἡγεῖται, πρίν τι νεώτερον ἐξ αὐτοῦ γενέσθαι, προλαβὼν ἀνελεῖν, τὸ μεταβολῆς γενομένης μὴ εἰς πράγματα ἐμπεσὼν μετανοεῖν. καὶ ὁ μὲν ὑποψίᾳ τῇ ἡρώδου δέσμιος εἰς μαχαιροῦντα πεμφθεὶς, ταύτῃ κτίννυται. τοῖς δὲ ἰουδαίοις δόξαν ἐπὶ τιμωρίᾳ τῇ ἐκείνου τὸν ὄλεθρον τοῦ στρατοῦ γενέσθαι, τοῦ θεοῦ κακῶσαι ἡρώδην θέλοντος. οὐιτέλλιος δὲ πρὸς ἀρέταν πολεμήσων ἠπείγετο. ὡρμημένῳ δὲ διὰ τῆς ἰουδαίων διέρχεσθαι, παρῃτοῦντο οἱ πρῶτοι αὐτῶν τὴν διὰ τῆς χώρας ὁδόν· οὐ γὰρ πάτριον εἶναι αὐτοῖς, εἰκόνας φέρεσθαι διὰ τῆς χώρας αὐτῶν, πολλὰς δ' ἐπικεῖσθαι ταῖς σημαίαις εἰκόνας. πεισθεὶς οὖν, διὰ τοῦ μεγάλου πεδίου διεβίβαζε τὸ στρατόπεδον. αὐτὸς δὲ μετὰ ἡρώδου εἰς ἱεροσόλυμα ἀνῄει,

[illegible Greek marginal notes]

Artabano Parthorum rege pacem fecit, qui Darium filium cum multis muneribus obsidem miserat. Ei pacificationi Herodes quoq; tetrarcha interfuit, ac ad Cæsarem quæ acta essent scripsit. Quæ cum post Vitellius quoq; per literas exposuisset, Cæsar ei rescripsit, se ex Herode cognouisse omnia. Ea re Vitellius contra Herodē iritatus, clàm iram aluit, eumq; Caio demū imperante ultus est. Tunc Philippus quoq;, huius Herodis frater, diem suū obijt, uigesimo imperij Tiberij anno, cum annis XXXVII rerum potitus esset: uir quieti ingenij, moderatus erga subditos, cum paucis delectis in publicum prodire solitus. Quód si quis inter eundū opē eius implorasset, statim eo ipso in loco sella posita (nā qui eam ferrent, sequebantur) audiebat, iniurios pœnis afficiebat, iniquis criminib. circūuentos absoluebat. Ditionē eius, quia liberis orbus decesserat, Tiberius prouinciæ Syriæ adiecit. Herodes uerò tetrarcha Romam proficiscens, apud Herodē fratrē, ex Simonis pontificis filia Herodi regi natū, diuertit: ac amore captus est Herodiadis, quam frater in matrimonio habebat, Aristobulo fratre ipsorum natam, magni Agrippæ sororem, ac de coniugio mulierem appellauit. Illa uerò se ad illū transiturā pollicita est, si Aretæ filiā repudiasset. Ea pactione inita, Romā ille proficiscitur: unde cum redijsset, uxor eius Aretæ filia, re illa comperta, se Machærunte (id castellū fuit in cōfinio ditionis Herodis & Aretæ) mitti petijt. Annuit Herodes, ignarus quid cōsilij mulier cępisset. Illa uerò inde in Arabiā ad patrē properauit, eiq; quid Herodes de se animo agitaret, exposuit. Vnde Aretas inimicitiarū occasionē arripuit. pugna per utriusq; duces cōmissa, Herodiani uicti sunt, & omnis eius exercitus cæsus. Quę cū Herodes Tiberio p literas significasset, ille Vitellio scribit, ut Aretæ bellū inferat, & aut uiuētē in uinculis, aut interfecti caput Romam mittat. Quidā credidere, Herodis exercitū ira numinis interijsse, ob cædē prophetæ & baptistæ Ioannis. de quo Iosephus his uerbis scribit: Hūc Herodes interfecit, uirū bonū, qui Iudęos uirtutē colere, atq; inter sese iustitiæ & religioni erga Deū dare operā iussit, ac sic ad baptismū accedere, tū demū futurū acceptū. Herodes aūt ueritus, ne tāta eius in uulgus autoritas ad seditionē spectaret, quòd nihil nō eo mādāte facturū uideretur: cōsultius esse duxit, eū antequā res nouas moliretur, é medio tollere, ne sese mutatione facta negocijs & molestijs cōflictātē tarditatis suæ pœniteret. Sic ex Herodis suspicione Machærunte missus Ioānes, occiditur. Iudæi uerò credidere, in ultionē necis eius, exercitū perijsse, Deo in Herodē animaduertēte. Cęterūm Vitellius bellū Aretæ illaturus, cū Iudęā pertrāsire uellet: à Iudæorū proceribus, ne per eā iret, quòd in uexillis multas haberet imagines, quas per suā regionem ferri patria lege nefas esset, exoratus, copias per magnam planiciem traduxit. ipse cum Herode Hierosolyma ascendit,

Artabanus Parthorū rex filium Darium Tiberio dat obsidem.

Philippi Tetrarchę obitus.

Herodias Herodi nubit.

Aretas Herodis exercitū cædit.

Ioannes Baptista.

ut sacrificaret Deo. ibique triduo exacto, Ionatham pontificatu mouet, & fratrem eius Theophilum in eo collocat. Quarto uerò die literis de obitu Tiberij acceptis, populo iureiurando adacto ut Caio faueret, exercitum reuocauit. Ferunt Aretam quoque consultis augurijs dixisse, nō posse exercitum illum bellum gerere. Breui enim moriturum esse ducem, uel qui iussisset, uel qui iussus esset, uel eum cōtra quem iussa esset expeditio. Ac Vitellius Antiochiam recessit. Agrippa uerò Aristobuli filius, moriente Tiberio, Romæ uixit. Vbi cum paulo ante obitum magni Herodis aui sui educaretur, in familiaritatem Drusi, Tiberij filij, atque Antoniæ Drusi maioris uxoris noticiam peruenerat, ob honorem matris suæ Berenices. Et quia magnificus atque munificentissimus erat, defuncta matre, pecunia partim in semetipsum (nam sumptuosè uiuebat) partim in donationes, maiori tamen ex parte in Cæsaris libertos insumpta, celeriter ad egestatem est redactus. Tiberius uerò, Tiberio filio mortuo, edixit, ne pueri familiares in cōspectum suum uenirent, ne per illos renouata defuncti memoria, luctus suus redintegraretur. Agrippa igitur cùm ea de causa, tum ob pecuniæ inopiam afflictus in Iudæam rediit. & cum à multis creditoribus æs alienum repetentibus, nūmis omnino destitutus urgeretur; de manib. sibi ipsi afferendis cogitauit. Id eius cōsilium uxor Cyprus animaduertit, Phasaeli filia, Herodis regis ex fratre nepotis nata, ex Salampsione Herodis filia, quam ex Mariamme ab ipso, ut expositum est, occisa susceperat. Hæc igitur Cyprus mariti conatu inhibito, Herodiadi Herodi tetrarchæ nuptæ, Agrippæ sorori, fratris institutum nunciat, petens ut adiuuet, maritumque ad opem ferendam exhortetur. Illi uerò ei Tiberiadem habitandam tradiderunt, assignata etiam pecunia unde uiueret. Aliquanto pòst Agrippa controuersia inter ipsum & Herodem orta, ad Flaccum Syriæ prætorem migrat, à quo ob familiaritatem Romæ contractam amicè est susceptus. Sed per fratris Aristobuli, à quo dissidebat, calumnias Flacci inimicitijs susceptis, inde eiectus, & ad extremam inopiam redactus, in Italiam nauigare statuit, ac Marsyam libertum alicunde mutuam sumere pecuniam iussit. Is Petrum Berenices Agrippæ matris libertum adit, à quo Agrippa syngrapha data de XX millibus Atticarum drachmarum, bis mille & D minus acceptis, nauigaturus, ab Herennio Capitone Iamneæ procuratore manere iubetur, dum CCC millia argenti, quæ Cæsari deberet, solueret. Ille se obtemperaturum simulans, noctu soluit: & Alexandriam profectus, ab Alexandro Alabarcho CC millia mutuò petit. Qui illo repudiato, eam pecuniam Cypro eius uxori cùm propter coniugalem amorem, tum ob cæteras eius uirtutes dedit. Qua accepta, Agrippa in Italiam profectus, Cypro

Aretæ augurium.

Agrippæ nepotis Herodis historia.

Cyprus Agrippæ uxor.

θύσων τῷ θεῷ. καὶ τρεῖς αὐτοῦ μείνας ἡμέρας ἐκεῖ, Ἰωνάθην μὲν τῆς ἀρχιερωσύνης μεθίστησι, τὸν δὲ ἀδελφὸν αὐτοῦ Θεόφιλον ἐγκαθίστησιν εἰς αὐτήν. τῇ τετάρτῃ δὲ γραμμάτων αὐτῷ κομισθέντων περὶ τῆς Τιβερίου τελευτῆς, ὥρκισε τὸ πλῆθος εὐνοεῖν τῷ Γαΐῳ, ἀνεκάλει δὲ καὶ τὸ στράτευμα. λέγεται δὲ καὶ τὸν Ἀρέταν οἰωνοσκοπησάμενον φάναι, ἀμήχανον εἶναι τῷ στρατῷ πολεμῆσαι. τεθνήξεσθαι γὰρ τὸν ἡγεμόνα ἢ τὸν κελεύσαντα πολεμεῖν, ἢ τὸν κελευσθέντα, ἢ καθ' οὗ τὸ κέλευσμα γέγονε. καὶ Οὐιτέλλιος μὲν εἰς Ἀντιόχειαν ἀνεχώρησεν, Ἀγρίππας δὲ ὁ Ἀριστοβούλου υἱὸς ἐν Ῥώμῃ ἐτύγχανεν ὤν, τοῦ Τιβερίου θνήσκοντος. ἔτος γὰρ πρὸ μικροῦ τῆς Ἡρῴδου τοῦ μεγάλου τοῦ πάππου αὐτοῦ τελευτῆς ἐν τῇ Ῥώμῃ τρεφόμενος, συνήθης ἐγένετο Δρούσῳ τῷ Τιβερίου υἱῷ, καὶ Ἀντωνίᾳ τῇ Δρούσου τοῦ μεγάλου γυναικὶ γνωστὸς γέγονε, Βερενίκης τῆς αὐτοῦ μητρὸς τιμωμένης παρ' αὐτῇ. μεγαλοπρεπὴς δὲ ὢν Ἀγρίππας, καὶ δωρεῖσθαι πολυτελής, τῆς μητρὸς αὐτοῦ θανούσης, τὰ μὲν τῶν χρημάτων εἰς ἑαυτὸν ἀνάλωσε, πολυτελῶς διαιτώμενος, τὰ δ' εἰς δωρεάς, τὰ πλείω δ' εἰς τοὺς ἀπελευθέρους τοῦ Καίσαρος, καὶ ταχὺ ἐν ἐνδείᾳ ἐγένετο. θανόντος δὲ τοῦ υἱοῦ Τιβερίου, ἀπείρηκεν εἰς ὄψιν αὐτοῦ φοιτᾶν τοὺς συνήθεις τοὺς τοῦ παιδός, ἵνα μὴ δι' αὐτῶν εἰς ἀνάμνησιν ἐκείνου ἰὼν, ὁ λύπην ἐρεθίζηται. διά τε γοῦν τοῦτο, καὶ ὅτι χρημάτων ἀπόρησεν, εἰς Ἰουδαίαν κακοπραγῶν ἐπανῆλθεν. ἐκπιέσας δὲ καὶ τοῖς δανεισταῖς τὰς ὀφειλὰς βιαζόμενος, πολλοῖς οὖσι, καὶ μὴ ἔχων, εἰς ἔννοιαν ἦλθεν αὐτοχειρίας. συνῆκε δὲ τὸ φρόνημα ἡ γυνὴ αὐτοῦ Κύπρος, ἣ θυγάτηρ ἦν Φασαήλου, τοῦ ἀδελφόπαιδος τοῦ βασιλέως Ἡρῴδου, ἐκ Σαλαμψοῦς αὐτῷ γεννηθεῖσα, τῆς Ἡρῴδου θυγατρός, ἣν ἔσχεν ἐκ Μαριάμμης τῆς ὑπ' ἐκείνου ἀνῃρημένης, ὡς δεδήλωται. αὕτη γοῦν ἡ Κύπρος συνοικοῦσα τῷ Ἀγρίππᾳ, καὶ αἰσθομένη τὸ βούλευμα, ἐπέσχε τοῦτον αὐτοῦ. διαπέμπεται δὲ πρὸς Ἡρῳδιάδα τὴν τῷ τετράρχῃ συνοικοῦσαν Ἡρῴδῃ, Ἀγρίππα τυγχάνουσαν ἀδελφήν, δηλοῦσα τὴν ἔννοιαν τοῦ συγγόνου, καὶ βοηθεῖν ἀξιοῦσα, καὶ τὸν οἰκεῖον ἄνδρα πρὸς συμμαχίαν παρακαλεῖν. οἱ δὲ μετεπέμψαντό τε αὐτόν, καὶ οἰκητήριον τὴν Τιβεριάδα δεδώκασι, καί τι καὶ ἀργύριον ἐπέταξαν αὐτῷ εἰς τὴν δίαιταν. μετὰ καιρὸν δὲ διαφορᾶς γενομένης Ἡρῴδῃ τε καὶ Ἀγρίππᾳ, πρὸς Φλάκκον Συρίας ἡγούμενον ὁ Ἀγρίππας μεθίσταται, φιλίως ἐκ Ῥώμης πρὸς αὐτὸν διακείμενον, κἀκεῖ διέτριβε δεξαμένου τοῦ Φλάκκου. ἦν δὲ ἐκεῖ καὶ ὁ Ἀγρίππα ἀδελφὸς Ἀριστόβουλος, διαφερόμενός τε τῷ ἀδελφῷ, διαβαλὼν αὐτὸν πρὸς Φλάκκον ἐξεπολέμωσε, καὶ ἐξωθεῖται ἐκεῖθεν Ἀγρίππας. ὁ δὲ εἰς ἐσχάτην πενίας ἀπορίαν, εἰς Ἰταλίαν ἐκπλεῖν ἐβούλετο, καὶ ἀξιοῖ Μαρσύαν αὐτοῦ ἀπελεύθερον χρήματά οἱ πορίσαι ποθὲν δανεισάμενον. ἐκεῖνος δὲ Πέτρῳ προσεισιν ἀπελευθέρῳ Βερενίκης τῆς Ἀγρίππα μητρός, καὶ ὁ Πέτρος συμβόλαιον ἔλεγε ποιησάμενον δύο μυριάδων Ἀτθίδων λαβεῖν τὰς μυριάδας, πεντακοσίας καὶ δισχιλίας ἐλαττωμένας. καὶ ὁ Ἀγρίππας συνέθετο, καὶ λαβὼν τὸ δάνεισμα ἐκπλεῖν ἔμελλεν. Ἐρέννιος δὲ Καπίτων Ἰαμνείας ἐπίτροπος, τριάκοντα μυριάδας ἀργυρίου ὀφειλομένας τῷ Καίσαρι ἐπράττετο ἀπ' αὐτοῦ, καὶ δι[illegible] μένειν ἐκέλευεν. Ἀγρίππας δὲ προσποιησάμενος πείθεσθαι, νυκτὸς ᾤχετο, καὶ καταπλεύσας εἰς Ἀλεξάνδρειαν, Ἀλεξάνδρου δεῖται τοῦ Ἀλαβάρχου, μυριάδας εἴκοσι δάνειον αὐτῷ παρασχεῖν. ὁ δ' ἐκείνῳ μὲν οὐκ [illegible] παρασχεῖν, Κύπρῳ δὲ τῇ αὐτοῦ γυναικὶ παρέσχε, διά τε τὴν φιλανδρίαν αὐτῆς, καὶ τὴν λοιπὴν ἀρετήν. δεξαμένης δὲ τὸ δάνειον ἐκείνης, ὁ μὲν Ἀγρίππας εἰς Ἰταλίαν ἀπέπλευσε, Κύπρος

περὶ [illegible] ... Ἀρέτα(?) [illegible]

περὶ Ἀγρίππα, [illegible] ἡρῴδου(?) [illegible] ἀδελφῆς(?).

Κύπρος δὲ μετὰ τῶν τέκνων εἰς Ἰουδαίαν ἀνέζευξε. καὶ Καίσαρι Τιβερίῳ προσελθὼν, φιλανθρώπως ἐδέχθη. γραφῆς δὲ τοῦ Καπίτωνος Ἑρεννίου κομισθείσης τῷ Καίσαρι, ὡς ἀποδρᾷ Ἀγρίππας, τριάκοντα μυριάδας πραττόμενος δάνειον, ὀργισθεὶς καὶ μὴ συγχωρεῖσθαι αὐτῷ τὴν πρὸς αὐτὸν ἐκέλευσεν εἴσοδον, ἄχρι δὴ τὸ χρέος καταβάλοι. ὁ δὲ δανεισάμενος, ἀποδοὺς τὸ ὀφείλημα, καὶ αὖθις εἰσῄει πρὸς τὸν Τιβέριον. καὶ ὁ Καῖσαρ ἐκέλευσεν αὐτὸν τῷ υἱωνῷ αὐτοῦ παρατυγχάνειν, καὶ θεραπεύειν αὐτόν. Ἀγρίππας δὲ πρὸς Γάιον μᾶλλον ἀπένευσεν, Ἀντωνίας τυγχάνοντα υἱωνόν, τῆς Γερμανικοῦ μητρὸς, καὶ Κλαυδίου, τοῦ μετὰ Γάιον μοναρχήσαντος. τοῦτον θεραπεύων, πεφίλητο ὑπ' αὐτοῦ. καί ποτε συμπνέουσιν ἀμφοῖν περὶ Τιβερίου λόγος ἐγένετο. καὶ ὁ Ἀγρίππας θεοκλυτῶν, τάχος ὑπεξελθεῖν Τιβέριον τῆς ἀρχῆς Γαΐῳ ἐπηύχετο. Εὔτυχος δὲ ἀπελεύθερος Ἀγρίππου τῶν λόγων ἀκροασάμενος, Καίσαρι πρόσεισιν, ὡς δή τι λέξων αὐτῷ σωτήριον. ὁ δὲ βραδὺς εἰς πάντα γενόμενος, καὶ τῶν ὑπὲρ αὐτοῦ τι προσαγγελλόντων κατεφρόνει. ὅτι γὰρ πρέσβεσι τάχιστα ἐχρημάτιζε, λέγων, ἵνα μὴ ἐπανιόντων συντόμως, προσίοιεν ἕτεροι, καὶ ὄχλος αὐτῷ γίνοιτο. ὅτι μὴν ἡγεμόσι καὶ ἐπιτρόποις τῶν ὑπ' αὐτοῦ σταλεῖσι διαδόχους ἀντικαθίστα, εἰ μὴ φθάσαιεν τελευτήσαντες. αἴτιον δὲ ποιῶν ἔφασκε προμηθείᾳ τῶν ὑπηκόων, ἵνα αὐτάρκως τῷ χρόνῳ χρώμενοι κερδῶν, ἀμβλύτεροι πρὸς ἀδικήματα ὦσι. παράδειγμά τε τραυματίου ἐποιεῖτο, οὗ μυῖαι περιεκάθηντο τὰς πληγάς· καί τις οἰκτείρων αὐτὸν, ἀποσοβεῖν αὐτὰς ἐπεχείρει· ἐκτρέψαντος δὲ ἐκείνου, ἤρετο τὴν αἰτίαν ὁ διώκειν τὰς μυίας προθυμούμενος. ὁ δὲ τραυματίας, αὗται μὲν, ἀπεκρίνατο, τοῦ αἵματος ἐμπλησθεῖσαι, οὐ πάνυ μοι δι' ὄχλου εἰσίν· εἰ δ' ἀποσοβηθεῖεν αὗται, ἥξουσι νεαλεῖς, καὶ λιμώττουσαι, μᾶλλον με ὀδυνήσουσι. τῆς δὲ πρὸς ταῦτα βραδυτῆτος τοῦ Τιβερίου καὶ τόδε μαρτύριον, ὅτι δύο καὶ εἴκοσιν αὐτὸς ἔτη τῇ αὐταρχίᾳ γενόμενος, δύο τοῖς Ἰουδαίοις ἐξέπεμψεν ἄρξοντας τοῦ ἔθνους αὐτῶν, Γρᾶτόν τε καὶ Πιλᾶτον. οὕτως οὖν τυγχάνων περὶ ἅπασιν, οὐδὲ τὸν Εὔτυχον ἠξίου ἀκροάσεως. Ἀγρίππας δὲ τὴν Ἀντωνίαν ἱκέτευε, παρασκευάσαι τὸν Καίσαρα, ἀκροάσασθαι τοῦ Εὐτύχου. ἡ δ' Ἀντωνία διὰ τιμῆς ἦν Τιβερίῳ, καὶ ὡς γαμετὴ γενομένη Δρούσου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ διὰ τὸ σῶφρον ὡς μάλιστα. νέα γὰρ χηρεύσασα, τῇ χηρείᾳ παρέμεινε, καὶ γάμον ἀπώσατο δεύτερον, καίπερ τοῦ Αὐτοκράτορος αὐτὴν ἐπιτρέποντος· καὶ οὕτω τὸν βίον διήνυσεν, ὡς καὶ λοιδοριῶν ἀνωτέρα γενέσθαι. διὰ δὲ ταῦτα ὑπὸ Τιβερίου τετίμητο, καὶ ὅτι καὶ εὐεργέτις αὐτῷ γεγονυῖα, ἐπιβουλὴν παρὰ πολλῶν καὶ δεινὰ τῶν συστάσεων μηνύσασα. ὑπὸ ταύτης οὖν ἀξιούμενος ἐξετάσαι τὸν Εὔτυχον, ἔφη, ἴσασιν οἱ θεοὶ Ἀντωνία, ὅτι οὐ κατὰ γνώμην ἐμὴν τὰ πραχθησόμενα ἔσονται, ἐκ δὲ τῆς σῆς παρακλήσεως. καὶ τὸν Εὔτυχον ἀχθῆναι κελεύει, καὶ παραστὰς ἔλεγεν, ὡς Γάιός τε καὶ Ἀγρίππας, ὦ δέσποτα, συνωμίλουν. καὶ Ἀγρίππας ἔφη· εἴθε γὰρ ἀφίκοιτό ποτε ἡμέρα, ᾗ μεταστὰς οὗτος ὁ γέρων, χειροτονήσειέ σε ἡγεμόνα τῆς οἰκουμένης. οὐδὲν γὰρ ἔσται ἡμῖν ἐμποδὼν Τιβέριος ὁ αὐτοῦ υἱωνός, ὑπὸ σοῦ τελευτῶν, καὶ ἥ τε οἰκουμένη γένοιτ' ἂν μακαρία, καὶ πρὸ ταύτης ἐγώ. Τιβερίῳ δὲ οἱ λόγοι ἡγοῦντο ἀληθεῖς· ἅμα δὲ καὶ μῆνιν Ἀγρίππᾳ τηρῶν, ὅτι μὴ τὸν υἱωνὸν αὐτοῦ θεραπεύειν εἵλετο, ὅλος δὲ μετέπεσε πρὸς τὸν Γάιον, ἑνὶ τῶν παρεστηκότων δῆσαι αὐτὸν ἐκέλευσε. καὶ ἤγετο δέσμιος ἐν πορφυρίσιν ὢν ἔτι,

καὶ

Διὰ τί πρεσβέων ὁ προσομιλῶν συχνῶς.

Διὰ τί τοὺς ἐν ἀρχῇ ὁ Τιβέριος, οὐ ταχὺ παραλλάττει τόπων.

Περὶ Ἀντωνίας, καὶ ὅπως ἐτίμα αὐτὴν ὁ Τιβέριος.

Cypro cum suis liberis in Iudæã reuersa, à Cæsare humaniter excipitur. sed Capitonis Herennij literis allatis ut fugam cœpisset, cum CCC milia æris alieni ab eo poscerentur: Cæsar iratus, nõ prius ei aditum ad se permitti iussit, q̃ eam pecuniã numerasset. Qua mutuò sumpta & dissoluta, rursus Tiberij aulam frequentauit. sed à Cæsare se ad suum nepotẽ conferre, eumq́ colere iussus, magis erga Caium propensus fuit, Antoniæ nepotem, Germanici & Claudij, qui post Caiũ imperauit, matris: & obseruantia sua Caij erga se amorem emeruit. Cum autem aliquando inter prodeundum Tiberij mẽtio incidisset, atq; Agrippa Deo inuocato optasset, ut Tiberius Caio q̃primum imperio cederet: Eutychus libertus, ijs Agrippæ uerbis auditis, Cæsarem adijt, ut nunciaturus aliquid quod ad salutem eius pertineret. Ille uerò ut lentus erat in rebus omnibus, eos etiã despiciebat, qui aliquid quod ipsius interesset, nunciabant. Neq; etiam legatis celeriter respondebat, ne eis citò digressis, alij sibi negocium facesserent. Neq; ducib. & procuratoribus à se missis successores dabat, nisi illi decessissent. idq́ se propter subditorũ commodum facere dicebat, ut diuturnitate temporis expleta auaricia, ad iniurias tardiores essent. Ac uulnerati exẽplo utebatur, qui, cũ quidam misericordia motus ei muscas, ictus circumsidentes, abigere uellet, id prohibuerit: causamq́; rogatus dixerit, eas sanguine plenas, nõ adeò sibi molestas esse: quæ si abigantur, uenturas recẽtes & famelicas, grauius afflicturas. Ac tarditatis eius in hoc genere illud argumentum est, quòd annos XXII rerum potitus, in Iudæam duos duntaxat præsides misit, Gratum & Pilatum. Talem igitur in rebus omnibus se præbens, nec Eutychum audire uoluit. Agrippa uerò Antoniam orauit, ut efficeret, ut Eutychus à Cæsare audiretur. Tiberius enim eam cùm ut Drusi fratris coniugem, tum ob pudicitiã multo magis honorabat. Nam cum maritum adolescentula amisisset, uidua mansit, repudiatis secũdis nuptijs, quanquam ad eas hortante Cæsare: itaq; uitam exegit, ut fama de ea mentiri uereretur. Erat igitur in honore apud Tiberium tum ob hæc, tum ob beneficiũ indicatæ multorum potentum conspirationis. Hac rogante ut Eutychum examinaret: Testor Deos, inquit Tiberius, Antonia, ea quæ fient, non ex animi mei sententia futura esse, sed propter preces tuas. ac Eutychũ adduci iubet. Is dixit: Agrippa, ô domine, in colloquio cum Caio dixit, Vtinam tandem ueniat dies, qua senex iste decedens, te principem orbis terrarum designet. Nam Tiberius, eius nepos, impedimento nobis haud fuerit, si à te tollatur. Tum & orbis terrarum floreret, atq; ego in primis. Ea uerba Tiberio uera esse uisa: simul etiam Agrippæ succensebat, q; nepotem ipsius colere noluisset, & totus se ad Caiũ cõtulisset: eũq; à quodã astante uinciri iussit. Sic ille, purpuratus adhuc, uinctus abducit.

s a &

Agrippa ab Eutycho liberto delatus in custodiã datur.

Tiberij tarditas.

Antoniæ elogium.

Bubo Agrippæ & regni & obitus augurium.

& dum ante regiam astat, ad arborem, ubi etiã alij uincti erant, præ animi ægritudine inclinatus: bubo in eam deuolat, quo captiuorũ quidã conspecto, militem Agrippæ custodem rogat, quis ille purpuratus esset? eoq; cognito, cum à concaptiuo milite ut secũ propius ad illũ accederet impetrasset: Adolescens, inquit, nũcio tibi celerem uinculorum liberationẽ, & maximę dignitatis & potentiæ adeptionem. Felicem q; te prædicabunt, qui nũc miserantur: in prosperitate obibis, & opes tuis liberis relinques. Sed cum istã uolucrem denuò uideris, te icito quinque diebus pòst esse moriturũ. Cum aũt, ut nos tibi prędicimus, fortunatus fueris: nostri quoq; rationem habeto, ut calamitatem cum qua nunc cõllictamur, effugiamus. Qui hæc dixerat, tum derisus fuit: pòst admiratione dignus est habitus. Agrippa uerò in uinculis fuit ad mẽses VI.

Tiberius moriens, præterito nepote Tiberio, Caiũ imperij successorẽ designat.

Tiberius inualescẽte morbo debilitatus, Euodum libertum, quem maximi faciebat, liberos ad se adducere iussit, ut eos ante obitũ alloqueretur. Neq; uerò habebat liberos. nam filius eius Drusus obierat: sed nepotẽ ex eo habebat Tiberiũ Gemeliũ, & nepotem ex fratre Caium Germanici filiũ, illius patruelẽ. qui iam adolescens & disciplinis eruditus, à populo & amabatur & colebatur, ob patris uirtutẽ. Cum autẽ Tiberius pueros postridie mane ad se adduci iussisset, atq; in animo haberet, imperiũ nepoti relinquere: id augurium sibi finxit, Deos imperiũ ei tradituros, qui ad se prior accessisset. ac pędagogo nepotis mãdauit, ut puerũ maturius ad se adduceret. Cũ aũt iam diluxisset, Euodũ mittit, ut puerum qui adsit intrò uocet. Is Caiũ ante conclaue inuẽtum, ad Tiberium adducit: qui diuina potentia considerata, nepotem pro perdito deplorat. & quanq; ea se turbatus, tamen Caio ait: Fili, etsi mihi Tiberius genere propior est, ego tamen & meopte iudicio & Deorum suffragio Romanum imperium tibi trado: petoq;, ne eius necessitudinis, qua Tiberio coniũctus es, obliuiscatis, sed eius ut cognati rationẽ
» habeas. Nam diuina prouidentia non inuita ea
» esse patitur, quæ præter ius & æquũ fiunt. Tiberius Caio principatus successore declarato, paucis pòst diebus obijt. Regnauit annos II & XX, menses VII, & dies totidẽ. Caio imperatore designato, Romani præ cupiditate, Tiberij obitũ credere nõ potuerunt, qui patricios Romanos plurimis cladibus affecerat, homo iracundus, et leuissima quæq; delicta capitalibus supplicijs uindicare solitus. Marsyas uerò Agrippę libertus, audita Tiberij morte, ad patronũ accurrit, & Hebraico sermone Leonẽ esse mortuum dixit. Ille uerò, cum gratiã ei se habere diceret, si uera nunciaret: centurio qui Agrippam lætum uideret, suspicatus aliquid accidisse noui, rogat quid nunciatum sit? Is iam uiro familiaris factus, arcanũ detegit. Ille uerò uoluptate cum eo cõmuni fruens, cœnam ei apponit. Dum conuiuant, adest qui dicat, Tiberiũ superstitẽ esse.

Itaq;

καὶ πρὸ τοῦ βασιλείου ἑστὼς, δένδρῳ ὑπ' ἀθυμίας ἐπεκλίθη. ἦσαν δ' ἐκεῖ καὶ ἕτεροι ἐν δεσμοῖς, καὶ ὄρνεον πρὸς τὸ δένδρον ἐκεῖνο κατέπτη (βούβωνα τὸν ὄρνιν Ῥωμαῖοι καλοῦσι) τῶν δεσμωτῶν τις θεασάμενος, ἤρετο τὸν αὐτὸν τηροῦντα στρατιώτην, ὅστις εἴη ὁ ἐν τῇ πορφυρίδι· καὶ μαθὼν, ἠξίωσε τὸν συνδεδεμένον αὐτῷ στρατιώτην πλησίον ἐλθεῖν, καὶ τυχὼν, ὦ νεανία, φησὶν, ἀπαλλαγήν τέ σοι τῶν δεσμῶν ταχίστην εὐαγγελίζομαι, καὶ περιουσίαν τοῦ μεγίστου ἀξιώματος καὶ δυνάμεως, καὶ ὡς ζηλωτὸς ἔσῃ τοῖς ἄρτι οἰκτιζομένοις σε, καὶ ἐν εὐδαιμονίᾳ τελευτήσεις, παισὶ τὸν ὄλβον λιπών. ὅτε δ' αὖθις τὸν ὄρνιν τοῦτον θεάσαιο, ἴσθι σοι τηνικαῦτα μετὰ πέντε ἡμέρας ἐσομένην τὴν τελευτήν. εὐδαιμονήσας μέντοι κατὰ τὴν ἡμετέραν πρόρρησιν, μνήμην ποιοῦ καὶ ἡμῶν, ὡς διαφευξόμεθα τὴν δυστυχίαν, ᾗ τανῦν συνεσμέν. καὶ ὁ μὲν ταῦτα εἰπὼν, τότε μὲν γέλωτα ὦφλεν, ὕστερον δ' ἐφάνη θαύματος ἄξιος. ἦν οὖν ἐν τοῖς δεσμοῖς ὁ Ἀγρίππας ἐπὶ μῆνας ἕξ. Τιβέριος δὲ μαλακιζόμενος, τῇ νόσῳ κρατούμενος, Εὔοδον κελεύσας, ὃς τῶν ἀπελευθέρων ἦν αὐτῷ τιμιώτατος, τὰ τέκνα προσαγαγεῖν αὐτῷ, διαλεξομένῳ σφίσι πρὶν τελευτᾶν. οὐκ ἦσαν δὲ παῖδες αὐτῷ· ὁ γὰρ υἱὸς αὐτοῦ Δροῦσος ἐτύγχανε τεθνηκώς, υἱωνὸς δ' ἐξ ἐκείνου αὐτῷ ἦν Τιβέριος Γέμελλος, καὶ ἀδελφιδοῦς Γάϊος Γερμανικοῦ παῖς, συγγενὴς ὢν αὐτοῦ, νεανίας ἤδη, καὶ παιδείᾳ ἐσχολακώς, καὶ παρὰ τοῦ δήμου φιλούμενος, καὶ τιμώμενος διὰ τὴν τοῦ πατρὸς ἀρετήν. κελεύσας οὖν ὁ Τιβέριος ἕωθεν τοὺς παῖδας εἰσαγαγεῖν ἐς τὴν αὔριον, ὢν δ' αὐτῷ τὸ βουλόμενον, τῷ υἱωνῷ μᾶλλον καταλιπεῖν τὴν ἀρχήν· τέως δ' οὖν οἰώνισμα ἔθετο, ὡς ἐκεῖνον βούλεσθαι τὸ θεῖον παραλαβεῖν τὴν ἀρχὴν, ὃς ἂν πρὸς αὐτὸν ἀφίκοιτο πρότερον. καὶ πέμπει κελεύων τῷ παιδαγωγῷ τοῦ υἱωνοῦ, πρωϊαίτερον ἄγειν τὸν παῖδα. καὶ ἤδη γεγονυίας ἡμέρας, πέμπει τὸν Εὔοδον, εἰσκαλεῖν τὸν ἥξοντα τῶν παίδων. ἐκεῖνος δὲ τὸν Γάϊον πρὸ τοῦ δωματίου καταλαβὼν, εἰσάγει πρὸς Τιβέριον. ὁ δὲ τῆς τοῦ θείου δυνάμεως ἐς ἔννοιαν ἐλθὼν, κατωλοφύρατο ὡς ἐπ' ἀπολωλότι τῷ υἱωνῷ. καίτοι δὲ διὰ τοῦτο τεταραγμένος, φησὶ πρὸς τὸν Γάϊον· ὦ παῖ, εἰ καὶ Τιβέριος συγγενέστερός μοι ἦν ἢ σύ, ἀλλ' αὐτὸς καὶ κατὰ γνώμην ἐμὴν καὶ κατὰ ψῆφον θεῶν σοι τὴν τῶν Ῥωμαίων ἐγχειρίζω ἀρχὴν, καὶ ἀξιῶ μὴ ἀμνημονῆσαι τῆς συγγενείας τῆς πρὸς Τιβέριον,
« κήδεσθαι δὲ τούτου ὡς συγγενοῦς. οὐ γὰρ ἀτιμώρητα τῇ
« θείᾳ προνοίᾳ, ὅσα παρὰ δίκην πράσσοιτο. Τιβέριος μὲν οὖν τὸν Γάϊον ἀποδείξας τῆς ἡγεμονίας διάδοχον, ὀλίγας ἐπιβιοὺς ἡμέρας, θνήσκει, ἄρξας ἔτη ἐν τοῖς δύο καὶ εἴκοσι, μῆνας ἑπτά, καὶ ἡμέρας ἴσας. Γάϊος δ' αὐτοκράτωρ προὐβέβλητο. ἠγγέλθη δὲ Ῥωμαίοις τοῦ Τιβερίου ἡ ἀποβίωσις. οἱ δ' ἠπίστουν τῷ λόγῳ, ὑπὸ τοῦ πάνυ τὸ πρᾶγμα βούλεσθαι. πλεῖστα γὰρ ἐκεῖνος δεινὰ Ῥωμαίων τοὺς εὐπατρίδας εἰργάσατο, δύσοργος ὤν, καὶ θανάτῳ καὶ τὰ κουφότατα τῶν πταισμάτων τιμώμενος. Μαρσύας δὲ τοῦ Ἀγρίππου ἀπελεύθερος, πυθόμενος τοῦ Τιβερίου τὴν τελευτήν, ἔδραμε πρὸς αὐτὸν, καὶ ἑβραΐδι φωνῇ, τέθνηκεν ὁ λέων, φησίν. ὁ δὲ χάριτας ὡμολόγει αὐτῷ, εἰ κατάγγελλοι ἀληθῆ. καὶ ὁ ἑκατόνταρχος ὁρῶν τὸν Ἀγρίππαν ἐν χάρματι, ὑπετόπασέ τι γεγονέναι καινὸν, καὶ ἤρετο τί ἂν εἴη τὸ ἀγγελθέν; καὶ ὁ Ἀγρίππας ἤδη συνήθης γενόμενος τῷ ἀνδρὶ, τὸ ἀπόρρητον ἀνεκάλυψεν. ὁ δὲ ἐκοινοῦτο τῆς ἡδονῆς, καὶ προὐτίθει δεῖπνον· εὐωχουμένων δὲ, ἧκέ τις, περιεῖναι λέγων Τιβέριον.

περὶ ὧν τὴν [illegible]

ὅπως τὸν Γέμελλον διάδοχον ἑαυτοῦ καταλείπει Τιβέριος.

καὶ

καὶ ὁ ἑκατόνταρχος δείσας, ὅτι συνδιαιτᾶτο δεσμώτῃ τοῦ αὐτοκράτορος, ἐκέλευε δῆσαι αὐτὸν, λελυκὼς ὢν δι' ἃ τῇ δ' ὑστεραίᾳ ὁ λόγος τε ἦν πλατὺς περὶ τῆς τελευτῆς τοῦ Τιβερίου, καὶ ἐπιστολαὶ παρὰ Γαΐου ἐπεφοίτων, ἡ μὲν πρὸς τὴν σύγκλητον, τὸν Τιβερίου θάνατον καταγγέλλουσα, καὶ τὴν αὐτοῦ τῆς ἡγεμονίας διαδοχήν· ἡ δὲ πρὸς Πείσωνα, τὸν τῆς πόλεως φύλακα, ἐπιτρέπουσα τὸν Ἀγρίππαν ἐκ τοῦ στρατοπέδου μεταγαγεῖν εἰς τὴν οἰκίαν ἐν ᾗ πρὸ τοῦ δεθῆναι ᾤκει. Γάιος δὲ ἐς Ῥώμην τὸν Τιβερίου νεκρὸν ἀγαγὼν, καὶ θάψας πολυτελῶς, εὐθὺς λῦσαι τὸν Ἀγρίππαν ἐβούλετο. ἡ δ' Ἀντωνία ἐκώλυσεν, οὐ μίσει τοῦ λυθησομένου, φροντίδι δὲ εἰς τὰ τοῦ λύσαντος, ἵνα μὴ δόξῃ τῇ μεταστάσει τοῦ αὐτοκράτορος ἐφηδόμενος, ἐκ τοῦ λῦσαι τὸν ἐκείνου δεσμώτην τάχιστα. ἡμερῶν δὲ τριῶν παρελθουσῶν, μεταπέμπεται τὸν Ἀγρίππαν, κείρει τε τὸ περιττὸν τῆς κόμης, καὶ μεταμφιέννυσιν, εἶτα καὶ τὸ διάδημα περιτίθησι, καὶ βασιλέα τῆς Φιλίππου τετραρχίας καθίστησι, προσθέμενος καὶ τὴν Λυσανίου τετραρχίαν εἰς αὔξησιν, καὶ χρύσεα χαλκείων ἀλλάττει, ἀντὶ τῆς σιδηρᾶς ἁλύσεως μεθ' ἧς ἐδέδετο, χρυσῆν ἰσόσταθμον αὐτῷ παρεσχημένος. τῷ δὲ δευτέρῳ ἐνιαυτῷ τῆς μοναρχίας Γαΐου, ἠξίου Ἀγρίππας ἐπιχωρηθῆναι αὐτῷ, ἀφικέσθαι πρὸς τὰ οἰκεῖα, καὶ αὖθις ἐπανελθεῖν καταστησάμενος, οἰκονομησάμενος τὰ εἰς διοίκησιν τῆς ἀρχῆς. καὶ φήσαντος Γαΐου, ἐξέπλευσεν. Ἡρωδιὰς δὲ ἡ αὐτοῦ ἀδελφὴ ἐφθόνει τῆς δυναστείας τῷ ἀδελφῷ, καὶ μάλιστα ὁπότε μετὰ τῶν τῆς βασιλείας παρασήμων ἑώρα αὐτὸν τῷ πλήθει χρηματίζοντα. ἐξηρέθιζέ τε τὸν ἄνδρα, ἐπὶ Ῥώμης πλεῖν, ὡς τὴν ἴσην ἀρχὴν μνηστευσόμενον ἑαυτῷ. ὁ δὲ ἡσυχάζειν ἐβούλετο· καὶ ἡ γυνὴ σφοδρότερον ἐνέκειτο τἀνδρί, πάντα πράσσειν ὑπὲρ τῆς βασιλείας κελεύουσα· καὶ οὐκ ἀνῆκεν, ἕως καὶ ἄκοντα τὸν Ἡρώδην ἑαυτῇ πεισθῆναι ἠνάγκασεν, μεγαλόφρονα αὐτὸν ἄγειν σὺν τῇ γυναικὶ ἐπὶ Ῥώμης. Ἀγρίππας δὲ καὶ αὐτὸς πρὸς τὴν Ῥώμην παρεσκευάζετο· πέμψας δὲ τῶν ἀπελευθέρων ἕνα, δῶρα τῷ αὐτοκράτορι κομίζοντα, καὶ ἐπιστολὰς κατὰ τοῦ Ἡρώδου, καὶ καταλαμβάνει τὸν Γάιον ἐν Βαίαις πολιχνίῳ τῆς Καμπανίας. ἅμα τε τῷ Ἡρώδῃ εἰς ὄψιν ἧκεν ὁ Γάιος, καὶ ἅμα τὰς Ἀγρίππα ἐπιστολὰς ἐπῄει, κατηγορούσας ἐκείνου πρὸς Σηιανὸν ὁμολογίαν κατὰ τῆς Τιβερίου ἀρχῆς, καὶ πρὸς Ἀρτάβανον αὖθις τὸν Πάρθον νῦν κατὰ τῆς αὐτοῦ Γαΐου. τεκμήριον δ' ἐποιεῖτο τοῦ λόγου, ὅπλων ἀπόθεσιν ἐν ταῖς ὁπλοθήκαις Ἡρώδου, μυριάσιν ἑπτὰ ἀρκοῦντα εἶναι. ἐκινήθη δὲ ὑπὸ τῆς ἐπιστολῆς ὁ Γάιος, καὶ ἠρώτα τὸν Ἡρώδην, εἰ ἀληθὴς ὁ περὶ τῶν ὅπλων λόγος. τοῦ δὲ κατειπόντος, προσθεὶς τῇ ἀφαιρέσει αὐτοῦ, τὴν τετραρχίαν ἀφαιρεῖται, καὶ τῇ βασιλείᾳ τῇ Ἀγρίππα προστίθησι, καὶ τὰ χρήματα ὁμοίως αὐτῷ δωρεῖται, τὸν δὲ Ἡρώδην ἀειφυγίᾳ κατέκρινεν. Ἡρωδιάδι δὲ, ὡς Ἀγρίππου ὁμαίμονι, τά τε χρήματα ἐδίδου ἐκείνης ἴδια ὄντα, καὶ μηδὲ κοινωνεῖν ἐκέλευε τῆς φυγῆς τῷ ἀνδρί, διὰ τὸν Ἀγρίππαν. ἡ δὲ χάριτας μὲν ὡμολόγει Γαΐῳ, δίκαιον δ' ἔλεγεν εἶναι, τῆς εὐδαιμονίας τῷ ἀνδρὶ κοινωνήσασαν, ἐγκαταλιπεῖν ἐπὶ ταῖς δυσπραγίαις αὐτόν. ὁ μέντοι Γάιος τὸν μὲν πρῶτον ἐνιαυτὸν καὶ τὸν ἐφεξῆς μετριώτερον ἐχρῆτο τοῖς πράγμασι. προϊὼν δὲ ἐξεθείαζεν ἑαυτὸν, καὶ θεὸν ἐπεχείρει. καὶ δὴ στάσεως γενομένης τοῖς ἐν Ἀλεξανδρείᾳ Ἰουδαίοις τε καὶ Ἕλλησι, τρεῖς ἀφ' ἑκατέρας μερίδος πρέσβεις πρὸς Γάιον πρεσβεύσαντο. Ἀπίων δὲ τῶν Ἀλεξανδρέων πρέσβεων εἷς, ἄλλα τε πολλὰ κατηγόρει τῶν Ἰουδαίων, καὶ ὡς πάντων τῶν ὑπὸ Ῥωμαίοις βωμοὺς τῷ Γαΐῳ καὶ ναοὺς ἀνιστάντων, καὶ ὡς θεὸν τιμώντων, τούτους μόνους ἄδοξον ἡγεῖσθαι ἀνδριάσι τιμᾶν αὐτὸν, καὶ ὅρκιον αὐτοῦ ποιεῖσθαι τὸ ὄνομα.

ἀλλ'

[illegible]

Itaque cēturio territus, quod captiui Imperatorij cōsuetudine usus esset, hominem de integro uinciri iubet. postridie rumor de Tiberij obitu latius manauit, & epistolæ à Caio missæ sunt ad senatum una, Tiberij mortem, & suam Imperij successionem nuncians: altera ad Pisonem urbis præfectū, qua iubebat Agrippā è castris in eas ædes transferri, in quib. fuisset antequā uinciretur. Caius uerò Tiberij cadauere Romā perducto, & sumptuosè sepulto, Agrippā statim soluere uoluit: sed Antonia prohibuit, nō odio soluendi, sed cura soluturi, ne is Imperatoris decessu lætari uideretur, uincto illius celerrimè soluto. Sed triduo elapso Agrippā accersit, promissiorē capillū tondet, alias uestes induit: deinde imposito diademate, Philippi tetrarchiæ regem constituit, additamenti uice Lysaniæ quoque tetrarchia adiecta: & ære in aurū cōmutato, tāti pōderis aureū torquē ei dedit, quāti ferrea cathena fuerat, quā uinctus gestarat. Anno aūt monarchiæ Caij secūdo petijt Agrippa facultatē ad sua abeundi, seque rediturū promisit, regno suo ritè constituto. Ea impetrata, soluit. Herodias uerò soror eam felicitatē fratri inuidebat, præsertim quando eum regijs insignib. ornatum cum populo agere uidit: ac maritū extimulauit, ut Romam profectus parem honorem ambiret. Qui cum quietus esse mallet, mulier uehementius instat, regni causa nihil non facere iubens: neque destitit prius, quàm Herodē, etiā inuitū, in suam sententiam pertraxisset. Romā igitur cū uxore pergit. sed & Agrippa ad idē iter se parans, unū ex libertis præmisit, Imperatori munera & literas cōtra Herodē afferentē. Caius uerò tū Baijs in Campaniæ oppidulo degens, eodē tempore & Herodi in conspectum prodijt, & Agrippæ literas legit, quib. ille accusabatur, quod cum Seiano contra Tiberij imperiū conspirasset, ac cum Artabano Parthorum rege contra ipsum Caiū: argumento esse arma in armamentarijs ab Herode reposita, quibus LXX uirorum millia armari possint. Caius eo scripto motus, Herodē rogat, an uera essent quæ de armis dicerentur: illo affirmante, credito defectionis crimine, tetrarchiam & pecuniam eius Agrippæ donat, ipsum perpetuo exilio mulctat. Herodiadi uerò pecuniam quæ ad ipsam pertineret, cōcessit, neque exilij mariti participem esse uoluit, ob fratrē Agrippam. Illa uerò Caio gratijs actis, non æquū esse dixit, maritum in reb. aduersis deserere, cuius rerum secundarū socia & particeps fuisset. Cæterùm Caius, anno primo & secundo moderatius se gessit, sed tēporis progressu se ipsum pro Deo & haberi & coli uoluit. Orta porrò inter Alexādrinos Iudæos & Græcos seditione, terni ab utraque factione legati ad Caium iuerunt. Appio uerò Alexādrinorū legatorū unus cùm alia Iudæis obiecit, tū illud, cū omnes Romanæ prouinciæ Caio tēpla & aras ædificēt, diuinosque honores decernāt: eos solos ignominiosum ducere, eū statuis honorare, ac per eius nomē iurare.

Agrippa rex à Caio appellatur.

Herodis & Herodiadis exilium.

Caius Iudæis infestus.

Appionis legatio.

Philonẽ uerò Iudaicæ legationis principẽ, uirũ illustrẽ, & philosophiæ nõ expertẽ, paratũ, Caius uerba facere non passus, è medio excedere iussit: ac satis prę se tulit, se cladẽ Iudæis illaturũ. At Philo cõtumeliosè habitus, Iudæos qui foris astabant, bonis animis esse iussit. Caium enim non ipsis, sed ipsi Deo insultasse. Verùm Imperator nõ ferendũ ratus, si à Iudæis pro Deo nõ coleretur: Petronium Vitellio successorẽ mittit, & cũ magna manu in Iudæã profectũ, suã imaginẽ in tẽplo Dei collocare iubet. Quod si uolẽtes concedere nolint, ut per uim & armis id faciat. Petronius Syriæ præfectura suscepta, Imperatoris exequi iussa properabat. Sed cum Ptolemaidẽ uenisset, Iudæorũ multa millia eũ adierũt, orantiũ ne ad patria instituta uiolanda cogerẽtur. Sin nullis precib. moueretur, ut se prius interfectis, ita demũ statuã collocaret. Petronius respõdit: Si suapte autoritate ista ageret, iure secũ agi posse. sed quia Cæsar iussisset, decretis illius necessariò acquiescẽdũ esse. His dictis Tiberiadẽ uenit, Iudæorũ animos exploraturus. Sed ibi quoq; multa Iudeorũ millia ei occurrerũt, itidẽ orantiũ, ne sibi uim afferret, néue urbẽ simulacro pollueret. qui à Petronio rogati, nũ bellũ gesturi essent: se bellũ gesturos esse negarũt, sed statim mortẽ oppetituros potius, quàm cõmissuros ut patria instituta uiolarent, ac iugulos porrexerunt. His per dies XL actis, Aristobulus Agrippæ frater, & alij delecti, Petroniũ precati sunt, ne reb. nouãdis populũ ad desperationẽ impelleret, sed ad Caium scriberet, quẽadmodũ Iudæi nullis rationib. ad statuã recipiẽdã adduci posset. Fortassis enim eũ mitigatũ iri, & sentẽtiã mutaturũ esse. Sin in proposito perseueraret, tum & ipse rẽ aggrederetur. His Petronius obsecutus, ad Caiũ ea de re scripsit. Regis uerò Agrippę Romę degẽtis cũ Caio familiaritas magis ac magis augebat: qui cõuiuio ab eo exceptus, et cœnę sumptus ac magnificẽtiã admiratus, eũ petere iussit quicquid uellet. Ibi Agrippa: Nihil, inquit, petã, quo opes meæ augeantur: sed id, quod & tibi pietatis opinionẽ, & mihi gloriã parabit. Oro igitur, ut statuæ dedicationẽ in tẽplo Iudaico Petronio mãdatã, mea causa omittas. Id Caius, corã tam multis mentiri ueritus, cõcessit, ac ad Petroniũ scripsit: Si statuã iã erexisset, ne tolleret: sin nõdũ collocasset, ut eo conatu abstineret. Neq; enim se amplius eã erectũ, propter Agrippã, uirũ quem magnifaceret. Hæc ad Petronium scripsit, literis illius nondũ lectis, quæ significabant, Iudæos ob statuã illã ad seditionẽ concitatos esse. Quibus irritatus, Petronio rescripsit: Quoniã Iudæorũ munera meis mãdatis prætulisti: tu quid tibi agẽdũ sit, uideto. Exemplũ enim in te edã, quo & pręsentes & posteri moneãtur, edicta Imperatoris nõ esse negligenda. Has literas uiuente Caio Petronius nõ accepit: sed tũ demũ, cũ illius obitũ ex alijs literis cognouisset. Caio uiro pessimo per insidias interfecto, quarum

Petronius à Caio iudeam mittitur, ad statuã eius in templo Hierosolymitano collocãdam.

Agrippæ apud Caiũ gratia.

Claudius Caij successor, Agrippam & Herodem ornat.

ἀλλὰ τοῦτον Φίλωνα δὲ τῶν Ἰουδαίων πρεσβείας προεστηκότα, ἄνδρα γνώριμον, καὶ φιλοσοφίας οὐκ ἄπειρον, ἕτοιμον ὄντα ὑπεραπολογήσασθαι τῶν ὁμοεθνῶν. ὁ δὲ Γάϊος οὐκ ἠνέσχετο, κελεύσας ἐκ ποδῶν ἀπελαύνεσθαι, δῆλος ἦν κακώσων αὐτούς. καὶ ὁ Φίλων ἐξελθὼν ὑβρισμένος, φησὶ πρὸς τοὺς σὺν αὐτῷ Ἰουδαίους, ὡς χρὴ θαρρεῖν, οὐ γὰρ εἰς αὐτοὺς ὁ Γάϊος πεπαρῴνηκεν, εἰς δὲ τὸν θεὸν αὐτόν. ὁ δ' αὐτοκράτωρ δεινὸν ἡγούμενος, ὑπὸ Ἰουδαίων μὴ ὡς θεὸς σεβασθῆναι, Πετρώνιον ἐκπέμπει διάδοχον τῷ Βιτελλίῳ ἀρχῆς, κελεύσας χειρὶ πολλῇ ἐμβαλεῖν εἰς τὴν Ἰουδαίαν, καὶ ἱστᾶν αὐτοῦ ἀνδριάντα ἐν τῷ ναῷ τοῦ θεοῦ. εἰ δὲ μὴ ἑκόντες παραχωροῖεν, πολέμῳ κρατήσαντα τοῦτο ποιεῖν. καὶ ὁ Πετρώνιος τὴν τῆς Συρίας παραλαβὼν ἀρχήν, ἠπείγετο πληρῶσαι τὰς τοῦ Καίσαρος ἐντολάς. καὶ εἰς Πτολεμαΐδα γενομένῳ προσῆλθον Ἰουδαίων πολλαὶ μυριάδες, δεόμεναι μὴ βιάζεσθαι σφᾶς εἰς παραβάσεις τῶν πατρίων. εἰ δ' ἀπαραίτητος εἴη, ἔλεγον, πρότερον ὑμᾶς διαχειρισάμενος, οὕτως ἱστᾶν τὸ ἄγαλμα. Πετρώνιος δ' ἀπεκρίνατο· ὡς εἰ μὲν ἀφ' «

« ἑαυτοῦ ταῦτ' ἔπραττον, δίκαιος ἦν πρός με ὑμῖν ὁ λό- «

« γος· Καίσαρος δὲ κελεύσαντος, πᾶσα ἀνάγκη τὰ ἐκεί- «

« νῳ δεδογμένα πληροῦν. ταῦτα εἰπὼν, εἰς Τιβεριάδα ἀφίκετο, κατανοήσων ὡς γνώμης ἔχουσιν Ἰουδαῖοι. καὶ πολλαὶ μυριάδες συμβαλόντων αὐτῷ, ἱκέτευσαν, μὴ εἰς ἀνάγκας αὐτοὺς καθιστᾶν, μηδὲ μιαίνειν ἀνδριάντι τὴν πόλιν. καὶ ὁ Πετρώνιος ἔφη, πολεμήσετε ἄρα; οἱ δ' οὐ πολεμήσομεν, ἔφασαν, τεθνηξόμεθα δὲ πρότερον ἢ παραβῆναι τὰ πάτρια. καὶ παρεῖχον ἑαυτοὺς ἀποσφάττεσθαι. καὶ ταῦτα ἐφ' ἡμέρας ἐπράττετο τεσσαράκοντα. Ἀριστόβουλος δ' ὁ Ἀγρίππου ἀδελφὸς καὶ ἄλλοι τῶν ἐκκρίτων, ἐδέοντο Πετρωνίου, μηδὲν εἰς ἀπόνοιαν τὸ πλῆθος παρακινεῖν, ἀλλὰ γράφειν πρὸς Γάϊον τὸ ἀνήκεστον αὐτῶν πρὸς τὴν τοῦ ἀνδριάντος ὑποδοχήν. ἴσως γὰρ μαλαχθέντα αὐτὸν, ἐπισχεῖν τοῦ δόξαντος. εἰ δ' ἐμμένοι καὶ αὖθις τῇ ψήφῳ, τότε καὶ αὐτὸν τοῦ πράγματος ἅπτεσθαι. Πετρώνιος δὲ πεισθεὶς, ἐπέστελλε τῷ Γαΐῳ περὶ τῆς πράξεως. Ἀγρίππας δὲ ὁ βασιλεὺς ἐν Ῥώμῃ διάγων, προὔκοπτε τῇ πρὸς Γάϊον οἰκειώσει. θαυμασθείς τε ἐν τῷ δειπνίζειν τὸν αὐτοκράτορα τῆς πολυτελείας χάριν καὶ τῆς μεγαλοπρεπείας, αἰτήσασθαι προσετάχθη, ὅ,τι ἂν αὐτῷ πρὸς βουλῆς. ὁ δὲ, αἰτοῦμαί σε, ἔφη, τὸν μὲν ὄλβον προσθεῖναι τὸν ἐμόν, ὃ δ' ἂν σοί τε πρὸς δόξαν συντείνοι, κἀμοὶ πρὸς εὔκλειαν γένηται. ἀξιῶ σε δὲ, τῆς τοῦ ἀνδριάντος ἀναθέσεως, ἣν ποιεῖσθαι κελεύεις προστέταχας εἰς τὸ Ἰουδαίων ἱερὸν, δι' ἐμὲ καταλῦσαι. Γάϊος δ' αἰσχυνθεὶς, τοσούτων δὲ μαρτύρων, μὴ δόξαι ψευδόμενος, συγχωρεῖ. καὶ γράφει πρὸς τὸν Πετρώνιον, εἰ μὲν ἤδη τὸν ἀνδριάντα ἔφθασε στῆσαι, μὴ καθελεῖν· εἰ δὲ μήπω πεποίηται τὴν ἀνάθεσιν, μηκέτι πειρᾶσθαι ποιεῖσθαι. οὐ γὰρ ἔτι βούλομαι τοῦτον στῆναι, διὰ τὸν Ἀγρίππαν, ἄνδρα τιμώμενον παρ' ἐμοί. Γάϊος μὲν οὖν ταῦτα πρὸς Πετρώνιον γράφει, πρὶν ἐντυχεῖν ταῖς ἐκείνου ἐπιστολαῖς, ἐμφανιζούσαις πρὸς ἀποστασίαν τοὺς Ἰουδαίους διὰ τὸν ἀνδριάντα ἐπείγεσθαι. περιαλγήσας δὲ διὰ ταῦτα, γράφει αὖθις τῷ Πετρωνίῳ· ἐπεὶ ἐν τὰ τῶν Ἰουδαίων δῶρα μείζονος γεγόνασι λόγου τῶν ἐμῶν ἐντολῶν, σὺ τὸ πρὸς σαυτοῦ τὸ ποιητέον συλλόγισαι. παράδειγμα γάρ σε ποιοῦμαι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα, μὴ ἀκυροῦν ἐντολὰς αὐτοκράτορος. ταύτην δὲ τὴν ἐπιστολὴν οὐκ ἔφθη ζῶντος Γαΐου δεδεγμένος Πετρώνιος, ἀλλὰ πρότερον τὰ περὶ τῆς ἐκείνου τελευτῆς ἐδέξατο γράμματα, καὶ οὕτω τὰ πρὸς αὐτὸν Γαΐου. ὁ μὲν οὖν Γάϊος κάκιστος γεγονὼς, ἀπώλετο δι' ἐπιβουλῆς ἀνῃρημένος.

ἵνα ὁ Πετρώνιος στήσῃ ἐν Ἰουδαίᾳ, εἰκόνα ἀνδριάντα Γαΐου ἐν τῷ ναῷ αὐτῶν.

ὅπως Ἀγρίππας ἔπεισε Γάϊον συγχωρῆσαι, μὴ τεθῆναι ἐν Ἰουδαίᾳ τὸν εἰκόνα αὐτοῦ ἀνδριάντα.

μένου δὲ τρόπον ἐν τῷ κατ' ἐκεῖνον ἐκβαλοῦσι, καὶ παρὰ τίνων αἱρεθείη, ὅτε τὰ περὶ τῶν αὐτοκρατόρων ὁ λόγος δείξει, διηγήσεται. νῦν δὲ φθάσαντες, Κλαύδιος κρυπτόμενος διὰ φόβον, ὑπὸ τῶν στρατιωτῶν ἐξήχθη τε, καὶ αὐτοκράτωρ ἀνεκηρύχθη τε, πολλὰ πρὸς τὴν ἀνάῤῥησιν αὐτοῦ καὶ τοῦ Ἀγρίππα συντελέσαντος. ἄρτι δὲ βεβαιωθείσης τῆς αὐταρχίας αὐτῷ, τήν τε ἀρχὴν ἐκύρωσε τοῦ Ἀγρίππα, καὶ δι' ἐγκωμίων ἐποιεῖτο αὐτόν. προσθεὶς δὲ τι αὐτῷ ἔθετο πᾶσαν, ἧς ἦρξεν ὁ βασιλεὺς καὶ πάππος αὐτοῦ Ἡρώδης. ὁ δὲ καὶ τῷ ἀδελφῷ Ἡρώδῃ τὴν βασιλείαν Χαλκίδος παρὰ Κλαυδίου ᾐτήσατο, καὶ ἐδόθη ἐκείνῳ παρὰ τοῦ Καίσαρος. κατὰ τοῦτον τὸν χρόνον ἐστασίαζον πρὸς αὖ Ἀλεξανδρεῖς οἱ ἐκεῖ Ἰουδαῖοι. οἳ γὰρ ἤγοντο πρότερον κακῶς Γαΐου διατεθέντος πρὸς αὐτούς, ἐκείνου μοναρχήσαντος ἐκάκουν παρὰ τῶν ἐν τῇ πόλει Ἑλλήνων. Γαΐου δὲ τελευτήσαντος, ἀνεθάῤῥησαν, καὶ ἦραν τὰ ὅπλα. Κλαύδιος δὲ τῷ ἱππάρχῃ τῷ κατὰ τὴν Αἴγυπτον ἐπέστειλε, καταπαῦσαι τὴν στάσιν. ἔπεμψε δὲ καὶ διάταγμα εἰς διαφόρους τόπους, δεηθέντων Ἀγρίππα τε καὶ Ἡρώδου, εἰς Συρίαν καὶ Ἀλεξάνδρειαν, καὶ εἰς τὴν ἄλλην οἰκουμένην ὅσην Ῥωμαίοις ὑπήκοον, φράζον, ὅτι τῶν Ἰουδαίων ἀνέκαθεν ἴσους πολιτείας τοῖς Ἀλεξανδρεῦσι καὶ τοῖς τῶν λοιπῶν πόλεων πολίταις ἀξιωθέντων, ὁ Γάϊος διὰ τὴν ἄνοιαν, ὅτι μὴ θεὸν προσηγόρευεν αὐτὸν τὸ Ἰουδαίων ἔθνος, ἀνήρητο αὐτοὺς ἐταπείνωσεν. ἐγὼ δὲ μηδένος διὰ τὴν ἐκείνου παραφροσύνην τῶν παλαιῶν δικαίων τὸ ἔθνος ἐκπεσεῖν διατάσσομαι, συντηρεῖσθαι δὲ σφίσι τὰ πρότερον δίκαια τοῖς Ἰουδαίων νομίμοις ἐμμένουσι, ταῦτά με αἰτησαμένων τῶν βασιλέων Ἀγρίππα καὶ Ἡρώδου, τῶν φιλτάτων μοι. ἐξέπεμψε δὲ καὶ Ἀγρίππαν ἐπὶ τὴν βασιλείαν αὐτοῦ, λαμπροτέραν γεγενημένην. κἀκεῖνος ἐλθὼν εἰς Ἱεροσόλυμα, χαριστήρια ἔθυσε, καὶ τὴν χρυσῆν ἅλυσιν τὴν ὑπὸ Γαΐου δοθεῖσαν αὐτῷ, ὑπὲρ τὸ γαζοφυλάκιον ἀπῃώρησε, δεῖγμα εἶναι τῆς θείας δυναστείας, καὶ εἶναι τῶν πραγμάτων μεταβολῆς, καὶ ὅτι καὶ τὰ μεγάλα πίπτει ποτέ, καὶ ὑψοῦται τὰ ταπεινά. θύσας οὖν πολυτελῶς, Θεόφιλον μὲν τὸν Ἀνάνου τῆς ἀρχιερωσύνης μεθίστησι, τῷ δὲ Βοηθοῦ Σίμωνι, ᾧ Κανθηρᾶς ἡ ἐπίκλησις, ἀπένειμε τὴν τιμήν. δύο δὲ ἦσαν τῷ Σίμωνι ἀδελφοί, καὶ πατὴρ ὁ Βοηθός, οὗ τῇ θυγατρὶ ὁ βασιλεὺς Ἡρώδης συνῴκησεν, ὡς ἱστόρηται. τοὺς δ' Ἱεροσολυμίτας τῆς πρὸς αὐτὸν εὐνοίας ἠμείψατο, ἀφεὶς αὐτοῖς τὰ ὑπὲρ ἑκάστης οἰκίας. ἔπαρχον δὲ παντὸς τοῦ στρατεύματος τὸν Σίλαν ἀπέδειξεν, ἄνδρα πόνων αὐτῷ συμμετασχόντα πολλῶν. νεανίσκοι μέντοι Δωρῖται τολμηροὶ καὶ θρασεῖς, Καίσαρος ἀνδριάντα εἰς τὴν τῶν Ἰουδαίων συναγωγὴν κομίσαντες ἔστησαν. τοῦτο τὸν Ἀγρίππαν ἐτάραξε· καὶ αὐτίκα πρὸς τὸν τῆς Συρίας ἡγεμονεύοντα Πετρώνιον παραγίνεται, καὶ κατηγορεῖ τῶν Δωριτῶν. ὁ δὲ ἑκατόνταρχον στείλας, τοὺς τὸ τόλμημα πράξαντας ἐπ' αὐτὸν ἀχθῆναι προσέταξε, τοῖς δὲ τῶν Δωριτῶν ἄρχουσιν, ὑποδεῖξαι τῷ ἑκατοντάρχῳ τοὺς αἰτίους, ἐπέστειλεν, εἰ μὴ βούλοιντο δοκεῖν συνεργοὶ εἶναι τῆς πράξεως. Ἀγρίππας δὲ ἀφελόμενος τὴν ἱερωσύνην τὸν Κανθηρᾶν Σίμωνα, Ἰωνάθην αὖθις ἐπ' αὐτὴν ἦγε τὸν Ἀνάνου. ὁ δὲ παρῃτεῖτο, ἀρκεῖσθαι λέγων, ἅπαξ τῆς ἀρχιερωσύνης λαχών, τὸν δὲ ἀδελφὸν Ματθίαν πρὸς ταύτην ἀξιοῖ προαχθῆναι, ὡς ἄξιον εἶναι τιμῆς. πεισθεὶς οὖν ὁ βασιλεύς, τῷ Ματθίᾳ τὴν ἀρχιερωσύνην ἀπένειμε. Σίλας δὲ ὁ Ἀγρίππα ἵππαρχος, πεποιθὼς οἷς ὑπὲρ αὐτοῦ ἐκινδύνευσεν, ἀκαίρῳ παῤῥησίᾳ ἐχρῆτο, καὶ ἦν φορτικός, τὰ φορτικὰ τῆς τύχης εἰς μνήμην ἄγων αὐτῷ, καὶ ἑαυτὸν σεμνύνων ἐκ τῆς εὐνοίας τε καὶ πίστεως. ἀηδὴς οὖν πρὸς τῇ

[illegible]

quarum modum & authorem in opere de Imperatoribus exponemus: Claudius præ metu occultatus, à militibus è latebris extractus est, & Imperator salutatus. quã ad rem Agrippa quoque non paruo adiumẽto fuit. Is recens firmato imperio, etiam Agrippę regnum confirmauit, eique collaudato omnẽ eam ditionem, quam rex Herodes auus eius tenuerat, adiecit: eiusdemque rogatu, fratri Herodi Chalcidis regnum cõcessit. Hoc tempore orta est inter Alexandrinos & Iudęos, ibi degẽtes, seditio. Nam cũ Caius, ita ut dictum est, erga eos affectus esset: illo imperãte à Græcis uexabantur. Eo uerò defuncto, cum receptis animis arma sumpsissent, Claudius magistro equitum Aegyptio scripsit, ut seditionem cõprimeret. edictumque rogatu Agrippę & Herodis regum, in Syriam, Alexãdriam, & alias orbis partes quæ Romanis parent, misit, in hanc sententiam: Cum olim Iudæi eodem iure, quo Alexandrini, & aliarũ urbiũ ciues, fruęrentur, Caius per summam temeritatẽ, quòd Iudaica gens eum pro Deo colere detrectasset, eos depressit. Ego uerò, ne ea ob illius uæcordiam ueteribus iuribus spolietur: sed pristina eis priuilegia, Iudæorum ritus obseruantibus, conseruentur: constituo, regum Agrippæ & Herodis amicissimorũ meorum rogatu. Agrippam quoque in regnum suum splendidius factum dimisit. qui Hierosolyma profectus, uictimas pro gratiarum actione immolauit: & auream cathenam à Caio sibi datã, supra gazophylacium suspendit, diuinæ potentię specimen, & uicissitudinis rerũ, magna labefactantis, & humilia erigentis. Sacrificio magnificè peracto, Theophilo Annæ sacerdotiũ abrogauit, & Boethi filio Simoni cognomẽto Cantheræ honorẽ illum tribuit. Is Simõ duos fratres habuit, & patrẽ Boethum: cuius filia Herodi regi, ut suprà dictũ est, nupta fuit. Hierosolymitanorũ erga se beneuolentiam remuneratus est condonatione tributi, quod pro singulis ædibus pendebatur. Toti exercitui præfecit Silam, qui multarũ ærumnarũ ei particeps fuerat. Cum aũt Doritani adolescẽtes audaces & temerarij, Cęsaris statuã in Iudęorũ synagoga collocassent: Agrippa turbatus, statim Syriæ prætorẽ P. Petroniũ conuenit, & Doritanos accusat. Is misso centurione, eos qui id facinus ausi essent, ad se adduci iussit: & Doritanis magistratib. mãdauit, ut cẽturioni sontes demonstrarẽt, nisi in eodẽ crimine esse uellent. Agrippa uerò sacerdotiũ Simoni Cantheræ adeptũ, rursus in Ionathã Ananiæ filiũ contulit. quo ille recusato, satis sibi esse dixit, quod semel põtificatu functus fuerit: fratrẽque Matthiã ad eũ honorẽ, quo dignus esset, promoueri petijt, idque impetrauit à Rege. Sila uerò præfectus regis Agrippæ, fretus meritis suis, importunę dicendi libertati studuit, ac molestus fuit molestæ fortunæ memoria renouanda, suo'que illorum temporum studio & fide iactandis. Eam

Claudij edictũ pro Iudæis.

Agrippa rex Iudææ.

Doritana seditio.

Simonis põtificis modestia.

Silæ præfecti militum importuna libertas.

effrenem licentiam cum Agrippa ægrè ferret, neq; Sila quicquam de ea re mitteret: rex ira cō motus, cum non modò præfectura priuauit, sed etiam uinxit. Verùm ira tempore mitigata, & consideratis eius sua causa exhaustis laborib. cum natalem suum celebraret, hominem ad epulas inuitauit. Ille uerò detrectauit. Nam ad quem, inquit, me honorem Agrippa uocat, eue stigiò periturū? Nū libertatē meā desijsse cēlet? Ego uerò nūc magis clamabo, è quib. eū periculis eripuerim: quos labores, quæ discrimina prò eius dignitate & salute adierim. Pro quib. officijs, me uinculis & obscuro carcere remuneratur, quorū nunq; obliuiscar. Quibus rex cognitis, insanabili ingenio hominē in custodia reliquit. Beneficus fuit hic rex non minus auo Herode, qui quidē in exteros liberalitatē exercuit, nō etiā in Iudæos: hic promiscuè de omnibus benemereri studuit, omnib. se clemētē præbuit. Itaq; libenter Hierosolymis perpetuò uixit, & patrias leges inuiolatas obseruauit. Extitit tamen Simon quidā legis peritia celebris, qui cœtu coacto, regem Cæsareā profectū deferre non dubitauit. Quo cognito Agrippa illum accersitum rogat, in quo leges à se uiolatæ essent: quod ille cum dicere non haberet, ueniā rogauit: eaq; præter expectationem impetrata, donatus abijt. Pontificatum Matthiæ ademptum, Elionæo Cithæri filio contulit. Cum autem triennium toti Iudææ dominatus esset, in urbe Cæsarea, quæ prius Stratonis turris appellata fuit, spectacula edidit: quorū die secundo ueste argentea indutus, sub auroram theatrū ingreditur, atq; argentum primo solariū radiorum ortu illustratum, mirabiliter resplenduit, cū horrore quodam intuentium. Statim igitur adulatores alius aliunde exclamarunt, eumq; Deū appellarunt, utq; propitius esset, petiuerunt. Nam ut hactenus eum ut hominem timuissent, at in posterum se confessuros eum natura mortali præstantiorem esse. Ea uerba rex non castigauit, neq; impiam adulationem reiecit: ac paulo pòst cum se erexisset, bubonem supra caput suū uidit: eumq; malorum esse nuncium intellexit, qui aliquando bonorum significator extitisset. Igitur cordis cruciatibus affectus, & uētriculi
» doloribus subitò oppressus, amicis ait: En ego
» Deus uester iam uitā relinquo: & quem uos im
» mortalem uocastis, ad mortē rapior. Dum hæc diceret, doloribus fatigatus, festinanter in regiam est reportatus: orto que rumore, eum animam agere, populus lachrymis oppletus, statim cum uxoribus & liberis patrio ritu saccis insidens, Deo pro rege supplicauit: quæ Agrippa in alto cōclaui decūbēs nec ipse siccis oculis spectauit, ac diebus V cruciatu uētris subactus, mortē cū uita cōmutauit. Vixit annos LIIII. regnauit VII. sub Caio IIII. sub Claudio III. Obitu eius uulgò adhuc incognito, Herodes frater eius Chalcidis princeps, & Helcias equitū magister,

Simonis legulei calumnia.

Agrippæ superbia diuinitati non dicata.

Sile cedes.

ἀπαμείβοντος αὐτῷ παῤῥησίαν ὁ Ἀγρίππας δίκαιον, τοῦ δὲ Σίλα μὴ φειδομένου, εἰς ὀργὴν ὁ βασιλεὺς ἀνερρίπισθη, καὶ οὐ μόνον τῆς ἱππαρχίας αὐτὸν μετέστησεν, ἀλλὰ μέντοι καὶ δέδεκε. χρόνῳ δὲ τὸν θυμὸν ἀμβλυνθείς, καὶ λογισάμενος ὅσους ὑπὲρ ἐκείνου ἀνέτλη πόνους, ἡμέραν ἑορτάζων ἑαυτοῦ γενέθλιον, ἐκάλει τὸν Σίλαν αὐτῷ συνεστιαθησόμενον. ὁ δὲ οὐκ ἐπείθετο· ἐπὶ τίνα, λέγων, ὁ βασιλεὺς ἀνακαλεῖ με τιμήν, τὴν ὅσον οὔπω ἀπολωλυῖαν; ἢ πεπαῦσθαί με νομίζει τῆς παῤῥησίας; νῦν βούλομαι μᾶλλον ὅσων αὐτὸν ἐξερρυσάμην λαλεῖν, ὅσους ἤνεγκα πόνους, ἐκείνῳ πορίζων σωτηρίαν καὶ τιμήν· ὧν γέρας μοι δεσμὰ καὶ σκότος ἀρρεστα, ὧν οὔποτε λήσομαι. ὁ δὲ βασιλεὺς ταῦτα μαθών, καὶ ἀνιάτως συνιδὼν διακείμενον, αὖθις αὐτὸν ἐν φρουρᾷ. ἦν δὲ εὐεργετικὸς ἔτι ὁ βασιλεὺς οὐδὲν ἧττον ὑπὲρ τοῦ πάππου, ἐκείνου μέντοι εἰς ἀλλοφύλους τὸ φιλότιμον ἀποδεικνυμένου, οὐ μὴν καὶ εἰς Ἰουδαίους· οὗτος πρὸς πάντας ὁμοίως ἦν εὐεργετικός, καὶ τὸν τρόπον πρᾶος. ἡδεῖα γοῦν αὐτῷ δίαιτα συνεχὴς ἐν τοῖς Ἱεροσολύμοις ἦν, καὶ τὰ πάτρια καθαρῶς ἐτήρει. καὶ δή τις Σίμων ἦν ἐν Ἱεροσολύμοις ἀκριβῶς δοκῶν τὰ νόμιμα· οὗτος πλῆθος ἀθροίσας, ἐπελάμβανε τοῦ βασιλέως κατὰ πάντα, ἀποδημήσαντος εἰς Καισάρειαν. τοῦτο τὸν Ἀγρίππαν οὐκ ἔλαθε. μεταπέμπεται οὖν τὸν Σίμωνα, καὶ φησίν, εἰπέ μοι, τί τῶν γινομένων οὐ κατὰ νόμον; ὁ δὲ μὴ ἔχων εἰπεῖν, ἐδεῖτο συγγνώμης τυχεῖν. καὶ ὁ βασιλεὺς παρὰ προσδοκίαν αὐτῷ διηλλάττετο, καὶ ἐξέπεμψε δωρησάμενος. τὴν ἀρχιερωσύνην δὲ Ματθίαν ἀφελόμενος, Ἐλιωναίῳ τῷ τοῦ Κιθαίρου παιδὶ παρέσχεν αὐτήν. βασιλεύσας οὖν ἔτη τρία τῆς συμπάσης Ἰουδαίας, εἰς πόλιν Καισάρειαν, ἣ πρότερον Στράτωνος ἐκαλεῖτο πύργος, θέας ἐτέλει. ἐνδὺς δὲ τῇ δευτέρᾳ ἡμέρᾳ στολὴν ἐξ ἀργύρου πεποιημένην, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας, καὶ ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθείς, θαυμασίως ἀπέστιλβε, μαρμαίρων τι φοβερὸν τοῖς εἰς αὐτὸν ἀτενίζουσιν. εὐθύς τε οἱ κόλακες ἄλλος ἄλλοθεν ἀνεβόων, θεὸν προσαγορεύοντες, εὐμενής τε εἴης ἐπιλέγοντες· εἰ γὰρ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβούμεθα, ἀλλὰ τοὐντεῦθεν ὁμολογοῦμεν θνητῆς σε φύσεως κρείττονα. οὐκ ἐπέπληξε τούτοις ὁ βασιλεύς, οὐδὲ τὴν κολακείαν ὡς ἀσεβοῦσαν ἀπετρίψατο. ἀνακύψας οὖν μετ' ὀλίγον, ὁρᾷ τὸν βουβῶνα τὸν ὄρνιν τῆς ἑαυτοῦ κεφαλῆς ὑπερθεν. ἄγγελόν τε κακῶν τοῦτον συνενόησεν εἶναι, ὡς ποτὲ τῶν ἀγαθῶν μηνυτήν· καὶ διακάρδιον ἔσχεν ὀδύνην, καὶ τῆς κοιλίας ἀθρόον ἀνεγείρεται ἄλγημα. καὶ πρὸς τοὺς φίλους φησίν, ὁ θεὸς ὑμῖν ἐγώ, ἤδη καταστρέφω τὸν βίον· καὶ ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν, θάνατον ἀπάγομαι. ταῦτα λέγων, τῆς ὀδύνης ἐπιτεινομένης κατεπονεῖτο, καὶ μετὰ σπουδῆς ἀνεκομίσθη πρὸς τὸ βασίλειον. λόγου δὲ γενομένου θνήσκειν αὐτόν, ἡ πληθὺς αὐτίκα σὺν γυναιξὶ καὶ παισὶν ἐπὶ σάκκων καθεσθεῖσα τῷ πατρίῳ νόμῳ, τὸν θεὸν ὑπὲρ τοῦ βασιλέως ἱκέτευε, καὶ πάντα κατεθρήνουν. τῷ ὑψηλῷ δὲ ὁ Ἀγρίππας κατακείμενος δωματίῳ, καὶ κάτω βλέπων αὐτοὺς πρηνεῖς προσπίπτοντας, οὐδὲ αὐτὸς ἄδακρυς ἦν. ἐφ' ἡμέρας δὲ πέντε τῷ τῆς γαστρὸς ἀλγήματι κατεργασθείς, κατέστρεψε τὴν ζωήν, βιώσας ἔτη τέσσαρα καὶ πεντήκοντα, βασιλεύσας δ' ἑπτά, ἐπὶ Γαΐου μὲν τέσσαρα, τρία δ' ἐπὶ Κλαυδίου. ἀγνοουμένης γὰρ μὴν ἔτι τοῖς πλείοσι τῆς αὐτοῦ τελευτῆς, συμφρονήσαντες Ἡρώδης ὁ ἀδελφὸς αὐτοῦ, ὁ τῆς Χαλκίδος ἄρχων, καὶ Ἑλκίας ὁ ἵππαρχος, πέμψαντες τὸν Σίλαν

[illegible]

[illegible]

[illegible]

τὸν Σίλαν ἐχθρὸν αὐτοῖς ὄντα κατέσφαξαν, ὡς τάχα τοῦ βασιλέως κελεύσαντος. οὗτος μὲν οὖν ὁ Ἀγρίππας ἀπεβίω, υἱὸν Ἀγρίππαν καταλιπὼν ἐτῶν ἑπτακαίδεκα· τρεῖς δὲ θυγατέρας, ὧν ἡ μὲν Ἡρώδῃ τῷ πατρὸς ἀδελφῷ γεγάμητο, Βερνίκη δ' ἐκέκλητο. παρθένοι δ' ἦσαν αἱ δύο, Μαριάμμη καὶ Δρούσιλλα. ἠγγελθέντος δὲ τοῦ θανάτου τοῦ βασιλέως, Καισαρεῖς καὶ Σεβαστηνοὶ ἐπιλελησμένοι τῆς αὐτοῦ εὐποιΐας, ἐβλασφήμουν τε εἰς αὐτόν, καὶ τὰ τῶν τοῦ βασιλέως θυγατέρων ἀγάλματα ἁρπάζοντες, εἰς τὰ πορνεῖα ἐκόμιζον, καὶ ἀφύβριζον εἰς αὐτά· καὶ πανδήμους εὐωχίας ἐποίουν, στεφανούμενοι καὶ μυριζόμενοι, καὶ σπένδοντες τῷ Χάρωνι. ὁ δὲ τοῦ τεθνεῶτος υἱὸς Ἀγρίππας ἐν Ῥώμῃ τότε διῆγε, παρὰ Κλαυδίῳ τρεφόμενος Καίσαρι, ὃν αὐτίκα πέμπειν ὥρμητο τὴν βασιλείαν διαδεξόμενον. ἀπήγαγον δ' αὐτὸν τοῦ σκοποῦ οἱ περὶ αὐτόν, σφαλερὸν εἶναι λέγοντες, κομιδῇ νέῳ βασιλείας ἐπιτρέπειν μέγεθος τοσόνδ'. ἀπέστειλεν οὖν Κούσπιον Φάδον τῆς Ἰουδαίας καὶ τῆς βασιλείας ἁπάσης ἐπιτροπεύσοντα, ἐντειλάμενος αὐτῷ, καὶ Καισαρεῦσι καὶ Σεβαστηνοῖς ἐπιπλῆξαι τῆς εἰς τὸν κατοιχόμενον ὕβρεως. ἀφικόμενος δὲ Φάδος εἰς τὴν Ἰουδαίαν, στάσιν τότε γενομένην κατέστειλε, καὶ λῃστρικῶν τὴν χώραν ἐκάθηρε, καὶ τὴν τοῦ ἀρχιερέως στολὴν εἰς τὴν Ἀντωνίαν τὸ φρούριον ἀποτεθῆναι προσέταξεν, ὡς καὶ πρότερον. οἱ δ' ἱερεῖς καὶ οἱ πρῶτοι τῶν ἐν Ἱεροσολύμοις ἀντιλέγειν μὲν οὐκ ἐτόλμων· παρεκάλουν δ' ὅμως ἐπιτρέψαι αὐτοῖς, πρέσβεις πέμψαι πρὸς τὸν Καίσαρα, τοὺς αἰτησομένους τὴν ἱερὰν στολὴν ὑπ' αὐτοῖς εἶναι· καὶ ἐπετράπησαν. παραγενομένων δὲ εἰς τὴν Ῥώμην τῶν πρέσβεων, καὶ ὁ τοῦ Ἀγρίππα παῖς ὁ νεώτερος Ἀγρίππας ἐκεῖ διάγων, ὡς ᾔσθετο, παρεκάλεσε τὸν Καίσαρα, συγχωρηθῆναι τοῖς Ἰουδαίοις ἔχειν τὴν ἱερὰν στολήν. καὶ ὁ Κλαύδιος συνεχώρησε, καὶ τῷ Φάδῳ περὶ τούτων ἐπέστειλεν. Ἡρώδης δὲ ὁ τοῦ Ἀγρίππα ἀδελφός, τῆς δὲ Χαλκίδος ἄρχων, ᾐτήσατο παρὰ Καίσαρος τὴν τοῦ ναοῦ ἐξουσίαν, καὶ τῶν ἱερῶν χρημάτων, καὶ τῆς τῶν ἀρχιερέων χειροτονίας. καὶ ἔτυχε τῆς αἰτήσεως, καὶ ἐξ ἐκείνου πᾶσι τοῖς ἐκγόνοις αὐτοῦ ἡ ἐξουσία παρέμεινε, μέχρι τῆς τῶν Ἱεροσολύμων ἁλώσεως. καὶ δὴ μεθίστησι τῆς ἀρχιερωσύνης τὸν Κανθηρᾶν, Ἰωσὴφ ἀντεισαγαγὼν τὸν τοῦ Καμεί. ἐν τούτῳ τῷ χρόνῳ ἡ τῶν Ἀδιαβηνῶν βασιλὶς Ἑλένη, καὶ ὁ παῖς αὐτῆς Ἰζάτης, εἰς τὰ Ἰουδαίων τὴν διαγωγὴν μετέβαλον νόμιμα. Μονόβαζος γὰρ ὁ τῶν Ἀδιαβηνῶν βασιλεύς, ᾧ καὶ Βαζαῖος ἐπίκλησις ἦν, τῆς ἀδελφῆς Ἑλένης ἁλοὺς ἔρωτι, ἄγεται ταύτην. καί ποτε συγκαθεύδων αὐτῇ οὔσῃ ἐγκύμονι, τῇ ἐκείνης γαστρὶ τὴν χεῖρα ἐπέθετο. καὶ ὑπνώσας ἔδοξεν ἀκούειν φωνῆς, ἀπαίρειν κελευούσης ἐκ τῆς νηδύος τὴν χεῖρα, καὶ μὴ θλίβειν τὸ ἐν αὐτῇ βρέφος, θεοῦ προνοίᾳ καὶ ἀρξάμενον, καὶ τέλους τευξόμενον εὐτυχοῦς. ταραχθεὶς οὖν ὑπὸ τῆς φωνῆς, ἔφραζε ταῦτα τῇ γυναικί· καὶ τὸν υἱὸν τεχθέντα Ἰζάτην ὠνόμασεν. ἦν δ' ἕτερος τότε πρεσβύτερος ἐκ τῆς Ἑλένης αὐτῷ γενηθείς, ἄλλοι τε παῖδες ἐκ γυναικῶν ἑτέρων. ἔστεργε δὲ τὸν Ἰζάτην ὥσπερ μονογενῆ, ἐφθόνουν δ' αὐτῷ οἱ ἀδελφοί. ὁ δὲ πατὴρ δεδιὼς περὶ τούτῳ, ἐκπέμπει πρὸς Ἀβεννήριγον τὸν Σπασίνου χάρακος βασιλέα. καὶ ὃς ἀσμένως τὸν Ἰζάτην ἐδέξατο, καὶ κηδεστὴν ἐπὶ θυγατρὶ ἐποιήσατο, καὶ χώραν αὐτῷ παρέσχε. γεγηρακὼς δὲ ὁ Μονόβαζος, ἰδεῖν ἐπεθύμει τὸν Ἰζάτην πρὸ τοῦ θανεῖν. μεταπεμψάμενος οὖν αὐτόν, φιλοφρόνως ἀσπάζεται, καὶ χώραν αὐτῷ ἀπεκλήρωσεν, ἐν ᾗ καὶ διέτριψε μέχρι τελευτῆς τοῦ πατρός. ἐκλιπόντος δὲ Μονοβάζου, ἡ βασιλὶς Ἑλένη μετεπέμψατο τοὺς μεγιστᾶνας καὶ τοὺς σατράπας. οἷς ἀφικομένοις, οὐ λέληθεν, ἔφη, ὑμᾶς, ὅτι ὁ ἀνὴρ ὁ ἐμὸς τὸν Ἰζάτην

Περὶ τῆς ἐγκυμονούσης γυναικός, ὅτι τὴν κοιλίαν [illegible]

Silam, cui inimici erãt, quasi rex id iussisset, occidendum curauerunt. Agrippa hoc modo uita finita, filiũ Agrippã reliquit, annos natũ XVII, & tres filias, quarum una Herodi eius patruo nupta fuit: duæ uirgines fuerũt, Mariamme & Drusilla. Cæterùm regis obitu cognito, Cæsariẽses & Sebasteni beneficiorum obliti, cum maledictis insectati sunt, & filiarum eius statuas in lupanaria abreptas ludibrio habuerunt: publicaq́ conuiuia coronati & unguentis delibuti celebrantes, Charonti libauerunt. Cum autem Agrippæ defuncti filium, Romæ apud se degentem, Claudius Cæsar statim ad regni successionem ablegare in animo haberet: propter familiarium sermones, periculosè tantum regnum, admodum adolescenti committi asserentium, consilio mutato, Cuspium Fadum Iudææ totius'que regni procuratorem misit, cum mandato, ut Cæsarienses & Sebastenos ob contumeliam defuncto factam obiurgaret. Fadus in Iudæam profectus, seditionem tum ortã compressit, latrocinijs prouinciam repurgauit, & pontificis stolam in Antonia castello, ut olim, reponi iussit. Sacerdotes uerò & proceres Hierosolymitani refragari non ausi, rogarunt, ut sibi liceret eam rem à Cæsare petere. quo concesso, legati Romam profecti, intercessione iunioris Agrippæ, quod uoluere, à Claudio, datis ad Fadum literis, impetrarunt. Herodes quoque Agrippæ frater, Chalcidis princeps, à Cæsare templi potestatem, sacræq́ pecuniæ, & creandi pontificis autoritatem obtinuit: atq́ ab illo omnibus eius posteris ea potestas usque ad urbis excidium mansit. Igitur loco moto Canthera, Iosepho Cami filio pontificatum tribuit. Hoc tempore Adiabenorum regina Helena, & filius eius Izates, religionem Iudaicam sunt amplexi. Monabazus enim Adiabenorũ rex, cognomento Bazæus, Helenam sororem amore captus uxorem ducit: ac aliquando cum ea prægnante cubans, manum eius uentri imposuit, ac sopitus audire uocem uisus est, quæ manum à uentre tollere iuberet, ne infantẽ qui eo gestaretur, læderet, Dei prouidentia & regnaturum, & felicem finem consecuturum. Ea uoce turbatus, uxori quid audisset, narrat: & natum filium Izaten uocat, quem præ alijs omnibus tum ex Helena, tum ex alijs mulieribus ante eum susceptis liberis, tanquam unicum dilexit. ac fratrum eius inuidiam ueritus, adolescentem ad Abennerigum Spasini ualli regem misit: à quo amanter susceptus, & gener ascitus est, assignata ditione. Monabazus autem cum senuisset, Izaten ante obitum suum uidere desiderauit: ei'que ditionem attribuit, in qua is usque ad patris obitum uitam egit. Quo defuncto, Helena regina magnatib. & satrapis accersitis: Non uos latet, inquit, maritũ meum, Izaten

Agrippæ liberi.

Cæsariensium & Sebastenorũ petulantia.

Cuspius Fadus Iudeæ procurator.

Claudius Iudæorum & Herodis postulatis annuit.

Adiabenorum regina Helena, & Izates, Iudaismũ amplectũtur.

Monobazi somnium.

Izates Adiabenorũ rex creatur.

Izaten regni successorem designasse. Sed cum cum beatum esse sciam, non qui ab uno, sed qui a pluribus, iisque uolentibus regnum acceperit: negocium hoc uestro quoque iudicio permitto. Illi statim regis iudicium amplectendum esse, seque ultro Izati, rectè & uotis omnium fratrib. prelato, parere uelle, & fratres ac cognatos eius, ut secure imperaret, in primis occidendos esse, dixerunt. Helena uerò sententiam de cæde cognatorum differendam esse censuit, donec ille uenisset, ac eandem comprobasset. Proceres uerò illos interea in uinculis habēdos esse monuerunt, donec ille uenisset. Sed regina filium natu maximum summę rerum præfecit, paterni sigilli anulo dato, qui Izati reuerso regno cessit. Sed Iudæus quidam nomine Ananias, Izati peregrè agenti familiaris factus, doctrinam de Deo & Iudæorum legibus tradidit. Accidit porrò, ut & Helena ab alio Iudæo instituta, Iudaicas cerimonias amplecteretur. Izates cum uenisset, ac cognatos in uinculis reperisset, id ægre tulit: ac solutos, ne suspecti essent, partim obsides Romam misit, partim ad Parthos. & quia matrem Iudaismo studere uidebat, ipse quoque eosdem ritus suscipere properabat, etiam circumcidi paratus. Sed mater id prohibuit: subditorū enim odium suscepturum, neque laturos illos imperiū regis Iudaizantis. Cumque eam orationem cum Anania qui tum aderat, communicasset, isque idem suaderet, tum quidem paruit. Pòst cum alius ex Galilæa Iudæus uenisset Eleazarus, eumque legem Mosaicam legentē deprehendisset: Non uerba tantum rex, inquit, legenda tibi sunt, sed mandata etiam, quæ illis continentur, exequenda. Quādiu tandem incircumcisus manebis? Rex igitur nulla interposita mora, circūcisus est. quod cum matri & Ananię significasset, ueriti sunt, ne ex ea re & sibi & regi pericula crearentur: sed eum metum Deus auertit. Helena porrò uisendi Hierosolyma & sancti Dei templi adorandi cupida, permissu filij cum maxima pecunia in urbem proficiscitur. Vbi cum multos fame pereuntes inuenisset, frumentum Alexandria aduectum, & sarcinas ficuum in Cypro emptas, inter egentes distribuit. Filius quoque eius, principibus Hierosolymitanis multum pecuniæ misit, quo pauperes iuuarentur. Atque hæc ita gesta sunt. Artabanus autem Parthorum rex, cognitis insidijs, quas sibi pararent satrapæ, ad Izaten uenit, cum cognatis & famulis circiter mille, atque in itinere illum adeptus: Ne me, inquit, rex mutata fortuna depressum, & e regio fastigio ad priuatam conditionem redactum neglexeris, sed opem ferto. Quæ illo cum lachrymis dicente, Izates eius nomine audito, equo desiluit: ac, Bono, inquit, animo esto rex. Aut enim in Parthorum regnū te reducam, aut meo tibi cedam. His dictis illum in equum sustulit, ipse pedes secutus est. Artabanus uerò iurauit, nisi & ille equum conscendisset, atque anteiret, se quoque descēsurū. Izates

Artabanus ab Izate in regnū Parthorum reducitur.

Ἰζάτην ἔκρινε τῆς βασιλείας γενέσθαι διάδοχον. ἐδόξα δὲ μακάριον τὸν μὴ παρ' ἑνός, ἀλλὰ τῶν πλειόνων, καὶ τούτων ἑκόντων τὴν βασιλείαν λαμβάνοντα, καὶ ὑπὸ τῆς ὑμῶν τὸ πρᾶγμα κρίσιν πεποίημαι. οἱ δὲ αὐτίκα καὶ τὴν τοῦ βασιλέως κρίσιν ἀσπασίαν ἡγεῖσθαι ἔλεγον, καὶ ὑπείξειν ἑκόντες Ἰζάτῃ, δικαίως προκεκριμένῳ τῶν ἀδελφῶν, καὶ κατὰ τὰς ἁπάντων εὐχάς, καὶ δεῖν προαποκτεῖναι τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς συγγενεῖς, ἵν' ἀσφαλῶς ἐκεῖνος ἄρχοι. ἡ δὲ βασιλὶς τὴν περὶ τῆς ἀναιρέσεως τῶν προσηκόντων τοῦ Ἰζάτου γνώμην ἐπισχεῖν συνεβούλευε, μέχρις ἂν ἐκεῖνος συνδοκιμάσειε παραγενόμενος. οἱ δὲ δεσμεῖν τέως αὐτοὺς ᾑροῦντο, μέχρι τῆς ἐκείνου παρουσίας. καθίστησι δὲ τὸν πρεσβύτατον υἱὸν ἡ βασίλισσα ἐπὶ τῶν πραγμάτων, ἕως ἂν ἐπανέλθοι ὁ ἀδελφός, δίδωσι δὲ καὶ τὸν τοῦ πατρὸς συμμαντῆρα δακτύλιον. ἧκεν οὖν ὁ Ἰζάτης, καὶ ὁ ἀδελφὸς ὑπεδέξατο, καὶ ὑπεξέστη αὐτῷ τῆς ἀρχῆς. ὄντι δ' αὐτῷ ἐν τῇ ἀποδημίᾳ, Ἰουδαῖός τις Ἀνανίας καλούμενος, γνωστὸς γεγονώς, ἐδίδαξεν αὐτὸν τὸν θεόν, καὶ τὰ τῶν Ἰουδαίων νόμιμα. συνέβη δὲ καὶ τὴν Ἑλένην ὑφ' ἑτέρου Ἰουδαίου κατηχηθεῖσαν εἰς τὰ Ἰουδαϊκὰ ἔθη μεταθέσθαι. ἐλθὼν οὖν ὁ Ἰζάτης, καὶ δεδεμένους τοὺς συγγενεῖς εὑρηκώς, ἐδυσχέρανε, καὶ ἔλυσε μέν· ἔπεμψε δέ, ἵνα μὴ ὕποπτοι παρόντες ὦσι, τοὺς μὲν εἰς Ῥώμην ὁμηρεύσοντας, τοὺς δὲ πρὸς Πάρθους. γνοὺς δὲ τὴν μητέρα τὰ Ἰουδαίων ἀσπασαμένην, ἔσπευσε καὶ αὐτὸς εἰς ἐκεῖνα μεταθέσθαι, καὶ περιτμηθῆναι ἕτοιμος ἦν. ἡ δὲ μήτηρ ἐκώλυε, λέγουσα, ὡς δυσμενεῖς τοὺς ὑπηκόους διὰ τοῦτο ἕξει, οὐκ ἀνέξεσθαί τε ὑπὸ Ἰουδαΐζοντος βασιλεύεσθαι. ὁ δὲ εἰς τὸν Ἀνανίαν παρόντα τοὺς λόγους ἀνέφερε. τούτου δὲ τὰ αὐτὰ συμβουλεύσαντος, ἐπείσθη μὲν τότε ὁ βασιλεύς. ἕτερος δ' αὖθις ἐκ Γαλιλαίας Ἰουδαῖος Ἐλεάζαρ ἀφικόμενος, καὶ καταλαβὼν αὐτὸν τὸν Μωσέως νόμον ἀναγινώσκοντα, οὐ λόγους μόνον ἀναγινώσκειν σε δεῖ βασιλεῦ, ἔφη, ἀλλὰ καὶ τὰ ὑπ' αὐτῶν διατεταγμένα ποιεῖν· μέχρι τίνος ἀπερίτμητος μένεις; ὁ δὲ οὐχ ὑπερεβάλετο τὴν πρᾶξιν, ἀλλὰ περιετμήθη· καὶ τῇ μητρὶ καὶ τῷ Ἀνανίᾳ τὸ πραχθὲν τὸ ἔργον ἐδήλου. οἱ δ' εἰς φόβον ἐνέπεσον, μὴ καὶ ὁ βασιλεὺς καὶ αὐτοὶ κινδυνεύσωσιν. ὁ δὲ θεὸς τὸν φόβον ἐλθεῖν εἰς τέλος οὐ συνεχώρησεν. Ἑλένη δὲ ἐπιθυμίαν ἔσχεν εἰς Ἱεροσόλυμα ἀφικέσθαι, καὶ προσκυνῆσαι τὸ τοῦ θεοῦ ἱερόν. καὶ τοῦ υἱοῦ ἐπιτρέψαντος, καὶ χρήματα τὰ πλεῖστα δόντος, ἄπεισιν εἰς Ἱεροσόλυμα. καὶ λιμῷ φθειρομένους πολλοὺς εὑροῦσα ἐκεῖ, σῖτόν τε ἐξ Ἀλεξανδρείας ἐκόμισε, καὶ ἰσχάδων φόρτον ἐκ Κύπρου πολλῶν χρημάτων πριαμένη, τοῖς ἀπορουμένοις διένειμε. καὶ ὁ παῖς δὲ αὐτῆς πολλὰ χρήματα τοῖς πρώτοις τῶν Ἱεροσολυμιτῶν ἔπεμψεν, ἵν' οἱ λιμώττοντες διὰ τούτων, ὡς εἰκός, ἐπικουρηθῶσι. καὶ ταῦτα μὲν οὕτως. Ἀρτάβανος δὲ ὁ τῶν Πάρθων βασιλεύς, ἐπιβουλὴν γνοὺς τοὺς σατράπας κατ' αὐτοῦ μελετήσαντας, ἀφικνεῖται πρὸς Ἰζάτην, συγγενῶν τε καὶ οἰκετῶν περὶ χιλίους ἐπαγόμενος. καὶ καθ' ὁδὸν τῷ Ἰζάτῃ ἐντυχών, καί φησι, μή με παρίδῃς, ὦ βασιλεῦ, ταπεινὸν ἐκ μεταβολῆς γεγονότα, καὶ ἰδιώτην ἐκ βασιλέως, ἀλλ' ἐπικούρησον. ταῦτα σὺν δάκρυσιν ἔλεγεν. ὁ δὲ Ἰζάτης ἀκούσας τὸ ὄνομα, κατεπήδησε τοῦ ἵππου, καὶ θάρσει, ἔφη, ὦ βασιλεῦ. ἢ γὰρ εἰς τὴν Πάρθων βασιλείαν σε καταστήσω, ἢ τῆς ἐμῆς σοι ἐκστήσομαι. ταῦτα εἰπών, καὶ ἐπὶ τὸν ἵππον αὐτὸν ἀνεβίβασεν, αὐτὸς δὲ πεζὸς παρείπετο. καὶ ὁ Ἀρταβάνης ὤμοσεν, εἰ μὴ κἀκεῖνος ἀναβαίη τὸν ἵππον, καὶ προηγοῖτο, καταβήσεσθαι καὶ αὐτός.

Ἰζάτης ὁ Ἰζάτου μετατίθεται εἰς τὴν Ἰουδαϊκὴν θρησκείαν, καὶ ἡ τούτου μήτηρ ἐκείνῳ ὁμοίως, καὶ εἰς Ἱεροσόλυμα ἀπῆλθεν εἰς τὸ τοῦ θεοῦ ἱερόν.

περὶ Ἀρταβάνου τοῦ τῶν Πάρθων βασιλέως, ἰόντος εἰς Ἰζάτην δι' ἐπιβουλήν.

ὅτι ὑπὸ Ἰζάτου πάλιν ὁ Ἀρταβάνης εἰς τὴν τῶν Πάρθων βασιλείαν.

πεισθεὶς

πεισθεὶς δ' ὁ Ἰζάτης, ἐπὶ τὸν ἵππον ἥλατο, καὶ πᾶσαν τιμὴν ἀπένειμε τῷ Πάρθῳ, ὡς τῷ βασιλεῖ ἀγαγών. γράφει τε πρὸς τοὺς Πάρθους, τὸν Ἀρτάβανον δέξασθαι. τῶν δὲ Πάρθων δέξασθαι μὲν συντιθεμένων, μὴ δύνασθαι δὲ καὶ τὴν ἀρχὴν ἀποδοῦναι, ἤδη ἑτέρῳ πεπιστευμένην, ὁ Κίνναμος (οὕτω γὰρ ὠνόμαστο ὁ τὴν βασιλείαν παρειληφώς) γράφει τῷ Ἀρταβάνῳ (ὑπ' αὐτοῦ γὰρ ἐτέθραπτο, καὶ ἦν ἀγαθός) παρακαλῶν αὐτὸν ἀφικέσθαι πιστεύσαντα, καὶ τὴν ἀρχὴν παραλήψεσθαι. καὶ ὁ Ἀρτάβανος πιστεύσας ἀπῄει. ὑπήντα δὲ αὐτῷ ὁ Κίνναμος, ὃς δὴ προσκυνήσας καὶ βασιλέα προσαγορεύσας, περιτίθησιν αὐτοῦ τῇ κεφαλῇ τὸ διάδημα, τῆς ἑαυτοῦ ἀφελόμενος. οὕτω δὲ χρόνῳ ἐξαετεῖ εἰς τὴν ἀρχὴν ἀποκαταστὰς ὁ Ἀρτάβανος, οὐκ ἀμνημόνησε τῶν Ἰζάτου καλῶν, ἀλλ' ἀμείβεται τοῦτον. μετὰ δὲ τινα χρόνον Ἀρταβάνου θανόντος, Οὐαρδάνης ὁ παῖς ἐκείνου τὴν βασιλείαν παρεδέξατο. καὶ πρὸς Ἰζάτην ἐλθὼν, συμμαχῆσαι αὐτῷ ἠξίου κατὰ Ῥωμαίων. ὁ δὲ οὐκ ἐπείθετο, ἀλλὰ καὶ συνεβούλευε παύσασθαι τῆς ἐπ' ἐκείνους στρατείας, καὶ μὴ ἀδυνάτοις ἐπιχειρεῖν. ὁ δὲ πόλεμον τῷ Ἰζάτῃ μὴ πειθομένῳ κατήγγειλεν. ἀλλ' οἱ Πάρθοι μαθόντες, ὡς ἐπὶ Ῥωμαίους στρατεύειν βούλεται, αὐτὸν μὲν ἀναιροῦσι, τὴν δὲ βασιλείαν τῷ ἀδελφῷ Κοτάρδῃ διδόασιν, ὃν ἐξ ἐπιβουλῆς τελευτήσαντα διαδέχεται Οὐολογέσης ὁ ἀδελφός. ὁ δὲ τοῦ Ἰζάτου ἀδελφὸς Μονόβαζος, καὶ οἱ συγγενεῖς ἰουδαΐσαι καὶ αὐτοὶ ἐπιθυμήσαντες, καὶ τὴν ἔφεσιν εἰς ἔργον ἐξήνεγκαν. γίνεται δ' ἡ πρᾶξις αὐτῶν τοῖς ὑπηκόοις κατάφωρος. καὶ γράφουσι πρὸς Ἄβιαν τῶν Ἀράβων βασιλέα, εἰ στρατεύσοιτο κατὰ τοῦ σφετέρου βασιλέως, χρήματα πολλὰ παρέχειν αὐτῷ, ἐπαγγελλόμενοι περὶ τὴν πρώτην συμβολὴν καὶ αὐτοὶ καταλείψειν αὐτόν. πείθεται τούτοις ὁ ἄραψ· καὶ πολλὴν ἐπαγόμενος δύναμιν, ἧκεν ἐπὶ τὸν Ἰζάτην. καὶ συμβολῆς γενομένης, καταλείπουσι τὸν Ἰζάτην οἱ αὐτοῦ, ἐκ συνθήματος, καὶ νῶτα τρέψαντες ἔφευγον. γνοὺς δὲ τὴν προδοσίαν Ἰζάτης γενομένην ὑπὸ τῶν μεγιστάνων, εἰς τὸ στρατόπεδον ὑποχωρεῖ, καὶ εὑρὼν τοὺς αἰτίους ἐκόλασε. τῇ δ' ὑστεραίᾳ συμβαλὼν νικᾷ, καὶ εἰς φυγὴν τοὺς Ἄραβας ἔτρεψε, τὸν δὲ βασιλέα αὐτῶν εἰς φρούριόν τι συνήλασε διωκόμενον. καὶ ὁ μὲν ἑαυτὸν ἀνεῖλεν, ἁλισκόμενος ἤδη. τὸ δὲ φρούριον εἷλε, καὶ τὰ ἐν αὐτῷ διαρπάσας, ὁ Ἰζάτης εἰς τὰ οἰκεῖα ὑπέστρεψεν. οἱ δὲ τῶν Ἀδιαβηνῶν μεγιστᾶνες Βολογέσῃ τῷ Πάρθων γράφουσι βασιλεῖ, καὶ ἀξιοῦσιν ἀποκτεῖναι μὲν τὸν Ἰζάτην, καταστῆσαι δὲ σφίσι δυνάστην ἐκ Πάρθων. μισεῖν γὰρ τὸν ἑαυτῶν βασιλέα ξένην θρησκείαν προσηλυτεύσαντα. ὁ γοῦν Πάρθος αὐτίκα μετὰ πλείστης δυνάμεως ὥρμησε, καὶ ὁ Ἰζάτης ἀντεστρατοπεδεύσατο. πεμφθεὶς δέ τις ἐκ τοῦ Πάρθου, ἔλεγε τῷ Ἰζάτῃ, ὁπόση εἴη τῶν Πάρθων ἡ δύναμις, καὶ ὡς Βολογέσης ἀπειλεῖ, δίκας εἰσπράξειν αὐτὸν, ἀχαρίστου περὶ δεσπότας γενομένου. ἐξελέσθαι γὰρ αὐτὸν τῶν αὐτοῦ χειρῶν, οὐδὲ τὸν θεὸν ὃν σέβει δυνήσεσθαι. πρὸς ταῦτα ὁ Ἰζάτης, τὴν μὲν δύναμιν τῶν Πάρθων γινώσκειν, ἀπεκρίνατο, εἰδέναι δ' ἀνθρώπων τὸν θεὸν δυνατώτερον. ταῦτα εἰπὼν, καὶ ἱκέτευε τὸν θεόν. κατ' ἐκείνην οὖν τὴν νύκτα ἐπιστολὰς Βολογέσης δεξάμενος, πολεμίους ἐμβαλόντας τῇ Παρθυηνῇ, ταύτην πορθεῖν, αὐτίκα αὐτόθεν ἀνέζευξεν ἄπρακτος. καὶ οὕτως Ἰζάτης προμηθείᾳ θεοῦ τὰς ἀπειλὰς τοῦ Πάρθου διέφυγε. μετὰ δὲ τινα χρόνον θνήσκει, πεντήκοντα καὶ πέντε ζήσας ἐνιαυτούς, εἴκοσι δὲ καὶ τέσσαρας ἀνύσας ἐν τῇ ἀρχῇ· θνήσκει δ' ἐπὶ παισὶν εἴκοσι καὶ τέσσαρσιν ἄρρεσι, καὶ τοσαύταις θηλείαις.

[illegible] πρὸς Ἰζάτην τὸ πρῶτον ἐν προδοσίᾳ τῶν ἰδίων, ἄραβας [illegible].

φάδου

Izates igitur ei obsecutus, in equum insiluit, & Partho in regiam perducto omnem honorẽ habuit. Scripsit etiam ad Parthos, ut Artabanum recipiant. Qui cum se illum quidem recepturos, sed in regnum restituere non posse, iam alteri creditum, responderent: Cinamomus (id enim ei nomen erat, qui regnum susceperat) uir bonus, Artabanum à quo educatus fuerat, per literas hortatur, ut sua fide ueniat, atque imperiũ recipiat. Artabano redeunti obuiam progreditur, eum adorat, regem appellat: diadema suo capiti demptũ, illius imponit. Sic ab Izate sex annis in regnum restitutus Artabanus, meritorum eius non fuit immemor, sed ea remuneratus est. Verùm aliquanto pòst eo mortuo, Bardanes eius filius regno potitus, ad Izatem uenit, ab eoque petijt, ut secum belli societatem contra Romanos coiret. Qui cũ refragaretur, eũque hortaretur ut illam expeditionem omitteret, neque res aggrederetur quæ fieri non possent: Bardanes bellum Izati indicit. sed Parthi eius consilio intellecto, eum occidunt, & regnum fratri eius Icotardæ deferunt: cui per insidias cæso, Vologeses frater succedit. At Izatis frater Monobazus, et cognati, Iudaismi amore capti, cum desiderium suum expleuissent: subditi re animaduersa, Abiæ Arabum regi per literas magnam pecuniam promiserunt, si regi bellum inferret: cum se quoque in primo congressu relicturos polliciti. Paret Arabs, & cum magnis copijs Izaten adoritur. qui in primo congressu à suis ex composito desertus, tergis obuersis fugientibus: magnatum proditione cognita, in castra recedit. & autoribus sceleris supplicio affectis, postridie Arabes uincit, fugatque: & regem eorum in castellum quoddam compellit. qui ne in hostium manus ueniret, ipse sibi necem consciuit. quo castello capto atque direpto, Izates ad sua redijt. Cæterùm cum Adiabenorum satrapæ à Vologese Parthorum rege per literas petijssent, ut Izate interfecto, dynasten Parthicum sibi præficeret. Se enim odisse regẽ suum peregrinam superstitionem amplexum: Parthus statim cum maximis copijs irruit, Izates ex aduerso castra locat. ei quidam à Partho missus narrat, quantæ sint Parthorum uires: & ut Vologeses minitetur, se pœnas ab eo exacturum ingrati animi erga dominos: ac ne Deum quidem quem colat, cum è manibus Vologesis eripere posse. Ad hæc Izates, se Parthorum nosse uires, respondet: sed Deum hominibus potentiorem esse, scire. His dictis, supplicauit Deo. Vologeses autem ea nocte per literas edoctus, hostes Parthiã uastare, statim re infecta discessit. Sic Izates prouidẽtia Dei, Parthi minis euitatis, aliquãto pòst moritur, anno ætatis LV, regni XXIIII, relictis XXIIII filijs, et totidẽ filiab.

Cinamomus gratitudo erga Artabanum.

Izates ob Iudaismum à suis proditus, Arabes uincit.

Vologeses Izati nihil incommodat.

Fado

Theudæ seditio à Fado uindicata.

Fado Iudęā procurante, quidā impostor Theudas maximæ turbę persuasit, ut possessionib. secū acceptis, se, qui uates sit, & suo iussu fluuium scindere possit, ad Iordanem sequantur: se plurimos seduxit. Fadus uerò, turmis equitum in eos immissis, multos occidit, plures cępit: ipsumq́ Theudā, cuius caput amputatū & Hierosolyma perlatū est. Fado Tiberius Alexander successit, Alexandri Alabarchi Alexandrini filius. Iacobus quoq; & Simō, Iudæ Galilæi filij, à quo populus ad defectionē impulsus fuerat, Cyrenio cēsore interfecti sunt, quos Alexander in cruces sustulit. Herodes Chalcidis rex Iosepho Cemedi F. pontificatū ademptū Ananię Nedebæi filio tribuit. Tiberio Alexandro Cumanus successor datus est. Octauo monarchiæ Claudij anno, Herodes maioris Agrippæ frater obit, tribus filijs relictis: sed eius principatū Claudius iuniori Agrippæ dedit. Cumanus Iudæę procurator, multitudine Paschatis in festo Hierosolymis cōgregata, ad res nouas cauēdas, tumultū́q; sedādū, milites armatos in tēpli porticib. disposuit, idquod & decessores eius fecerant. Quarto aūt festi die, eorū militū quidā pudenda palam ostendit. Eam ob rem populi ira, quasi in Deum miles impius extitisset, atq; audaciorū conuicijs Cumanus irritatus, omnē exercitū in Antoniā castellū, templo imminens, conuocauit. Quibus cōspectis, populus in fugam se dedit: in qua propter exitus angustias ad XX millia oppressa & cōculcata sunt, festiuitate in lamentationē conuersa. Qua nō dum finita, malum aliud accessit. Nam cum quidam nouis rebus gaudentes, Stephano Cæsaris seruo in itinere insidijs excepto, omnia bona eripuissent: Cumanus milites è uicinis agris prędas agere, & clarissimos quosq; incolarū ad se adducere iubet. Quod cum fieret, miles quidā, adolescens audax & temerarius, leges Mosis in pago quodā uenerabiliter repositas, in conspectu multorū cum conuicijs & ludibrijs discerpsit. Quamobrē Iudæi Cumanū adiere, supplicantes, ut contumeliā non sibi, sed Deo factam uindicaret. Is ueritus, ne populus denuò concitaretur, milite illo securi percusso, motū illum compressit. Sed & Samaritani cum Iudæis inimicitias exercuerunt, tali de causa. Cum Galilæi Hierosolyma iter habentes, per quendam Samaritanorum pagum transirent, eorum complures quidam ex insidijs adorti occiderūt. Principes uerò Galilæorum à Cumano petierunt, ut necem illorum ulcisceretur. quod illo muneribus corrupto negligente, indignati, sumptis armis aliquot Samaritanorum pagos diripuerunt atque incenderunt. Eos Cumanus cū exercitu adortus, multos occidit, plures cæpit. Hierosolymitani uerò principes saccos induti, & capitib. cinere conspersis, precibus à seditiosis impetrarunt, ut mutatis consilijs, abiectisq; armis quiescerent: quibus dispersis, regio latrocinijs

Regnum Herodis Agrippæ iuniori tributum.

Iudæorum XX millia oppressa.

Miles ob discerptam legem Mosaicam, securi percussus.

Samaritanorum & Iudæorum inimicitiæ.

φάδου μέν τοι τῆς ἰουδαίας ἐπιτροπεύοντος, ἀνήρ τις γόης θευδᾶς ὄνομα, πείθει τὸν πλεῖστον ὄχλον, ἀναλαβόντα τὰς κτήσεις, ἕπεσθαι πρὸς τὸν ἰορδάνην αὐτῷ. προφήτης γὰρ ἔλεγεν εἶναι, καὶ σχίσας τὸν ποταμὸν προστάγματι διάξειν, καὶ πλείστους ἠπάτησε. πέμψας δ' ἐπ' αὐτοὺς ἴλην ἱππέων ὁ φάδος, πολλοὺς μὲν ἀνεῖλεν, ὁμοίως δ' ἐζώγρησε, καὶ αὐτὸν τὸν θευδᾶν, οὗ τὴν κεφαλὴν ἐκτεμόντες, ἐκόμισαν εἰς ἱεροσόλυμα. φάδον δὲ τιβέριος ἀλέξανδρος διαδέχεται, ὁ ἀλεξάνδρου τοῦ ἀλαβαρχήσαντος ἐν ἀλεξανδρείᾳ υἱός. καὶ οἱ παῖδες δὲ τοῦ γαλιλαίου ἰούδα, ἰάκωβος καὶ σίμων τοῦ τὸν λαὸν ἀποστήσαντος κυρηνίου τιμητεύοντος, ἀνῃρέθησαν, οὓς ἀνεσταύρωσεν ὁ ἀλέξανδρος. ὁ δὲ τῆς χαλκίδος βασιλεὺς ἡρώδης μετέστησε τῆς ἀρχιερωσύνης ἰωσὴφ τὸν τοῦ καμυδοῦ, ἀνανίᾳ τῷ τοῦ νεδεβαίου παρεγχειρίσας αὐτήν. τιβερίῳ δ' ἀλεξάνδρῳ κούμανος ἦλθε διάδοχος. ἐν ὀγδόῳ δ' ἔτει τῆς κλαυδίου μοναρχίας, ἡρώδης ὁ τοῦ μεγάλου ἀγρίππου ἀδελφὸς τελευτᾷ ἐφ' υἱοῖς τρισί, τὴν δ' ἀρχὴν αὐτοῦ τῷ νεωτέρῳ ἀγρίππᾳ δίδωσι κλαύδιος. κουμανοῦ δὲ τῆς ἰουδαίας ἐπιτροπεύοντος, πλῆθος κατὰ τὴν ἑορτὴν τοῦ πάσχα εἰς ἱεροσόλυμα ἤθροιστο. ἵνα γοῦν μή τι νεωτερισθείη παρὰ τοῦ πλήθους ὄντος πολλοῦ, στρατιώτας ἐνόπλους ἐπὶ τῶν τοῦ ἱεροῦ στοῶν ὁ κούμανος ἔστησε, καταστελοῦντας τὸν θόρυβον εἰ γένοιτο. τοῦτο δὲ καὶ οἱ πρὸ αὐτοῦ ἐποίουν. τετάρτῃ δ' ἡμέρᾳ τῆς ἑορτῆς στρατιώτης τις τῶν ἐν ταῖς στοαῖς ἀνακαλυψάμενος τὴν αἰδῶ, τοῖς πλήθεσιν ἐπεδείκνυεν. οἱ δ' ἐθυμοῦντο, ὡς εἰς τὸν θεὸν τοῦ στρατιώτου ἀσεβηκότος, καὶ οἱ θρασύτεροι τὸν κούμανον ἐβλασφήμουν. ὁ δὲ πρὸς τὰς βλασφημίας ἠρέθιστο, καὶ κελεύει τὸ στράτευμα πᾶν ἄγειν εἰς τὴν ἀντωνίαν τὸ φρούριον, τῷ ἱερῷ ἐπικείμενον. τὸ πλῆθος οὖν τοὺς ὁπλίτας θεασάμενον, εἰς φυγὴν ὥρμησε, καὶ τῶν ἐξόδων στενῶν οὐσῶν, συνωθούμενοι κατὰ τὴν φυγήν, πολλοὶ ὑπ' ἀλλήλων συνθλιβόμενοι καὶ συμπατούμενοι διεφθάρησαν, ὡς εἰς δύο μυριάδας ἀριθμηθῆναι τοὺς τότε διαφθαρέντας, καὶ πένθος ἦν ἀντὶ πανηγύρεως. οὔπω τὸ πένθος τοῦτο κατεύναστο, καὶ κακὸν προσῆλθεν ἕτερον. τινὲς γὰρ τῶν ἐπὶ νεωτερισμοῖς ἡδομένων, στεφανόν τινα δοῦλον τοῦ καίσαρος ὁδοιποροῦντα λῃστεύσαντες, ἅπασαν αὐτοῦ τὴν κτῆσιν ἁρπάζουσι. διὸ πέμπει στρατιώτας ὁ κούμανος, κελεύσας αὐτοῖς τὰς πλησίον χώρας ληΐσασθαι, καὶ τοὺς ἐπιφανεστάτους αὐτῶν δεσμίους ἐπ' αὐτὸν ἀγαγεῖν. τοῦ δὲ χωρίου ἐκπόνως πορθουμένου, νεανίας τις τῶν στρατιωτῶν θρασὺς καὶ ἀπόπληκτος, τοῖς μωσέως ἐντυχὼν νόμοις, ἔν τινι κώμῃ σεβασμίως κειμένοις, ἐπ' ὄψεσι πολλῶν διέρρηξεν αὐτούς, βλασφημῶν καὶ καταγελῶν. προσίασιν οὖν τῷ κουμάνῳ οἱ ἰουδαῖοι, ἱκετεύοντες, μὴ αὐτούς, ἀλλὰ τὸν θεόν, οὗ οἱ νόμοι καθυβρίσθησαν, ἐκδικῆσαι. καὶ ὁ κούμανος δείσας, μὴ τὸ πλῆθος πάλιν νεωτερίσῃ, τὸν ἐνυβρίσαντα τοὺς νόμους πελεκίσας, τὴν στάσιν κατέπαυσεν. ἀλλὰ καὶ σαμαρείταις ἔχθρα πρὸς ἰουδαίους ἐγένετο, ἧς δ' αἰτία ἦν αὕτη. γαλιλαῖοι εἰς ἱεροσόλυμα πορευόμενοι, διά τινος κώμης ᾔεσαν τῶν σαμαρέων. καί τινες αὐτοῖς ἐπιθέμενοι, πολλοὺς ἀνεῖλον. οἱ πρῶτοι γοῦν τῶν γαλιλαίων τῷ κουμάνῳ προσίασι, παρακαλοῦντες τοὺς ἀνῃρημένους ἐκδικηθῆναι. ὁ δὲ δωροδοκηθείς, τῆς ἐκδικήσεως ὑπερεφρόνησεν. ἀγανακτήσαντες οὖν οἱ γαλιλαῖοι, πρὸς ὅπλα ἐχώρησαν, καὶ κώμας τινὰς τῶν σαμαρέων ἐμπρήσαντες, διαρπάζουσι. κούμανος δὲ σὺν δυνάμει τοῖς γαλιλαίοις ἐπῆλθε, καὶ πολλοὺς μὲν αὐτῶν ἔκτεινε, πλείους δὲ ζῶντας εἷλεν. οἱ πρῶτοι δὲ τῶν ἱεροσολύμων μεταμφιεσάμενοι σάκκους, καὶ τὰς κεφαλὰς σποδῷ καταπάσαντες, παρεκάλουν τοὺς ἀφισταμένους μεταθέσθαι τὸν λογισμόν, καὶ τὰ ὅπλα ῥίψαντας ἠρεμεῖν· καὶ ἔπεισαν. οἱ μὲν οὖν διελύθησαν, ἡ χώρα δ' ἐξ ἐκείνου λῃστρικῶν

περὶ τοῦ γόητος θευδᾶ.

ὁ ἰωσήπου σύλλογος.

περὶ ἀλαβάρχου.

περὶ τῶν φονευθέντων ἐν τῷ ἱερῷ διὰ τὸ στενὸν τῶν ἐξόδων [illegible] ἰουδαίων.

ὅπως [illegible] πελεκίζεται.

πεπλήσ-

πεπλήρωτο. Σαμαρεῖς δὲ πρὸς Κουαδράτον τὸν Συρίας ἡγεμονεύοντα κατηγόρουν τῶν Ἰουδαίων, ὡς ἐμπρησάντων τὰς κώμας αὐτῶν. Ἰουδαῖοι δὲ Σαμαρεῖς ᾐτιῶντο, ὡς αἰτίους τῆς στάσεως. καὶ πρὸ αὐτῶν Κούμανον, δώροις διεφθαρμένον, καὶ τοὺς ἀνῃρημένους μὴ ἐκδικάσαντα. Κουαδράτος δὲ ὑπερθέμενος τὴν κρίσιν, εἶπεν, ἥξειν εἰς τὴν Ἰουδαίαν, κἀκεῖ τὴν ἀλήθειαν γνοὺς, ἀποφήνασθαι. ἀφικόμενος εἰς Σαμάρειαν, καὶ ἐξετάσας τὰ πεπραγμένα, αἰτίους τῆς ταραχῆς ἔγνω τοὺς Σαμαρεῖς· Ἰουδαίους δὲ οὓς δεδεμένους εἶχεν ὁ Κούμανος, ἀνεσταύρωσεν ὡς νεωτερίσαντας. τὸν δὲ Ἀνανίαν τὸν ἀρχιερέα καὶ τὸν στρατηγὸν Ἄνανον δήσας, εἰς Ῥώμην ἀπέστειλε, λόγον περὶ τῶν πεπραγμένων Κλαυδίῳ ὑφέξοντας. ἐκέλευσε δὲ καὶ τοὺς Σαμαρέων καὶ Ἰουδαίων πρώτους, καὶ Κουμανὸν τὸν ἡγεμόνα, καὶ τὸν χιλίαρχον Κέλερα, ἀφικέσθαι καὶ αὐτοὺς πρὸς τὸν αὐτοκράτορα, διαδικασομένους περὶ τῶν πρὸς ἀλλήλους ζητήσεων. ἐπιγνοὺς δὲ, δικαστὴς καθίσας ὁ Κλαύδιος, καὶ γνοὺς τοὺς Σαμαρεῖς τῶν κακῶν ἀρχηγοὺς, τοὺς ἀναβάντας πρὸς αὐτὸν ἀναιρεθῆναι προσέταξε. φυγὴν δὲ τοῦ Κουμάνου κατεψηφίσατο· τὸν μέντοι Κέλερα τὸν χιλίαρχον εἰς Ἱεροσόλυμα ἀπαχθῆναι ἐκέλευσε, καὶ συρέντα πάντων ὁρώντων διὰ τῆς πόλεως, οὕτως ἀναιρεθῆναι. πέμπει δὲ ὁ Καῖσαρ Φήλικα τῶν Ἰουδαίων ἐπιτροπεύσοντα· Ἀγρίππᾳ δὲ δωρεῖται τὴν Φιλίππου τετραρχίαν, καὶ Βαταναίαν, καὶ τὴν Τραχωνῖτιν σὺν Ἀβίλᾳ, αὕτη δὲ Λυσανίου ἦν τετραρχία. τῆς δὲ Χαλκίδος ἀφαιρεῖται αὐτὸν, ἔτη τέσσαρα ταύτης ἄρξαντα. ὁ δὲ Ἀγρίππας ἐκδίδωσι πρὸς γάμον Ἀζίζῳ τῷ Ἐμεσηνῶν βασιλεῖ, περιτμηθῆναι θελήσαντι, Δρουσίλλαν τὴν ἀδελφὴν, τοῦ Ἐπιφανοῦς Ἀντιόχου παραιτησαμένου τὸν γάμον, ὅτι μὴ ἰουδαΐσαι ἐβούλετο. καὶ Μαριὰμ κατεγγυᾷ Ἀρχελάῳ τῷ Ἑλκίου παιδὶ, ὑπ᾿ Ἀγρίππα τοῦ πατρὸς πρώην μνηστευθεῖσαν αὐτῷ. Φῆλιξ δὲ τῆς Ἰουδαίας ἐπιτροπεύων, καὶ τὴν Δρουσίλλαν ἰδὼν κάλλους περιττοῦ ἔχουσαν, ἑάλω τῷ ταύτης ἔρωτι, καὶ πείθει καταλιποῦσαν τὸν ἄνδρα, αὐτῷ γαμηθῆναι. τεκοῦσα δὲ ἐξ αὐτοῦ παῖδα, Ἀγρίππαν αὐτὸν ὠνόμασε. λέγεται δὲ κατὰ τοὺς Τίτου χρόνους ἡ γυνὴ σὺν τῷ παιδὶ νεανίᾳ γεγενημένῳ ἀφανισθῆναι κατὰ τὸ Βέσβιον ὄρος, πυρφόρον ὂν, καὶ τότε μᾶλλον ἐκπυρωθέν. Βερνίκη δὲ ἑτέρα ἀδελφὴ τοῦ Ἀγρίππα, συνοικοῦσα Ἡρώδῃ τῷ θείῳ, θανόντος ἐκείνου, Πολέμωνι συνῳκήσατο, περιτμηθῆναι θελήσαντι διὰ τὴν φήμην, τὴν λέγουσαν αὐτὴν τῷ ἀδελφῷ συνεῖναι καθ᾿ ἔρωτα, ἵν᾿ οὕτω τὴν διαβολὴν ἀποφύγῃ ψευδῆ. οὐ μὴν ἔμεινεν ὁ γάμος ἐπὶ πολὺ, τῆς Βερνίκης καταλιπούσης τὸν Πολέμωνα. τελευτᾷ δὲ Κλαύδιος Καῖσαρ, βασιλεύσας ἔτη τρισκαίδεκα, καὶ μῆνας ὀκτὼ, ἐφ᾿ ἡμέραις εἴκοσι. λόγος δέ ἐστιν, ὡς ὑπὸ τῆς γυναικὸς Ἀγριππίνης φαρμάκοις ἀνῄρητο, ἧς πατὴρ ἦν Γερμανικὸς, ὁ Καίσαρος ἀδελφὸς, ἀνὴρ δὲ Δομίτιος Αἰνόβαρβος τῶν ἐπισήμων ἐν Ῥώμῃ. οὗ τελευτήσαντος, χηρεύσασαν αὐτὴν ὁ Κλαύδιος ἠγάγετο, ἔχουσαν καὶ παῖδα Δομίτιον ὁμώνυμον τῷ πατρί. ἀνῃρήκει γὰρ τὴν γυναῖκα Μεσσαλῖναν διὰ ζηλοτυπίαν, ἐξ ἧς παῖδας εἶχε Βρεταννικὸν καὶ Ὀκτάβιον. καὶ Ὀκταβίαν δὲ πρεσβυτέραν τῶν ἀδελφῶν ἐκ προτέρας ἑτέρας γυναικὸς ἔχων, ἣν τῷ Νέρωνι ἥρμοσε· τοῦτο γὰρ τὸν τῆς Ἀγριππίνης υἱὸν τὸν Δομίτιον μετωνόμασεν οὕτως ὁ Καῖσαρ, εἰσποιησάμενος αὐτόν. ἵνα δ᾿ οὖν τούτῳ τὴν αὐταρχίαν περιποιήσηται ἡ μήτηρ Ἀγριππῖνα, κτείνει φαρμάκῳ τὸν Κλαύδιον. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς οἰκείοις καιροῖς καὶ τόποις ῥηθήσεται. ὁ δὲ λόγος τῆς ἀκολουθίας ἐχέσθω. ἦρξε μὲν οὖν ὁ Νέρων μετὰ Κλαύδιον τὴν τῶν Ῥωμαίων ἀρχήν,

τὰ δὲ

infestata est. Samaritani porrò Iudæos apud Quadratũ Syriæ prætorẽ de incensis pagis accusarunt: quos Iudæi contrà, ut seditionis autores criminati sunt, ac Cumanũ in primis, qui largitionib. delinitus, necem interfectorũ non uindicasset. Quadratus iudicio dilato, se in Iudæam uenturũ, & cognita ueritate pronunciaturũ esse dixit. Samariã profectus, rebus inquisitis, Samaritanos turbarum autores esse cõperit: Iudæos, quos Cumanus in uinculis tenebat, ut nouas res molitos, in cruces egit: Ananiam pontificem, & Ananũ ducem exercitus, uinctos Romam misit, ad actorũ suorũ rationem Claudio reddendam. Samaritanorũ quoque & Iudæorum principes, Cumanũ præsidem & Celerem tribunum ad Imperatorem ire iussit, ut ibi controuersias suas disceptarent. Claudius cum pro tribunali sedens, Samaritanos malorum extitisse autores cognouisset: eos qui uenerant, occidi: Cumanum exulare: Celerem tribunũ Hierosolyma reduci, & in conspectu omniũ per urbem tractum ita demũ occidi iussit: & Felici procurationem Iudææ mãdauit. Agrippæ, Chalcide quam annos IIII tenuerat, erepta, Philippi tetrarchiam, Batanæam & Trachonitidẽ cum Abella, quæ Lysaniæ tetrarchia fuerat, donauit. Agrippa uerò Drusillam sororẽ Azizo Emesarum regi, circumcisionem nõ recusanti, in matrimonium collocat, nuptijs eius ab Antiocho Epiphane ritus Iudaici odio repudiatis. Mariammen Archelao Helciæ filio despondit, à patre Agrippa olim promissam. Felix Iudææ procurator Drusillæ excellenti pulchritudine captus, mulieri persuadet, ut marito relicto sibi nubat: quæ filium ex eo susceptum Agrippam nominauit. Fertur autem, Titi temporibus cum eo adolescente in Vesuuio monte ignifero, ac tum magis inflammato, perijsse. Berenice altera Agrippæ soror, Herode patruo & marito defuncto, Polemoni, cum circumcisus esset, nupsit, ad abolendam incestus cum fratre calumniam. sed diuturnum coniugium non fuit, Polemone à Berenice deserto. Claudius Cæsar mortuus est anno imperij decimo tertio, mense octauo, die XX. ueneno, ut ferebatur, ab uxore Agrippina sublatus, quæ patrem habuit Germanicum, Cæsaris fratrem: maritum Domitium Aenobarbum, uirum Romæ illustrem: quo defuncto, eam uiduã Claudius duxit, cum filium haberet Domitium patri cognominem. Nam Messalinam uxorem ex zelotypia sustulerat, è qua liberos habebat Britannicum & Octauium: & filiam Octauiam natu maximam ante hos ex alia coniuge susceptam, quam Neroni (id enim nomen Agrippinæ filio Domitio Cæsar pater adoptiuus fecit) despondit. Cui ut mater imperium acquireret, Claudium ueneno sustulit. Sed hæc suo loco & tempore referentur. Nunc institutam historiæ seriem prosequamur. Post Claudij interitum, Nerone imperium adepto,

Quadratus Syriæ prætor.

Claudij sententia, de Iudæis cõtrouersijs.

Agrippæ regnum, & affinitates.

Nero Claudio succedit.

Agrippina.

Domitius.

Messalina.

Britãnicus.

Octauius.

Octauia.

s res su-

Iudaea latronibus et impostoribus referta. tes Iudaicæ continenter in deterius sunt prolapsæ, prouincia latrocinijs & impostoribus, populum seducentibus repleta: quorum multos Felix sustulit. qui Ionathæ põtifici ob crebras eius, ut Iudæam melius gubernaset, admonitiones infensus, occasionem tam molesti interpellatoris tollendi quæritans, curat ut latrones per speciem adorandi, turbæ hominũ in templo immisti, sicas sub uestibus gestantes, Ionatham occidant. Quo facinore nõ uindicato, sicarij citra metum urbem ingressi, tum suos tum aliorum inimicos mercede peremerunt. Ad hæc præstigiatores & impostores turbæ persuaserunt, ut se in loca deserta sequerentur, euidẽtia signa & miracula diuinitùs edita ostensuros: quorum multos Felix supplicijs affecit. Latrones uerò plebem ad bellũ Romanis, quibus parère detrectabant, inferendum concitabãt: eorumq́ pagos, qui parère nollent, incendebãt. *Cæsariensis seditio.* Cæsareç uerò, quã Iudæi & Syri incolebant, principatum Iudæi hac ratione sibi uendicabant, q eam urbem Herodes rex suus instaurasset. Quòd etsi confitebantur Syri, tamen prius quoq urbem fuisse Stratonis turrem asserebant, nemine tum ibi Iudæo degente. Hac de causa Cæsariensib. tumultuantibus, prouinciæ præsides sontibus flagris cæsis, tumultum nonnihil repsesserunt. Cæterùm Iudęi opibus superiores, Syros contemnebant, & cõuicijs incessebant. Illi uerò ut minus pecuniosi, ita eo freti, q plurimi Cæsarienses sub Romanis stipendia meresent, aliquandiu uerborũ cõtumelias in Iudæos regesserunt. Inde ad lapides uentum, donec utrinq multi uulnerati sunt, multi occubuerunt, uictoria tamen penes Iudæos fuit. quos cum Felix frustra monuisset ut desinerent: militib. immissis multos occidit, plures uiuos cõprehendit, eorumq́ domos diripi iussit. Sed qui moderatiores inter Iudæos erant, ab illo precibus impetrarunt, ut reuocatis militibus populo parceret, delictorum uenia concessa. *Pontificum & sacerdotum inimicitiæ.* Agrippa rex pontificatũ Ismaeli Fabij filio dedit. Cum autem inter pontifices & sacerdotes atq primos ciuitatis Hierosolymitanæ inimicitiæ intercederent: & conuicijs & lapidibus est certatũ, neque qui eos castigaret, aut seditionem premeret, quisquam fuit. Ac pontifices eò impudentiæ sunt progressi, ut ministris suis in areas missis decimas sacerdotibus debitas raperent. Vnde sacerdotes tenuiores ad egestatem redacti, fame perierunt. *Porcius Festus Iudaeæ præfect.* Poscio Festo à Nerone Felici successore dato: Iudæi Cæsarienses Felicem apud Imperatorem accusarunt. ac dedisset ille fortè pœnas iniuriarum, nisi frater eius Pallas, qui gratia multum ualebat, Neronis iram mitigasset. Sed & Cæsarienses Syri Beryllo Neronis pædagogo pecunia conciliato, literas impetrarunt, quibus Iudæis æquale ius Cæsariensis ciuitatis adimebatur. Vnde mala quæ gentem post oppresserunt, ortum habuere. Ob eas enim literas Iudæi seditionem contra Syros magis urserunt, donec bellum exarsit.

τὰ δὲ κατὰ τὴν ἰουδαίαν ἐπιδίδω πρὸς τὸ χεῖρον διηνεκῶς, καὶ λῃστρικῶν ἡ χώρα ἐνεπέπληστο, καὶ γοήτων, ἀπατώντων τὸν ὄχλον, ὧν πολλοὺς ὁ φῆλιξ συλλαμβάνων ἀνῄρει. ἔχων δὲ ἀπεχθῶς πρὸς ἰωνάθαν τὸν ἀρχιερέα ὁ φῆλιξ, πολλάκις αὐτὸν νουθετοῦντα περὶ τοῦ κρεῖττον προΐστασθαι τῶν κατὰ τὴν ἰουδαίαν, πρόφασιν ἐζήτει, δι' ἧς τὸν ἐνοχλοῦντα συνεχῶς μετακινήσειε, καὶ διὰ τῶν λῃστῶν αὐτὸν ἀναιρεῖ· οἱ γὰρ τῷ ναῷ παραγεγονότες ὡς προσκυνήσοντες, καὶ ξιφίδια φέροντες ὑπὸ τὰς ἐσθῆτας, ἀναμιχθέντες τῷ πλήθει, καὶ τὸν ἰωνάθαν ἀνεῖλον. ἀνεκδικήτου δὲ τοῦ τολμήματος μείναντος, ἀδεῶς οἱ λῃσταὶ ἀναβαίνοντες, οὓς μὲν οἰκείους ἐχθροὺς ἀνῄρουν, οὓς δ' ἑτέρων ἐπὶ μισθῷ. γόητες δὲ καὶ ἀπατεῶνες ἄνθρωποι τὸν ὄχλον ἀνέπειθον, ἕπεσθαι σφίσιν εἰς τὴν ἐρημίαν, δείξειν ἐναργῆ σημεῖα καὶ τέρατα γινόμενα ἐκ θεοῦ· ὧν πολλοὺς ὁ φῆλιξ ἐκόλαζεν· οἱ δέ γε λῃσταὶ τὸν δῆμον εἰς τὸν πρὸς ῥωμαίους ἠρέθιζον πόλεμον, θέλοντες μὴ ὑπακούειν αὐτῶν, καὶ τὰς τῶν μὴ πειθομένων κώμας ἐμπιπρῶντες διέφθειρον. σύρων δὲ καὶ ἰουδαίων τὴν καισάρειαν οἰκούντων, οἱ μὲν ἰουδαῖοι πρωτεύειν ἠξίουν, ὡς ἡρώδου τοῦ σφῶν βασιλέως τὴν πόλιν ἐγείραντος. σύροι δὲ τὰ μὲν περὶ τὸν ἡρώδην ὡμολόγουν, ἔφασαν δὲ καὶ πρόσθεν πόλιν εἶναι στράτωνος καλουμένην πύργον, καὶ μηδένα τότε τὴν πόλιν ἰουδαῖον οἰκεῖν. ταύτῃ τοι τῶν καισαρέων στασιαζόντων, οἱ τῆς χώρας ἐπιμελούμενοι πληγαῖς τοὺς αἰτίους αἰκισάμενοι, καὶ πρὸς ὀλίγον τὸν θόρυβον κατεκοίμισαν. πλούτῳ δὲ τῶν σύρων οἱ ἰουδαῖοι προέχοντες, καὶ διὰ τοῦτο καταφρονοῦντες αὐτῶν, ἐβλασφήμουν αὐτούς. οἱ δὲ χρήμασι μὲν ἐλαττούμενοι, θαρροῦντες δὲ ὡς πλεῖστοι τῶν ὑπὸ ῥωμαίοις στρατευομένων καισαρεῖς ἦσαν, μέχρι μὲν τινὸς καὶ αὐτοὶ λόγοις τοὺς ἰουδαίους ἀνθύβριζον· εἶτα λίθοις ἀλλήλους ἔβαλλον, ἕως πολλοὶ ἐτραυματίσθησάν τε καὶ ἔπεσον ἀμφοτέρωθεν· νικῶσι δὲ ἰουδαῖοι. ὁ μὲν τοι φῆλιξ παύσασθαι τοὺς ἰουδαίους ἐκέλευε, καὶ μὴ πειθομένοις τοὺς στρατιώτας ἐπαφίησι· καὶ πολλοὺς μὲν ἀνεῖλε, πλείους δὲ ζῶντας συνέσχε, καὶ οἰκίας διαρπάζειν τοῖς στρατιώταις ἐπέτρεψεν. οἱ δὲ τῶν ἰουδαίων ἐπιεικέστεροι καὶ οἱ προὔχοντες, παρεκάλουν τὸν φήλικα τοὺς στρατιώτας ἀνακαλέσασθαι, καὶ φείσασθαι αὐτῶν, δοῦναί τε αὐτοῖς ἐπὶ τοῖς πεπραγμένοις μετάνοιαν. καὶ ὁ φῆλιξ ἐπείσθη. ὁ δὲ βασιλεὺς ἀγρίππας δίδωσι τὴν ἀρχιερωσύνην ἰσμαὴλ τῷ τοῦ φαβί. ἔσχον δὲ πρὸς ἀλλήλους ἔχθραν οἵ τε ἀρχιερεῖς καὶ ἱερεῖς σὺν τοῖς πρώτοις τῶν ἱεροσολυμιτῶν, καὶ ἐκακολόγουν ἀλλήλους, καὶ λίθοις ἔβαλλον, καὶ ὁ ἐπιπλήξων ἢ τὴν στάσιν κωλύσων οὐκ ἦν. εἰς τοσοῦτον δὲ οἱ ἀρχιερεῖς ἀνῃδεύσαντο, ὡς καὶ πέμπειν ἐπὶ τὰς ἅλωνας, καὶ βίᾳ λαμβάνειν τὰς τοῖς ἱερεῦσιν ὀφειλομένας δεκάτας, ὅθεν οἱ ἄποροι τῶν ἱερέων ὑπὸ ἐνδείας ἀπέθνησκον. *[illegible]* πορκίου δὲ φήστου ὑπὸ νέρωνος σταλέντος διαδόχου τῷ φήλικι, οἱ καισαρεῖς ἰουδαῖοι κατηγόρησαν τοῦ φήλικος παρὰ νέρωνι· καὶ τάχα ἂν ἔτισε δίκας τῶν εἰς αὐτοὺς ἀδικημάτων, εἰ μὴ πάλλας ὁ ἀδελφὸς αὐτοῦ μέγα δυνάμενος παρὰ νέρωνι, τὴν αὐτοῦ ὀργὴν παρῃτήσατο. καὶ οἱ ἐν καισαρείᾳ δὲ σύροι βήρυλλον τὸν νέρωνος παιδαγωγὸν δεξιωσάμενοι χρήμασιν, ἐπιστολὴν κομίζονται καίσαρος δι' αὐτοῦ, τὴν ἰουδαίων ἰσοπολιτείαν τοῖς ἐν καισαρείᾳ σύροις ἄκυρον ἀποφαίνουσαν, ἐξ ἧς τὰ μετὰ ταῦτα κακὰ τῷ ἔθνει ἐφύη. διὰ ταύτην γὰρ τὴν ἐπιστολὴν ἰουδαῖοι πρὸς τοὺς σύρους μᾶλλον στάσεως ἦρχον, μέχρις οὗ ἀνήφθη ὁ πόλεμος.

φῆστος

Festus

περὶ τῶν σικαρίων λῃστῶν.

Φῆστος δὲ εἰς τὴν ἰουδαίαν ἐλθὼν, κακουμένην ταύτην εὗρεν ὑπὸ λῃστῶν. καὶ οἱ σικάριοι γὰρ καλούμενοι (λῃσταὶ δὲ καὶ οὗτοι εἰσὶν) τότε μᾶλλον εἰς πλῆθος συνίσταντο, χρώμενοι ξιφιδίοις ἐπικαμπέσι, καὶ ὁμοίως ταῖς ὑπὸ ῥωμαίων καλουμέναις σίκαις, ἀφ᾽ ὧν καὶ σικάριοι ὠνομάσθησαν. οἱ κατὰ τὰς ἑορτὰς τῷ πλήθει ἀναμιγνύμενοι, οὓς ἐβούλοντο ῥᾳδίως ἀπέσφαττον, καὶ τὰς κώμας δὲ διήρπαζόν τε καὶ ἐνεπίμπρασαν. πέμπει δὲ Φῆστος δύναμιν ἐπὶ τοὺς ἀπατηθέντας ὑπό τινος γόητος, σωτηρίαν ἐπαγγελλομένου τοῖς ἕπεσθαι θέλουσι μέχρι τῆς ἐρημίας αὐτῷ, κἀκεῖνόν τε τὸν ἀπατεῶνα καὶ τοὺς ἀκολουθήσαντας οἱ πεμφθέντες διέφθειραν. ὁ μέντοι βασιλεὺς ἀγρίππας οἴκημά τι μέγα δομησάμενος ἐν τοῖς βασιλείοις, ἐκαθῆτο ἐθεᾶτο τὰ ἐν τῷ ἱερῷ γινόμενα. πρὸς τοῦτο δὲ ἐχαλέπαινον οἱ τῆς πόλεως. τοῖχον οὖν ἐγείρουσιν, ὃς οὐ τῆς βασιλικῆς οἰκίας μόνης τὴν ἄποψιν ὑπετέμνετο, ἀλλὰ καὶ τῆς πρὸς δυσμὰς στοᾶς, ἔνθα τὰς φυλακὰς οἱ ῥωμαῖοι ταῖς ἑορταῖς ἐποιοῦντο διὰ τὸ ἱερόν. ἐπὶ τούτοις ἠγανάκτησεν ἀγρίππας, καὶ πλέον ὁ Φῆστος, καὶ καθελεῖν τὸν τοῖχον ἐκέλευε. οἱ δὲ παρεκάλεσαν ἐνδοῦναι αὐτοῖς, δεηθῆναι τοῦ καίσαρος. καὶ συγχωρήσαντος Φήστου, πέμπουσι δέκα ἐκ τῶν πρώτων πρὸς νέρωνα, καὶ ἰσμαὴλ τὸν ἀρχιερέα, καὶ ἑλκίαν τὸν γαζοφύλακα. καὶ ὁ νέρων τῇ γυναικὶ ποππαίᾳ ὑπὲρ ἰουδαίων ἀξιούσῃ χαριζόμενος, ἐκέλευσεν ἐᾶν τὴν οἰκοδομήν. καὶ ἡ ποππαία τοὺς μὲν ἄλλους ἀφῆκεν ἀπελθεῖν, τὸν δὲ ἰσμαὴλ καὶ τὸν ἑλκίαν κατεῖχε παρ᾽ ἑαυτῇ ὁμηρεύσοντας. καὶ ὁ βασιλεὺς ἀγρίππας τοῦτο πυθόμενος, δίδωσι τὴν ἀρχιερωσύνην ἰωσήφῳ τῷ καλουμένῳ δεκαβίζῳ, υἱῷ τοῦ ἀρχιερατεύσαντος σίμωνος. εἶτα τῷ ἀνάνῳ, υἱῷ τοῦ ἀνάνου ταύτην, τοῦ ἰωσὴφ ἀφελόμενος, προσεκλήρωσεν. οὗτος οὖν ὁ νέος ἄνανος τὴν ἀρχιερωσύνην παραλαβὼν, τολμητίας ἦν καὶ θρασύς.

περὶ ἰακώβου τοῦ ἀδελφοῦ.

Φήστου τοίνυν θανόντος, καὶ ἀλβίνου μήπω καταλαβόντος τὴν ἰουδαίαν, ὃς ἀντὶ Φήστου παρὰ νέρωνος ἐστάλη τῆς ἰουδαίας ἐπίτροπος, καθίζει συνέδριον, ἵν᾽ αὐτοῖς τοῖς ἰουδαίου χρήσωμαι ῥήμασι, παράγει τὸν ἀδελφὸν ἰησοῦ τοῦ λεγομένου χριστοῦ, ἰάκωβος ὄνομα αὐτῷ, καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορῶν αὐτῶν, καὶ παρέδωκε λευσθησομένους. ὅσοι δὲ τῶν κατὰ τὴν πόλιν ἐδόκουν ἐπιεικέστατοι, καὶ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ, καὶ κατεῖπον αὐτοῦ καὶ πρὸς ἀλβῖνον καὶ πρὸς ἀγρίππαν. διὸ τὴν ἀρχιερωσύνην ἀφελόμενος ὁ βασιλεὺς αὐτοῦ, μῆνας ἄρξαντος τρεῖς, ἰησοῦν τὸν τοῦ μνασέα κατέστησεν. ἀλβῖνος δὲ ἐλθὼν εἰς ἱεροσόλυμα, σπουδὴν εἰσηνέγκεν εἰρηνεύειν τὴν χώραν, καὶ πολλοὺς τῶν σικαρίων διέφθειρεν. ἀγρίππας δὲ δίδωσι τὴν ἀρχιερωσύνην ἰησοῦ τῷ τοῦ γαμαλιὴλ, παύσας τὸν τοῦ μνασέα ἰησοῦν. στάσις οὖν τῶν ἀρχιερέων ἐγένετο, προσεταιρισαμένων σὺν θεράποντας, ἣ μέχρι λίθων ἡ στάσις τῆς ὕβρεων τῶν πρὸς ἀλλήλους προεχώρησεν. ὅθεν τῆς ἐκείνου τοῦ χρόνου μάλιστα κακῶς ἔχειν τὴν τῶν ἱεροσολύμων πόλιν συμβέβηκε, καὶ πάντα ἐπὶ τὸ χεῖρον προκόπτειν. ἀλβῖνος δὲ γέσσιον φλῶρον μαθὼν ἐπ᾽ αὐτῷ διάδοχον, προαγαγὼν τοὺς δεσμώτας, ὅσοι ἦσαν αὐτῷ προδήλως θανάτου ἄξιοι, τούτους μὲν ἀνεῖλε· τοὺς δ᾽ ἐκ μικρῶν αἰτιῶν καθειργμένους, χρήματα λαμβάνων ἀπέλυε. καὶ οὕτως ἡ μὲν εἱρκτὴ τῶν δεσμωτῶν ἐκενώθη, ἡ χώρα δὲ λῃστῶν ἐπληρώθη. ὁ δὲ ἀγρίππας τὸν τοῦ γαμαλιὴλ ἰησοῦν τῆς ἀρχιερωσύνης ἐκβαλὼν, ματθίᾳ τῷ θεοφίλου προσένειμεν. ἐφ᾽ οὗ ὁ πρὸς ῥωμαίους ἤρξατο πόλεμος. ἤρξατο μὲν οὖν ἡ ἀρχιερωσύνη ἐξ ἀαρὼν. τελευτήσαντος δὲ ἐκείνου, οἱ παῖδες αὐτοῦ αὐτὴν διεδέξαντο, καὶ ἐξ ἐκείνων τοῖς ἀπ᾽ αὐτῶν διέμεινεν ἡ τιμή.

πόσοι ἐξ ἀαρὼν ἄχρι τούτου γεγόνασι κατὰ συγγραφέας ἀρχιερεῖς.

Sicariorum grassatores.

Festus autem Iudæam latrocinijs afflictam reperit. Nam sicarij aucti numero, ensiculos curuos gestantes, in festiuitatibus populo immisti, facilè quos libitū erat perimebant, pagosque & diripiebant & incendebant. Possò cum præstigiator quidam salutem ijs polliceretur, qui se usque ad desertum comitari uellent: Festus & ipsum, & eos quos seduxerat, copijs immissis interfecit. Agrippam uerò regem ex magno domicilio quod in regia ædificarat, quicquid in templo agereturspectare, ciues ægrè ferentes: murum struxerunt, quo non tantum regiæ conspectus, sed & occidentalis porticus, ubi Romani propter templum in festiuitatibus custodias habebant, intercipiebatur. Id ægrè Agrippa, Festus ægrius tulit, ac murū diruere uoluit. Sed rogatu ciuium permisit, ut X principes uiros unà cū Ismaele pontifice & Helcia thesauri custode ad Neronem de ea re ablegarēt: qui in gratiā Poppeæ uxoris pro Iudæis intercedentis, ædificium id manere iussit. Poppæa porrò cæteris dimissis, Ismaelem & Helciā obsides retinuit. Quo Agrippa rex audito, Iosepho Decabizo Simonis uiri pōtificij filio: deinde eodē eiecto, Anano Anani filio pontificatum confert. Is iuntos Ananus pōtificatu suscepto, homo confidens & temerarius, Festo mortuo, eiusque successore Albino nondum in Iudæam profecto, indicto concilio, ut Iosephi uerbis utar,

Iacobi apostoli cædes.

Iacobū Iesu, qui Christus dicitur, fratrem, & alios quosdam in medium productos, uiolatarum legum reos facit, & lapidandos curat. Id factum modestissimi quique, & legū obseruantissimi ciues ægrè tulerunt, cumque & apud Albinum & apud Agrippam detulerunt. Quamobrem rex ei pontificatum, tres menses eo functo, ereptum, Mnaseæ filio Iesu tradidit. Albinus uerò cum Hierosolyma uenisset, operā dedit ut prouincia pacata esset, multis sicarijs interfectis. Agrippa Iesu pontifici Mnaseæ filio successorem dat, Iesum Gamalielis filiū. Vnde inter pontifices, quorum uterque audacissimos sibi homines asciuit, orta seditio, à cōuicijs usque lapidationē est progressa. Ab eo tempore Hierosolymitana urbs pessimè habere, atque omnia in peius ruere cœperunt.

Albinus.

Albinus uerò cum didicisset Gessium Florum sibi successorem datū, productis uinctis, eos qui manifestè necem meruerāt, occidi iussit: qui uerò ob parua crimina in carcerem compacti fuerant, eos accepta pecunia dimisit. Ita carcer maleficis factus est uacuus, regio latronibus referta. Agrippa, Iesu Gamalielis filio eiecto, pontificatum Mathiæ Theophilo assignauit, sub quo bellum Romanum cœpit. At pontificatus initia sunt ab Aarone profecta, cui defuncto filij, eorumque posteri in eo honore successerunt.

Vnde receptũ apud Iudæos fuit, ne cui uel regi põtificatus expetenti tribueretur, nisi iis qui essent ex sanguine Aaronio: etsi ea cõsuetudo non perpetuò obseruata est. Pontifices ab Aarone usq; ad Phineẽ, in bello à seditiosis declaratum, III & LXXX fuere. Gesius autem Florus Albini successor, Iudæos plurimis oppressit malis. nam tantũ improbitate excelluit, ut propter insignem eius maleficentiam, Albini beneficentia celebretur. Nam hic quidem malitiam suam occultare studuit, ac solicitè cauit, ne suæ iniuriæ deprehenderẽtur. Florus autem palàm atq; impudenter iniquitatẽ in populum, & quasi per ostentationem exercuit. Sed quorsum attinet eius scelera singulatim recensere, cum res paucis expediri queat: qui Iudæos bellum Romanis inferre coegerit, Florum fuisse. Id uerò bellum cœpit secundo anno procurationis Flori, monarchiæ Neronis duodecimo.

Pontifices LXXXIII

Gesius Florus.

BELLI IVDAICI HIstoria.

HINC igitur Iudæorum defectio palàm erupit, bellũq; cœpit: cuius singulos uelusiactus referre, maioris operæ fuerit, quàm instituta breuitas patitur. Quare cæteris omissis, Hierosolymorum duntaxat excidium compẽdio referre decreui. Nam cognita Iudæorũ defectione, Vespasianus, cui Nero belli administrationẽ crediderat, non Hierosolyma inuasit primùm: sed urbibus metropoli subiectis prius expugnatis, tum demum ipsam quoq; domare instituit. Occupata igitur Ptolemaide, cũ filio Tito, qui ab eo ex Achaia missus, ubi à Nerone belli dux designatus fuerat, legionẽ decimamquintam Alexandria adduxerat, se coniunxit. Neroni enim in Achaia degenti, Iudæorum defectio nunciata fuit. ac Galilæã primùm aggressus, Iotapatis dieb. XL expugnatis, Iosephum Galilææ ducem, eius urbis defensorem cæpit. Inde alia castella atq; oppidula, partim deditione, partim obsidione Romanis parère coegit. Iis iam confectis, ad ipsam metropolim obsidendam se accingebat, seditionibus & factionibus adeò afflictam, ut ciuili bello & mutuis cædib. inter sese grassantes, homines bellicosi interirent. Verum id eius consilium nũcius de Nerone, qui amisso imperio clàm Roma profugisset, atq; ipse sibi manus attulisset, repressit. Deinde cum Galbam imperio potitum esse cognouisset: Titum misit ad eum salutandum, & percontandum quid de Iudæa fieri uellet? Sed Titus in itinere Galbæ quoq; cæde cognita, ad patrem est reuersus: neq; Hierosolymorũ obsidionem tentarunt, ob incertum Romani imperii statum, sed Cæsareæ quieuerunt. Galba sublato, Otho factus Imperator, contra Vitellium, quem Germanicæ legiones Imperatorem salutarant, copias misit: quib. superatis, sibi ipsi manus intulit.

Vespasianus à Nerone cõtra Iudæos missus.

Iotapata. Iosephus.

Neronis interitus.

Galba.

Otho.

ὅθεν πάτριον ἦν Ἰουδαίοις μηδένα τὴν ἀρχιερωσύνην λαμβάνειν, κἂν βασιλεὺς ᾖ, εἰ μὴ ἐκ τοῦ αἵματος Ἀαρών. εἰ καὶ μὴ μέχρι παντὸς τὸ ἔθος τοῦτο τετήρητο. ἐγένοντο οὖν πάντες ἀπὸ Ἀαρὼν μέχρι Φινεὲς τοῦ κατὰ τὸν πόλεμον ὑπὸ τῶν στασιαστῶν ἀναδειχθέντος, ὀγδοήκοντα καὶ τρεῖς. γέσιος δὲ Φλῶρος εἰς Ἰουδαίαν Ἀλβίνου διάδοχος ἀφικόμενος, πολλῶν γέγονεν αἴτιος Ἰουδαίοις κακῶν. οὗτος δὲ γέγονε κάκιστος, ὥστε διὰ τὴν ὑπερβολὴν τῆς αὐτοῦ κακίας ἐπαινεθῆναι τὸν Ἀλβῖνον ὡς εὐεργέτην. ὁ μὲν γὰρ τὴν πονηρίαν ἐπεκρύπτετο, καὶ ἀδικῶν, μὴ γίνεσθαι κατάφωρος ἐσπούδαζε· Φλῶρος δὲ ἀπαρακαλύπτως καὶ ἀναιδῶς τὰς εἰς τὸ ἔθνος παρανομίας ἐποίει, ὥσπερ ἐπιδεικνύμενος. καὶ τί δεῖ τῶν ἐκείνου κακῶν ἀπαριθμεῖν τὸ καθ' ἕκαστον; τοσοῦτον δ' εἰπὼν δηλώσω τὸ πᾶν, ὅτι ὁ τοὺς Ἰουδαίους τὸν πρὸς Ῥωμαίους ἄρξασθαι πόλεμον βιασάμενος, Φλῶρος ἦν. ἔλαβε δὲ τὴν ἀρχὴν ὁ πόλεμος δευτέρῳ μὲν ἔτει τῆς Φλώρου ἐπιτροπῆς, δωδεκάτῳ δὲ τῆς μοναρχίας τοῦ Νέρωνος.

ΕΠΙΤΟΜΗ ΤΗΣ ΑΛΩΣΕΩΣ τῆς Ἱερουσαλήμ.

Ἐντεῦθεν οὖν ἡ τῶν Ἰουδαίων ἀποστασία ἐς τὸ προῦπτον ἐξερράγη, καὶ ὁ πόλεμος ἤρξατο. διηγήσασθαι δὲ τοῦτον ἕκαστα, πλείονος ἂν γένοιτο πραγματείας ἢ κατὰ τὴν πρόθεσιν ἐγχείρησιν. ἀλλὰ τὰ μὲν ἄλλα ἐᾶσαι μοι δέδοκται, μόνα δὲ ἐπιτεμεῖν τὰ περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων αὐτῶν. Οὐεσπασιανὸς γὰρ παρὰ Νέρωνος, μαθόντος τὴν Ἰουδαίων ἀποστασίαν, τὴν τοῦ πολέμου διοίκησιν πιστευθείς, οὐ πρώτοις τοῖς Ἱεροσολύμοις προσέβαλεν, ἀλλὰ τὰς ὑπὸ τὴν μητρόπολιν ἑλεῖν ἐσπούδασε πρότερον πόλεις, καὶ οὕτως αὐτὴν χειρώσασθαι τὴν μητρόπολιν. καταλαβὼν οὖν τὴν Πτολεμαΐδα, καὶ ἑνωθεὶς ἐν αὐτῇ τῷ υἱῷ Τίτῳ ἐξ Ἀλεξανδρείας ἀφιγμένῳ, καὶ τὸ πεντεκαιδέκατον τάγμα κομίζοντι, σταλέντι παρ' αὐτοῦ ἐξ Ἀχαΐας, ὅτε τοῦ πολέμου στρατηγὸς κεχειροτόνητο παρὰ Νέρωνος (ἐν Ἀχαΐᾳ γὰρ ἐτύγχανεν ὢν ἐκεῖνος, ὅτε ἡ τῶν Ἰουδαίων ἀποστασία κατηγγέλθη αὐτῷ) κατὰ τῆς Γαλιλαίας πρότερον ὥρμησε, καὶ τῇ πόλει τῶν Ἰωταπάτων πρώτῃ προσβαλὼν, καὶ δι' τεσσαράκοντα πολιορκήσας ἡμέρας, πορθεῖ μὲν αὐτήν, αἱρεῖ δὲ τὸν Ἰώσηπον στρατηγοῦντα τῆς Γαλιλαίας, καὶ τῆς εἰρημένης ὑπερμαχοῦντα πόλεως. ἐντεῦθεν δὲ καθ' ἕτερον ἐχώρει φρούριον καὶ πολισμάτιον, καὶ τὰ μὲν ὁμολογίᾳ, τὰ δὲ πολιορκίᾳ ὑπὸ Ῥωμαίους ἐποιεῖτο. καὶ ταῦτα πάντα κατεργασάμενος, ἐσκέπτετο καὶ αὐτῇ προσμίξαι τῇ μητροπόλει, διακειμένῃ κακῶς ἐκ τῆς πρὸς ἀλλήλους στάσεως τῶν ἐν αὐτῇ, καὶ ὡς ἐμφυλίους ἐκκυλινδεῖσθαι μάχας καὶ ἀλλήλων σφαγάς, κἀντεῦθεν τὸ μάχιμον διαφθείρεσθαι. ἐπέσχε δὲ τῷ ἐγχειρήματι τὴν ὁρμὴν ἀγγελθεὶς ὁ Νέρων τῆς αὐταρχίας ἐκπεπτωκὼς, καὶ τῆς Ῥώμης λαθραίως ἐκδρὰς, καὶ ἑαυτὸν ἀνελών. ἔπειτα Γάλβαν μαθὼν γενόμενον αὐτοκράτορα, Τίτον πέμπει πρὸς αὐτὸν, προσεροῦντά τε καὶ ὅ,τι περὶ Ἰουδαίων κελεύει πευσόμενον· ἔτι δὲ καθ' ὁδὸν ὄντος τούτου, καὶ ὁ Γάλβας ἀνῄρητο. ὅπερ ἀκούσας ὁ Τίτος, πρὸς τὸν πατέρα ἐπανελθεῖν, καὶ διὰ τὸ περὶ τῆς Ῥωμαίων ἀρχῆς ἀμφίβολον οὐκ ἐπεχείρουν τῇ κατὰ τῆς Ἱερουσαλὴμ προσβολῇ, ἀλλ' ἠρέμουν ἐν Καισαρείᾳ. Γάλβου δὲ ἀνῃρημένου, Ὄθων τὴν ἀρχὴν διεδέξατο. τὰ δ' ἐν Γερμανίᾳ τυγχάνοντα τάγματα Οὐιτέλλιον αὐτοκράτορα ἀνηγόρευσαν. εὐτελῶς οὖν Ὄθων ἐπολέμει Οὐιτελλίῳ. ἡττημένων δὲ τῶν ἀποσταλμένων, Ὄθων ἑαυτὸν διεχρήσατο.

ὅτι Οὐεσπασιανὸς ἀπεστάλη κατὰ τῶν Ἰουδαίων παρὰ Νέρωνος.

περὶ τῆς πόλεως Ἰωταπάτων, καὶ τοῦ Ἰωσήπου.

ὅτι ὁ Νέρων ἀνεῖλεν ἑαυτὸν, καὶ Γάλβας ἦρξε μετ' αὐτὸν, καὶ αὐτὸς μετὰ μικρὸν ἀνῃρέθη, καὶ ὄθων ἐβασίλευσε, καὶ αὐτὸς ἀνεῖλεν ἑαυτόν.

Ὄθων. καὶ ὁ Βιτέλλιος ἐς ῥώμην ἀπῄει σὺν τοῖς στρατεύμασιν· ἠκολούθουν γὰρ αὐτῷ καὶ οἱ τοῦ Ὄθωνος προσχωρήσαντες. ὁ Οὐεσπασιανὸς δέ, εἴ τινα ἔτι τῶν πολισμάτων τῶν ἰουδαίων πολίχνια μήπω ἑαλώκει, συλλαβὼν ἐπόρθει καὶ ταῦτα, ὡς μόνην ἔχειν τὴν τῶν ἱεροσολύμων πόλιν στῆναι πρὸς ῥωμαίους πολεμήσουσαν. ἐφθείροντο δὲ δεινῶς, ὡς εἴρηται, τὰ ἐν τῇ πόλει. ἔξωθεν μὲν γὰρ ὁ Σίμων καὶ οἱ περὶ αὐτόν, τοῖς ἰουδαίοις ῥωμαίων ἐτύγχανον φοβερώτεροι· ἔνδον δ' οἱ ζηλωταὶ καλούμενοι, καὶ ὁ τούτων ἐξάρχων Ἰωάννης, καὶ ῥωμαίων ἔτι καὶ τοῦ Σίμωνος χαλεπώτεροι. σφοδρότατα δὲ βιαζομένων αὐτῶν ἐν τῇ πόλει τῶν ζηλωτῶν, ἠναγκάσθησαν οἱ τοῦ δήμου τὸν Σίμωνα μετὰ τοῦ περὶ αὐτὸν πλήθους εἰς τὴν πόλιν προσκαλέσαντες εἰσαγαγεῖν, ὡς τάχα δὴ τῆς ζηλωτῶν τυραννίδος ἀπαλλαξόμενοι· ἔλαθον δὲ χείρονα καθ' ἑαυτῶν ἐπισπασάμενοι τύραννον. τούτων δ' ἐν ἱεροσολύμοις πραττομένων, Οὐιτέλλιος τὴν ῥώμην κατείληφεν, αὐτοκράτωρ ἀναρρηθείς. Οὐεσπασιανῷ δὲ μαθόντι ταῦτα, οὐκ ἤρεσκε, καὶ ἀπηξίου δεσπότην ἔχειν τὸν Οὐιτέλλιον. οἱ δ' ἡγεμόνες τῶν σὺν αὐτῷ ταγμάτων, ἀλλὰ μὴν καὶ οἱ στρατιῶται συνελθόντες, ἀναγορεύουσι τὸν Οὐεσπασιανὸν αὐτοκράτορα. ὁ δὲ μέλλων εἰς ῥώμην ἐκπλεῖν, τῷ υἱῷ Τίτῳ τὴν τῶν ἱεροσολύμων πολιορκίαν ἐνεδίδου. ὃς τὰς δυνάμεις συναγαγών, ἐπῄει πρὸς τὰ ἱεροσόλυμα, καὶ πρὸ τριάκοντα σταδίων ἐστρατοπεδευκώς, ἐκεῖθεν ἑξακοσίους τῶν ἱππέων παραλαβών, ᾔει τὴν πόλιν κατασκεψόμενος, καὶ τὰ φρονήματα τῶν ἔνδον. ἐπεκθέουσι δ' ἐκ τῆς πόλεως ἄπειροι, καὶ οἱ μὲν πλεῖστοι τῶν μετὰ Τίτου μανιώδη τὴν ὁρμὴν τῶν ἰουδαίων ὁρῶντες, ἀνεπόδισαν τοῦ πρόσω χωρεῖν. ὁ Τίτος δὲ μετ' ὀλίγων τῶν ἄλλων ἀποληφθείς, ὡς μέσους τῶν πολεμίων ἐμπεριείληπτο. καὶ γνοὺς τὸν κίνδυνον τὸν κατ' αὐτόν, ἐπιστρέφει τὸν ἵππον, καὶ τοῖς περὶ αὐτὸν ἐμβοήσας ἕπεσθαι, ἐμβάλλει τοῖς ἰουδαίοις, καὶ τῷ ξίφει τοὺς ἐμπίπτοντας ἀναστέλλων ἐπὶ τὸ στρατόπεδον διασώζεται, δύο πεσόντων ἐκ τῶν ἑπομένων αὐτῷ. μεθ' ἡμέραν δ' ἐπὶ τὸν σκοπὸν ἐλθών (τόπος δ' οὗτος οὕτω καλούμενος, διέχων τῆς πόλεως σταδίους ἑπτά, ὅθεν ἥ τε πόλις καὶ ὁ ναὸς καταφαίνεται) περιβάλλεσθαι κελεύει στρατόπεδον. τῶν δ' ἐν τῇ πόλει συρρηγνυμένων ἀλλήλοις ἀεί, τότε πολὺς ἐπελθὼν ὁ ἔξωθεν πόλεμος, τὴν ἔριν ἀνέπαυσεν. ἐμάχοντο οὖν τοῖς βαλλομένοις στρατόπεδον οἱ ἰουδαῖοι, τῆς πόλεως ἐκτρέχοντες, καὶ ἐκάκουν σὺν φιλοτιμίᾳ, μᾶλλον δ' ἐκακοῦντο αὐτοί. λωφήσαντος δὲ πρὸς βραχὺ τοῦ θύραθεν πολέμου, πάλιν τοῖς ἔνδον ἡ στάσις ἠγείρετο· καὶ δόλῳ τὸ ἱερὸν ὁ Ἰωάννης σὺν τοῖς ζηλωταῖς κατασχών, πολλῶν ἀναιρεθέντων, κατεθάρρει τοῦ Σίμωνος. ὁ δὲ Τίτος ἐξομαλίσαι προσέταξε τὸ ἀπὸ τοῦ σκοποῦ μέχρι τοῦ τείχους διάστημα· καὶ τὸ μὲν ἐγίνετο, ἰουδαίοις δὲ κατὰ ῥωμαίων ἐνέδρα τις μεμηχάνηται. οἱ γὰρ τολμηρότεροι τῶν στασιαστῶν προελθόντες τῆς πόλεως, ὡς ἐκβεβλημένοι δῆθεν ὑπὸ τῶν τὰ εἰρήνης φρονούντων, περὶ τὸ τεῖχος κάτω ἠλῶντο· ἄλλοι δὲ στάντες ἐπὶ τοῦ τείχους, ὡς ἐκ τοῦ δήμου τυγχάνοντες, εἰρήνην ἐβόων, καὶ δεξιὰν ᾔτουν, καλοῦντες τοὺς ῥωμαίους, ὡς τὰς πύλας ἀνοίξοντες. τοῖς μὲν οὖν στρατιώταις οὐδὲν ὑπωπτεύετο, καὶ εἴχοντο τοῦ ἔργου. Τίτῳ δὲ δι' ὑποψίας ἦν ἡ παράλογος πρόκλησις. πρὸ μιᾶς γὰρ αὐτοὺς διὰ τοῦ Ἰωσήπου ἐπὶ συμβάσεις αὐτὸς προκαλούμενος, οὐδὲν φρονοῦντας εὕρισκε μέτριον. μένειν οὖν κατὰ χώραν τοὺς στρατιώτας ἐκέλευσε. φθασάντων δέ τινων πρὸς τὰς πύλας δραμεῖν, τὸ μὲν πρῶτον οἱ ἐκβεβλῆσθαι δοκοῦντες ὑπέφευγον· ὡς δὲ μεταξὺ τῶν τῆς πόλεως ἐγένοντο πύργων, ἐξῄεσαν, καὶ ἐκύκλουν αὐτούς.

nus attulit. Vitellius adiunctis etiam Othonijs, Romã cum legionibus abijt. *Vitellius.* Vespasianus uerò, si qua Iudaica oppidula nondum expugnata supererant, ea quoq; uastauit, ut sola Hierosolyma restarent: quæ quidẽ, ut diximus, pessimè se habebant. Foris enim Simon cũ sua factione Iudæis formidabilior erat quàm Romani. intus uerò ij qui se Zelotas à studio religionis iactabant, eorumq; dux Ioannes, & Romanis & Simone grauiores erant: *Simon et Zelotæ.* atq; urbanos eò necessitatis adegere, ut populus Simonẽ cum sua turba in urbem acciperet, spe ille quidem reprimendę Zelotarum tyrannidis: sed nõ animaduertit, se grauiorem suis ceruicibus tyrannũ imposuisse. Dum hæc Hierosolymis gerũtur, Vitellius Romam profectus Imperator appellatur. quem cum Vespasianus, eo nũcio minimè delectatus, dominum habere recusaret, à suis ducibus & militum consensu Imperator salutatur. *Vespasianus à militibus imperator salutatus, Romam contendit.* Soluturus, filio Tito Hierosolymorum obsidionem mandat: qui contractis in unũ copijs Hierosolyma contendit, & XXX ab urbe stadijs castrametatus, DC equitibus assumptis ad urbem speculandam & animos hostiũ periclitãdos abit. Statim uerò infiniti ex urbe procurrunt: ac plurimi ex Titi equitibus, furiosum Iudæorũ impetum cernentes, substiterũt. Ipse uerò cũ paucis, auulsus à cæteris, undiq; ab hostibus circũfluentus, animaduerso periculo conuertit equum, & suis sequi iussis in Iudæos irruit: ac obuijs quibusq; gladio propulsatis, saluus in castra reuertitur, duobus duntaxat comitum suorum cæsis. Postridie cõscenso loco qui Speculator dicitur, VII stadijs ab urbe distans, unde & urbs & templũ spectatur, castra muniri iubet. *Titus Hierosolyma obsidet.* Vrbani uerò subinde prius inter se dimicare soliti, ob ingruentẽ externi belli procellã direpta lite urbe excurrũt, cum ijs qui uallũ muniunt dimicant: & dum hostes cladib. afficiunt, plurib. ipsi afficiũtur. Externo bello paullisper quiescente, seditio rursus exoritur. & Ioannes cum Zelotis templo multis cæsis per dolũ occupato, Simoni se opponere ausus est. Dum autem interuallũ, quod à Speculatore ad mœnia pertinet, Titi iussu exæquatur, Iudæi Romanis insidias struunt. *Insidiæ Iudæorum.* Nam audaciores è seditiosis, urbem egressi, quasi à pacis studiosis electi essent scilicet, iuxta mœnia uersabantur: alij in mœnibus stantes quasi ex plebe homines, pacem clamabant, & dexteram petebant, Romanosq; uocabãt, quasi portas aperturi essent. Ac milites quidem nihil suspicati, opus aggrediebantur: Titus autem inexpectatam uocationem suspectam habebat. Nam cum eos pridie per Iosephum ad pactiones prouocasset, nihil moderati respõsi acceperat. Milites igitur suo loco manere iussit. Sed cum quidam ad portas iam procurrissent, ij qui se electos esse fingebãt refugiebant: ut uerò intra urbis turres illi peruenerant, excurrerunt, eosq; circumuenerunt.

qui

S 3 καὶ οἱ

cum indies quingenti, aut plures etiam caperentur: tamen nec custodiri eos, nec dimitti tutum putabat. simul etiam cæteros, ijs conspectis facilius deditionem facturos, opinabatur.

Iudæi aggeres Romanos incendunt.

Verum seditiosi transfugarũ necessarijs in muros pertractis, ut tractarẽtur ij qui ad Romanos confugerent, ostendebant: tam de hostibus quàm de suis mentientes. Aggeribus absolutis, machinæ producebant. Iudæi uerò eo spacio quod inter Antoniam & aggeres interiacet, suffosso, & cauernis lignis suffultis: aggeres pẽsiles reddiderunt, qui, fossa materia impleta, & iniecto igne fulcris combustis, subitò cedente, corruerunt. Romani ea solertia obstupefacti & cõsternati, machinis alibi adductis, muros labefactarunt. Sed quidam præcipiti audacia eas omnes cremarũt. Aggeribus collapsis, Romani tristes fuerunt. Titus uerò cum ducibus deliberauit, quorũ alij aggeres alios excitandos, alij sine his assidendũ, & Iudæorum eruptiones & cõmeatus importationes obseruandas censebant. Ita enim urbem fame expugnatũ iri. Erant etiã qui suaderent, ut omnibus copijs adductis, mœnia tentaret: Iudæos enim impetũ earum non laturos.

Titus Hierosolyma muris circundat.

Titus uerò, qui nihil horũ probaret, muro urbem circundare statuit, ut obsessis omnẽ exitum obstrueret: eumq́ laborẽ inter milites distribuit. Qui contentione quadam, diuinoq́ impetu concitati, celeriter opus absoluerunt. Ita clausa ciuitate primas noctis excubias Titus ipse obibat, ac lustrabat: reliquas alijs mãdabat, militibus sortitò dormiẽtib. Iudæis uerò exitu intercluso, spes etiam salutis unà est interclusa, fame totas domos atq́ familias depascente. ac ædes quidem mulierũ & puerorum uirib. defectorum, angiportus senibus mortuis referti erant.

Multitudo eorum qui fame pereunt.

pueri & adolescẽtes tumefacti, simulacrorum instar in foris circuibant: & quo quenq́ loco uires defecerant, occumbebant. mortuos cognati sepelire non poterant, & multi inter sepeliendum emoriebantur. Seditiosi uerò etiam famis cladibus sæuiores, sepulchra effodiebant, & ædes spoliabant. ac principiò ex ærario mortuos sepeliri iubebant, ob fœtorem intolerabilem: deinde in ualles ex muris præcipitabant. Quas cum circuiret Titus, & cadaueribus plenas, è quibus putrescentibus copiosa manabat sanies, uideret, ingemuit: sublatisq́ manibus Deum testatus, id sua uoluntate non fieri, denuò aggeres instituit, etsi materia ægrè à XC stadijs comportabatur: multis interim è populo transfugiẽtibus, qui partim de muris se deijciebant, partim saxa ueluti ad pugnam parati manibus gestantes Romanorũ fidei se committebant, & tamen sic etiam maiori ex parte interibant. nam famelici ciborũ copiam insatiabiliter ingerentes rumpebantur. Accidit etiam aliud, quod exitium transfugis afferebat. Nam eorum quidam ad Romanos confugituri, aurum

πεντακοσίων ἑκάστης ἡμέρας ἢ καὶ πλειόνων ἁλισκομένων. ὅτι δὲ φυλάττειν αὐτοὺς, οὔτ' ἀφιέναι ἐκείνοις ἀσφαλὲς, καὶ ἅμα πρὸς τὴν ὄψιν ἐνδώσειν τοὺς λοιποὺς ἤλπιζεν. οἱ στασιασταὶ δὲ τοὺς τῶν αὐτομόλων οἰκείους ἐπὶ τὸ τεῖχος ἑλκύσαντες, καὶ τῶν δημοτῶν τοὺς ἐπὶ πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ ῥωμαίοις προσφεύγοντες, ἐπεδείκνυον, καταψευδόμενοι καὶ τῶν πολεμίων καὶ τῶν οἰκείων. ἤδη δὲ τῶν χωμάτων συντελεσθέντων, αἱ ἑλεπόλεις προσήγοντο· ὑπορύξαντες δ' ἔνδοθεν ἰουδαῖοι τὸ κατὰ τὴν ἀντωνίαν μέχρι τῶν χωμάτων διάστημα, καὶ τοὺς ὑπονόμους ξύλοις ὑποστηρίξαντες, μετέωρα τὰ χώματα πεποιήκασιν. εἶτα ὕλης τὸ ὄρυγμα πλήσαντες, πῦρ τῇ ὕλῃ ἐνέβαλον, καὶ τῶν ὑπερειδόντων ξύλων καυθέντων, ἡ διῶρυξ ἀθρόον ἐνέδωκε, καὶ κατεσείσθη τὰ χώματα, καὶ τοῖς ῥωμαίοις ἔκπληξις καὶ ἀθυμία πρὸς τὴν ἐπίνοιαν γίνεται. κατὰ δὲ τὰ λοιπὰ τὰς ἑλεπόλεις οἱ ῥωμαῖοι προσάγοντες, διέσειον τὸ τεῖχος. ἀλλὰ τινὲς παραβόλως ὁρμήσαντες, κατ' αὐτῶν πῦρ ἐνῆκαν, καὶ πάντα κατέπρησαν. διεφθαρμένων δὲ τῶν χωμάτων, ῥωμαῖοι μὲν ἠθύμουν, τίτος δὲ μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο. καὶ οἱ μὲν αὖθις ἕτερα ἐγείρειν ἐκέλευον· οἱ δὲ χωμάτων ἄνευ προσκαθέζεσθαι, καὶ φυλάττειν τὰς ἐξόδους αὐτῶν, καὶ τὰς τῶν ἐπιτηδείων εἰσαγωγὰς, ὡς ἐντὸς ὀλίγου λιμῷ τὴν πόλιν ἔσεσθαι ἁλωτήν. τοῖς δὲ πᾶσαν ἐδόκει προσάγειν τὴν δύναμιν, καὶ ἀποπειρᾶσθαι τοῦ τείχους· μηδὲ γὰρ οἴσειν ἰουδαίους τὴν ἔφοδον. τῷ γε μὴν τίτῳ τούτων οὐδὲν ἤρεσκεν· ἐδόκει δὲ περιβόλῳ τὴν πόλιν κυκλῶσαι, ἵν' οὕτω πᾶσαν ἐμφράξῃ τοῖς ἔνδον διέξοδον, καὶ τὸ ἔργον τῇ στρατιᾷ κατεμέρισε. τοῖς δέ τις ἔρις ἐμπίπτει περὶ τὴν ἐργασίαν καὶ ὁρμή τις δαιμόνιος, ταχύ τε τὸ ἔργον ἐξῳκοδόμητο. περικλείσας δὲ τῷ τείχει τὴν πόλιν, τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς περιιὼν αὐτὸς ἐπεσκόπει, τὰς δὲ λοιπὰς ἑτέροις ἐπέτρεψε. διεκληροῦντο δὲ τὸν ὕπνον οἱ φύλακες. ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκλείσθη πᾶσα σωτηρίας ἐλπὶς, καὶ ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον ἐβόσκετο, καὶ τὰ μὲν τέγη γυναικῶν καὶ βρεφῶν ἐκλελιμωμένων πεπλήρωτο. οἱ στενωποὶ δὲ γερόντων νεκρῶν, παῖδες δὲ καὶ νεανίαι διῳδηκότες ὡς εἴδωλα κατὰ τὰς ἀγορὰς περιῄεσαν, καὶ κατέπιπτον ὅπῃ ἕκαστος ἀδυνατήσας ἔτυχε. θάπτειν δὲ τοὺς προσήκοντας οἱ ἔτι ζῶντες οὐκ ἴσχυον, πολλοὶ δὲ θάπτειν ὁρμήσαντες τοῖς θαπτομένοις ἐπαπέθνησκον. οἱ δὲ στασιασταὶ καὶ τῶν ἐκ τοῦ λιμοῦ κακῶν ἐγίνοντο χαλεπώτεροι, τυμβωρυχοῦντες, καὶ τὰς οἰκίας συλῶντες. καὶ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θησαυροῦ θάπτειν ἐκέλευον τοὺς νεκροὺς, τὴν δυσωδίαν μὴ φέροντες· εἶτ' ἐρρίπτουν αὐτοὺς ἐκ τῶν τειχῶν εἰς τὰς φάραγγας. περιιὼν δὲ ὁ τίτος, καὶ θεασάμενος νεκρῶν πεπληρωμένας αὐτὰς, καὶ βαθὺν ἰχῶρα μυδώντων τῶν σωμάτων ὑπορρέοντα, ἐστέναξε, καὶ τὰς χεῖρας ἀνατείνας, ἐμαρτύρετο τὸν θεὸν, ὡς οὐκ ἔστι τὸ ἔργον αὐτοῦ προβουλῆς. καὶ πάλιν ἥπτετο χωμάτων, χαλεπῶς αὐτῷ τῆς ὕλης ποριζομένης. τὸ γὰρ ξύλον ἐκεκόμιστο ἐξ ἐνενήκοντα. πολλοὶ δ' ηὐτομόλουν τοῦ δήμου, οἱ μὲν ἐκ τῶν τειχῶν κατακρημνίζοντες ἑαυτοὺς, οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχην μετὰ χερμάδων, πρὸς ῥωμαίους κατέφευγον. καὶ οὕτω δ' οἱ πλείους ἀπώλλυντο. λιμώττοντες γὰρ καὶ ἀφθονίᾳ τροφῶν ἐντυγχάνοντες, ἀπλήστως τε ἐμφορούμενοι, διερρήγνυντο. συνέβη δέ τι καὶ ἕτερον τοῖς αὐτομόλοις φθόρον. τινὲς γὰρ αὐτῶν κεκτημένοι χρυσοῦς ἐν τῷ μέλλειν πρὸς ῥωμαίους αὐτομολεῖν, κατέπινον σφᾶς, ἵνα μὴ ἁλόντες ἀφαιρεθῶσιν αὐτούς. παρὰ δὲ τοῖς ῥωμαίοις γενόμενοι, τοῖς τῆς γαστρὸς σκυβάλοις τοὺς χρυ-

σοῦς

τοὺς συνεξέκρινον, καὶ ἐκλέγοντες αὐτοὺς ἐλάμβανον. φωρᾶται δ' εἷς τῶν αὐτομόλων τοῦτο ποιῶν· καὶ φήμης γενομένης εἰς τὸ στρατόπεδον, ὡς μεστοὶ χρυσίου προσίασιν οἱ αὐτόμολοι, ἀνατέμνοντες τὰς γαστέρας οἱ ἄθλιοι, ὡς ἐν τούτοις πολλὴν γενέσθαι τῶν ἰουδαίων φθοράν. μιᾷ γὰρ νυκτὶ ὑπὲρ δισχιλίους ἀνασχισθῆναι συνέβη. ὃ γνοὺς ὁ Τίτος, ἀπείλησεν ἐν στρατεύμασι· ἀλλὰ μικρὸν ἂν τοῖς αὐτομόλοις ἐπήμυνεν ἡ τοῦ Τίτου ὀργή. ὀλίγοις δὲ εἰσκομίζειν τὰ ἀργύρια, αἱ γὰρ λοιπαὶ ἐλπίδες μόναι ἀπώλλυον. λέγεται δὲ τῶν ἐκ τῆς πόλεως διὰ τῶν πυλῶν ἐκκομισθέντας, καὶ ἐξερριφέντας νεκροὺς τῶν ἀπόρων, μυριάδας ἑξήκοντα, τῶν δὲ ἄλλων ἀνεξεύρετον εἶναι τὸν ἀριθμόν. τοῦ μὲν οὖν σίτου τὸν μέδιμνον πραθῆναι ταλάντου. περιτειχισθείσης δὲ τῆς πόλεως ὑπὸ τῶν ῥωμαίων, ὡς αὐτοῖς μηκέτι οὐδὲ ποηλογεῖν ἐξόν τι ἦν, εἰς τοσοῦτον τοὺς τῶν ζώων κόπρους καὶ τὰς παλαιὰς ἀνερευνῶντες, ἐποιοῦντο τροφήν. ῥωμαίοις δ' ἤδη ἠγέρθη τὰ χώματα, καὶ ταῖς ἐλεπόλεσι τὸ τεῖχος τῆς ἀντωνίας ἐτύπτετο, οὐ μὴν καθῃρεῖτο τυπτόμενον. τινὲς δὲ τῶν στρατιωτῶν τῶν ὑπὲρ τῶν σωμάτων σὺν θυρεοῖς ὀροφώσαντες, μοχλοῖς τοὺς θεμελίους ὑπώρυττον, καὶ τέσσαρας τῶν λίθων ἐξέωσαν. νὺξ δ' ἐπελθοῦσα τοὺς πολεμίους ἑκατέρωθεν ἔπαυσε· καὶ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σαλευθέν, κατ' αὐτὴν ἀφνίδιον καταπέπτωκε. ὤφθη δ' ἄλλο τεῖχος ἀνῳκοδομημένον ἔνδον, ὃ τὴν ἐπὶ τῷ πεσόντι χαρὰν τοῖς ῥωμαίοις εἰς ἀθυμίαν μετέβαλεν. ὁ Τίτος δὲ τοῖς στρατιώταις διαλεχθεὶς, ἀνήγειρεν αὐτῶν τὰ φρονήματα. καί τις ἐκ Συρίας ἀνήρ, Σαβῖνος τὸ ὄνομα, ὑπὲρ τῆς κεφαλῆς τῇ λαιᾷ τὸν θυρεὸν ἐπανατεινάμενος, τῇ δεξιᾷ δὲ τὸ ξίφος σπασάμενος, ἐπὶ τὸ τεῖχος ἐχώρησεν, εἵποντο δὲ αὐτῷ καὶ ἕτεροι ἕνδεκα, τὴν ἀνδρείαν ζηλώσαντες. οἱ δ' ἐν τῷ τείχει κατηκόντιζόν τε αὐτούς, καὶ βέλεσιν ἔβαλλον καὶ λίθους ὑπερμεγέθεις ἐκύλιον, δι' ὧν τῶν ἕνδεκα ἤδη τινὲς ἔπεσον. ὁ δὲ Σαβῖνος οὐ πρότερον ἐπέσχε τὴν ὁρμήν, ἢ ἀναβῆναι εἰς τὸ τεῖχος, καὶ τρέψασθαι τοὺς πολεμίους. ἐν γὰρ ἐκπλήξει τῆς εὐτολμίας, ἐσφάλη πρός τινι πέτρᾳ, καὶ πρηνὴς ἐν αὐτῇ μετὰ ψόφου τῶν ὅπλων κατέπεσε. πρὸς γὰρ τὸν ψόφον ἐπιστραφέντες οἱ ἰουδαῖοι, καὶ μόνον αὐτὸν ἰδόντες καὶ κείμενον, ἔβαλλον πάντοθεν. ὁ δ' εἰς γόνυ διαναστάς, ἠμύνετο, ὑπὸ δὲ πλήθους τραυμάτων παρεθεὶς τὴν δεξιάν, καὶ κατεχώσθη τοῖς βέλεσι. τῶν δὲ λοιπῶν, τρεῖς μὲν ἤδη πρὸς τοῖς ἄκροις γενομένους, τοῖς λίθοις ἀπέκτειναν· οἱ δ' ὀκτὼ τραυματίαι πρὸς τὸ στρατόπεδον ἐκομίσθησαν. μετὰ δὲ δύο ἡμέρας, νυκτός τινες ἡσυχῇ διὰ τῶν ἐρειπίων εἰς τὴν ἀντωνίαν προσβαίνουσι, καὶ τοὺς ἐκεῖ φρουροῦντας ἀποσφάξαντες κοιμωμένους, ἐσάλπισαν, καὶ φυγὴ τῶν ἄλλων φρουρῶν ἦν. Τίτος δὲ μετὰ τῶν ἐπιλέκτων ἀνέβη καὶ τὰ τάγματα εἵπετο. τῶν ἰουδαίων δὲ καταφυγόντων εἰς τὸ ἱερόν, καὶ οἱ τοῦ Τίτου εἰσέπεσον διὰ τῆς διώρυγος, ἣν ὑπὸ τὰ χώματα τῶν ῥωμαίων ὑπώρυξαν. συῤῥήγνυται δὲ περὶ τὰς εἰσόδους μάχη καρτερά, καὶ τὰ ξίφη σπασάμενοι συνεπλέκοντο, φόνος δὲ ἦν πολὺς ἑκατέρωθεν. κλινομένης δὲ ἤδη τῆς ῥωμαϊκῆς παρατάξεως, ἰουλιανός τις ἑκατοντάρχης, ἄριστος ἀνήρ, προπηδᾷ, καὶ διώκων τοὺς ἰουδαίους τρέπεται μόνος. ἔφυγε δὲ τὸ πλῆθος, καὶ διεσκίδνατο. καταδιώκων δὲ τοὺς σκεδαννυμένους ὁ γενναῖος ἐκεῖνος ἀνήρ, κατωλισθάνει κατὰ τῶν λιθοστρώτων, ἥλους πυκνοὺς ἐν τοῖς ὑποδήμασιν ἔχων, ὡς καὶ οἱ λοιποὶ στρατιῶται. καὶ ἰουδαῖοι περιστάντες αὐτόν, ἐπὶ τραυμάτων πολλοὺς ἔβαλλον. ὁ δὲ καὶ κείμενος ἠμύνετο, μέχρι κατατρωθεὶς ἀπέθανε, καὶ τοῖς πολεμίοις αὐτοῖς θαυμαζόμενος. ἰουδαῖοι δὲ τοὺς ῥωμαίους ὠσάμενοι, κατέκλεισαν εἰς τὴν ἀντωνίαν.

[illegible]

[illegible]

[illegible]

[illegible]

rum quod habebant, deglutiebant, ne captieo spoliarentur, idq; in castris cũ excrementis eiectũ colligebant. in quo uno deprehenso, famaq; in castris sparsa, transfugas auro plenos uenire: miserorum uentres dissecabãtur. Qua de causa plurimi, unaq; nocte tria millia & amplius perierunt. Quod ne fieret, etsi Titus interdicebat: tamen eius minę parũ aut nihil miseris commodarunt. & cum in paucis nummi reperirentur, cæteros prædæ spes perdebat. Feruntaũt pauperum, qui per portas ciuitatis elati & proiecti sunt, DC fuisse millia: aliorum numerũ inexplicabilem, frumentiq; medimnũ talento uęnisse. Vrbe autem, ut supra diximus, à Romanis muro circundata, cũ non amplius herbas colligere liceret, animantium stercora uetera inquirentes comedebãt. Aggere iam à Romanis excitato, cum Antonię murus machinis ferireť ille quidem, sed nullis ictibus euerteretur, milites aliquot clypeis in humeros reiectis, actaq; testudine fundamentis suffossis, quatuor saxa uectibus amoliti sunt. Nox præliũ utrinq; diremit: eaq; murus machinis quassatus subitò corruit. sed alius murus post illũ ædificatus, Romanorum læticiam è prostrato conceptam in mœrorem cõuertit. Titus autem habita concione militum animos excitauit. & quidam ex Syria Sabinus, scuto in caput elato, dextraq; strictũ ensem tenens, mœnib. successit, cuius uirtutem XI alij sunt æmulati: propugnatores uerò iaculis & telis, saxisq; prægrandib. subeuntes propulsantibus, aliquot ex XI deiecti sunt. Sabinus uerò nõ destitit prius, q̃ muro superato fugasset hostes. Sed cum saxo impegisset, & pronus in eo concidisset: Iudæi ad sonitum armorum conuersi, eum solum iacentem undiq; petiuerunt. Is uerò in genu consurrexit, seq; defendit: donec dextera uulnerũ multitudine laxata, telis est obrutus. E cæteris, tres qui iam ad summum euaserãt, lapidibus occisi: octo uulnerati, in castra sunt relati. Biduo pòst quidã tacitè per ruinas ad Antoniam progrediuntur: & custodibus qui obdormierant cæsis, tuba cecinerunt. Cæteris autem defensorib. fugientibus, Titus cum delecta manu, sequentibus legionibus, ascendit. Iudęis ad templũ confugientibus, Titi milites per fossam quam hostes subter aggeres excauarant, irruũt: ibiq; acris pugna strictis gladijs committitur, cadunt utrinq; multi. Sed Romana acie iam inclinata, Iulianus centurio, uir fortissimus, assilit, ac Iudæos uictores solus in fugam uertit. quos dum fugientes & palantes persequitur: in solo constrato lapidibus (in calceis enim crebros clauos, ut & cæteri milites, infixos habebat) prolapsus, & à Iudæis circumuentus, undique conuulneratur, sed & iacens se defendit: donec confossus interijt, etiam hostibus admirabilis. Iudæi Romanos propulsatos in Antoniam concluserunt.

Transfugarum resecti uentres, ob aurum deuoratum.

Antoniæ expugnatio.

Sabini fortitudo.

Iuliani fortitudo.

ὁ Τῖτος

Izaten regni successorem designasse. Sed cum eum beatum esse sciam, non qui ab uno, sed qui à pluribus, iisq; uolentibus regnum acceperit: negocium hoc uestro quoq; iudicio permitto. Illi statim regis iudicium amplectendum esse, seq; ultrò Izati, rectè & uotis omnium fratrib. prælato, parère uelle, & fratres ac cognatos eius, ut securè imperaret, in primis occidendos esse, dixerunt. Helena uerò sententiam de cæde cognatorum differendam esse censuit, donec ille uenisset, ac eãdem comprobasset. Proceres uerò illos interea in uinculis habẽdos esse monuerunt, donec ille uenisset. Sed regina filium natu maximum summę rerum præfecit, paterni sigilli anulo dato, qui Izati reuerso regno cessit. Sed Iudæus quidam nomine Ananias, Izati peregrè agenti familiaris factus, doctrinam de Deo & Iudæorum legibus tradidit. Accidit porrò, ut & Helena ab alio Iudæo instituta, Iudaicas cerimonias amplecteretur. Izates cum uenisset, ac cognatos in uinculis reperisset, id ægrè tulit: ac solutos, ne suspecti essent, partim obsides Romã misit, partim ad Parthos. & quia matrem Iudaismo studere uidebat, ipse quoq; eosdem ritus suscipere properabat, etiam circumcidi paratus. Sed mater id prohibuit: subditorũ enim odium suscepturum, neq; laturos illos imperiũ regis Iudaizantis. Cumq; eam orationem cum Anania qui tum aderat, communicasset, isq; idem suaderet, tum quidem paruit. Post cum alius ex Galilæa Iudæus uenisset Eleazarus, eumq; legem Mosaicam legentẽ deprehendisset: Non uerba tantum rex, inquit, legenda tibi sunt, sed mandata etiam, quæ illis continentur, exequenda. Quãdiu tandem incircumcisus manebis? Rex igitur nulla interposita mora, circũcisus est. quod cum matri & Ananię significasset, ueriti sunt, ne ex ea re & sibi & regi pericula crearentur: sed eum metum Deus auertit. Helena porrò uisendi Hierosolyma & sancti Dei templi adorandi cupida, permissu filij cum maxima pecunia in urbem proficiscitur. Vbi cum multos fame pereuntes inuenisset, frumentum Alexandria aduectum, & sarcinas ficuum in Cypro emptas, inter egentes distribuit. Filius quoque eius, principibus Hierosolymitanis multum pecuniæ misit, quo pauperes iuuarentur. Atque hæc ita gesta sunt. Artabanus autem Parthorum rex, cognitis insidijs, quas sibi pararent satrapæ, ad Izaten uenit, cum cognatis & famulis circiter mille. atq; in itinere illum adeptus: Ne me, inquit, rex mutata fortuna depressum, & è regio fastigio ad priuatam conditionem redactum neglexeris, sed opem ferto. Quæ illo cum lachrymis dicente, Izates eius nomine audito, equo desiluit: ac, Bono, inquit, animo esto rex. Aut enim in Parthorum regnũ te reducam, aut meo tibi cedam. His dictis illum in equum sustulit, ipse pedes secutus est. Artabanus uerò iurauit, nisi & ille equum conscendisset, atq; anteiret, se quoq; descẽsurũ.

Artabanus ab Izate in regnũ Parthorum reducitur.

Izates

ἰζάτην ἤθελε τῆς βασιλείας γενέσθαι διάδοχον. εἰδὼς δὲ μακάριον τὸν μὴ παρ' ἑνός, ἀλλὰ τῶν πλειόνων, καὶ τούτων ἑκόντων τὴν βασιλείαν λαμβάνοντα, καὶ ὑπὸ τῆς ὑμῶν τὸ πρᾶγμα κρίσιν πεποίημαι. οἱ δὲ αὐτίκα καὶ τὴν τοῦ βασιλέως κρίσιν ἀσπαστέαν ἡγεῖσθαι ἔλεγον, καὶ ὑπείξειν ἑκόντες τῷ ἰζάτῃ, δικαίως προκεκριμένῳ τῶν ἀδελφῶν, καὶ κατὰ τὰς ἁπάντων εὐχάς, καὶ δεῖν προσαποκτεῖναι τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς συγγενεῖς, ἵν' ἀσφαλῶς ἐκεῖνος ἄρχοι. ἡ δὲ βασιλὶς τὴν περὶ τῆς ἀναιρέσεως τῶν προσηκόντων τῷ ἰζάτῃ γνώμην ἀναχεῖν συνεβούλευε, μέχρις ἂν ἐκεῖνος συνδοκιμάσῃ παραγενόμενος. οἱ δὲ δεσμεῖν τέως αὐτοὺς παρῄνεσαν, μέχρι τῆς ἐκείνου ἐπιδημίας. καθίστησι δὲ τὸν πρεσβύτατον υἱὸν ἡ βασίλισσα ἐπὶ τῶν πραγμάτων, ἕως ἂν ἐπανέλθῃ ὁ ἀδελφός, δίδωσι δὲ καὶ τὸν τοῦ πατρὸς συμαντῆρα δακτύλιον. ἄρχει οὖν ὁ ἰζάτης, καὶ ὁ ἀδελφὸς ὑπεδέξατο, καὶ ὑπεξέστη αὐτῷ τῆς ἀρχῆς. ὄντι δ' αὐτῷ ἐν τῇ ἀποδημίᾳ, ἰουδαῖός τις ἀνανίας καλούμενος, γνωστὸς γεγονώς, ἐδίδασκεν αὐτὸν τὸν θεόν, καὶ τὰ τῶν ἰουδαίων νόμιμα. συνέβη δὲ καὶ τὴν ἑλένην ὑφ' ἑτέρου ἰουδαίου κατηχηθεῖσαν εἰς τὰ ἰουδαϊκὰ ἔθη μεταθέσθαι. ἐλθὼν οὖν ὁ ἰζάτης, καὶ δεδεμένους τοὺς συγγενεῖς εὑρηκώς, ἐδυσχέρανε, καὶ ἔλυσε μέν, ἔπεμψε δέ, ἵνα μὴ ὕποπτοι παρόντες ὦσι, τοὺς μὲν εἰς ῥώμην ὁμηρεύσοντας, τοὺς δὲ πρὸς πάρθους. γνοὺς δὲ τὴν μητέρα τὰ ἰουδαίων ἀσπασαμένην, ἔσπευσε καὶ αὐτὸς εἰς ἐκεῖνα μεταθέσθαι, καὶ περιτμηθῆναι ἕτοιμος ἦν. ἡ δὲ μήτηρ ἐκώλυε, λέγουσα, ὡς δυσμένειαν τοὺς ὑπηκόους διὰ τοῦτ' ἕξειν, οὐκ ἀνέξεσθαί τε ὑπὸ ἰουδαΐζοντος βασιλεύεσθαι. ὁ δὲ εἰς τὸν ἀνανίαν παρόντα τοὺς λόγους ἀνέφερε. τότε δὲ τὰ αὐτὰ συμβουλεύσαντος, ἐπείσθη μὲν τότε ὁ βασιλεύς. ἕτερος δ' αὖθις ἐκ γαλιλαίας ἰουδαῖος ἐλεάζαρ ἀφικόμενος, καὶ καταλαβὼν αὐτὸν τὸν μωσέως νόμον ἀναγινώσκοντα· οὐ λόγους μόνον ἀναγινώσκειν σε δεῖ βασιλεῦ, ἔφη, ἀλλὰ καὶ τὰ ὑπ' αὐτῶν διατεταγμένα ποιεῖν· μέχρι τίνος ἀπερίτμητος μένεις; ὁ δὲ οὐχ ὑπερεβάλετο τὴν πρᾶξιν, ἀλλὰ περιετμήθη· καὶ τῇ μητρὶ καὶ τῷ ἀνανίᾳ τὸ πραχθὲν ἔργον ἐδήλου. οἱ δ' εἰς φόβον ἐνέπεσον, μὴ καὶ ὁ βασιλεὺς καὶ αὐτοὶ κινδυνεύσωσιν. ὁ δὲ θεὸς τὸν φόβον ἐλθεῖν εἰς τέλος οὐ συνεχώρησεν. ἑλένη δὲ ἐπιθυμίαν ἔσχεν εἰς ἱεροσόλυμα ἀφικέσθαι, καὶ προσκυνῆσαι τὸ τοῦ θεοῦ ἱερόν. καὶ τοῦ υἱοῦ ἐπιτρέψαντος, καὶ χρήματα πλεῖστα δόντος, ἄπεισιν εἰς ἱεροσόλυμα. καὶ λιμῷ φθειρομένους πολλοὺς εὑροῦσα ἐκεῖ, σῖτόν τε ἐξ ἀλεξανδρείας ἐκόμισε, καὶ ἰσχάδων φόρτον ἐκ κύπρου πολλῶν χρημάτων πριαμένη, τοῖς ἀπορουμένοις διένειμε. καὶ ὁ παῖς δὲ αὐτῆς πολλὰ χρήματα τοῖς πρώτοις τῶν ἱεροσολυμιτῶν ἔπεμψεν, ἵν' οἱ λιμώττοντες διὰ τούτων, ὡς εἰκός, ἐπικουρηθῶσι. καὶ ταῦτα μὲν οὕτως. ἀρτάβανος δὲ ὁ τῶν πάρθων βασιλεύς, ἐπιβουλὴν γνοὺς τοὺς σατράπας κατ' αὐτοῦ μελετήσαντας, ἀφικνεῖται πρὸς ἰζάτην, συγγενῶν τε καὶ οἰκετῶν περὶ χιλίους ἐπαγόμενος. καὶ καθ' ὁδὸν τῷ ἰζάτῃ ἐντυχών, καὶ φησί, μή με περιίδῃς, ὦ βασιλεῦ, ταπεινὸν ἐκ μεταβολῆς γεγονότα, καὶ ἰδιώτην ἐκ βασιλέως, ἀλλ' ἐπικούρησον. ταῦτα σὺν δάκρυσιν ἐλέγετο. ὁ δὲ ἰζάτης ἀκούσας τὸ ὄνομα, κατεπήδησε τοῦ ἵππου, καὶ θάρσει, ἔφη, ὦ βασιλεῦ. ἢ γὰρ εἰς τὴν πάρθων βασιλείαν σε καταστήσω, ἢ τῆς ἐμῆς σοι ἐκστήσομαι. ταῦτα εἰπών, καὶ ἐπὶ τὸν ἵππον αὐτὸν ἀνεβίβασεν, αὐτὸς δὲ πεζὸς παρείπετο. καὶ ὁ ἀρτάβανος ὤμοσεν, εἰ μὴ κἀκεῖνος ἀναβαίη τὸν ἵππον, καὶ προηγοῖτο, καταβήσεσθαι καὶ αὐτός.

ὅπως ὁ ἰζάτης μετετέθη εἰς τὴν ἰουδαϊκὴν θρησκείαν, καὶ ὁ τούτου μήτηρ ἑλένη ὁμοίως, καὶ εἰς ἱεροσόλυμα ἀπῆλθεν εἰς τὸ τοῦ θεοῦ ἱερόν.

περὶ ἀρταβάνου τῶν πάρθων βασιλέως, ἥκοντος εἰς ἰζάτην διωκόμενος.

ὅτι ἀποκατέστησε πάλιν ὁ ἀρτάβανος εἰς τὴν πάρθων βασιλείαν.

παιδὸς

πεισθεὶς δ' ὁ Ἰζάτης, ἐπὶ τὸν ἵππον ἥλατο, καὶ πᾶσαν τιμὴν ἀπένειμε τῷ Πάρθῳ, ὡς τὰ βασίλεια ἀγαγών. γράφει τε πρὸς τοὺς Πάρθους, τὸν Ἀρτάβανον δέξασθαι. τῶν δὲ Πάρθων δέξασθαι μὲν συντιθεμένων, μὴ δύνασθαι δὲ καὶ τὴν ἀρχὴν ἀποδοῦναι, ἤδη ἑτέρῳ πιστευθεῖσαν, ὁ Κίνναμος (οὕτω γὰρ ὠνόμαστο ὁ τὴν βασιλείαν παραλαβών) γράφει τῷ Ἀρταβάνῳ (ὑπ' αὐτοῦ γὰρ ἐτέθραπτο, καὶ ἦν ἀγαθὸς) παρακαλῶν αὐτὸν ἀφικέσθαι πιστεύσαντα, καὶ τὴν ἀρχὴν παραλήψεσθαι. καὶ ὁ Ἀρτάβανος πιστεύσας ἀπῄει. ὑπαντᾷ δ' οὖν αὐτῷ ὁ Κίνναμος, ὃς δὴ προσκυνήσας καὶ βασιλέα προσαγορεύσας, περιτίθησιν αὐτοῦ τῇ κεφαλῇ τὸ διάδημα, ἀπὸ τῆς ἑαυτοῦ ἀφελόμενος. οὕτω δὲ χρόνῳ ἐξ Ἰζάτου εἰς τὴν ἀρχὴν ἀποκατέστη ὁ Ἀρτάβανος, οὐκ ἀμνημονήσας τῶν ἐξ Ἰζάτου καλῶν, ἀλλ' ἀμείβεται τούτων. μετὰ δὲ ποσὸν χρόνον Ἀρταβάνου θανόντος, Οὐαρδάνης ὁ παῖς ἐκείνου τὴν βασιλείαν προσεζώσατο. καὶ πρὸς Ἰζάτην ἐλθὼν, συμμαχῆσαι αὐτῷ ἠξίου κατὰ Ῥωμαίων. ὁ δὲ οὐκ ἐπείθετο, ἀλλὰ καὶ συνεβούλευε παύσασθαι τῆς ἐπ' ἐκείνους στρατείας, καὶ μὴ ἀδυνάτοις ἐπιχειρεῖν. ὁ δὲ πόλεμον ἐπ' Ἰζάτην μὲν παθὼν ἐκήγγειλεν. ἀλλ' οἱ Πάρθοι μαθόντες, ὡς ἐπὶ Ῥωμαίους στρατεύσειν βούλεται, αὐτὸν μὲν ἀναιροῦσι, τὴν δὲ βασιλείαν τῷ ἀδελφῷ Κοτάρδῃ διδόασιν, ὃν ἐξ ἐπιβουλῆς τελευτήσαντα διαδέχεται Οὐολογέσης ὁ ἀδελφός. ὁ δὲ τοῦ Ἰζάτου ἀδελφὸς Μονόβαζος, καὶ οἱ συγγενεῖς ἰουδαΐσαντα καὶ αὐτοὶ ἐπιθυμήσαντες, καὶ τὴν ἔφεσιν ὡς ἔργον ἐξήνεγκαν. γίνεται δ' ἡ πρᾶξις αὐτῶν τοῖς ὑπηκόοις κατάφωρος. καὶ γράφουσι πρὸς Ἀβίαν τῶν Ἀράβων βασιλέα, εἰ στρατεύσοιτο κατὰ τοῦ σφετέρου βασιλέως, χρήματα πολλὰ παρασχεῖν αὐτῷ, ἐπαγγελλόμενοι περὶ τὴν πρώτην συμβολὴν καὶ αὐτοὶ καταλείψειν αὐτόν. πείθεται τούτοις ὁ Ἄραψ· καὶ πολλὴν ἐπαγόμενος δύναμιν, ἧκεν ἐπὶ τὸν Ἰζάτην. καὶ συμβολῆς γενομένης, καταλείπουσι τὸν Ἰζάτην οἱ αὐτοῦ, ἐκ συνθήματος, καὶ νῶτα τρέψαντες ἔφευγον. γνοὺς δὲ τὴν προδοσίαν Ἰζάτης γενομένην ὑπὸ τῶν μεγιστάνων, εἰς τὸ στρατόπεδον ὑποχωρεῖ, καὶ εὑρὼν τοὺς αἰτίους ἐκόλασε. τῇ δ' ὑστεραίᾳ συμβαλὼν νικᾷ, καὶ εἰς φυγὴν τοὺς Ἄραβας ἔτρεψε, τὸν δὲ βασιλέα αὐτῶν εἰς φρούριόν τι συνήλασε διωκόμενον. καὶ ὁ μὲν ἑαυτὸν ἀνεῖλεν, ἁλισκόμενος ἤδη. τὸ δὲ φρούριον εἷλε, καὶ τὰ ἐν αὐτῷ διαρπάσας, ὁ Ἰζάτης εἰς τὰ οἰκεῖα ὑπέστρεψεν. οἱ δὲ τῶν Ἀδιαβηνῶν μεγιστᾶνες Οὐολογέσῃ τῷ Πάρθων γράφουσι βασιλεῖ, καὶ ἀξιοῦσιν ἀποκτεῖναι μὲν τὸν Ἰζάτην, καταστῆσαι δὲ σφίσι δυνάστην ἐκ Πάρθων. μισεῖν γὰρ τὸν ἑαυτῶν βασιλέα ξένα θρησκεία προσελυθέντα. ὁ γοῦν Πάρθος αὐτίκα μετὰ πλείστης δυνάμεως ὥρμησε, καὶ ὁ Ἰζάτης ἀντεστρατοπεδεύσατο· παραγενόμενος δέ τις ἐκ τοῦ Πάρθου, ἔλεγε τῷ Ἰζάτῃ, ὁπόση εἴη τῶν Πάρθων ἡ δύναμις, καὶ ὡς Οὐολογέσης ἀπειλεῖ, δίκας εἰσπράξειν αὐτὸν, ἀχαρίστου περὶ δεσπότας γενόμενον. ῥύσεσθαι γὰρ αὐτὸν τῶν αὐτοῦ χειρῶν, οὐδὲ τὸν θεὸν ὃν σέβει δυνήσεσθαι. πρὸς ταῦτα ὁ Ἰζάτης, τὴν μὲν δύναμιν τῶν Πάρθων γινώσκειν, ἀντεπικρίνεται, ὀλίγα δ' ἀνθρώπων τὸν θεὸν δυνατώτερον. ταῦτα εἰπὼν, καὶ ἱκέτευε τὸν θεόν. κατ' ἐκείνην οὖν τὴν νύκτα ὑπὸ πολλὰς Οὐολογέσης δεξάμενος, πολεμίους ἐμβαλόντας τῇ Αὐλυρῷ, ταύτην πορθεῖν, αὐτίκα ἀναστήσας ἀνέζευξεν ἄπρακτος. καὶ οὕτως Ἰζάτης προμηθείᾳ θεοῦ τὰς ἀπειλὰς τοῦ Πάρθου διέφυγε. μετὰ δέ τινα χρόνον θνήσκει, πεντήκοντα καὶ πέντε ζήσας ἐνιαυτούς, εἴκοσι δὲ καὶ τέσσαρας αὐτὸς ἐν τῇ ἀρχῇ. θνήσκει δ' ἐπὶ παισὶν εἴκοσι καὶ τέσσαρσιν ἄρρεσι, καὶ τοσαύταις θηλείαις.

[illegible]

Izates igitur ei obsecutus, in equum insiluit, & Partho in regiam perducto omnem honorē habuit. Scripsit etiam ad Parthos, ut Artabanum recipiant. Qui cum se illum quidem recepturos, sed in regnum restituere non posse, ut alteri creditum, responderent: Cinamomus (id enim ei nomen erat, qui regnum susceperat) uir bonus, Artabanum à quo educatus fuerat, per literas hortatur, ut sua fide ueniat, atq; imperiū recipiat. Artabano redeunti obuiam progreditur, eum adorat, regem appellat: diadema suo capiti demptū, illius imponit. Sic ab Izate ex annis in regnum restitutus Artabanus, meritorum eius non fuit immemor, sed ea remuneratus est. Verùm aliquanto pòst eo mortuo, Bardanes eius filius regno potitus, ad Izatem uenit, ab eoq; petijt, ut secum belli societatem contra Romanos coiret. Qui cū refragaretur, eūq; hortaretur ut illam expeditionem omitteret, neque res aggrederetur quæ fieri non possent: Bardanes bellum Izati indicit. sed Parthi eius consilio intellecto, eum occidunt, & regnum fratri eius Ieotardæ deferunt: cui per insidias eςso, Vologeses frater succedit. At Izatis frater Monobazus, et cognati, Iudaismi amore capti, cum desiderium suum expleuissent: subditi re animaduersa, Abię Arabum regi per literas magnam pecuniam promiserunt, si regi bellum inferret: eum se quoque in primo congressu relicturos polliciti. Paret Arabs, & eum magnis copijs Izaten adoritur. qui in primo congressu à suis ex composito desertus, tergis obuersis sugientibus: magnatum proditione cognita, in castra recedit. & autoribus sceleris supplicio affectis, postridie Arabes uincit, fugatq;: & regem eorum in castellum quoddam compellit. quine in hostium manus ueniret, ipse sibi necem consciuit. quo castello capto atque direpto, Izates ad sua redijt. Cæterùm eum Adiabenorum satrapę à Vologese Parthorum rege per literas petijssent, ut Izate interfecto, dynasten Parthicum sibi præficeret. Se enim odisse regē suum peregrinam superstitionem amplexum: Parthus statim cum maximis copijs irruit, Izates ex aduerso castra locat. ei quidam à Partho missus narrat, quantæ sint Parthorum uires: & ut Vologeses minitetur, se pœnas ab eo exacturum ingrati animi erga dominos: ac ne Deum quidem quem colat, cum è manibus Vologesis eripere posse. Ad hæc Izates, se Parthorum nosse uires, respondet: sed Deum hominibus potentiorem esse, scire. His dictis, supplicauit Deo. Vologeses autem ea nocte per literas edoctus, hostes Parthiā uastare, statim re infecta discessit. Sic Izates prouidētia Dei, Parthi minis ereptus, aliquāto pòst moritur, anno ętatis LV, regni XXIIII, relictis XXIIII filijs, et totidē filiab.

Cinamomi gratitudo erga Artabanum.

Izates ob Iudaismum à suis proditus, Arabes uincit.

Vologeses Izati nihil incommodat.

Theudæ seductio à Fado uindicata.

Fado Iudęã procurante, quidã impostor Theudas maximæ turbę persuasit, ut possessionib. secũ acceptis, se, qui uates sit, & suo iussu fluuium scindere possit, ad Iordanem sequantur: ac plurimos seduxit. Fadus uerò, turmis equitum in eos immissis, multos occidit, plures cæpit: ipsumq; Theudã, cuius caput amputatũ & Hierosolyma perlatũ est. Fado Tiberius Alexander successit, Alexandri Alabarchi Alexandrini filius. Iacobus quoq; & Simõ, Iudæ Galilæi filij, à quo populus ad defectionẽ impulsus fuerat, Cyrenio cẽsore interfecti sunt, quos Alexãder in cruces sustulit. Herodes Chalcidis rex Iosepho Cemedi F. pontificatũ ademptũ Ananię Nedebæi filio tribuit. Tiberio Alexandro Cumanus successor datus est. Octauo monarchiæ Claudij anno, Herodes maioris Agrippæ frater obit, tribus filijs relictis: sed eius principatũ Claudius iuniori Agrippæ dedit.

Regnum Herodis Agrippæ iuniori tributum.

Cumanus Iudæę procurator, multitudine Paschatis in festo Hierosolymis cõgregata, ad res nouascauẽdas, tumultũq; sedãdũ, milites armatos in tẽpli porticib. disposuit, id quod & decessores eius fecerant. Quarto aũt festi die, eorũ militũ quidã pudenda palàm ostendit. Eam ob rem populi ira, quasi in Deum miles impius extitisset, atq; audaciorũ conuicijs Cumanus irritatus, omnẽ exercitũ in Antoniã castellũ, templo imminens, conuocauit. Quibus cõspectis, populus in fugam se dedit, in qua propter exitus angustias ad XX millia oppressa & cõculcata sunt, festiuitate in lamentationẽ conuersa.

Iudeorum XX millia oppressa.

Qua nõ dum finita, malum aliud accessit. Nam cum quidam nouis rebus gaudentes, Stephano Cæsaris seruo in itinere insidijs excepto, omnia bona eripuissent: Cumanus milites è uicinis agris prędas agere, & clarissimos quosq; in uinculis ad se adduce re iubet. Quod cum fieret, miles quidã, adolescens audax & temerarius, leges Mosis in pago quodã uenerabiliter repositas, in conspectu multorũ cum conuicijs & ludibrijs discerpsit. Quamobrẽ Iudæi Cumanũ adiere, supplicantes, ut contumeliã non sibi, sed Deo factam uindicaret. Is ueritus, ne populus denuò concitaretur, milite illo securi percusso, motũ illum compressit.

Miles ob discerptam legem Mosaicam, securi percussus.

Sed & Samaritani cum Iudæis inimicitias exercuerunt, tali de causa. Cum Galilæi Hierosolyma iter habentes, per quendam Samaritanorum pagum transirent, eorum complures quidam ex insidijs adorti occiderũt. Principes uerò Galilæorum à Cumano petierunt, ut necem illorum ulcisceretur. quod illo muneribus corrupto negligente, indignati, sumptis armis aliquos Samaritanorum pagos diripuerunt atque incenderunt. Eos Cumanus cũ exercitu adortus, multos occidit, plures cæpit. Hierosolymitani uerò principes saccos induti, & capitib. cinere conspersis, precibus à seditiosis impetrarunt, ut mutatis consilijs, abiectisq; armis quiescerent: quibus dispersis, regio latrocinijs

Samaritanorum & Iudeorum inimicitiæ.

περὶ τοῦ γόητος θευδᾶ.

[illegible]

φάδου μέντοι τῆς ἰουδαίας ἐπιτροπεύοντος, ἀνήρ τις γόης θευδᾶς ὄνομα, πείθει τὸν πλεῖστον ὄχλον, ἀναλαβόντα τὰς κτήσεις, ἕπεσθαι πρὸς τὸν ἰορδάνην αὐτῷ. προφήτης γὰρ ἔλεγεν εἶναι, καὶ σχίσαι τὸν ποταμὸν προστάγματι δύνασθαι, καὶ πλείστους ἠπάτησεν. πέμψας δ᾽ ἐπ᾽ αὐτοὺς ἴλην ἱππέων ὁ φάδος, πολλοὺς μὲν ἀνεῖλεν, ὁμοίως δ᾽ ἐζώγρησε, καὶ αὐτὸν τὸν θευδᾶν, οὗ τὴν κεφαλὴν ἐκτεμόντες, ἐκόμισαν εἰς ἱεροσόλυμα. φάδον δὲ τιβέριος ἀλέξανδρος διεδέξατο, ἀλεξάνδρου τοῦ ἀλαβαρχήσαντος ἐν ἀλεξανδρείᾳ υἱός. καὶ οἱ παῖδες δὲ τοῦ γαλιλαίου ἰούδα, ἰάκωβος καὶ σίμων, τοῦ τὸν λαὸν ἀποστήσαντος κυρηνίου τιμητεύοντος, ἀνῃρέθησαν, οὓς ἀνεσταύρωσεν ὁ ἀλέξανδρος. ὁ δὲ τῆς χαλκίδος βασιλεὺς ἡρώδης μετέστησε τῆς ἀρχιερωσύνης ἰωσὴφ τὸν τοῦ καμυδῆ, ἀνανίᾳ τῷ τοῦ νεδεβαίου περιέχων αὐτήν. τιβερίῳ δὲ ἀλεξάνδρῳ κούμανος ἦλθε διάδοχος. ἐν ὀγδόῳ δὲ ἔτει τῆς κλαυδίου μοναρχίας, ἡρώδης ὁ τοῦ μεγάλου ἀγρίππα ἀδελφὸς τελευτᾷ ἐφ᾽ υἱέσι τρισί, τὴν δ᾽ ἀρχὴν αὐτοῦ τῷ νεωτέρῳ ἀγρίππᾳ δίδωσι κλαύδιος. κουμάνου δὲ τῆς ἰουδαίας ἐπιτροπεύοντος, πλῆθος κατὰ τὴν ἑορτὴν τοῦ πάσχα εἰς ἱεροσόλυμα ἤθροιστο. ἵνα γοῦν μή τι νεωτερισθείη παρὰ τοῦ πλήθους ὄντος πολλοῦ, στρατιώτας ἐνόπλους ἐπὶ τῶν τοῦ ἱεροῦ στοῶν ὁ κούμανος ἔστησε, καταστελοῦντας τὸν θόρυβον ἐὰν γένηται. τοῦτο δὲ καὶ οἱ πρὸ αὐτοῦ ἐποίουν. τετάρτῃ δ᾽ ἡμέρᾳ τῆς ἑορτῆς τῶν στρατιωτῶν τις τῶν ἐν ταῖς στοαῖς ἀνακαλυψάμενος τὴν αἰδῶ, τοῖς πλήθεσιν ἐπεδείκνυεν. οἱ δ᾽ ἐθυμοῦντο, ὡς εἰς τὸν θεὸν τοῦ στρατιώτου ἀσεβηκότος, καὶ οἱ θρασύτεροι τὸν κούμανον ἐβλασφήμουν. ὃ δὲ πρὸς τὰς βλασφημίας ἠρέθιστο, καὶ κελεύει τὸ στράτευμα πᾶν ἥκειν εἰς τὴν ἀντωνίαν τὸ φρούριον, τῷ ἱερῷ ἐπικείμενον. τὸ πλῆθος οὖν τοὺς ὁπλίτας θεασάμενον, εἰς φυγὴν ὥρμησε, καὶ τῶν ἐξόδων στενῶν οὐσῶν, συνωθούμενοι κατὰ τὴν φυγήν, πολλοὶ ὑπ᾽ ἀλλήλων συνθλιβόμενοι καὶ συμπατούμενοι διεφθάρησαν, ὡς εἰς δύο μυριάδας ἀριθμηθῆναι τοὺς διαφθαρέντας, καὶ πένθος ἦν ἀντὶ πανηγύρεως. οὔπω τὸ πένθος αὐτοῖς κατέπαυσε, καὶ κακὸν προσετέθη ἕτερον. τινὲς γὰρ τῶν ἐπὶ νεωτερισμοῖς ἡδομένων, στέφανόν τινα δοῦλον τοῦ καίσαρος ὁδοιποροῦντα λῃστεύσαντες, ἅπασαν αὐτοῦ τὴν κτῆσιν ἁρπάζουσι. διὸ πέμπει στρατιώτας ὁ κούμανος, κελεύσας αὐτοῖς τὰς πλησίον χώρας λῄζεσθαι, καὶ τοὺς ἐπιφανεστέρους αὐτῶν δεσμίους ἐπ᾽ αὐτὸν ἀγαγεῖν. τῆς δὲ τῶν χωρίων ἐκείνων πορθήσεως γινομένης, νεανίας τις τῶν στρατιωτῶν θρασὺς καὶ ἀτάσθαλος, τοῖς μωσέως ἐντυχὼν νόμοις, ἔν τινι κώμῃ σεβασμίως κειμένοις, ἐπ᾽ ὄψεσι πολλῶν διέρρηξεν αὐτούς, βλασφημῶν καὶ κατακερτομῶν. προσίασιν οὖν τῷ κουμάνῳ οἱ ἰουδαῖοι, ἱκετεύοντες, μὴ αὐτούς, ἀλλὰ τὸν θεόν, οὗπερ οἱ νόμοι καθυβρίσθησαν, ἐκδικῆσαι. καὶ ὁ κούμανος δείσας, μὴ τὸ πλῆθος πάλιν νεωτερίσειε, τὸν ἐνυβρίσαντα τοῖς νόμοις πελεκίσας, τὴν στάσιν κατέπαυσεν. ἀλλὰ καὶ σαμαρείταις ἔχθρα πρὸς ἰουδαίους ἐγένετο, ἡ δ᾽ αἰτία ἦν αὕτη. γαλιλαῖοι εἰς ἱεροσόλυμα πορευόμενοι, διά τινος κώμης ᾔεσαν τῶν σαμαρέων. καί τινες αὐτοῖς ἐπιθέμενοι, πολλοὺς ἀνεῖλον. οἱ πρῶτοι τοίνυν τῶν γαλιλαίων τῷ κουμάνῳ προσίασι, παρακαλοῦντες τοὺς ἀνῃρημένους ἐκδικηθῆναι. ὁ δὲ δωροδοκηθείς, τῆς ἐκδικήσεως οὐκ ἐφρόντισεν. ἀγανακτήσαντες οὖν οἱ γαλιλαῖοι, πρὸς ὅπλα ἐχώρησαν, καὶ κώμας τινὰς τῶν σαμαρέων ἐμπρήσαντες, διήρπαζον. κούμανος δὲ σὺν δυνάμει τοῖς γαλιλαίοις ἐπῆλθε, καὶ πολλοὺς μὲν αὐτῶν ἔκτεινε, πλείους δὲ ζῶντας εἷλεν. οἱ πρῶτοι δὲ τῶν ἱεροσολυμιτῶν μεταμφιεσάμενοι σάκκους, καὶ τὰς κεφαλὰς σποδῷ καταπάσαντες, παρεκάλουν τοὺς ἀφεστῶτας μεταθέσθαι τὸν λογισμόν, καὶ τὰ ὅπλα ῥίψαντας ἠρεμεῖν. καὶ ἐπείσθησαν. οἱ μὲν οὖν διελύθησαν, ἡ χώρα δ᾽ ἐξ ἐκείνου λῃστηρίων

περὶ ἀλαβάρχου.

περὶ τῶν φονευθέντων ἐν τῷ ἱερῷ διὰ τὸ στενὸν τῆς ἐξόδου καταπατηθέντων ἰουδαίων.

[illegible]

πεπλήρω

ὅτι μετὰ τὸ ἡγεμονεύειν συρίας.

πεπλήρωτο. Σαμαρεῖς δὲ πρὸς Κουμανὸν τῶν Ἰουδαίων ἡγεμονεύοντα κατηγόρουν τῶν Ἰουδαίων, ὡς ἐμπρησάντων κώμας αὐτῶν. Ἰουδαῖοι δὲ Σαμαρεῖς ᾐτιῶντο, ὡς αἰτίους τῆς στάσεως. καὶ τὸν Κουμανὸν, δώροις διεφθαρμένον, καὶ τοὺς ἠδικημένους μὴ ἐκδικήσαντα. Κουαδρᾶτος δὲ ὁ ὑπάρχων τῆς Συρίας, ἀπαίρων, ἧκεν εἰς τὴν Ἰουδαίαν, κἀκεῖ τὴν διάγνωσιν ἀποφήνασθαι. ἦλθεν εἰς Σαμάρειαν, καὶ ἐξετάσας τὰ πεπραγμένα, αἰτίους τῆς ταραχῆς ἔγνω τοὺς Σαμαρεῖς. Ἰουδαίους δὲ τοὺς δεδεμένους ἦγεν ὁ Κούμανος, ἀνεσκολόπισεν ὡς νεωτερίσαντας. τὸν δὲ περὶ Ἀνανίαν τὸν ἀρχιερέα καὶ τὸν στρατηγὸν Ἄνανον δήσας, ἐς Ῥώμην ἀπέστειλε, λόγον περὶ τῶν πεπραγμένων Κλαυδίῳ ὑφέξοντας. ἐκέλευσε δὲ καὶ τοῖς Σαμαρέων καὶ Ἰουδαίων πρώτοις, καὶ Κουμανῷ τῷ ἡγεμόνι, καὶ τῷ χιλιάρχῳ Κέλερι, ἀφικέσθαι καὶ αὐτοὺς πρὸς τὸν αὐτοκράτορα, κριθησομένους περὶ τῶν πρὸς ἀλλήλους ζητήσεων. ἀπελθόντων δὲ, δικάσας καθίσας ὁ Κλαύδιος, καὶ γνοὺς τοὺς Σαμαρεῖς τῶν κακῶν ἀρχηγοὺς, τοὺς ἀναβάντας πρὸς αὐτὸν ἀναιρεθῆναι προσέταξε. φυγὴν δὲ τοῦ Κουμανοῦ κατεψηφίσατο· τὸν μέντοι Κέλερα τὸν χιλίαρχον εἰς Ἱεροσόλυμα ἀπαχθῆναι ἐκέλευσε, καὶ συρέντα πάντων ὁρώντων διὰ τῆς πόλεως, οὕτως ἀναιρεθῆναι. πέμπει δὲ ὁ Καῖσαρ Φήλικα τῶν Ἰουδαίων ἐπιτροπεύσοντα· Ἀγρίππᾳ δὲ δωρεῖται τὴν Φιλίππου τετραρχίαν, καὶ Βαταναίαν, καὶ τὴν Τραχωνῖτιν σὺν Ἀβίλᾳ, αὕτη δὲ Λυσανίου ἦσαν τετραρχία. τὴν δὲ Χαλκίδα ἀφαιρεῖται αὐτὸν, ἔτη τέσσαρα ταύτης ἄρξαντα. ὁ δὲ Ἀγρίππας ἐκδίδωσι πρὸς γάμον Ἀζίζῳ τῷ Ἐμεσηνῶν βασιλεῖ, περιτμηθῆναι θελήσαντι, Δρούσιλλαν τὴν ἀδελφὴν, τοῦ Ἐπιφανοῦς Ἀντιόχου παραιτησαμένου τὸν γάμον, ὅτι μὴ ἰουδαΐσαι ἐβούλετο. καὶ Μαριάμμην κατηγγύησεν Ἀρχελάῳ τῷ Ἑλκίου παιδὶ, ὑπ' Ἀγρίππα τοῦ πατρὸς πρώην μνηστευθεῖσαν αὐτῷ. Φῆλιξ δὲ τῆς Ἰουδαίας ἐπιτροπεύων, καὶ τὴν Δρούσιλλαν ἰδὼν κάλλους περιττῶς ἔχουσαν, ἑάλω διὰ ταύτης ἔρωτι, καὶ πείθει καταλιποῦσαν τὸν ἄνδρα, αὐτῷ γαμηθῆναι. τεκοῦσα δ' ἐξ αὐτοῦ παῖδα, Ἀγρίππαν αὐτὸν ὠνόμασε. λέγεται δὲ κατὰ τοὺς Τίτου χρόνους ἡ γυνὴ σὺν τῷ παιδὶ νεανίᾳ γεγενημένῳ ἀφανισθῆναι κατὰ τὸ Βέσβιον ὄρος, πυρφόρον ὂν, καὶ τότε μᾶλλον ἐκπυρωθέν. Βερνίκη δὲ ἑτέρα ἀδελφὴ τοῦ Ἀγρίππα, συνοικοῦσα Ἡρώδῃ τῷ θείῳ, θανόντος ἐκείνου, Πολέμωνι συνηρμόσθη, περιτμηθῆναι θελήσαντι διὰ τὴν φήμην, τὴν λέγουσαν αὐτὴν τῷ ἀδελφῷ συνεῖναι κατ' ἔρωτα, ἵν' οὕτω τὴν διαβολὴν ἐκφύγῃ. οὐ διέμεινε μὴν ὁ γάμος ἐπὶ πολὺ, τῆς Βερνίκης καταλιπούσης τὸν Πολέμωνα. τελευτᾷ δὲ Κλαύδιος Καῖσαρ, βασιλεύσας ἔτη τρισκαίδεκα, καὶ μῆνας ὀκτὼ, ἐφ' ἡμέραις εἴκοσι. λόγος δὲ ἦν, ὡς ὑπὸ τῆς γυναικὸς Ἀγριππίνης φαρμάκοις ἀνῄρητο, ἧς πατὴρ ἦν Γερμανικὸς, ὁ Καίσαρος ἀδελφὸς, ἀνὴρ δὲ Δομίτιος Ἀηνόβαρβος τῶν ἐπισήμων ἐν Ῥώμῃ. οὗ τελευτήσαντος, χηρεύσασαν αὐτὴν ὁ Κλαύδιος ἄγεται, ἔχουσαν καὶ παῖδα Δομέτιον ὁμώνυμον τῷ πατρί. προανῃρήκει γὰρ τὴν γυναῖκα Μεσαλῖναν διὰ ζηλοτυπίαν, ἐξ ἧς παῖδας εἶχε Βρεττανικὸν καὶ Ὀκτάβιον. καὶ Ὀκταβίαν δὲ πρεσβυτέραν τῶν ἀδελφῶν ἐκ προτέρας ἑτέρας γυναικὸς ἔσχε, ἣν τῷ Νέρωνι ἥρμοσε· τοῦτον γὰρ τὸν τῆς Ἀγριππίνης υἱὸν τὸν Δομέτιον μετονόμασεν ὕστερον ὁ Καῖσαρ, εἰσποιησάμενος αὐτόν. ἵνα δ' οὖν τούτῳ τὴν αὐταρχίαν περιποιήσηται ἡ μήτηρ Ἀγριππῖνα, κτείνει φαρμάκῳ τὸν Κλαύδιον. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς οἰκείοις καιροῖς καὶ τόποις ῥηθήσεται. ὁ δὲ λόγος τῆς ἀκολουθίας ἐχέσθω. ἦρξε μὲν οὖν ὁ Νέρων μετὰ Κλαύδιον τὴν τῶν Ῥωμαίων ἀρχήν,

ὅτι πυρφόρον τὸ Βέσβιον ὄρος.

τελευτὴ κλαυδίου.

ὅτι νέρων βασιλεύει μετὰ κλαύδιον.

τὰ δὲ

Quadratus Syriæ prætor.

infestata est. Samaritani porrò Iudæos apud Quadratũ Syriæ prętorẽ de incensis pagis accusarunt: quos Iudęi contrà, ut seditionis autores criminati sunt, ac Cumanũ in primis, qui largitionib. delinitus, necem interfectorũ non uindicasset. Quadratus iudicio dilato, se in Iudæam uenturũ, & cognita ueritate pronunciaturũ esse dixit. Samariā profectus, rebus inquisitis, Samaritanos turbarum autores esse cōperit: Iudæos, quos Cumanus in uinculis tenebat, ut nouas res molitos, in cruces egit: Ananiam pontificem, & Ananũ ducem exercitus, uinctos Romam misit, ad actorũ suorũ rationem Claudio reddendam. Samaritanorũ quoq; & Iudęorum principes, Cumanũ præsidem & Celerem tribunum ad Imperatorem ire iussit, ut ibi controuersias suas disceptarent. Claudius cum pro tribunali sedens, Samaritanos malorum extitisse autores cognouisset: eos qui uenerant, occidi: Cumanum exulare: Celerem tribunũ Hierosolyma reduci, & in conspectu omniũ per urbem tractum ita demũ occidi iussit: & Felici procurationem Iudææ mādauit. Agrippæ, Chalcide quam annos IIII tenuerat, erepta, Philippi tetrarchiam, Batanæam & Trachonitidē cum Abella, quæ Lysaniæ tetrarchia fuerat, donauit. Agrippa uerò Drusillam sororē Azizo Emesarum regi, circumcisionem nō recusanti, in matrimonium collocat, nuptijs eius ab Antiocho Epiphane ritus Iudaici odio repudiatis. Mariammen Archelao Helciæ filio despondit, à patre Agrippa olim promissam. Felix Iudææ procurator Drusillæ excellenti pulchritudine captus, mulieri persuadet, ut marito relicto sibi nubat: quæ filium ex eo susceptum Agrippam nominauit. Fertur autem, Titi temporibus cum eo adolescente in Vesuuio monte ignifero, actum magis inflammato, perijsse. Berenice altera Agrippæ soror, Herode patruo & marito defuncto, Polemoni, cum circumcisus esset, nupsit, ad abolendam incestus cum fratre calumniam, sed diutumum coniugium non fuit, Polemone à Berenice deserto. Claudius Cæsar mortuus est anno imperij decimo tertio, mense octauo, die XX. ueneno, ut ferebatur, ab uxore Agrippina sublatus, quæ patrem habuit Germanicum, Cęsaris fratrem: maritum Domitium Aenobarbum, uirum Romæ illustrem: quo defuncto, eam uiduā Claudius duxit, cum filium haberet Domitium patri cognominem. Nam Messalinam uxorem ex zelotypia sustulerat, è qua liberos habebat Britannicum & Octauium: & filiam Octauiam natu maximam ante hos ex alia coniuge susceptam, quam Neroni (id enim nomen Agrippinæ filio Domitio Cæsar pater adoptiuus fecit) despondit. Cui ut mater imperium acquireret, Claudium ueneno sustulit. Sed hæc suo loco & tempore referentur. Nunc institutam historiæ seriem prosequamur. Post Claudij interitum, Nerone imperium adepto,

Claudij sententia, de Iudaicis controuersijs.

Agrippæ regnum, & affinitates.

Nero Claudio succedit.

Agrippina.

Domitius.

Messalina.

Britannicus.

Octauius.

Octauia.

s res Iu-

Iudaea latronibus et impostoribus referta.

tes Iudaicae continenter in deterius sunt prolapsae, prouincia latrocinijs & impostoribus, populum seducentibus repleta: quorum multos Felix sustulit. qui Ionathae pôtifici ob crebras eius, ut Iudaeam melius gubernaret, admonitiones infensus, occasionem tam molesti interpellatoris tollendi quaeritans, curat ut latrones per speciem adorandi, turbae hominû in templo immisti, sicas sub uestibus gestantes, Ionatham occidant. Quo facinore nô uindicato, sicarij citra metum urbem ingressi, tum suos tum aliorum inimicos mercede peremerunt. Ad haec praestigiatores & impostores turbae persuaserunt, ut se in loca deserta sequerentur, euidêtia signa & miracula diuinitus edita ostensuros: quorum multos Felix supplicijs affecit. Latrones uerò plebem ad bellû Romanis, quibus parêre detrectabant, inferendum concitabât: eorumque pagos, qui parêre nollent, incendebât.

Caesariensis seditio.

Caesareque uerò, quã Iudaei & Syri incolebant, principatum Iudaei hac ratione sibi uendicabant, quòd eam urbem Herodes rex suus instaurasset. Quòd etsi confitebantur Syri, tamen prius quoque urbem fuisse Stratonis turrem asserebant, nemine tum ibi Iudaeo degente. Hac de causa Caesariensib. tumultuantibus, prouinciae praesides sontibus flagris caesis, tumultum nonnihil represserunt. Caeterum Iudaei opibus superiores, Syros contemnebant, & côuicijs incessebant. Illi uerò ut minus pecuniosi, ita eo freti, quòd plurimi Caesarienses sub Romanis stipendia mererent, aliquandiu uerborû côtumelias in Iudaeos regesserunt. Inde ad lapides uentum, donec utrinque multi uulnerati sunt, multi occubuerunt, uictoria tamen penes Iudaeos fuit. quos cum Felix frustra monuisset ut desinerent: militib. immissis multos occidit, plures uiuos côprehendit, eorumque domos diripi iussit. Sed qui moderatiores inter Iudaeos erant, ab illo precibus impetrarunt, ut reuocatis militibus populo parceret, delictorum uenia concessa.

Pontificum & sacerdotum inimicitiae.

Agrippa rex pontificatû Ismaeli Fabij filio dedit. Cum autem inter pontifices & sacerdotes atque primos ciuitatis Hierosolymitanae inimicitiae intercederent: & conuicijs & lapidibus est certatû, neque qui eos castigaret, aut seditionem premeret, quisquam fuit. Ac pontifices eò impudentiae sunt progressi, ut ministris suis in areas missis decimas sacerdotibus debitas raperent. Vnde sacerdotes tenuiores ad egestatem redacti, fame perierunt.

Porcius Festus Iudaeae praefect.

Porcio Festo à Nerone Felici successore dato: Iudaei Caesarienses Felicem apud Imperatorem accusarunt. ac dedisset ille fortè poenas iniuriarum, nisi frater eius Pallas, qui gratia multum ualebat, Neronis iram mitigasset. Sed & Caesarienses Syri Beryllo Neronis paedagogo pecunia conciliato, literas impetrarunt, quibus Iudaeis aequale ius Caesariensis ciuitatis adimebatur. Vnde mala quae gentem pòst oppresserunt, ortum habuere. Ob eas enim literas Iudaei seditionem contra Syros magis urserunt, donec bellum exarsit.

τὰ δὲ κατὰ τὴν Ἰουδαίαν ἐπιδιδόντα πρὸς τὸ χεῖρον διηνεκῶς, καὶ λῃστρικῶν ἡ χώρα ἐνεπέπληστο, καὶ γοήτων, ἀπατώντων τὸν ὄχλον, ὧν πολλοὺς ὁ Φῆλιξ συλλαμβάνων ἀνῄρει. ἔχων δὲ ἀπεχθῶς πρὸς Ἰωνάθην τὸν ἀρχιερέα ὁ Φῆλιξ, πολλάκις αὐτὸν νουθετοῦντα περὶ τοῦ κρεῖττον προΐστασθαι τῶν κατὰ τὴν Ἰουδαίαν, πρόφασιν ἐζήτει, δι' ἧς τὸν ἐνοχλοῦντα συνεχῶς μεταστήσεται, καὶ διὰ τῶν λῃστῶν αὐτὸν ἀναιρεῖ· οἱ γὰρ τῷ ναῷ παραγεγονότες ὡς προσκυνήσοντες, καὶ ξιφίδια φέροντες ὑπὸ τὰς ἐσθῆτας, ἀναμιχθέντες τῷ πλήθει, καὶ τὸν Ἰωνάθην ἀνεῖλον. ἀνεκδικήτου δὲ τοῦ τολμήματος μείναντος, ἀδεῶς οἱ λῃσταὶ ἀναβαίνοντες, οὓς μὲν οἰκείους ἐχθροὺς ἀνῄρουν, οὓς δ' ἑτέρων ἐπὶ μισθῷ. γόητες δὲ καὶ ἀπατεῶνες ἄνθρωποι τὸν ὄχλον ἀνέπειθον, ἕπεσθαι σφίσιν εἰς τὴν ἐρημίαν, δείξειν ἐναργῆ σημεῖα καὶ τέρατα γινόμενα ἐκ θεοῦ· ὧν πολλοὺς ὁ Φῆλιξ ἐκόλαζεν. οἱ δέ γε λῃσταὶ τὸν δῆμον εἰς τὸν πρὸς Ῥωμαίους ἠρέθιζον πόλεμον, θέλοντες μὴ ὑπακούειν αὐτῶν, καὶ τὰς τῶν μὴ πειθομένων κώμας ἐμπιπρῶντες διέφθειρον. Σύρων δὲ καὶ Ἰουδαίων τὴν Καισάρειαν οἰκούντων, οἱ μὲν Ἰουδαῖοι πρωτεύειν ἠξίουν, ὡς Ἡρώδου τοῦ σφῶν βασιλέως τὴν πόλιν ἐγείραντος. Σύροι δὲ τὰ μὲν περὶ τὸν Ἡρώδην ὡμολόγουν, ἔφασαν δὲ καὶ πρώην πόλιν Στράτωνος καλουμένην πύργον, καὶ μηδένα τότε τῇ πόλει Ἰουδαῖον οἰκεῖν. ταῦτα [illegible] τῶν Καισαρέων στασιαζόντων, οἱ τῆς χώρας ἐπιμελούμενοι πληγαῖς τοὺς αἰτίους ᾐκίζοντο, καὶ πρὸς ὀλίγον τὸν θόρυβον κατεκοίμισαν. πλούτῳ δὲ τῶν Σύρων οἱ Ἰουδαῖοι προέχοντες, καὶ διὰ τοῦτο καταφρονοῦντες αὐτῶν, ἐβλασφήμουν αὐτούς. οἱ δὲ χρήμασι μὲν ἡττώμενοι, θαρροῦντες δὲ ὅτι πλεῖστοι τῶν ὑπὸ Ῥωμαίοις στρατευομένων Καισαρεῖς ἦσαν, μέχρι μέν τινος καὶ αὐτοὶ λόγοις τοὺς Ἰουδαίους ἀνθύβριζον· εἶτα λίθοις ἀλλήλους ἔβαλλον, ἕως πολλοὶ ἐτρώθησάν τε καὶ ἔπεσον ἀμφοτέρωθεν· νικῶσι δὲ Ἰουδαῖοι. ὁ μέντοι Φῆλιξ παύσασθαι τοὺς Ἰουδαίους ἐκέλευε, καὶ μὴ πειθομένοις τοὺς στρατιώτας ἐπαφίησι· καὶ πολλοὺς μὲν ἀνεῖλε, πλείους δὲ ζῶντας συνέσχε, καὶ οἰκίας διαρπάζειν τοῖς στρατιώταις ἐπέτρεψεν. οἱ δὲ τῶν Ἰουδαίων ἐπιεικέστεροι καὶ οἱ προὔχοντες, παρεκάλουν τὸν Φήλικα τοὺς στρατιώτας ἀνακαλέσασθαι, καὶ φείσασθαι αὐτῶν, δοῦναί τε ἐπὶ τοῖς πεπραγμένοις μετάνοιαν. καὶ ὁ Φῆλιξ ἐπείσθη. ὁ δὲ βασιλεὺς Ἀγρίππας δίδωσι τὴν ἀρχιερωσύνην Ἰσμαὴλ υἱῷ τοῦ Φαβί. ἔσχον δὲ πρὸς ἀλλήλους ἔχθραν οἵ τε ἀρχιερεῖς καὶ ἱερεῖς σὺν τοῖς πρώτοις τῶν Ἱεροσολυμιτῶν, καὶ ἐκακολόγουν ἀλλήλους, καὶ λίθοις ἔβαλλον, καὶ ὁ ἐπιπλήξων καὶ τὴν στάσιν κωλύσων οὐκ ἦν. εἰς τοσοῦτον δὲ οἱ ἀρχιερεῖς ἀναιδείας ἐχώρησαν, ὡς καὶ πέμπειν ἐπὶ τὰς ἅλωνας, καὶ βίᾳ λαμβάνειν τὰς τοῖς ἱερεῦσιν ὀφειλομένας δεκάτας, ὅθεν οἱ ἄποροι τῶν ἱερέων ὑπὸ ἐνδείας ἀπέθνησκον. Πορκίου δὲ Φήστου ὑπὸ Νέρωνος σταλέντος διαδόχου τῷ Φήλικι, οἱ Καισαρεῖς Ἰουδαῖοι κατηγόρησαν τοῦ Φήλικος παρὰ Νέρωνι· καὶ τάχα ἂν ἔτισε δίκας τῶν εἰς αὐτοὺς ἀδικημάτων, εἰ μὴ Πάλλας ὁ ἀδελφὸς αὐτοῦ μέγα δυνάμενος παρὰ Νέρωνι, τὴν αὐτοῦ ὀργὴν παρῃτήσατο. καὶ οἱ ἐν Καισαρείᾳ δὲ Σύροι Βήρυλλον τὸν Νέρωνος παιδαγωγὸν δεξιωσάμενοι χρήμασιν, ἐπιστολὴν κομίζονται Καίσαρος δι' αὐτοῦ τὴν Ἰουδαίων ἰσοπολιτείαν τοῖς ἐν Καισαρείᾳ Σύροις ἄκυρον ἀποφαίνουσαν, ἐξ ἧς τὰ μετὰ ταῦτα κακὰ τῷ ἔθνει ἐφύησαν. διὰ ταύτην γὰρ τὴν ἐπιστολὴν Ἰουδαῖοι πρὸς τοὺς Σύρους μᾶλλον στάσεως ἄρχοντο, μέχρις ἂν ἀνήφθη ὁ πόλεμος.

ἐν ἄλλῳ· καὶ οὗτοι οἱ ἀρχιερεῖς ἀναιδῶς, τοὺς ἱερέας ἀδικοῦντες ἀπορεῖν.

Φῆστος

Festus

περὶ τῶν σικαρίων λῃστῶν.

Φῆστος δὲ εἰς τὴν ἰουδαίαν ἐλθὼν, κακουμένην ταύτην εὗρεν ὑπὸ λῃστῶν. καὶ οἱ σικάριοι γὰρ καλούμενοι (λῃσταὶ δέ εἰσιν οὗτοι) τότε μᾶλλον εἰς πλῆθος συνίσταν, χρώμενοι ξιφιδίοις περὶ καμπὰς, καὶ ὁμοίως ταῖς ὑπὸ ῥωμαίων καλουμέναις σίκαις, ἀφ' ὧν καὶ σικάριοι ὠνομάσθησαν. οἱ κατὰ τὰς ἑορτὰς τῷ πλήθει ἀναμιγνύμενοι, οὓς ἐβούλοντο ῥᾳδίως ἀπέσφαττον, καὶ τὰς κώμας δὲ διήρπαζόν τε καὶ ἐνεπίμπρασαν. πέμπει δὲ Φῆστος δύναμιν ἐπὶ τοὺς ἀπατηθέντας ὑπό τινος γόητος, σωτηρίαν ἐπαγγελλομένου τοῖς ἕπεσθαι θέλουσι μέχρι τῆς ἐρημίας αὐτῷ, κἀκεῖνόν τε τὸν ἀπατῶντα καὶ τοὺς ἀκολουθήσαντας οἱ πεμφθέντες διέφθειραν. ὁ μὲν τοι βασιλεὺς ἀγρίππας οἴκημά τι μέγα δομησάμενος ἐν τοῖς βασιλείοις, ἐκαθέζετο καὶ ἑώρα τὰ ἐν τῷ ἱερῷ γινόμενα. πρὸς τοῦτο δ' ἐχαλέπαινον οἱ τῆς πόλεως. τεῖχος οὖν ἐγείρουσιν, ὃ οὐ τῆς βασιλικῆς οἰκίας μόνης τὴν ἄποψιν ὑπετέμνετο, ἀλλὰ καὶ τῆς πρὸς δυσμὰς στοᾶς, ἔνθα τὰς φυλακὰς οἱ ῥωμαῖοι ταῖς ἑορταῖς ἐποιοῦντο διὰ τὸ ἱερόν. ἐπὶ τούτοις ἠγανάκτησεν ἀγρίππας, καὶ πλέον ὁ Φῆστος, καὶ καθελεῖν τὸν τοῖχον ἐβούλετο. οἱ δὲ παρεκάλεσαν ἐνδοῦναι αὐτοῖς, δηγβεῦσαι τὸ καίσαρος. καὶ συγχωρήσαντος Φήστου, πέμπουσι δέκα ἐκ τῶν πρώτων πρὸς νέρωνα, καὶ ἰσμαὴλ τὸν ἀρχιερέα, καὶ ἑλκίαν τὸν γαζοφύλακα. καὶ ὁ νέρων τῇ γυναικὶ ποππαίᾳ ὑπὲρ ἰουδαίων ἀξιούσῃ χαριζόμενος, ἐκέλευσεν ἐᾶν τὴν οἰκοδομήν. καὶ ἡ ποππαία τοὺς μὲν ἄλλους ἀφῆκεν ἀπελθεῖν, τὸν δὲ ἰσμαὴλ καὶ τὸν ἑλκίαν κατεῖχε παρ' ἑαυτῇ ὁμηρεύσοντας. καὶ ὁ βασιλεὺς ἀγρίππας τοῦτο πυθόμενος, δίδωσι τὴν ἀρχιερωσύνην ἰωσὴφ τῷ καλουμένῳ δὲ καβιζῷ, υἱῷ τοῦ ἀρχιερατεύσαντος σίμωνος. εἶτα τοῦτον ἀφελόμενος, ἀνάνῳ υἱῷ τοῦ ἀνάνου ταύτην, ὃ δὲ ἰωσὴφ ἀφελόμενος, προσεκλήρωσεν. οὗτος οὖν ὁ νέος ἄνανος τὴν ἀρχιερωσύνην παρειληφὼς, τολμηρὸς ἦν καὶ θρασύς. Φήστου γοῦν θανόντος, καὶ ἀλβίνου μήπω καταλαβόντος τὴν ἰουδαίαν, ὡς αὐτὸ φησὶ ὁ ἰώσηπος, ἐπίτροπος, καθίζει συνέδριον, ἐν αὐτοῖς τοῖς ἰωσήπου χρώμενος ῥήμασι, παράγει τὸν ἀδελφὸν ἰησοῦ τοῦ λεγομένου χριστοῦ, ἰάκωβος ὄνομα αὐτῷ, καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορῶν αὐτῶν, καὶ παρέδωκε λευσθησομένους. ὅσοι δὲ τῶν κατὰ τὴν πόλιν ἐδόκουν ἐπιεικέστατοι, καὶ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ, καὶ κατεῖπον αὐτοῦ καὶ πρὸς ἀλβῖνον καὶ πρὸς ἀγρίππαν. διὸ τὴν ἀρχιερωσύνην ἀφελόμενος ὁ βασιλεὺς αὐτοῦ, μῆνας ἄρξαντος τρεῖς, ἰησοῦν τὸν τοῦ μνασέα κατέστησεν. ἀλβῖνος δὲ ἐλθὼν εἰς ἱεροσόλυμα, σπουδὴν εἰσήνεγκεν εἰρηνεύειν τὴν χώραν, καὶ πολλοὺς τῶν σικαρίων διέφθειρεν. ἀγρίππας δὲ δίδωσι τὴν ἀρχιερωσύνην ἰησοῦ τῷ τοῦ γαμαλιήλ, παύσας τὸν τοῦ μνασέα ἰησοῦν. στάσις οὖν τῶν ἀρχιερέων ἐγένετο, προσεταιρισαμένων τοὺς θρασυτάτους, καὶ μέχρι λίθων ἡ στάσις τῆς ὕβρεως τῶν πρὸς ἀλλήλους προεχώρησεν. ἔκτοτε τοίνυν τοῦ χρόνου μάλιστα κακῶς ἔχειν τὴν τῶν ἱεροσολύμων πόλιν συμβέβηκε, καὶ πάντα ἐπὶ τὸ χεῖρον προκόπτειν. ἀλβῖνος δὲ γνοὺς Φλῶρον μαθὼν διάδοχον, προαγαγὼν τοὺς δεσμώτας, ὅσοι ἦσαν αὐτῷ προδήλως θανάτου ἄξιοι, τούτους μὲν ἀνεῖλε, τοὺς δὲ διὰ μικρῶν αἰτιῶν καθειργμένους, χρήματα λαμβάνων ἀπέλυε. καὶ οὕτως ἡ μὲν εἱρκτὴ τῶν δεσμωτῶν ἐκενώθη, ἡ χώρα δὲ λῃστῶν ἐπληρώθη. ὁ δὲ ἀγρίππας τὸν τοῦ γαμαλιὴλ ἰησοῦν τῆς ἀρχιερωσύνης ἐκβαλὼν, ματθίᾳ τῷ θεοφίλου προσένειμεν. ἐφ' οὗ ὁ πρὸς ῥωμαίους ἤρξατο πόλεμος. ἤρξατο μὲν οὖν ἡ ἀρχιερωσύνη ἐξ ἀαρὼν, τελευτήσαντος δὲ ἐκείνου, οἱ παῖδες αὐτοῦ αὐτὴν διεδέξαντο, καὶ ἐξ ἐκείνων τοῖς ἀπ' αὐτῶν διέμεινεν ἡ τιμή.

περὶ ἰακώβου τοῦ ἀδελφοῦ.

ὅτι οἱ ἀρχιερεῖς μέχρι τῆς γενέσεως κατὰ συγγένειαν ἦσαν.

Festus autem Iudæam latrociniis afflictam reperit. Nam sicarij aucti numero, ensiculos curuos gestantes, in festiuitatibus populo immisti, facile quos libitū erat perimebant, pagosq; & diripiebant & incendebant. Porrò cum præstigiator quidam salutem ijs polliceretur, qui se usq; ad desertum comitari uellent: Festus & ipsum, & eos quos seduxerat, copijs immissis interfecit. Agrippam uerò regem ex magno domicilio quod in regia ædificarat, quicquid in templo ageretur spectare, ciues ægrè ferentes: murum struxerunt, quo non tantum regiæ conspectus, sed & occidentalis porticus, ubi Romani propter templum in festiuitatibus custodias habebant, intercipiebatur. Id ægrè Agrippa, Festus ægrius tulit, ac murū diruere uoluit. Sed rogatu ciuium permisit, ut X principes uiros unà cū Ismaele pontifice & Helcia thesauri custode ad Neronem de ea re ablegarēt: qui in gratiā Poppeæ uxoris pro Iudæis intercedentis, ædificium id manere iussit. Poppæa porrò cæteris dimissis, Ismaelem & Helciā obsides retinuit. Quo Agrippa rex audito, Iosepho Decabizo Simonis uiri pōtificij filio: deinde eodē eiecto, Anano Anani filio pontificatum confert. Is iunior Ananus pōtificatu suscepto, homo confidens & temerarius, Festo mortuo, eiusq; successore Albino nondum in Iudæam profecto, indicto concilio, ut Iosephi uerbis utar, Iacobū Iesu, qui Christus dicitur, fratrem, & alios quosdam in medium productos, uiolatarum legum reos facit, & lapidandos curat. Id factum modestissimi quiq;, & legū obseruantissimi ciues ægrè tulerunt, eumq; & apud Albinum & apud Agrippam detulerunt. Quamobrem rex ei pontificatum, tres menses eo functo, ereptum, Mnaseæ filio Iesu tradidit. Albinus uerò cum Hierosolyma uenisset, operā dedit ut prouincia pacata esset, multis sicarijs interfectis. Agrippa Iesu pontifici Mnaseæ filio successorem dat, Iesum Gamalielis filiū. Vnde inter pontifices, quorum uterq; audacissimos sibi homines asciuit, orta seditio, à conuicijs usque lapidationē est progressa. Ab eo tempore Hierosolymitana urbs pessimè habere, atq; omnia in peius ruere cœperunt. Albinus uerò cum didicisset Gessium Florum sibi successorem datū, productis uinctis, eos qui manifestè necem meruerāt, occidi iussit: qui uerò ob parua crimina in carcerem compacti fuerant, eos accepta pecunia dimisit. Ita carcer maleficis factus est uacuus, regio latronibus referta. Agrippa, Iesu Gamalielis filio eiecto, pontificatum Matthiæ Theophilo assignauit, sub quo bellum Romanum cœpit. At pontificatus initia sunt ab Aarone profecta, cui defuncto filij, eorum'que posteri in eo honore successerunt.

Sicariorum grassationes.

Murus regiæ luminibus obstruens.

Iacobi apostoli cædes.

Albinus.

Vnde receptū apud Iudæos fuit, ne cui uel regi pōtificatus expetenti tribueretur, nisi ijs qui essent ex sanguine Aaronio: etsi ea cōsuetudo non perpetuò obseruata est. Pontifices ab Aarone usq; ad Phineē, in bello à seditiosis declaratum, III & LXXX fuere. Gesius autem Florus Albini successor, Iudæos plurimis oppressit malis. nam tantū improbitate excelluit, ut propter insignem eius maleficentiam, Albini beneficentia celebretur. Nam hic quidem malitiam suam occultare studuit, ac soliciè cauit, ne suæ iniuriæ deprehenderētur. Florus autem palàm atq; impudenter iniquitatē in populum, & quasi per ostentationem exercuit. Sed quorsum attinet eius scelera singulatim recensere, cum res paucis expediri queat: qui Iudæos bellum Romanis inferre coegerit, Florum fuisse? Id uerò bellum cœpit secundo anno procurationis Flori, monarchię Neronis duodecimo.

Pontifices LXXXIII

Gesius Florus.

BELLI IVDAICI HIstoria.

HINC igitur Iudæorum defectio palàm erupit, bellūq; cœpit: cuius singulos ueluti actus referre, maioris operæ fuerit, quàm instituta breuitas patitur. Quare cæteris omissis, Hierosolymorum duntaxat excidium compēdio referre decreui. Nam cognita Iudęorū defectione, Vespasianus, cui Nero belli administrationē crediderat, non Hierosolyma inuasit primùm: sed urbibus metropoli subiectis prius expugnatis, tum demum ipsam quoq; domare instituit. Occupata igitur Ptolemaide, cū filio Tito, qui ab eo ex Achaia missus, ubi à Nerone belli dux designatus fuerat, legionē decimamquintam Alexandria adduxerat, se coniunxit. Neroni enim in Achaia degenti, Iudæorum defectio nunciata fuit. ac Galilæā primùm aggressus, Iotapatis dieb. XL expugnatis, Iosephum Galilææ ducem, eius urbis defensorem cæpit. Inde alia castella atq; oppidula, partim deditione, partim obsidione Romanis parère coegit. Iis iam confectis, ad ipsam metropolim obsidendam se accingebat, seditionibus & factionibus adeò afflictam, ut ciuili bello & mutuis cædib. inter sese grassantes, homines bellicosi interirent. Verùm id eius consilium nūcius de Nerone, qui amisso imperio clàm Roma profugisset, atq; ipse sibi manus attulisset, repressit. Deinde cum Galbam imperio potitum esse cognouisset: Titum misit ad eum salutandum, & percontandum quid de Iudæa fieri uellet? Sed Titus in itinere Galbæ quoq; cæde cognita, ad patrem est reuersus: neq; Hierosolymorū obsidionem tentarunt, ob incertum Romani imperij statum, sed Cæsareæ quieuerunt. Galba sublato, Otho factus Imperator, contra Vitellium, quem Germanicæ legiones Imperatorem salutarant, copias misit: quib. superatis, sibi ipsi manus intulit.

Vespasianus à Nerone cōtra Iudæos missus.

Iotapata.

Iosephus.

Neronis interitus.

Galba.

Otho.

ἔθος πάτριον ἦν Ἰουδαίοις, μηδένα τὴν ἀρχιερωσύνην λαμβάνειν, κἂν βασιλεὺς ἦν αὐτῆς ἐφιέμενος, εἰ μὴ τοὺς ἐξ αἵματος Ἀαρὼν, εἰ καὶ οὐ μέχρι παντὸς τὸ ἔθος τοῦτο τετήρηται. ἐγένοντο οὖν πάντες ἐξ Ἀαρὼν μέχρι Φινεὲς τοῦ κατὰ τὸν πόλεμον ὑπὸ τῶν στασιαστῶν ἀναδειχθέντος, ὀγδοήκοντα καὶ τρεῖς. Γέσιος δὲ Φλῶρος εἰς Ἰουδαίαν Ἀλβίνου διάδοχος ἀφικόμενος, πολλῶν γε ἐπλήρωσεν Ἰουδαίους κακῶν. οὕτω δὲ γέγονε κάκιστος, ὥστε διὰ τὴν ὑπερβολὴν τῆς αὐτοῦ κακίας ἐπαινεθῆναι τὸν Ἀλβῖνον ὡς εὐεργέτην. ὁ μὲν γὰρ τὴν πονηρίαν ἐπικρύπτειν, καὶ ἀδικῶν, μὴ γίνεσθαι κατάφωρος ἐσπούδαζε· Φλῶρος δὲ ἀπαρακαλύπτως καὶ ἀναιδῶς τὰς εἰς τὸ ἔθνος παρανομίας ἐποίει, ὥσπερ ἐπιδεικνύμενος. καὶ τί δεῖ τὰ ἐκείνου κακὰ ἀπαριθμεῖν τὸ καθ' ἕκαστον; τοσοῦτον δ' εἰπεῖν δηλώσει τὸ πᾶν, ὅτι ὁ τοὺς Ἰουδαίους τὸν πρὸς Ῥωμαίους ἄρξασθαι πόλεμον βιασάμενος, Φλῶρος ἦν. ἔλαβε δὲ τὴν ἀρχὴν ὁ πόλεμος δευτέρῳ μὲν ἔτει τῆς Φλώρου ἐπιτροπῆς, δωδεκάτῳ δὲ τῆς μοναρχίας τοῦ Νέρωνος.

ΕΠΙΤΟΜΗ ΤΗΣ ΑΛΩΣΕΩΣ τῆς Ἱερουσαλήμ.

ΕΝΤΕΥΘΕΝ οὖν ἡ τῶν Ἰουδαίων ἀποστασία εἰς προῦπτον ἀνερράγη, καὶ ὁ πόλεμος ἤρξατο. διηγήσασθαι δὲ ταῦτα ἕκαστα, πλείονος ἂν γένοιτο πραγματείας ἢ κατὰ τὴν παροῦσαν ἐγχείρησιν. ἀλλὰ τὰ μὲν ἄλλα ἐᾶσαί μοι δοκεῖ, μόνα δ' ἐπιτεμεῖν τὰ περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων αὐτῶν. Οὐεσπασιανὸς γὰρ παρὰ Νέρωνος, μαθόντος τὴν Ἰουδαίων ἀποστασίαν, τὴν τοῦ πολέμου διοίκησιν πιστευθεὶς, οὐ πρώτοις τοῖς Ἱεροσολύμοις προσέβαλεν, ἀλλὰ τὰς ὑπὸ τὴν μητρόπολιν τελούσας πρότερον ἑλὼν πόλεις, καὶ οὕτως αὐτὴν χειρώσασθαι τὴν μητρόπολιν. καταλαβὼν οὖν τὴν Πτολεμαΐδα, καὶ ἑνωθεὶς ἐν αὐτῇ τῷ υἱῷ Τίτῳ ἐξ Ἀλεξανδρείας ἀφικομένῳ, καὶ τὸ πεντεκαιδέκατον τάγμα κομίζοντι, σταλέντι παρ' αὐτοῦ ἐξ Ἀχαΐας, ὅτε τοῦ πολέμου στρατηγὸς ἐκεχειροτόνητο παρὰ Νέρωνος (ἐν Ἀχαΐᾳ γὰρ ἐτύγχανεν ὢν ἐκεῖνος, ὅτε ἡ τῶν Ἰουδαίων ἀποστασία κατηγγέλθη αὐτῷ) καὶ τὰ τῆς Γαλιλαίας πρότερον ὥρμησε, καὶ τῇ πόλει τῇ Ἰωταπάτῃ πρώτῃ προσβαλὼν, καὶ ἐπὶ τεσσαράκοντα πολιορκήσας ἡμέρας, πορθεῖ μὲν αὐτήν, αἱρεῖ δὲ τὸν Ἰώσηπον στρατηγοῦντα τῆς Γαλιλαίας, καὶ τῆς εἰρημένης ὑπερμαχοῦντα πόλεως. ἐκεῖθεν δὲ καθ' ἕτερον ἐχώρει φρούριον καὶ πολισμάτιον, καὶ τὰ μὲν ὁμολογίᾳ, τὰ δὲ πολιορκίᾳ ὑπὸ Ῥωμαίους ἐποίησε. καὶ ταῦτα ἤδη κατεργασάμενος, ἠτοιμάζετο καὶ αὐτῇ προσμίξαι τῇ μητροπόλει, διακειμένῃ κακῶς ἐκ τοῦ πρὸς ἀλλήλους στασιάζειν τοὺς ἐν αὐτῇ, καὶ εἰς ἐμφυλίους ἐκκυλισθῆναι μάχας καὶ ἀλλήλων σφαγὰς, κἀντεῦθεν τὸ μάχιμον διαφθείρεσθαι. ἐπέσχε δὲ τῷ Οὐεσπασιανῷ τὴν ὁρμὴν ἀγγελθεὶς ὁ Νέρων τῆς αὐταρχίας ἐκπεπτωκὼς, καὶ τῆς Ῥώμης λαθραίως ἐκδρὰς, καὶ ἑαυτὸν αὐτοχειρὶ ἀνελών. ἔπειτα Γάλβαν μαθὼν γενόμενον αὐτοκράτορα, Τίτον πέμπει πρὸς αὐτὸν, προσεροῦντά τε καὶ ὅ,τι περὶ Ἰουδαίων κελεύοι πευσόμενον· ἔτι δὲ καθ' ὁδὸν ὄντος Τίτου, καὶ ὁ Γάλβας ἀνῄρητο· ὅπερ ἀκούσας ὁ Τίτος, πρὸς τὸν πατέρα παλινοστεῖ, καὶ διὰ τὸ περὶ τῆς Ῥωμαίων ἀρχῆς ἀμφίβολον οὐκ ἐπεχείρησαν τῇ κατὰ τῆς Ἱερουσαλὴμ προσβολῇ, ἀλλ' ἠρέμουν ἐν Καισαρείᾳ. Γάλβου δὲ ἀνῃρημένου, Ὄθων τὴν ἀρχὴν διεδέξατο. τὰ δ' ἐν Γερμανίᾳ τυγχάνοντα τάγματα Οὐϊτέλλιον ἀνηγόρευσεν αὐτοκράτορα. στείλας οὖν Ὄθων ἐπολέμει Οὐϊτελλίῳ. ἡττημένων δὲ τῶν ἀπεσταλμένων, Ὄθων ἑαυτὸν διεχρήσατο.

ὅτι Οὐεσπασιανὸς ἀπεστάλη κατὰ τῶν Ἰουδαίων παρὰ Νέρωνος.

περὶ δὲ τῆς πόλεως Ἰωταπάτων, καὶ τοῦ Ἰωσήπου.

ὅτι ὁ Νέρων ἀνῄρηται, καὶ Γάλβας ἦρξε μετ' αὐτόν, καὶ αὐτὸς μετὰ μικρὸν ἐσφάγη, καὶ Ὄθων ἐβασίλευσε, καὶ ἀνῃρέθη ὑπὸ Οὐϊτελλίου.

…ότα. καὶ ὁ Βιτέλλιος εἰς Ῥώμην ἀπῄει σὺν τοῖς στρατεύμασιν· ἤδη γὰρ αὐτῷ καὶ οἱ τοῦ Ὄθωνος προσκεχωρήκεσαν. Οὐεσπασιανὸς δὲ, εἴ τινα εἶχεν ὑπόλοιπα τῶν Ἰουδαίων πολίχνια μήπω ἑαλωκότα, εἷλε καὶ ἐπόρθει καὶ ταῦτα, ὡς μόνην ἤδη τὴν τῶν Ἱεροσολύμων πόλιν σκοπὸν Ῥωμαίοις πολεμητέον εἶναι. φαύλως δὲ διέκειντο, ὡς εἴρηται, τὰ τῆς πόλεως. ἔξωθεν μὲν γὰρ ὁ Σίμων καὶ οἱ περὶ αὐτὸν, τοῖς Ἰουδαίοις Ῥωμαίων ἐτύγχανον φοβερώτεροι· ἔνδον δ' οἱ Ζηλωταὶ καλούμενοι, καὶ ὁ τούτων ἐξάρχων Ἰωάννης, καὶ Ῥωμαίων ἦσαν καὶ τοῦ Σίμωνος χαλεπώτεροι. σφοδρότατα δὲ βιαζόμενοι ἐν τῇ πόλει ὑπὸ τῶν Ζηλωτῶν, ἠναγκάσθησαν οἱ τοῦ δήμου τὸν Σίμωνα μετὰ τοῦ περὶ αὐτὸν πλήθους εἰς τὴν πόλιν προσκαλέσαντες εἰσαγαγεῖν, ὡς τάχα τῆς τῶν Ζηλωτῶν τυραννίδος αὐτοὺς ἀπαλλάξοντα· ἔλαθον δὲ χείρονα καθ' ἑαυτῶν εἰσδεξάμενοι τύραννον. τούτων δ' ἐν Ἱεροσολύμοις πραττομένων, Οὐιτέλλιος τὴν Ῥώμην κατείληφε, καὶ αὐτοκράτωρ ἀνερρήθη. Οὐεσπασιανῷ δὲ μαθόντι ταῦτα, οὐκ ἤρεσκε, καὶ ἀπηξίου δεσπότην ἔχειν τὸν Οὐιτέλλιον. οἱ δ' ἡγεμόνες τῶν σὺν αὐτῷ ταγμάτων ἅμα μὲν καὶ οἱ στρατιῶται συνελθόντες, ἀναγορεύουσι τὸν Οὐεσπασιανὸν αὐτοκράτορα. ὁ δὲ μέλλων ἤδη ἐκπλεῖν, τῷ υἱῷ Τίτῳ τὴν τῶν Ἱεροσολύμων πολιορκίαν ἐνεχείρισεν. ὃς τὰς δυνάμεις συναγαγὼν, ἔπεισι πρὸς τὰ Ἱεροσόλυμα, καὶ περὶ τριάκοντα σταδίους ἐστρατοπεδευκὼς, ἐκεῖθεν ἑξακοσίους τῶν ἱππέων παραλαβὼν, ἀπῄει τὴν πόλιν κατασκεψόμενος, καὶ τὰ φρονήματα τῶν ἔνδον. ἐπεκδραμόντων δὲ τῆς πόλεως ἀπείρων, καὶ οἱ μὲν πλεῖστοι τῶν μετὰ Τίτου μανιώδη τὴν ὁρμὴν τῶν Ἰουδαίων ὁρῶντες, ἀνεπόδιζον τοῦ πρόσω χωρεῖν. ὁ Τίτος δὲ μετ' ὀλίγων τῶν ἄλλων ἀποτμηθεὶς, εἰς μέσους τοὺς πολεμίους ἐμπεριείληπτο. καὶ γνοὺς ἐν κινδύνῳ τὰ κατ' αὐτὸν, ἐπέστρεψε τὸν ἵππον, καὶ τοῖς περὶ αὐτὸν ἐμβοήσας ἕπεσθαι, ἐμβάλλει τοῖς Ἰουδαίοις, καὶ τῷ ξίφει τοὺς ἐπιόντας ἀνακόπτων ἐπὶ τὸ στρατόπεδον διασώζεται, δύο πεσόντων τῶν ἐκ τῶν ἑπομένων αὐτῷ. μεθ' ἡμέραν δὲ ἐπὶ τὸν Σκοπὸν ἐλθὼν (τόπος δ' οὗτος οὕτω καλούμενος, διέχων τῆς πόλεως σταδίους ἑπτὰ, ὅθεν ἥ τε πόλις καὶ ὁ ναὸς καταφαίνονται) περιβαλέσθαι ἐκέλευε στρατόπεδον. τῶν δ' ἐν τῇ πόλει συρρηγνυμένων ἀλλήλοις ἀεὶ, τότε πολὺς ἐπελθὼν ὁ ἔξωθεν πόλεμος, τὴν ἔριν ἀνέπαυσεν. ἐμάχοντο οὖν τοῖς βαλλομένοις στρατόπεδον οἱ Ἰουδαῖοι, τῆς πόλεως ἐκτρέχοντες, καὶ ἐκάκουν τοὺς φύλακας, μᾶλλον δ' ἐκακοῦντο αὐτοί. λωφήσαντος δὲ πρὸς βραχὺ τοῦ θύραθεν πολέμου, πάλιν τοῖς ἔνδον ἡ στάσις ἀνήγειρε. καὶ δόλῳ τὸ ἱερὸν ὁ Ἰωάννης σὺν τοῖς Ζηλωταῖς κατασχὼν, πολλῶν ἀναιρεθέντων, κατεθάρρει τοῦ Σίμωνος. ὁ δὲ Τίτος ἐξομαλίσαι προσέταξε τὸ ἀπὸ τοῦ Σκοποῦ μέχρι τοῦ τείχους διάστημα· καὶ τὸ μὲν ἐγίνετο, Ἰουδαῖοι δὲ κατὰ Ῥωμαίων ἐνέδραν τινὰ μηχανῶνται. οἱ γὰρ τολμηρότεροι τῶν στασιαστῶν προελθόντες τῆς πόλεως, ὡς ἐκβεβλημένοι δῆθεν ὑπὸ τῶν τὰ εἰρηνικὰ φρονούντων, περὶ τὸ τεῖχος ἦσαν ἀλώμενοι· ἄλλοι δὲ στάντες ἐπὶ τοῦ τείχους, ὡς ἐκ τοῦ δήμου τυγχάνοντες, εἰρήνην ἐβόων, καὶ δεξιὰν ᾔτουν, καλοῦντες τοὺς Ῥωμαίους, ὡς τὰς πύλας ἀνοίξοντες. τοῖς μὲν οὖν στρατιώταις οὐδὲν ὑπωπτεύετο, καὶ εἴχοντο τοῦ ἔργου. Τίτῳ δὲ δι' ὑποψίας ἦν ἡ παράκλησις ὡς παράλογος. πρὸ μιᾶς γὰρ ἡμέρας διὰ τοῦ Ἰωσήπου ἐπὶ συμβάσεις αὐτοὺς προκαλούμενος, οὐδὲν φρονοῦντας εὕρισκε μέτριον. μένειν οὖν κατὰ χώραν τοὺς στρατιώτας ἐκέλευε. φθασάντων δέ τινων πρὸς τὰς πύλας δραμεῖν, οἱ μὲν πρῶτον εἶναι ἐκβεβλῆσθαι δοκοῦντες ὑπεχώρουν· ὡς δὲ μεταξὺ τῶν τῆς πόλεως ἐγένοντο πύργων, ἐξῄεσαν, καὶ ἐκύκλουν αὐτούς.

Ἀνάρρησις Οὐεσπασιανοῦ.

Τίτου πολιορκία κατὰ τῶν Ἱεροσολύμων.

nus attulit. Vitellius adiunctis etiam Othoniis, Romã cum legionibus abiit. Vespasianus uero, si qua Iudaica oppidula nondum expugnata supererant, ea quoque uastauit, ut sola Hierosolyma restarent: quæ quidẽ, ut diximus, pessimè se habebant. Foris enim Simon cũ sua factione Iudæis formidabilior erat quàm Romani. intus uero ii qui se Zelotas a studio religionis iactabant, eorumque dux Ioannes, & Romanis & Simone grauiores erant: atque urbanos eó necessitatis adegere, ut populus Simonẽ cum sua turba in urbem acciperet. spe ille quidem leperimende Zelotarum tyrannidis: sed nõ animaduertit, se grauiorem suis ceruicibus tyrannũ imposuisse. Dum hæc Hierosolymis gerũtur, Vitellius Romam profectus Imperator appellatur. quem cum Vespasianus, eo nũcio minimè delectatus, dominum habere recusaret, à suis ducibus & militum consensu Imperator salutatur. Soluturus, filio Tito Hierosolymorum obsidionem mandat: qui contractis in unũ copiis Hierosolyma contendit, & XXX ab urbe stadiis castrametatus, DC equitibus assumptis ad urbem speculandam & animos hostiũ periclitãdos abit. Statim uerò infiniti ex urbe procurrunt: ac plurimi ex Titi equitibus, furiosum Iudæorũ impetum cernentes, substiterũt. Ipse uerò cũ paucis, auulsus à cæteris, undique ab hostibus circumfluentus, animaduerso periculo conuertit equum, & suis sequi iussis in Iudæos irruit: ac obuiis quibusque gladio propulsatis, saluus in castra reuertitur, duobus duntaxat comitum suorum cæsis. Postridie cõscenso loco qui Speculator dicitur, VII stadiis ab urbe distans, unde & urbs & templũ spectatur, castra muniri iubet. Vrbani uerò subinde prius inter se dimicare soliti, ob ingentẽ externi belli procellã dirempta lite urbe excurrũt, cum iis qui uallũ muniunt dimicant: & dum hostes cladib. afficiunt, plurib. ipsi afficiũtur. Externo bello paulisper quiescente, seditio rursus exoritur. & Ioannes cum Zelotis templo multis cæsis per dolũ occupato, Simoni se opponere ausus est. Dum autem interuallũ, quod à Speculatore ad mœnia pertinet, Titi iussu exæquatur, Iudæi Romanis insidias struunt. Nam audaciores è seditiosis, urbem egressi, quasi à pacis studiosis eiecti essent scilicet, iuxta mœnia uersabantur: alii in mœnibus stantes quasi ex plebe homines, pacem clamabant, & dexteram petebant, Romanosque uocabãt, quasi portas aperturi essent. Ac milites quidem nihil suspicati, opus aggrediebantur: Titus autem inexpectatam uocationem suspectam habebat. Nam cum eos pridie per Iosephum ad pactiones prouocasset, nihil moderati respõsi acceperat. Milites igitur suo loco manere iussit. Sed cum quidam ad portas iam procurrissent, ii qui se eiectos esse fingebãt refugiebant: ut uerò intra urbis turres illi peruenerant, excurrerunt, eosque circumuenerunt. qui

Vitellius.

Simonij Zelotæ.

Vespasianus à militibus imperator salutatus, Romam contendit.

Titus Hierosolyma obsidet.

Insidiæ Iudæorum.

qui uerò in mœnibus erant, tela & saxa contra eos iaculantes, occiderunt multos, plures conuulnerarunt. Quo successu Iudęi exultabāt, & scuta concutiebant: Titus uerò & centuriones milites castigabant. Eo spacio quod ante mœnia est complanato, copiarum robur ad muros extendit: obstructisq; Iudęorū excursionibus, castra ibi posuit. Vrbs triplici muro circūdata fuit: ubi uerò situ ipso muniebat̄, simplici duntaxat. quod cum ita esset, oppugnatio difficillima Tito uidebatur. Sed tamen uisum est, iuxta Ioannis pontificis monumentum eam adoriri. idq; legionibus indicari iubet, ut materiam ad excitandos aggeres comportarent. Quo facto, & aggeribus extructis, arietes expediri iussit. Qui cum mœnia trifariam percussissent, & inusitatus fragor urbem circumsonuisset: clamore ab obsessis sublato, seditiosi territi, se hostes communi ope propulsaturos esse pepigerunt. Murus tamen ictibus arietum non cessit, angulo duntaxat turris unius emoto, muro incolumi. Iudæi uerò cum Romanos in castris dissipatos obseruassent, excurrunt omnes, & ignem machinis iniiciūt. ubi atrox pugna exorta est, his eas incendere, illis incendium cohibere conantibus. Sed Iudęi ex desperatione superiores fuerunt, & machinæ iam ardebant: ac nisi Titus cum equitibus subsidio uenisset, conflagrasset. Nunc uerò propugnatoribus Iudæorum circiter XII cæsis, reliqui in urbē sunt compulsi. & unus Iudæus uiuus captus, ante mœnia in crucem actus est, ut eo aspectu perculsi cęteri se dederent. Sed cum Titus ligneas turres singulas L cubitūm in aggeribus collocasset: Iudæi arietum impetum non amplius prohibuerunt, cum ex illis ferirentur, ac malè tractarentur. Iam uerò muro etiā à Nicone (sic enim ipsi Iudęi Romanorū maximam uocabant machinam) labefactato, pleriq; debilitatis animis recesserunt: eodēq; à Romanis occupato, in alterum murum confugerunt. Muro primo XV diebus capto, secundus etiam adducta machina oppugnari cœptus: ac turri quadā labefactata, alii fugerunt. Castor uerò quidam, homo impostor, cum aliis X, suppliciter extentis manibus Titum uocat. cui ille fide adhibita, machinæ ictum inhibuit. Castor se descensurū professus est, ad petendā dexteram. Illi uerò X partim supplicem cum eo gestū simulabant, partim se nunquam Romanis seruituros clamitabant. quare dum tempus teritur, Castor Simonem monet, ut quid facto sit opus deliberet, dum ipse Romanorum impetum inhiberet atque eluderet. Dolo tandem animaduerso, Romani concitati, maioreq; ui machinis impulsis etiā secundum murum, quinto post primum die cæperunt. Titus ingressus, uetuit, ne comprehensi cæderentur, neue ædes incenderentur, neque etiam magnam partem muri dirui uoluit. Malebat enim urbem sibi, templum urbi conseruare.

Sedi-

Primi et secundi muri occupatio.

Primus & secundus murus capitur.

Castoris impostura.

καὶ οἱ ἀπὸ τοῦ τείχους βέλη κατ' αὐτῶν ἀφίεσαν, καὶ λίθους ἠκόντιζον, καὶ ἀνεῖλον συχνοὺς, καὶ πλείους κατέτρωσαν. καὶ οἱ μὲν Ἰουδαῖοι ἐσκίρτων τοὺς θυρεοὺς ἀνακρούοντες, τοὺς δὲ στρατιώτας ὁ Τίτος ἠπείλει, καὶ οἱ ταξίαρχοι. ὁμαλοῦ δὲ τοῦ πρὸ τῶν τειχῶν χώρου ἐξισωθέντος, ἐκεῖ μετενεγκεῖν βουλόμενος τὸ στρατόπεδον, τὸ καρτερώτατον τῆς δυνάμεως ἀντιπαρέταξε τῷ τείχει, καὶ οὕτω περιφραξάμενος Ἰουδαίοις τὰς ἐκδρομὰς, ἐστρατοπέδευσε τοῖς Ῥωμαίοις ἐκεῖ. τρισὶ δὲ τείχεσιν ἡ πόλις περιεβέβλητο. ὅπου δ' ἡ φύσις τοῦ τόπου ταύτην ὠχύρου, ἑνὶ περιβόλῳ διεζώννυτο. οὕτω δ' ἐχούσης τῆς πόλεως, ἄπορος ἐδόκει τῷ Τίτῳ ἡ προσβολή. τέως δ' οὖν ἔδοξε κατὰ τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον προσβάλλειν, καὶ τοῖς τάγμασι δηλοῖ τὰ πρὸ τῆς πόλεως ἐγκαλινδεῖσθαι, συμφέρειν τε τὴν ὕλην, ἵν' ἐγείρωσι χώματα. καὶ οἱ μὲν εἰς ἔργον ἦγον τὸ κέλευσμα. τῶν δὲ χωμάτων ἐγηγερμένων, προσάγειν τοὺς κριοὺς ὁ Τίτος προσέταξε, καὶ τυπτόμενον τὸ τεῖχος ἀλλαχοῦ τῶν κριῶν ἠχῆς τε ἐξαισίου τὴν πόλιν περιηχούσης, κραυγῆς τῶν ἔνδον ἐγερθείσης, καὶ οἱ στασιασταὶ δείσαντες, ὡμονόησαν, κοινὴν τὴν ἄμυναν πρὸς τοὺς πολεμίους ποιήσασθαι συνθέμενοι. τῶν γε μὴν κριῶν τυπτόντων, οὐχ ὑπεῖξε τὸ τεῖχος πλὴν τι μέρος. γωνία δὲ ὡς μόνον ἑνὸς τῶν πύργων ἐξεκινεῖτο, τὸ δὲ τεῖχος ἀκέραιον ἦν. Ἰουδαῖοι δὲ τοὺς Ῥωμαίους ἐσκεδασμένους παρατηρήσαντες κατὰ τὸ στρατόπεδον, ἐπεξίασι πάντες, πῦρ ταῖς μηχαναῖς ἐπιφέροντες. δεινὴ δὲ περὶ τὰς ἑλεπόλεις μάχη συνίστατο, τῶν μὲν ὑποπιμπρᾶν, τῶν δὲ κωλύειν βιαζομένων. Ἰουδαῖοι δὲ ὑπερεῖχον ἐξ ἀπονοίας, καὶ τὸ πῦρ τῶν ἑλεπόλεων ἥπτετο. καὶ εἰ μὴ Τίτος σὺν τοῖς ἱππεῦσιν ἐπεβοήθησε, κἂν κατεφλέγησαν αὗται. νῦν δὲ τῶν προμάχων τῶν Ἰουδαίων πεσόντων ὡς δώδεκα, οἱ λοιποὶ ἐνέκλιναν, καὶ συνηλάθησαν εἰς τὴν πόλιν. ζωγρηθεὶς δὲ τῶν Ἰουδαίων εἷς, πρὸ τοῦ τείχους ἀνεσταυρώθη, ἵνα πρὸς τὴν ὄψιν οἱ λοιποὶ καταπλαγέντες ἐνδῶσι. πύργους δὲ πεντήκοντα πήχεων ἕκαστον ἐκ ξύλων τοῦ Τίτου κατασκευάσαντος, καὶ τοῖς χώμασιν αὐτοὺς ἐπιστήσαντος, οὐκ ἔτι ἐκώλυον Ἰουδαῖοι τὰς ἐμβολὰς τῶν κριῶν, ἐκ τῶν πύργων βαλλόμενοι καὶ κακούμενοι. ἤδη δὲ τῷ Νίκωνι τοῦ τείχους σεισθέντος (αὐτοὶ γὰρ Ἰουδαῖοι τὴν μεγίστην ἑλέπολιν τῶν Ῥωμαίων οὕτως ἐκάλεσαν) μαλακισθέντες ἀνεχώρησαν οἱ πολλοί. καὶ τῶν Ῥωμαίων ἐπιβάντων αὐτοῦ, πάντες εἰς τὸ δεύτερον ἀνέφυγον τεῖχος. καὶ οὕτως οἱ Ῥωμαῖοι τοῦ πρώτου τείχους τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ ἐκράτησαν. τῷ δευτέρῳ αὖθις κατὰ τοῦ δευτέρου τείχους ἐγίνοντο προσβολαί, καὶ προσάγεται ἡ ἑλέπολις. σαλευομένου δὲ τοῦ πύργου, καθ' ὃ τὰς ἐμβολὰς ἐποιοῦντο, οἱ μὲν ἄλλοι κατέφυγον· Κάστωρ δέ τις, ἀνὴρ γόης, μεθ' ἑτέρων δέκα προτείνων τὰς χεῖρας ὡς ἱκετεύων, ἐκάλει τὸν Τίτον. ὁ δὲ πεισθεὶς, ἐπέσχε τὴν ἐμβολὴν τοῦ κριοῦ, καὶ ὁ Κάστωρ καταβῆναι βούλεσθαι ἐπὶ δεξιᾷ ἔλεγε, καὶ τῶν σὺν αὐτῷ δέκα οἱ μὲν τὴν ἱκετείαν συνυπεκρίνοντο, οἱ δ' οὐκ ἄν ποτε δουλεύσειν Ῥωμαίοις ἐβόων. τριβομένης δ' ἐν τούτοις τῆς ὥρας, ὁ Κάστωρ ἐδήλου τῷ Σίμωνι, περὶ τῶν ἐπειγόντων βουλεύεσθαι, ὡς ἐμπαίζοντος Ῥωμαίους αὐτοῦ, καὶ τὸ σφῶν ἐπέχοντος ὅρμημα. τέλος δὲ γνωσθεὶς ἀπατῶν, τὸν καιρὸν παρέλκων, παρώξυνε τοὺς Ῥωμαίους, τὰς ἐμβολὰς τοῦ κριοῦ ποιεῖσθαι δυνατωτέρας. εἷλον δ' οὖν καὶ τὸ δεύτερον τεῖχος, ἡμέρᾳ πέμπτῃ μετὰ τὸ πρῶτον. εἰσελθὼν δ' ὁ Τίτος, κτείνειν τε τοὺς καταλαμβανομένους ἐκώλυσε, καὶ μηδὲ τὰς οἰκίας ὑποπιμπρᾶν τοῖς στρατιώταις ἐκέλευσεν, ἀλλ' οὐδὲ τοῦ τείχους πολὺ μέρος καθαιρεθῆναι εἴασεν· περὶ πλείονος γὰρ ἐποιεῖτο τὴν μὲν πόλιν ἑαυτῷ περισῶσαι, τῇ πόλει δὲ τὸν ναόν.

Στάσις

ὅτι τρίτειχος ἦν ἡ Ἱερουσαλήμ.

[illegible]

[illegible]

[illegible]

[illegible]

ἐπελθόντων ἐπίνων οἱ στασιασταὶ τοῖς ἐπελθοῦσιν εἰς τὴν πόλιν Ῥωμαίοις, καὶ οἱ μὲν κατὰ τοὺς στενωπούς, οἱ δ' ἐκ τῶν οἰκιῶν, οἱ δ' ἐκ τοῦ τείχους αὐτοὺς ἔβαλλον. καὶ οἱ τούτου φρουροὶ Ῥωμαῖοι καθαλλόμενοι τῶν πύργων, ἀνεχώρουν εἰς τὸ στρατόπεδον. Ἰουδαῖοι δὲ κατ' ἐμπειρίαν τῶν στενωπῶν ἐτίτρωσκόν τε πολλούς, καὶ προσπίπτοντες ἐξώθουν. Ῥωμαῖοι μὲν οὖν κρατήσαντες καὶ τοῦ δευτέρου τείχους, αὖθις ἐξώσθησαν, ἐπῆρτο δὲ τοῖς στασιασταῖς τὰ φρονήματα. ἤδη δὲ καὶ ὁ λιμὸς ὑφεῖρπε τὴν πόλιν, πολλοὺς τῶν ἀγαθῶν ἀνδρῶν ἐνδείᾳ τῶν ἐπιτηδείων διαφθείρων. τούτῳ δὲ τοῖς στασιασταῖς κατεθυμίουν, μόνους ἀξιοῦσι τοὺς σώζεσθαι, οὓς τὴν εἰρήνην μὴ θέλοντας, τὴν δὲ τῶν ἄλλων φθορὰν οἰομένοις κουφισμὸν ἑαυτῶν. Ῥωμαίων δ' αὖθις ἀντιπειρωμένων κατασχεῖν τὸ τεῖχος τὸ δεύτερον, οἱ δὲ διεκώλυον, καὶ ἐπὶ τρισὶ μὲν ἡμέραις ἀντεῖχον. τῇ δὲ τετάρτῃ μὴ φέροντες τὴν προσβολήν, εἰς τὸ ἐνδότερον μετεχώρησαν. καὶ πάλιν ὁ Τίτος τοῦ τείχους κρατήσας, αὐτίκα τοῦτο καθῄρει τὸ προσάρκτιον· τῷ λοιπῷ δ' ἐπικαταστήσας φρουράν, τῷ τρίτῳ προσβαλεῖν ἐβιάζετο. καὶ διχῇ τὰ τάγματα διελών, ἐγείρειν ἤρξατο χώματα. τῶν δ' ἔνδον οἱ μὲν στασιασταὶ ὥσπερ ἄτεγκτοι καὶ ἀνένδοτοι· ὁ δὲ δῆμος πρὸς αὐτομολίαν ἐκινεῖτο, καὶ πολλοὶ λανθάνοντες ηὐτομόλουν. τοὺς δὲ τοῦτο βουλομένους οἱ στασιάζοντες ἔγνων, ἢ καὶ μόνην ἔχοντας ὑπονοίας σκιάν, εὐθέως ἀπέσφαττον· τοῖς δὲ εὐπόροις ἐπὶ ψευδεῖ τὴν περὶ αὐτομολίας κατηγορίαν προσάπτοντες, οὓς μὲν αὐτίκα διέφθειρον, τὰς δ' ἐκείνων οὐσίας διήρπαζον. ὁ λιμὸς δὲ ἀκμάζων, τὴν τῶν στασιαστῶν ὠμότητα ηὔξανε. δι' ἔνδειαν γὰρ τῶν τροφῶν ἀποροῦντες, τὰς οἰκίας ἠρεύνων, καὶ τοὺς οἰκοῦντας ἀρνουμένους ἔχειν, εἰ μὲν εὕρισκον, ᾐκίζον. εἰ δ' οὐχ εὕρισκον, ὡς κρύψαντας ἐπιμελέστερον ἐβασάνιζον. ἐτεκμαίροντο μέν τοι τοῦ ἔχειν τροφάς, ἢ μή, τὰ σώματα τῶν ἀθλίων τεκμήρια· οἷς μὲν γὰρ ἔτι μετῆν ἰσχύος, ἔχειν ἐδόκουν· οὓς δ' ἐξετήκετο τὰ σώματα, παρῄεσαν. εἰ δέ τις εὐπόρει πυρῶν ἢ κριθῶν, κατακλείσας τὴν οἰκίαν ἤσθιε· τινὲς δ' ὑπὸ βίας τοῦ λιμοῦ, καὶ ἀνέργαστον τὸν σῖτον προσίεντο· καὶ ἀφήρπαζον ἐξ αὐτοῦ τοῦ στόματος τὰς τροφάς, μητέρες βρεφῶν, παῖδες πατέρων, γυναῖκες ἀνδρῶν. καὶ οὕτω δ' ἐσθίοντες, ὅμως τοὺς στασιαστὰς οὐκ ἐλάνθανον· ὅπου δὲ κεκλεισμένην οἰκίαν ἑώρων, ἢ καπνὸν ἐξαθροίσκοντα, σημεῖον τοῦτ' ἐποιοῦντο τοῦ τοὺς ἔνδον ἐσθίειν, καὶ ῥήσσοντες τὰς θύρας, ἐκ τῶν φαρύγγων αὐτῶν ἀνέσπων τὰς τροφάς· οὐδεὶς ἦν οἶκτος ἡλικίας, ἢ νεότητος. τοῖς δὲ φθάσασι πρὸ διεργασίας τὸ ἐδεσθέν, δεινὰς ἐπῆγον ὡς ἀδικοῦσι καὶ ἀπηνεῖς τιμωρίας, ὀρόβοις τῶν αἰδοίων πόρους ἐμφράττοντες, καὶ τὰς ἕδρας ῥάβδοις ὀξείαις ὠμῶς ἀναπείροντες. τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς ἔπασχέ τις, ἵν' ἑνὸς ἄρτου ἐξομολογήσῃ, ἢ ἵνα δράκα μίαν ἀλφίτων τοῖς λῃσταῖς καταμηνύσῃ. καθ' ἕκαστον μὲν οὖν ἐπεξιέναι τὰ τότε γενόμενα, δυσχερές ἐστι καὶ ἀδύνατον. συνελόντα δ' εἰπεῖν, μήτε πόλιν ἄλλην τοιαῦτα παθεῖν, μήτε γενεὰν ἐξ αἰῶνος γενέσθαι κακίας γονιμωτέραν. τοιαῦτα μὲν οὖν ἔπασχον Ἰουδαῖοι. Τίτῳ δὲ τὰ χώματα προὔκοπτε, καίτοι κακουμένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν. οἱ δὲ πρὸς συλλογὴν ἐξιόντες τροφῆς, ἐφρουροῦντο. ὧν οὐ δημόται μόνον, ἀλλὰ καὶ τῶν μαχίμων τινές, οὐκέτι ταῖς ἁρπαγαῖς ἀρκούμενοι, καὶ συλλαμβανόμενοι ὑπὸ τῶν Ῥωμαίων, μετὰ πᾶσαν βάσανον πρὸ τοῦ τείχους ἀνεσταυροῦντο. Τίτῳ μέν τοι οἰκτρὸν τὸ πάθος ἐδόκει,

πεντα

Τοῦ τρίτου τείχους πολιορκία.

Περὶ ὧν ἐποίουν οἱ στασιασταί.

Περὶ τῶν δεινῶν ἃ ἔπασχον Ἰουδαῖοι.

Seditiosi uerò Romanos urbē ingressos adorti, alij in angiportis, alij ex ædibus, alij ex mœnibus feriebant. itaq; præsidiarij è turribus desilientes, in castra reuertebātur. Iudęi uerò cum ex noticia angiportuū multos uulnerassent, & Romanos post secundum quoque murum captum fortiter repulissent, sustulerūt animos: ac fame iam per urbem serpente, multorum bonorum uirorum ex annonæ penuria interitu seditiosi delectabantur, eos solos saluos esse cupientes, qui pacem auersarentur, aliorūq; perniciem suam salutem interpretabantur. Romanis uerò secundum murū denuò occupare studentibus, triduum restiterunt: quarto die impetū eorum non ferentes, in interiorem transierūt. Titus iterum potius mœnibus, quantum ad septentrionem spectat diruit: reliquis partib. præsidio imposito, ad tertium oppugnandum se parauit. & legiones bifariam dispertitus, aggeres excitare cœpit. Ex ijs qui intus erant, seditiosi pertinaciter resistebant: populus uerò transfugiū spectabat, ac multi sanè clàm transfugiebant. Quod qui in animo habere uidebantur, aut umbram tantum suspicionis præbebant, iugulabantur statim, eorumq; bona diripiebantur. Locupletes uerò, etiam falso transfugij crimine cōficto, statim cædebantur, ut res eorū familiaris prædæ esset. Eam seditiosorū crudelitatē fames augebat. Nā ob cibariorū penuriā in ædes insiliebant, easq; peruestigabāt: quarū habitatores se habere negantes, si quid reperiebant, excruciabant: si nihil, torquebāt, quasi accuratius occultassent. ac utrū miseri alimoniā haberēt, nec'ne, è corporib. eorum coniecturā capiebant. Nam quib. adhuc aliquid uiriū supererat, habere putabantur: quorum uerò corpora contabuerant, præteribantur. Si cui uerò triticū aut hordeum suppetebat, is eoclausis ædibus uescebatur. Aliqui etiam ob famis uiolentiā, rude triticū comedebāt: cibosq; ex ore infantiū matres, liberi parentū, uxores maritorū rapiebant. & cum ita ederent, tamē seditiosos latere nō poterāt. Sicubi enim clausam domū aut fumū existentem conspexissent, id argumentū putabāt edentis familię: perfractisq; forib. cibos ex ipsis faucib. extrahebāt, nulla ullius ętatis misericordia affecti. Si qui uerò cibū iam deglutierant, eos acerbis dirisq; supplicijs ut iniurios persequebātur, orobis pudendorū meatus obturantes, & sedes uirgis acutis perforātes. Eaq; pferebat aliquis, quæ auditu quoq; horrenda fuerint, ut se uel unum habere panē cōfiteretur, aut unū farinę pugillū prædonib. daret. Ac quæ tū facta sunt, singulatim cōmemorari difficulter, ac potius nullo modo queāt: sed illud cōpendio dici potest, neq; aliā urbē talia perpessam esse, neq; gentem ullam ab omni æuo sceleratiorē extitisse. Dum ita cū Iudęis agitur, Titi aggeres promouebantur, quāuis milites de muris affligerentur. Qui uerò ad conquirendū cibū egrediebantur, non plebeij dūtaxat, sed etiā ex bellicosis aliquot, rapinis haud cōtēti, insidijs excepti à Romanis, post omnia cruciatuū genera p mœnib. in cruces tollebātur. Ea calamitas etsi Tito miserāda uidebatur,

Tertij muri oppugnatio.

Fames atrocissima.

cum indies quingeni, aut plures etiam caperentur: tamen nec custodiri eos, nec dimitti tutum putabat. simul etiam cæteros, ijs conspectis facilius deditionem facturos, opinabatur. Verum seditiosi transfugarũ necessarijs in muros pertractis, ut tractarẽtur ij qui ad Romanos confugerent, ostendebant: tam de hostibus quàm de suis mentientes. Aggeribus absolutis, machinæ producebant. Iudæi uerò eo spacio quod inter Antoniam & aggeres interiacet, suffosso, & cauernis lignis suffultis: aggeres pẽsiles reddiderunt, qui, fossa materia impleta, & iniecto igne fulcris combustis, subitò cedente, corruerunt. Romani ea solertia obstupefacti & cõsternati, machinis alibi adductis, muros labefactarunt. Sed quidam præcipiti audacia eas omnes cremarũt. Aggeribus collapsis, Romani tristes fuerunt. Titus uerò cum ducibus deliberauit, quorũ alij aggeres alios excitandos, alij sine his assidendũ, & Iudæorum eruptiones & cõmeatus importationes obseruandas censebant. Ita enim urbem fame expugnatũ iri. Erant etiã qui suaderent, ut omnibus copijs adductis, mœnia sentaret: Iudæos enim impetũ eaium non laturos. Titus uerò, qui nihil horũ probaret, muro urbem circundare statuit, ut obsessis omnẽ exitum obstrueret: eumq; laborẽ inter milites distribuit. Qui contentione quadam, diuinoq; impetu concitati, celeriter opus absoluerunt. Ita clausa ciuitate primas noctis excubias Titus ipse obibat, ac lustrabat: reliquas alijs mãdabat, militibus sorsitò dormiẽtib. Iudæis uerò exitu intercluso, spes etiam salutis unà est interclusa, fame totas domos atq; familias depascente. ac ædes quidem mulierũ & puerorum uirib. defectorum, angiportus senibus mortuis referti erant. pueri & adolescẽtes tumefacti, simulacrorum instar in foris circuibant: & quo quenq; loco uires defecerant, occumbebant. mortuos cognati sepelire non poterant, & multi inter sepeliendum emoriebantur. Seditiosi uerò etiam famis cladibus sæuiores, sepulchra effodiebant, & ædes spoliabant. ac principiò ex ærario mortuos sepeliri iubebant, ob fœtorem intolerabilem: deinde in ualles ex muris præcipitabant. Quas cum circuisset Titus, & cadaueribus plenas, è quibus putrescentibus copiosa manabat sanies, uideret, ingemuit: sublatisq; manibus Deum testatus, id sua uoluntate non fieri, denuò aggeres instituit, etsi materia ęgrè à XC stadijs comportabatur: multis interim è populo transfugiẽtibus, qui partim de muris se deijciebant, partim saxa ueluti ad pugnam parati manibus gestantes Romanorũ fidei se committebant, & tamen sic etiam maiori ex parte interibant. nam famelici ciborũ copiam insatiabiliter ingerentes rumpebantur. Accidit etiam aliud, quod exitium transfugis afferebat. Nam eorum quidam ad Romanos confugituri, aurum

Iudæi aggeres Romanos incendunt.

Titus Hierosolyma muris circundat.

Multitudo eorum qui fame perierunt.

πεντακοσίων ἑκάστης ἡμέρας ἢ καὶ πλειόνων ἁλισκομένων. οὔτε δὲ φυλάττειν αὐτούς, οὔτ' ἀφιέναι ἐνόμιζεν ἀσφαλές, καὶ ἅμα πρὸς τὴν ὄψιν ἐνδώσειν τοὺς λοιποὺς ἤλπιζεν. οἱ στασιασταὶ δὲ τοὺς τῶν αὐτομόλων οἰκείους ἐπὶ τὸ τεῖχος ἕλκοντες, καὶ τῶν δημοτῶν τοὺς ἐπὶ πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ Ῥωμαίοις προσφεύγοντες, ἐπεδείκνυον, καταψευδόμενοι καὶ τῶν πολεμίων καὶ τῶν οἰκείων. ἤδη δὲ τῶν χωμάτων συντελεσθέντων, αἱ ἑλεπόλεις προσήγοντο· ὑπορύξαντες δ' ἔνδοθεν Ἰουδαῖοι τὸ κατὰ τὴν Ἀντωνίαν μέχρι τῶν χωμάτων διάστημα, καὶ τοὺς ὑπονόμους ξύλοις ὑποστηρίξαντες, μετέωρα τὰ χώματα πεποιήκασιν. εἶτα ὕλης τὸ ὄρυγμα πλήσαντες, πῦρ τῇ ὕλῃ ἐνέβαλον, καὶ τῶν ὑποστηριζόντων ξύλων καυθέντων, ἡ διῶρυξ ἀθρόον ἐνέδωκε, καὶ κατεσείσθη τὰ χώματα, καὶ τοῖς Ῥωμαίοις ἔκπληξις καὶ ἀθυμία πρὸς τὴν ἐπίνοιαν γέγονε. κατὰ δὲ τὰ λοιπὰ τὰς ἑλεπόλεις οἱ Ῥωμαῖοι προσάγοντες, διέσειον τὸ τεῖχος. ἀλλά τινες παραβόλως ὁρμήσαντες, κατ' αὐτῶν πῦρ ἐνῆκαν, καὶ πάντα κατέπρησαν. διαφθαρέντων δὲ τῶν χωμάτων, Ῥωμαῖοι μὲν ἠθύμουν, Τίτος δὲ μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο. καὶ οἱ μὲν αὖθις ἕτερα ἐγείρειν ἐκέλευον· οἱ δὲ χωμάτων ἄνευ προσκαθίζεσθαι, καὶ φυλάττειν τὰς ἐκδρομὰς αὐτῶν, καὶ τὰς τῶν ἐπιτηδείων εἰσαγωγάς, καὶ οὕτως ἔλεγον λιμῷ τὴν πόλιν ἔσεσθαι ἁλωτήν. τοῖς δὲ πᾶσαν ἐδόκει προσάγειν τὴν δύναμιν, καὶ ἀποπειρᾶσθαι τοῦ τείχους· μηδὲ γὰρ οἴσειν Ἰουδαίους τὴν ἔφοδον. τῷ γε μὴν Τίτῳ τούτων οὐδὲν ἤρεσκεν· ἐδόκει δὲ περιβόλῳ τὴν πόλιν κυκλῶσαι, ἵν' οὕτω πᾶσαν ἐμφράξῃ τοῖς ἔνδον διέξοδον, καὶ τὸ ἔργον τῇ στρατιᾷ καταμερίζει. τοῖς δέ τις ἔρις ἐμπίπτει ἐπὶ τὴν ἐργασίαν καὶ ὁρμή τις δαιμόνιος, ταχύ τε τὸ ἔργον ἐξῳκοδόμητο. περικλείσας δὲ τῷ τείχει τὴν πόλιν, τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς περιιὼν αὐτὸς ἐπεσκέπτετο, τὰς δὲ λοιπὰς ἑτέροις ἐπέτρεψε. διεκληροῦντο δὲ τὸν ὕπνον οἱ φύλακες. Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκλείσθη πᾶσα σωτηρίας ἐλπίς, καὶ ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον ἐβόσκετο, καὶ τὰ μὲν τέγη γυναικῶν καὶ βρεφῶν ἐκλελυμένων πεπλήρωτο. οἱ στενωποὶ δὲ γερόντων νεκρῶν, παῖδες δὲ καὶ νεανίαι διῳδηκότες ὡς εἴδωλα κατὰ τὰς ἀγορὰς περιῄεσαν, καὶ κατέπιπτον ὅπῃ ἕκαστος ἐβάδιζεν ἔτυχε. θάπτειν δὲ τοὺς προσήκοντας οἱ ἔτι ζῶντες οὐκ ἴσχυον, πολλοὶ δὲ θάπτειν ὁρμήσαντες τοῖς θαπτομένοις ἐπαπέθνησκον. οἱ δὲ στασιασταὶ καὶ ἐν τοῖς τοῦ λιμοῦ κακοῖς ἐγίνοντο χαλεπώτεροι, τυμβωρυχοῦντες, καὶ τὰς οἰκίας συλῶντες. καὶ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θησαυροῦ θάπτειν ἐκέλευον τοὺς νεκρούς, τὴν δυσωδίαν μὴ φέροντες· εἶτ' ἐρρίπτουν αὐτοὺς ἐκ τῶν τειχῶν εἰς τὰς φάραγγας. περιιὼν δὲ ὁ Τίτος, καὶ θεασάμενος νεκρῶν πεπληρωμένας αὐτάς, καὶ βαθὺν ἰχῶρα μυδώντων τῶν σωμάτων ὑπορρέοντα, ἐστέναξε, καὶ τὰς χεῖρας ἀνατείνας, ἐμαρτύρετο τὸν θεόν, ὡς οὐκ εἴη τὸ ἔργον αὐτοῦ πρὸς βουλῆς. καὶ πάλιν ἤγειρε χώματα, χαλεπῶς αὐτῷ τῆς ὕλης ποριζομένης. πρὸ γὰρ σταδίων ἐκεκόμιστο ἐνενήκοντα. πολλοὶ δ' ηὐτομόλουν τοῦ δήμου, οἱ μὲν ἐκ τῶν τειχῶν κρημνίζοντες ἑαυτούς, οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχην μετὰ χερμάδων, πρὸς Ῥωμαίους κατέφευγον. καὶ οὕτω δ' οἱ πλείους ἀπώλλυντο. λιμώττοντες γὰρ καὶ ἀφθονίᾳ τροφῶν ἐντυγχάνοντες, ἀπλήστως τε ἐμφορούμενοι, διερρήγνυντο. συνέβη δέ τι καὶ ἕτερον τοὺς αὐτομόλους φθεῖρον. τινὲς γὰρ αὐτῶν κεκτημένοι χρυσοὺς ἐν τῷ μέλλειν πρὸς Ῥωμαίους αὐτομολεῖν, κατέπινον σφᾶς, ἵνα μὴ ἁλόντες ἀφαιρεθῶσιν αὐτούς. παρὰ δὲ τοῖς Ῥωμαίοις γενόμενοι, ταῖς τῶν γαστέρων σκυβάλοις τοὺς χρυσοῦς

περὶ τῶν διὰ χωμάτων ἐπινοιῶν περὶ Ἰουδαίων, δι' ὧν καθῃρέθη ἀθρόον αἱ ἑλεπόλεις τῶν Ῥωμαίων ἐμπρησθεῖσαι.

ἐπὶ ἐξόδου τοῦ ... τοῦ Ἰουδαίων περιβόλου.

ὅπως ὁ λιμὸς τὸν Ἰουδαίων λαὸν διέφθειρε.

περὶ τῶν αὐτομολούντων Ἰουδαίων, ὡς ἐκ τοῦ λιμοῦ ἐμπιπλάμενοι διερρήγνυντο, καὶ ἕτεροι αὐτῶν ὑπὲρ τοῦ χρυσοῦ ἐσφάγησαν, ὅν ... οἱ Ῥωμαῖοι ἀνῄρουν.

τοὺς συνεξέκρινον, καὶ ἐκλέγοντες αὐτοὺς ἐλάμβανον. φωρᾶται εἷς ἐπὶ τῶν αὐτομόλων τοῦτο ποιῶν· καὶ φήμης γεγονυίας εἰς τὸ στρατόπεδον, ὡς μεστοὶ χρυσίου προσίασιν οἱ αὐτόμολοι, ἀνέτεμνον τὰς γαστέρας οἱ ἄθλιοι, ὥστ' οὐδὲν πολλῶν χρυσίδων τῶν ἰουδαίων φθορά. μιᾷ γὰρ νυκτὶ ὑπὲρ δισχιλίους ἀνασχισθῆναι συνέβη. ὁ γνοὺς ὁ Τίτος, ἀπήλασε τὸ στράτευμα· ἀλλὰ μικρὸν ἦν οὐδὲν τοῖς αὐτομόλοις ἐπήμυνεν ἡ τοῦ Τίτου ὀργή. ἐν ὀλίγοις δ' εὑρίσκετο τὰ ἀργύρια, σὺν δὲ λοιποὺς ἐλπίδος μόνα ἀπώλλυον. λέγεται δὲ τοὺς ἐκ τῆς πόλεως διὰ τῶν πυλῶν ἐκκομισθέντας, ἢ ῥιφέντας νεκροὺς τῶν ἀπόρων, χιλιάδας μυριάδας ἑξήκοντα, τῶν δὲ ἄλλων ἀνεξεύρετον εἶναι τὸν ἀριθμόν. τοῦ μὲν οὖν σίτου τὸ μέδιμνον πραθῆναι ταλάντου. περιτειχισθείσης δὲ τῆς πόλεως παρὰ τῶν ῥωμαίων, ὡς ἀνωμοι εἴρηται, οὐδὲ ποηλογεῖν οἷόν τε ἦν, εὑρόντες τὰς τῶν ζώων κόπρους τὰς παλαιὰς ἀνερευνῶντες, ἐποιοῦντο τροφήν. ῥωμαίοις δ' ἤδη ἠγέρθη τὰ χώματα, καὶ ταῖς ἑλεπόλεσι τὸ τεῖχος τῆς ἀντωνίας ἐτύπτετο, ὃ μὴ καθῃρεῖτο τυπτόμενον. τινὲς δὲ τῶν στρατιωτῶν ὑπὲρ τῶν σωμάτων θυρεοὺς ὀροφώσαντες, μοχλοῖς τοὺς θεμελίους ὑπώρυττον, καὶ τέσσαρας τῶν λίθων ἐξέωσαν. νὺξ δ' ἐπελθοῦσα τοὺς πολεμοῦντας ἑκατέρωθεν ἔπαυσε· καὶ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σαλευθὲν, κατ' αὐτὴν αἰφνίδιον κατερρίπτει. ὤφθη δ' ἄλλο τεῖχος ἀνῳκοδομημένον ἔσωθεν, ὃ τὴν ἐπὶ τῷ πεσόντι χαρὰν τοῖς ῥωμαίοις εἰς ἀθυμίαν μετέβαλεν. ὁ Τίτος δὲ τοῖς στρατιώταις διαλεχθεὶς, ἐπήγειρεν αὐτῶν τὰ φρονήματα. καί τις ἐκ Συρίας ἀνὴρ, Σαβῖνος τὸ ὄνομα, ὑπὲρ τῆς κεφαλῆς τῇ λαιᾷ τὸν θυρεὸν ἐπανατεινάμενος, τῇ δεξιᾷ δὲ τὸ ξίφος σπασάμενος, ἐπὶ τὸ τεῖχος ἐχώρησεν, εἵποντο δὲ αὐτῷ καὶ ἕτεροι ἕνδεκα, τὴν ἀνδρείαν ζηλώσαντες. οἱ δ' ἐν τῷ τείχει κατηκόντιζόν τε αὐτοὺς, καὶ βέλεσιν ἔβαλλον καὶ λίθους ὑπερμεγέθεις ἐκύλιον, δι' ὧν τῶν ἕνδεκα ἀνέτρεψάν τινας. ὁ δὲ Σαβῖνος οὐ πρότερον ἐπέσχε τῆς ὁρμῆς, ἢ ἀναβῆναι εἰς τὸ τεῖχος, καὶ τρέψασθαι τοὺς πολεμίους. ὅτε γὰρ ἐκράτησε τῶν ἀκρωτηρίων, ἐσφάλη προσπταίσας πέτρᾳ τινί, καὶ πρηνὴς ἐν αὐτῇ μετὰ ψόφου τῶν ὅπλων κατέπεσε. πρὸς γὰρ τὸν ψόφον ἐπιστραφέντες οἱ ἰουδαῖοι, καὶ μόνον αὐτὸν ἰδόντες καὶ κείμενον, ἔβαλλον πανταχόθεν. ὁ δ' εἰς γόνυ διαναστὰς, ἠμύνετο, ὑπὸ δὲ πλήθους τραυμάτων παρεθεὶς τὴν δεξιὰν, κατεχώσθη τοῖς βέλεσι. τῶν δὲ λοιπῶν, τρεῖς μὲν ἤδη πρὸς τοῖς ἄκροις γενομένους, τοῖς λίθοις ἀπέκτειναν· οἱ δ' ὀκτὼ τραυματίαι πρὸς τὸ στρατόπεδον ἐκομίσθησαν. μετὰ δὲ δύο ἡμέρας, νυκτός τινες ἡσυχῇ διὰ τῶν ἐρειπίων εἰς τὴν ἀντωνίαν προσβαίνουσι, καὶ τούς τε ἐκεῖ φρουροῦντας ἀποσφάξαντες κοιμωμένους, ἐσάλπισαν, καὶ φυγὴ τῶν ἄλλων φρουρῶν ἦν. Τίτος δὲ μετὰ τῶν ἐπιλέκτων ἀνέβη καὶ τὰ τάγματα ἅπαντα. τῶν ἰουδαίων δὲ καταπεφευγότων εἰς τὸ ἱερὸν, καὶ οἱ τοῦ Τίτου εἰσέπιπτον διὰ τῆς διώρυγος, ἣν ὑπὸ τὰ χώματα τῶν ῥωμαίων ὑπώρυξαν. συρρήγνυνται δὲ πρὸς τὰς εἰσόδους μάχῃ καρτερᾷ, καὶ τὰ ξίφη σπασάμενοι συνεπλέκοντο, φόνος δὲ ἦν πολὺς ἑκατέρωθεν. κλινομένης δὲ ἤδη τῆς ῥωμαϊκῆς παρατάξεως, Ἰουλιανός τις ἑκατοντάρχης, ἄριστος ἀνὴρ, προπηδᾷ, καὶ νικῶντας τοὺς ἰουδαίους τρέπεται μόνος. ἔφευγε δὲ τὸ πλῆθος, καὶ διεσκίδναντο. καταδιώκων δὲ τοὺς σκεδαννυμένους ὁ γενναῖος ἐκεῖνος ἀνὴρ, κατολισθαίνει κατὰ τῶν λιθοστρώτων, ἥλους πυκνοὺς ἐν τοῖς ὑποδήμασιν ἔχων, ὡς καὶ οἱ λοιποὶ στρατιῶται. καὶ ἰουδαῖοι περισχόντες αὐτὸν, ἐτίτρωσκον πάντοθεν. ὁ δὲ καὶ κείμενος ἠμύνετο, μέχρι κατατρωθεὶς ἀνῃρέθη, καὶ τοῖς πολεμίοις αὐτοῖς θαυμαζόμενος. ἰουδαῖοι δὲ τοὺς ῥωμαίους ὠσάμενοι, κατέκλεισαν εἰς τὴν ἀντωνίαν.

ὅτι ζῴων ἀποπάτους ἔφαγον.

ὅτι τοῦ τείχους καταπεσόντος, ἕτερον εὑρέθη ἔσωθεν.

περὶ τῆς ἀνδρείας Σαβίνου ἀνδρὸς ἀρίστου.

ὅτι ἥλους εἶχον οἱ ῥωμαῖοι ἐν τοῖς ὑποδήμασι.

rum quod habebant, deglutiebant, ne capti eo spoliarentur, idq; in castris cũ excrementis eiectũ colligebant. in quo uno deprehenso, famaq; in castris sparsa, transfugas auro plenos uenire: miserorum uentres dissecabãtur. Qua de causa plurimi, unaq; nocte tria millia & amplius perierunt. Quod ne fieret, etsi Titus interdicebat: tamen eius minę parũ aut nihil miseris commodarunt. & cum in paucis nummi reperirentur, cæteros prædæ spes perdebat. Feruntaũt pauperum, qui per portas ciuitatis elati & proiecti sint, DC fuisse millia: aliorum numerũ inexplicabilem, frumentiq; medimnũ talento uęnisse. Vrbe autem, ut supra diximus, à Romanis muro circundata, cũ non amplius herbas colligere liceret, animantium stercora uetera inquirentes comedebãt. Aggere iam à Romanis excitato, cum Antonię murus machinis feriref ille quidem, sed nullis ictibus euerteretur, milites aliquot clypeis in humeros reiectis, actaq; testudine fundamentis suffossis, quatuor saxa uectibus amoliti sunt. Nox præliũ utrinq; diremit: eaq; murus machinis quassatus subitò corruit. sed alius murus post illũ ædificatus, Romanorum læticiam è prostrato conceptam in mœrorem cõuertit. Titus autem habita concione militum animos excitauit. & quidam ex Syria Sabinus, scuto in caput elato, dextraq; strictũ ensem tenens, mœnib. successit, cuius uirtutem XI alij sunt æmulati: propugnatores uerò iaculis & telis, saxisq; prægrandib. subeuntes propulsantibus, aliquot ex XI deiecti sunt. Sabinus uerò nõ destitit prius, quàm muro superato fugasset hostes. Sed cum saxo impegisset, & pronus in eo concidisset: Iudæi ad sonitum armorum conuersi, cum solum iacentem undiq; petiuerunt. Is uerò in genu consurrexit, seq; defendit: donec dextera uulnerũ multitudine laxata, telis est obrutus. E cæteris, tres qui iam ad summum euaserãt, lapidibus occisi: octo uulnerati, in castra sunt relati. Biduo pòst quidã tacitè per ruinas ad Antoniam progrediuntur: & custodibus qui obdormierant cæsis, tuba cecinerunt. Cæteris autem defensorib. fugientibus, Titus cum delecta manu, sequentibus legionibus, ascendit. Iudęis ad templũ confugientibus, Titi milites per fossam quam hostes subter aggeres excauarant, irruũt: ibiq; acris pugna strictis gladijs committitur, cadunt utrinq; multi. Sed Romana acie iam inclinata, Iulianus centurio, uir fortissimus, assilit, ac Iudæos uictores solus in fugam uertit. quos dum fugientes & palantes persequitur: in solo constrato lapidibus (in calceis enim crebros clauos, ut & cæteri milites, infixos habebat) prolapsus, & à Iudæis circumuentus, undique conuulneratur, sed & iacens se defendit: donec confossus interijt, etiam hostibus admirabilis. Iudæi Romanos propulsatos in Antoniam concluserunt.

Transfugarum resecti uentres, ob aurum deuoratum.

Antoniæ expugnatio.

Sabini fortitudo.

Iuliani fortitudo.

ὁ Τίτος

Templi oppugnatio.

Titus uerò seditiosos & per Iosephū & per seipsum cohortatus, ut nulla re molliri uidit: inuitus bellū repetijt. delectisq; ex optimis habito, sub noctis horam nonam custodes aggredi iussit. Qui cum uigilarent, animaduersa aggressione, clamoribus cæteros quoq; aduocarunt. Ac prælium à nona hora noctis usque ad quintam cōmissum anceps fuit, uictoria in neutram partem inclinante: itaq; tum diremptū est. Reliqua uerò pars Romanorū VII dieb. Antoniæ fundamentis euersis, latam ad templum uiam muniuit. Tum legiones muro primo appropinquantes, aggeres moliri cœperunt, qui magno cū labore erigebantur. Iudæi porticum quæ à septentrione & occasu Antoniæ coniungitur, incensam ad cubitos XX interruperunt, suis manibus sacra ædificia urere aggressi. Romani quoq; uicinam porticū incenderunt. flamma uerò ad cubitos XV progressa, Iudæi tectum resecuerunt. Seditiosi qui in templo erant, & aperte milites in aggere uersantes sunt aggressi, & dolis eos propulsarūt. Sed fame infinita multitudo perijt: superstites, eæ clades oppresserūt, quæ & dictu sunt horrendæ, & auditu incredibiles. quarū unam recenseo.

Mulier filiolū infantem deuorat.

Mulier quædam trans Iordanem habitans, & genere & opibus haud obscura, Hierosolymis, quò confugerat, obsidionem tolerabat. Ea sibi cibos paratos sæpe ab urbanis latronibus eripi, iniquo animo ferens, itaq; & fame percita, puerum lactantem mactatum atq; assum, partim uorauit, partim in aliud tempus asseruauit. Seditiosi uerò nidorem odorati, statim adsunt: nisi det quod pararit, mortem minitantur. Illa pueri reliquias retegit. quibus latrones uisis, obstupefacti exhorruerunt: ac trementes recesserūt, uix eo cibo matri concesso. Aggeribus iam perfectis, adducuntur arietes: sed ea erat muri firmitas, ut nihil inde læderetur. Alij fundamenta suffodiebant, sed ne sic quidem est deiectus. Cæteris igitur desperatis, scalas porticibus admouerūt. Id Iudæi non anteuerterunt, sed cūctis qui ascenderant dimicarunt: neq; parua cædes est edita. Titus, qui templi reuerentiam militibus esse noxæ cerneret, portas obstrui iussit, & admoueri ignem: unde argento liquefacto, quo deuinctæ erant, flamma ligna corripuit, atq; inde ad porticus euasit. Iudæi circumcirca igne cōspecto, & animis & corporibus defecerunt. Ac illo die, secutaq; nocte ignis grassatus est, sed in partibus. nec enim omnes porticus simul incendere ualuerunt.

Titi deliberatio de templo.

Postridie Titus parte copiarum restinguere incendiū iussa, uiāq; ad portas parare, ut legiones expeditius ascenderent: VI præcipuis ducib. aduocatis, de tēplo deliberauit. Ibi alij censuerūt, belli iure utendū, nec ulli rei parcendum. Alij monuerunt, si Iudæi eo cōsenso bellarent, comburendum esse: neq; iam templum, sed castellum habendum. Sin minus, conseruandū esse.

Titus

ὁ Τίτος δὲ πολλὰ καὶ διὰ Ἰωσήπου παρακαλέσας τοὺς στασιαστὰς καὶ δι᾽ ἑαυτοῦ, ὡς ἀμειλίκτους ἑώρα, πάλιν ἐχώρει καὶ ἄκων πρὸς πόλεμον. καὶ τοὺς ἀρίστους ἀπολεξάμενος, περὶ ὥραν τῆς νυκτὸς ἐνάτην ταῖς φυλακαῖς ἐπιθέσθαι προσέταξεν. οἱ μὲν οὖν κοιμωμένους εὑρεῖν τοὺς φύλακας, ἀλλ᾽ ἐγνόντες τὴν ἐπίθεσιν συνεπλέκοντο, καὶ πρὸς τὴν βοὴν καὶ οἱ ἄλλοι συνέπεσον. ἐξ ἐνάτης δὲ τῆς νυκτὸς ὥρας εἰς πέμπτην τῆς ἡμέρας τοῦ πολέμου συνισταμένου, ἀγχώμαλος ἦν ἡ μάχη, μηδετέρωσε τοῦ νίκους ἐπιβρισάσης, καὶ οὕτω τότε διελύθησαν οἱ μαχόμενοι. τὸ δὲ λοιπὸν τῆς τῶν Ῥωμαίων δυνάμεως ἡμέραις ἑπτὰ τοὺς τῆς Ἀντωνίας θεμελίους καταστρεψάμενον, πλατεῖαν πρὸς τὸ ἱερὸν ἀνετρίψατο ἄνοδον. καὶ πλησιάσαντα τῷ πρώτῳ περιβόλῳ τὰ τάγματα, χωμάτων κατήρχετο, καὶ ταῦτα μὲν ἠγείρετο σὺν μόχθῳ πολλῷ. οἱ Ἰουδαῖοι δὲ τῆς βορείου καὶ κατὰ δύσιν στοᾶς τὸ συνεχὲς πρὸς τὴν Ἀντωνίαν ἐμπρήσαντες, ἀπέρρηξαν ὅσον πήχεις εἴκοσι, ταῖς ἑαυτῶν χερσὶν ἀρξάμενοι καίειν τὰ ἅγια. ὑποτιμπρᾶσι δὲ καὶ Ῥωμαῖοι τὴν πλησίον στοάν, καὶ μέχρι πεντεκαίδεκα πηχῶν προκόψαντος τοῦ πυρός, ἀποκόπτουσιν οἱ Ἰουδαῖοι τὴν ὀροφήν. οἱ δ᾽ ἀνὰ τὸ ἱερὸν στασιασταὶ καὶ φανερῶς τοῖς ἐπὶ τῶν χωμάτων ἐπετίθεντο στρατιώταις, καὶ μετὰ δόλου ἠμύνοντο. ὑπὸ δὲ τοῦ λιμοῦ ἄπειρόν τι πλῆθος ἦσαν οἱ θνήσκοντες. πάθη δὲ τοῖς περιοῦσιν ἔτι συνέβαινε, καὶ φρικτὰ διηγήσασθαι, καὶ δύσπιστα τοῖς ἀκούουσιν, ὧν ἓν διηγήσομαι. γυνή τις ὑπὲρ τὸν Ἰορδάνην διὰ γένος καὶ πλοῦτον οὐκ ἄσημος, εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. ταύτης πολλάκις ἑαυτῇ τροφὰς ποριζομένης, οἱ λῃστεύοντες ἐν τῇ πόλει ταύτας διήρπαζον. ἡ δὲ πρὸς ταῦτα ἀγανακτοῦσα, θυμῷ τε καὶ λιμῷ στρατηγουμένη, ὃ ἦν αὐτῇ ὑπομάζιον τέκνον καταθύσασα καὶ ὀπτήσασα, τὸ μὲν ἔφαγε, τὸ δὲ λοιπὸν εἰς δευτέραν ἐτήρει τροφήν. οἱ δὲ στασιασταὶ τῆς κνίσσης προσβαλλούσης αὐτοῖς, παρῆσαν εὐθύς, καὶ εἰ μὴ δοίη τὸ παρασκευασθέν, ἀποσφάξειν ἠπείλουν αὐτήν. ἡ δὲ τὰ τοῦ παιδὸς αὐτοῖς ἀνεκάλυψε λείψανα. κἀκεῖνοι διεστράφησάν τε πρὸς τὴν θέαν, καὶ ἔφριξαν, καὶ τρέμοντες ὑπεχώρησαν, μόλις ταύτης τῆς τροφῆς παραχωρήσαντες τῇ μητρί. ἤδη δὲ τῶν χωμάτων τετελεσμένων προσήγοντο οἱ κριοί, ἤνυον δ᾽ οὐδέν, διὰ τὴν τοῦ τείχους στερρότητα. ἕτεροι δὲ τοὺς θεμελίους ὑπώρυττον, καὶ οὐδ᾽ οὕτως τὸ τεῖχος κατέσεισαν. ἀπογνόντες οὖν τῶν ἄλλων, κλίμακας προσέφερον ταῖς στοαῖς. οἱ δὲ Ἰουδαῖοι κωλῦσαι μὲν οὐκ ἔφθασαν, τοῖς δ᾽ ἀναβᾶσι συμπεσόντες ἐμάχοντο, καὶ ἦν οὐκ ὀλίγος αὐτῶν φόνος. ὁ δέ γε Τίτος ὡς ἑώρα τὴν ὑπὲρ τοῦ ἱεροῦ φειδὼ πρὸς βλάβην γινομένην τοῖς στρατιώταις, τὰς πύλας φράττειν προσέταξε. προσαχθέντος δ᾽ αὐταῖς τοῦ πυρός, τηκόμενος ὁ ἄργυρος ᾧ ἐνεδέδεντο, παρεχώρει τῇ φλογὶ τῶν ξύλων ἐφάπτεσθαι, κἀντεῦθεν ἐπελαμβάνετο τῶν στοῶν. τοῖς δ᾽ Ἰουδαίοις ὁρῶσι τὸ πῦρ ἐν κύκλῳ, μετὰ τῶν σωμάτων παρείθησαν αἱ ψυχαί. ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα τὸ πῦρ ἐπεκράτει, κατὰ μέρος δέ, οὐχ ὁμοῦ πάντοθεν ἴσχυσαν ὑφάψαι τὰς στοάς. τῇ δ᾽ ὑστεραίᾳ, μέρει τῆς δυνάμεως ὁ Τίτος σβεννύειν τὸ πῦρ κελεύσας, καὶ παρὰ τὰς πύλας ὁδοποιεῖν, ὡς εὐμαρέστερον τῶν ταγμάτων ἀνιόντων, αὐτὸς ἓξ τοὺς κορυφαιοτάτους τῶν ἡγεμόνων προσκαλεσάμενος, περὶ τοῦ ναοῦ ἐβουλεύετο. τοῖς μὲν οὖν ἐδόκει, τῷ τοῦ πολέμου κεχρῆσθαι νόμῳ, καὶ μή τινος φείσασθαι. τινὲς δὲ παρῄνουν, εἰ μὲν πολεμοῖεν ἐπ᾽ αὐτῷ Ἰουδαῖοι, καταφλέγειν· φρούριον γὰρ καταφλεγήσεσθαι, καὶ οὐκέτι ναόν. εἰ δὲ μὴ οὕτω, σώζειν.

ὁ δὲ

ὅτι καὶ διὰ τῆς νυκτὸς ἐπολέμουν, καὶ ὅτι καὶ ἡ ἀντωνία ὁ πύργος κατεσκάφη.

περὶ τῆς γυναικός, ἥτις τὸ ἑαυτῆς τέκνον εἰς τροφὴν δαπανῶσα ἀπέσφαξεν.

ὅτι αἱ πύλαι τοῦ ἱεροῦ ἐνεπρήσθησαν, ἀργυραῖ οὖσαι.

ὅτι ἔδοξε τοῖς ῥωμαίοις τοὺς εἰς τὸ ἱερὸν καταφυγόντας σώζεσθαι ἰουδαίους, εἰ μὴ ἀντιπολεμοῖντο, καὶ ὅτι ὁ τίτος τὸν ναὸν ἐκέλευσε μὴ καταστρέφειν.

δὴ Τίτος οὐδ᾽ ἂν ἐπιβάντες ἐπ᾽ αὐτοῦ πολεμῶσιν Ἰουδαῖοι ἔφησεν, ἀντὶ τῶν ἀνδρῶν τοῖς ἀψύχοις ἐπάγειν τὴν ἄμυναν, οὐδὲ καταφλέξειν τηλικοῦτον ἔργον· Ῥωμαίοις γὰρ ἔσεσθαι τὴν βλάβην φθαρέν, ὥσπερ καὶ κόσμον τῆς ἡγεμονίας εἰ σώζοιτο. τῷ μὲν οὖν Τίτῳ σκοπὸς ἦν τῇ ὑστεραίᾳ μετὰ πάσης ἐμβαλεῖν τῆς δυνάμεως, καὶ τὸν ναὸν περικατασχεῖν. τοῦ δ᾽ ἄρα πάλαι ὁ θεὸς φθορὰν κατεψήφιστο. οἱ γὰρ στασιασταὶ ἐπιτίθενται τοῖς φύλαξι τοῦ ἔξω ἱεροῦ. οἱ δὲ πλήθει τε τῶν ἐκτρεχόντων καὶ θυμοῖς ἡττώμενοι, ἐνεδίδοσαν. καὶ ὁρῶν ταῦτα Τίτος ἀπὸ τῆς Ἀντωνίας, ἐπαμύνει μετὰ τῶν ἐπιλέκτων ἱππέων· καὶ Ἰουδαῖοι τὴν ἔφοδον οὐχ ὑπέμειναν, ἀλλ᾽ εἰς τὸ ἔνδον συνεκλείσθησαν ἱερόν. ὑποχωρήσαντος δὲ Τίτου πρὸς ὀλίγον λωφήσαντες οἱ στασιασταί, πάλιν Ῥωμαίοις ἐπιτίθενται, καὶ τρεψάμενοι αὐτοὺς οἱ Ῥωμαῖοι μέχρι τοῦ ναοῦ προῆλθον. καὶ τις τῶν στρατιωτῶν ἐκ τῆς φλεγομένης ὕλης μέρος ἁρπάσας, καὶ ὑφ᾽ ἑτέρου ἀνακουφισθεὶς στρατιώτου, ἐνίησι τὸ πῦρ θυρίδι χρυσῇ. αἰρομένης δὲ τῆς φλογός, Ἰουδαίων μὲν ἐγείρεται κραυγή, καὶ συνέθεον πρὸς τὴν ἄμυναν. Τίτος δὲ γνούς, ἔθει πρὸς τὸν ναὸν κελεύσων τὸ πῦρ, καὶ τῇ φωνῇ καὶ τῇ δεξιᾷ διασημαίνων τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν. οὔτε δὲ βοῶντος ἤκουον, οὔτε τῆς χειρὸς προσεῖχον τοῖς νεύμασι. τὰ δὲ τάγματα εἰσιόντα καὶ περὶ τὸν ναὸν πλησιάζοντα, τῶν μὲν τοῦ Τίτου παραγγελμάτων προσεποιοῦντο μηδὲ ἀκούειν, τοῖς πρὸ αὐτῶν δὲ πῦρ ἐνιέναι παρεκελεύοντο. ἀμηχανία δὲ ἦν τοῖς στασιασταῖς, ἀπειρηκόσι πρὸς ἄμυναν, καὶ φόνος πανταχοῦ καὶ τροπή. Τίτος γε μὴν ὡς οὔτε τὰς ὁρμὰς τῶν στρατιωτῶν ἐνθουσιώντων οἷός τε ἦν κατασχεῖν, καὶ τὸ πῦρ ἐπεκράτει, παρελθὼν μετὰ τῶν ἡγεμόνων, ἐθεάσατο τοῦ θεοῦ τὸ ἅγιον καὶ τὰ ἐν αὐτῷ. τῆς δὲ φλογὸς οὐδέπω διικνουμένης εἴσω, τὰς δὲ περὶ τὸν ναὸν νεμομένης οἰκήσεις, ἔτι δυνάσθαι τὸ ἔργον σωθῆναι οἰόμενος, αὐτός τε παρεκάλει τοὺς στρατιώτας τὸ πῦρ σβεννύειν, καὶ ἕνα τῶν περὶ αὐτὸν ξύλοις παίοντα τοὺς ἀπειθοῦντας ἐκέλευσεν εἴργειν. οἱ δὲ νικώμενοι ὑπὸ θυμοῦ, καὶ τῷ πρὸς Ἰουδαίους μίσει, οὔτε τῇ πρὸς Τίτον αἰδοῖ ἀνεκόπτοντο, οὔτε φόβῳ τῷ τοῦ κωλύοντος. τοὺς δὲ πολλοὺς καὶ ἐλπὶς παρῆγεν ἁρπαγῆς, μεστὰ χρημάτων εἶναι τὰ ἔνδον δοξάζοντας. ἔφθη δέ τις καὶ εἰς τοὺς στροφέας τῆς πύλης πῦρ ἐμβαλών, καὶ φλογὸς ἔνδοθεν ἐκφανείσης ἐξαπίνης, οἵ τε ἡγεμόνες ἀνεχώρησαν καὶ ὁ Τίτος αὐτός, καὶ τοὺς ὑφάπτοντας οὐδεὶς ἐπεκώλυσεν. ὁ μὲν οὖν ναὸς οὕτως τὸ πῦρ ἐδέξατο, τῶν ἐν αὐτῷ πλημμελημένων ἐναγῶν καθαρτήριον, ἢ τῶν πλανητῶν αὐτὰς κολαστήριον. θαυμάσαι δ᾽ ἄν τις, ὅτι καὶ μὴν ὁ αὐτὸς καὶ ἡμέρα συνέπεσε τοῦ ἐμπρησμοῦ τοῦ ναοῦ, καθ᾽ ἣν καὶ ὁ πρότερος ὑπὸ Βαβυλωνίων κατεφλέγη ναός. καὶ ἀπὸ μὲν τῆς πρώτης οἰκοδομῆς, ἣν Σολομὼν ἐποιήσατο, μέχρι τῆς ἱσταμένης νῦν καθαιρέσεως, ἣ γέγονεν ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ μοναρχίας, ἔτη γίνεται χίλια καὶ ἑκατὸν τριάκοντα, καὶ μῆνες ἑπτά, ἡμέραι τε πεντεκαίδεκα. ἀπὸ δὲ τῆς ὑστέρας, ἣν ἔτει δευτέρῳ τῆς Κύρου βασιλείας ἤρξατο γίνεσθαι, μέχρι τῆς τελευταίας ἁλώσεως ἔτη ἑξακόσια καὶ τριάκοντα καὶ ἐννέα, καὶ ἡμέραι πέντε καὶ τεσσαράκοντα. καιομένου δὲ τοῦ ναοῦ, τῶν μὲν προσπιπτόντων ἦν ἁρπαγή, τῶν δὲ καταλαμβανομένων σφαγή. οὐδαμοῦ δ᾽ ἡ γῆ ἐκ τῶν νεκρῶν διεφαίνετο, ἀλλὰ σωροῖς οἱ στρατιῶται σωμάτων ἐπιβαίνοντες, τοὺς διὰ φεύγοντας ἐδίωκον. τὸ μὲν οὖν λῃστρικὸν πλῆθος ὠσάμενοι τοὺς Ῥωμαίους διεξέπεσον εἰς τὴν πόλιν· τοῦ δὲ δήμου τὸ περιλειφθὲν εἰς τὴν ἔξω στοὰν κατέφυγε.

Ἐπὶ τῇ χρυσῇ θυρίδι ὁ ναός.

ὅτι ὁ Τίτος ἐβούλετο μὴ καυθῆναι τὸν ναόν.

ὅτι κατὰ τὸν αὐτὸν μῆνα καὶ τὴν αὐτὴν ἡμέραν συνέπεσεν ὁ ἐμπρησμὸς τοῦ ναοῦ, ὅτε ὑπὸ Βαβυλωνίων, καὶ ὕστερον ὑπὸ Ῥωμαίων.

τῶν δ᾽ ἱε-

Titus uerò, etsi Iudæi eo occupato, repugnarēt, tamen se loco uirorum res inanimatas ulturum esse negauit: aut tantum opus crematurū, cuius uastatio Romanis damno, cōseruatio ornamento futura esset. Ac Titus in animo habuit, postri die cum omnibus copijs impressione facta templum occupare. sed Deus iam olim eius excidium decreuerat. Nam cum Titus ex Antonia uidisset tēpli exterioris custodes, multitudini & furori excurrentium Iudæorū cessisse, cum delectis equitib. opem illis tulit: cuius impetu Iudæi reformidato, se in templo interiori cōcluserunt. Regresso Tito, seditiosi cum paulisper quieuissent, denuò Romanos inuaserūt: quibus Romani pulsis, usq; ad templū penetrarunt. & miles quidam torre correpto, atq; ab alio subleuatus, ignem per fenestram auream inijcit. Excitata flamma Iudæi exclamātes, ad defensionem concurrūt. Quo Titus cognito, ad templum ignis prohibendi causa & ipse approperans, pugnantibus & uoce & manu significat, ut incendium restinguant. Sed illi nec uocem eius exaudiuerunt, nec manus signum obseruarunt. Legiones quoq; ingressæ, cum templo appropinquarēt, Titi mādata se audire dissimulabant: & eos qui præcedebant hortabātur, ut ignem inijcerēt. Itaq; seditiosi propulsando hoste fatigati, cōsilij inopes, passim fugiebāt, & cędebantur. Titus uerò cum impetū militū furore quodam irruentiū reprimere non posset, atq; incendium augeretur: cum ducib. Dei sanctuariū, & quicquid in eo fuit, spectauit. & quia flāma nondum introrsum penetrasset, sed ædes quæ in tēpli circuitu sunt, depascebat, opus illud adhuc conseruari posse ratus, operā dedit, ut milites ad restinguendum incendiū exhortaretur: & quendam fuste cōtumaces cohercere iussit. At illi iracundia & odio Iudæorū uicti, nec uerecūdia Titi, nec eius qui prohibebat metu desistebāt. Multos etiam rapinæ spes incitabat, interiora pecunijs referta esse existimantes. Ac iam quidā portæ cardinibus ignem iniecerat, unde cum subitò flamma emicuisset, & duces & Titus ipse recesserūt: neq; quoq; amplius eos qui ignem inijciebant prohibente, flamma templum corripuit, siue nefariorū sacrorū lustratio, siue sacrificulorū pœna. In quo illud mirari possis, ꝙ conflagratio in eundē & mensem & diem incidit, quo prius templū à Babylonijs exustū fuerat. A' prima Salomonis substructione usq; ad uastationem, quæ secundo monarchiæ Vespasiani anno accidit, intercesserunt anni MCXXX, mēses VII, dies XV. A' posteriore, quæ anno II Cyri cœpit, usq; ad extremum excidium, anni DCXXXIX, dies XLV. Templo ardente, obuia quæque rapta sunt, & qui deprehendi potuerunt occisi, neque usquam solum præ cadaueribus uideri potuit: sed milites per aceruos cæsorum, fugientes persequebantur. Latronum uerò multitudo perruptis Romanorum agminibus in urbem euasit; reliquiæ popularis turbæ in exteriorem porticum confugerunt.

Templi Hierosolymitani conflagratio.

ex fa-

ex sacerdotibus aliquot murum VIII cubitos latum conscenderũt, duo insignes in ignem insilierunt, & unà cum templo conflagrarunt. Tum Romani uicinis ædificijs frustra parci existimantes, ipso templo ardente, omnibus ignem iniecerunt: qui etiam gazophylacia cõprehendit, in quibus infinita pecuniæ multitudo reposita fuit, infinitæ pretiosæ uestes, & alia ornamenta. Ibi enim omnis Iudæorum opulentia in unum ueluti cumulum cõgesta erat, tanquam in tutum ærarium. Ibi etiam infinita multitudo plebis perijt, pseudoprophetæ seducta concionibus, qui prædicarat, iubere Deum eos in templum ascẽdere, signa salutis accepturos. Subornabantur autem multi tales à tyrannis, ut populus minus transfugeret: per quos deceptus, cũ denuo bus portentis tanquam attonitus nõ mouebatur, quorum multa acciderunt. Nã supra urbem astrum stetit gladio simile: cometa per annũ apparuit: & aliquãdo lux ante bellum noctu aram tam clara per dimidiam horam circumfulsit, ut dies esse uideretur. Bos ad sacrificiũ adducta, agnum peperit. Porta oriẽtalis ærea, itaque robusta, ut à uiris uiginti uix clauderetur atque aperiretur, cũ uectes & pessulos profundissimos haberet, noctu ultrò patuit: quæ securitatẽ templi sublatam esse declarabat, & facilẽ in id hostium ingressum. Alio tempore uisum est ante occasum solis spectrum mirabile, currus in sublimi omnem regionẽ peragrantes, & phalanges armatæ hucatque illuc in nubib. saltantes. In festo Pentecostes sacerdotes interius ingressi templum, motũ & sonitũ senserunt. deinde uocem audiuerunt, dicentem: Migremus hinc. Quadriennio ante bellum in tabernaculorũ festo Iesus quidam homo rusticus, ad festiuitatẽ profectus, exclamauit: Vox ab oriente, uox ab occidente, uox à quatuor uentis, uox super Hierosolyma & templũ, uox super sponsos & sponsas, uox super omnem populum. Hæc uociferans, noctu atque inter diu circuibat urbẽ. & quanquam ob uoces mali ominis uerberaretur, tamẽ eandem perpetuò cantilenã canebat. Adductus ad Romanum prouinciæ præsidem, & flagris cæsus, neque supplicauit, neque lachrymauit: sed uoce lugubriter inflexa, ad singulas plagas, Væ Væ Hierosolymis clamauit: donec Albinus (is enim tum Iudææ procurator erat) hominem absoluit, insanire ratus. Ille uerò ab eo tẽpore usque ad bellum, Væ Væ Hierosolymis, lamentabatur: sed in festiuitatibus præcipuè triste illud augurium proclamabat. idque fecit annos septem, & quinque menses: donec in obsidione in moenibus obambulans, rursus Væ uæ urbi & templo & populo, contenta uoce clamauit. & ut postremò adiecit, Væ etiam mihi, lapide ex balista excusso ictus occubuit. Romani cum seditiosis in urbem compulsis, templũ, & quæ circum templũ sunt, arderent omnia, signis in templum illatis, Titum cum faustissimis acclamationibus imperatorem designarunt. Milites tantum ex rapinis pecuniæ coacervarunt, ut in Syria

Portenta excidij Hierosolymitani.

Titus imperator salutatur.

τῶν δ' ἱερέων τινὲς ἐπὶ τὸν τοῖχον ἀναχωρήσαντες, ὄντα τὸ εὖρος ὀκτάπηχυν, ἔμενον. δύο γε μὴν τῶν ἐπισήμων ῥίψαντες ἑαυτοὺς εἰς τὸ πῦρ, συγκατεφλέγησαν τῷ ναῷ. Ῥωμαῖοι δὲ ματαίαν τὴν ἐπὶ τοῖς πέριξ τοῦ ναοῦ φειδὼ κρίναντες, ἤδη αὐτοῦ φλεγομένου, πᾶσιν ἐπῆγον τὸ πῦρ· τὸ δὲ καὶ τῶν γαζοφυλακίων ἐπιλαμβάνεται, ἐν οἷς ἄπειρον μὲν τὸ πλῆθος τετύχηκεν εἶναι χρημάτων, ἄπειροι δ' ἐσθῆτες πολυτελεῖς, καὶ ἄλλα κειμήλια. ὅλος γὰρ ὁ ἰουδαίων πλοῦτος πανταχόθεν ἐκεῖ σεσώρευτο, τῶν κεκτημένων ἀποτιθεμένων ταῦτα ὡς ἐπ' ἀσφαλοῦς ταμιείου. ἄπειρον δὲ καὶ πλῆθος διεφθάρη δημοτικόν, οἷς αἴτιος ἀπωλείας ἐγένετό τις ψευδοπροφήτης, κηρύξας τοῖς ἐν τῇ πόλει, ὡς ὁ θεὸς ἐπὶ τὸ ἱερὸν ἀναβῆναι κελεύει, δεξομένους τὰ σημεῖα τῆς σωτηρίας. πολλοὶ δὲ τοιοῦτοι παρὰ τῶν τυράννων ταῦτα λέγειν καθίεντο, ἵν' ἧττον αὐτομολοῖεν· δι' ὧν ὁ δείλαιος ὄχλος παρεκρούετο, τοῖς ἐναργέσι σημείοις ὡς ἐμβρόντητοι οὐκ ἐπίστευον. πολλὰ δὲ σημεῖα γεγόνασιν. ἔστη μὲν ὑπὲρ τὴν πόλιν ἄστρον, ῥομφαίᾳ παραπλήσιον, καὶ κομήτης φανεὶς παρετάθη ἐπ' ἐνιαυτόν. καὶ φῶς πρὸ τοῦ πολέμου ποτὲ τὸν ναὸν καὶ τὸν βωμὸν περιέλαμψεν, ὡς δοκεῖν ἡμέραν εἶναι λαμπράν, παραμεῖναν ἐπὶ ἡμίσειαν ὥραν. καὶ βοῦς εἰς θυσίαν ἀναχθεῖσα, ἔτεκεν ἀρνίον. ἡ δὲ ἀνατολικὴ πυλὴ τοῦ ἐνδοτέρου ναοῦ χαλκῆ οὖσα καὶ στιβαρά, ὡς μόλις ὑπὸ ἀνδρῶν εἴκοσιν ἀνοίγνυσθαί τε καὶ κλείεσθαι, καὶ μοχλοὺς καὶ καταπῆγας ἔχουσα βαθυτάτους, ὤφθη νύκτωρ αὐτομάτως ἠνοιγμένη. ἐδήλου δέ, λυομένην τὴν τοῦ ναοῦ ἀσφάλειαν, καὶ τοῖς πολεμίοις ἐσομένην τὴν εἴσοδον εὐμαρῆ. καὶ φάσμα δὲ δαιμόνιον ἄλλοτε ὤφθη πρὸ ἡλίου δυσμῶν, ἅρματα κατὰ πᾶσαν τὴν χώραν διιόντα μετέωρα, καὶ φάλαγγες ἔνοπλοι διάττουσαι τῶν νεφῶν. κατὰ δὲ τὴν τῆς πεντηκοστῆς ἑορτὴν εἰς τὸ ἔνδον ἱερὸν οἱ ἱερεῖς παρελθόντες, κινήσεως ᾔσθοντο, καὶ κτύπου· εἶτα φωνῆς ἤκουσαν λεγούσης, μεταβαίνωμεν ἐντεῦθεν. πρὸ δὲ τεσσάρων ἐνιαυτῶν τοῦ πολέμου, ἐν τῇ τῆς σκηνοπηγίας ἑορτῇ Ἰησοῦς τις ἀγροῖκος ἀνήρ, ἐλθὼν εἰς τὴν ἑορτήν, βοᾶν ἤρξατο· φωνὴ ἀπὸ ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν ναόν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ πάντα τὸν λαόν. καὶ περιῄει τὴν πόλιν, ταῦτα κεκραγὼς μεθ' ἡμέραν καὶ νύκτωρ· παιόμενος δὲ διὰ τὸ κακόφημον, ὁ δὲ οὐδὲν ἕτερον ἢ τὰς αὐτὰς ἐβόα φωνάς. ἀναχθεὶς δὲ καὶ πρὸς τὸν τῆς χώρας ἐπιτροπεύοντα τότε Ῥωμαῖον, καὶ καταξανθεὶς μάστιξιν, οὐθ' ἱκέτευσεν, οὔτ' ἐδάκρυσεν, ἀλλὰ τὴν φωνὴν ὀλοφυρτικῶς παρακλίνων, πρὸς ἑκάστην πληγήν, αἲ αἲ Ἱεροσολύμοις, ἐβόα. μέχρι καταγνοὺς μανίαν αὐτοῦ ὁ Ἀλβῖνος (οὗτος γὰρ ἐπετρόπευε τότε) ἀπέλυσεν αὐτόν. ὁ δ' ἐκ τότε μέχρι τοῦ πολέμου, αἲ αἲ Ἱεροσολύμοις, ἐβόα καὶ ἐθρήνει. ἐν δὲ ταῖς ἑορταῖς μάλιστα τὴν σκυθρωπὴν ἐκείνην ἐκεκράγει κληδόνα, καὶ τοῦτ' ἐποίει ἐπὶ ἔτη ἑπτὰ καὶ μῆνας πέντε, μέχρις οὗ κατὰ τὴν πολιορκίαν περιιὼν ἐπὶ τῶν τειχῶν, αἲ αἲ πάλιν τῇ πόλει καὶ τῷ ναῷ καὶ τῷ λαῷ διαπρυσίως ἐβόα. ὡς δὲ τελευταῖον προσέθηκεν, αἲ αἲ κἀμοί, λίθος ἐκ τοῦ πετροβόλου πλήξας αὐτὸν ἔκτεινε. Ῥωμαῖοι δὲ τῶν στασιαστῶν καταπεφευγότων εἰς τὴν πόλιν, καιομένου δὲ τοῦ ναοῦ καὶ τῶν πέριξ ἁπάντων, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερόν, μετὰ μεγίστων εὐφημιῶν τὸν Τίτον ἀπέφηναν αὐτοκράτορα. οὕτω δὲ ταῖς ἁρπαγαῖς οἱ στρατιῶται πάντες ἐχρηματίσαντο, ὥστε κατὰ τὴν Συ-

περὶ τοῦ τοίχου ὃς τὸ εὖρος ὀκτάπηχυ.

περὶ τῶν ἐν τῷ γαζοφυλακίῳ χρημάτων.

περὶ τῶν γενομένων σημείων δι' αὐτοῦ.

εἶδος τοῦ μεγέθους τῆς πύλης.

περὶ τοῦ Ἰησοῦ τοῦ προμαντεύσαντος τὰ δεινά, ὃς καὶ ἀπώλετο.

εἶναι πρὸς ἥμισυ τῆς πάλαι τιμῆς τὸν σταθμὸν τοῦ χρυσίου πεπρᾶσθαι. οἱ δὲ ἀνὰ τὸν τοῖχον τοῦ ναοῦ, ὡς εἴρηται, ἀνελθόντες ἱερεῖς, ἐπεὶ πέντε ἡμέρας προσεκαρτέρησαν τῷ λιμῷ καὶ λιμώξαντες, κατέβησαν, ἱκετεύοντες τυχεῖν σωτηρίας. ὁ δὲ Τίτος καὶ τὸν τῆς συγγνώμης καιρὸν παρεληλυθέναι ἔφησε, καὶ τοῦ ναοῦ οἰχομένου καὶ τοὺς ἱερεῖς συναπολέσθαι αὐτῷ δεῖν εἰπών, κολασθῆναι τοὺς ἄνδρας ἐκέλευσεν. οἱ δὲ περὶ τοὺς τυράννους διαδρᾶναι μὴ ἰσχύοντες, προσκαλοῦνται τὸν Τίτον εἰς λόγους. καὶ ὃς ἧκε, καὶ τὴν ἀπόνοιαν αὐτοῖς ὀνειδίσας, καὶ ῥίψασι τὰ ὅπλα καὶ παραδοῦσι τὰ σώματα χαρίζεσθαι τὴν ζωὴν ἐπηγγέλλετο. καὶ οἱ λῃσταὶ δεξιὰν μὲν μὴ δύνασθαι παρ' αὐτοῦ λαβεῖν ἔφησαν, ὀμωμοκότες μηδέποτε τοῦτο ποιήσειν. ἔξοδον δὲ ᾔτουν, μετὰ γυναικῶν καὶ τέκνων, καταλιπόντες τὴν πόλιν αὐτῷ. ἀγανακτήσας πρὸς ταῦτα ὁ Τίτος, μήτε αὐτομολεῖν ἔτι τινὰς σφῶν ἐκέλευσε, μήτε δεξιὰς ἐλπίζειν τυχεῖν· φείσεσθαι γὰρ οὐδενός, μάχεσθαι δὲ καὶ σώζειν ὡς δύναιντο ἑαυτούς. τοῖς δὲ στρατιώταις ἐμπιπρᾶν τὴν πόλιν καὶ διαρπάζειν ἐκέλευσεν. οἱ δὲ τὸ πῦρ ἐνίεσαν πανταχοῦ. οἱ στασιασταὶ δὲ ἐπὶ τὴν βασιλικὴν οἰκίαν ὁρμήσαντες, εἰς ἣν διὰ τὸ ὀχυρὸν πολλοὶ τὰς οὐσίας ἀπέθεντο, τούς τε Ῥωμαίους ἀπ' αὐτῆς τρέπονται, καὶ τὸ συνηθροισμένον αὐτόθι τοῦ δήμου πᾶν φονεύσαντες, ὡς ὀκτακισχιλίους καὶ τετρακοσίους ἀριθμουμένους, τὰ χρήματα διήρπασαν. τῇ δ' ἑξῆς Ῥωμαῖοι τρεψάμενοι τοὺς λῃστὰς ἐκ τῆς κάτω πόλεως, τὰ μέχρι τοῦ Σιλωὰμ πάντα ἐνέπρησαν. καιομένην δὲ τὴν πόλιν ὁρῶντες οἱ στασιασταί, ἱλαροῖς τοῖς προσώποις ἑτοίμως τὴν τελευτὴν προσδέχεσθαι ἔλεγον, ὅτι δὲ παραδοῦναι ἑαυτοὺς οὐκ ἤθελον, οὔτε πολεμεῖν Ῥωμαίοις οἷοί τε ἦσαν· σκεδασθέντες δὲ κατὰ τὰ ἔμπροσθεν τῆς πόλεως, εἴ τινας αὐτομολεῖν ἐθέλοντας εὕρισκον, ἀπέσφαττον· καὶ οὐδεὶς ἐν τῇ πόλει τόπος γυμνὸς ἦν, ἀλλ' ἅπας ἢ λιμοῦ νεκρὸν εἶχεν, ἢ στάσεως. ἔθαλπε δὲ τούς τε τυράννους καὶ τὸ σὺν αὐτοῖς λῃστρικὸν ἐλπὶς ἐσχάτη τῶν ὑπονόμων, ὡς εἰς οὓς καταφύγοιεν, οὐ προσδοκῶν ἐρευνηθήσεσθαι. ἀναζευξάντων γὰρ τῶν Ῥωμαίων, ἤθελον προελθεῖν τε καὶ ἀποδρᾶναι· τὸ δὲ ἦν ἄρα ὄνειρος. οὔτε γὰρ τὸν θεὸν οὔτε Ῥωμαίους λήσειν ἔμελλον. ἦν δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς ἁρπαγαῖς πόλεμος αὐτοῖς. Καῖσαρ δ' ὡς ἀμήχανον ἦν τὴν ἄνω πόλιν ἑλεῖν χωρὶς τῶν χωμάτων, ἀπόκρημνον περικειμένην, διένειμε τοῖς ἔργοις τὴν δύναμιν. κατὰ ταύτας οὖν τὰς ἡμέρας οἱ τῶν Ἰδουμαίων ἡγεμόνες πέμψαντες ἄνδρας πέντε πρὸς Τίτον, ἱκέτευον δοῦναι αὐτοῖς δεξιάν. ὁ δὲ καὶ τοὺς τυράννους ἐνδώσειν ἐλπίσας ἀποσπασθέντων τῶν Ἰδουμαίων, κατένευσε τὴν σωτηρίαν αὐτοῖς. καὶ ὁ Σίμων γνοὺς τὴν γνώμην αὐτῶν, τοὺς μὲν πέντε τοὺς ἐντυχόντας τῷ Τίτῳ αὐτίκα ἀναιρεῖ, τοὺς δ' ἡγεμόνας συλλαβὼν εἵργνυσιν, Ἰδουμαίους δὲ οὐκ ἀφυλάκτους εἶχε, καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις διελάμβανε διὰ τοὺς αὐτομολοῦντας. πολλῶν δὲ φονευομένων, πλέους ἦσαν οἱ διαφεύγοντες. ἐδέχοντο δὲ οἱ Ῥωμαῖοι πάντας κόρῳ τοῦ κτείνειν, καὶ κέρδους ἐλπίδι. τοὺς γὰρ δημοτικοὺς ἐῶντες μόνους, τοὺς ἄλλους ἐπώλουν σὺν γυναιξὶ καὶ τέκνοις, ἐλαχίστης τιμῆς ἕκαστον, διὰ πλῆθος τῶν πωλουμένων, καὶ ὀλιγότητα τῶν ὠνουμένων. τῶν μὲν ἀπεμποληθέντων ἄπειρόν τι πλῆθος ἦν. οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους. τῶν ἱερέων δέ τις ὄνομα Ἰησοῦς, λαβὼν περὶ σωτηρίας ὅρκον, ὥστε τινὰ παραδοῦναι τῶν κειμηλίων, ἔξεισι, καὶ παραδίδωσι λυχνίας δύο, τράπεζάν τε καὶ κρατῆρας, καὶ φιάλας, πάντα ὁλόχρυσα, καὶ τὰ κατα-

ria * pondus auri dimidio minoris quàm olim uenderetur. Sacerdotes, qui, ut dictum est, murum templi conscenderant, cum quinque dies ibi exegissent, fame confecti descenderunt: utque sibi parceretur, supplicarunt. Quibus Titus respondit, Veniæ tẽpore iam præterito, sacerdotibus cum templo pereundum esse: & homines supplicijs affici iussit. Tyranni qui effugere nõ poterant, Titum ad colloquiũ euocãt. qui cum uenisset, eisque desperationem obiecisset, uita se illos donaturũ promisit, si abiectis armis se dederent. Latrones uerò se dextram ab eo accipere posse negarunt, iurasse enim se id nunquam facturos: sed petiuerunt, ut cum uxoribus & liberis urbe excedere liceret. Quamobrem Titus iratus, edixit, ne quis eorum amplius transfugeret, aut spem dextræ haberet, se enim parsurum esse nemini: pugnarent igitur, ac saluti suę pro uiribus consulerent. Milites urbem incenderea ac diripere iussit: qui cum incendia ubique spargerent, latrones ad regiam decurrerunt, in quam ob loci munitionem multi suas opes contulerant: ac Romanis inde pulsis, & cœtu plebis ibi congregatæ ad VIII millia & CCCC, omni interfecto, pecuniam diripuerunt. Postridie Romani latronibus ex inferiore urbe profligatis, usque ad Siloam omnia incenderũt. Seditiosi cum ardere urbem uiderent, hilari uultu se alacres obituros dixerunt, cum se neque Romanis dedere uellent, neque repugnare possent: sed ante urbem dispersi, quos transfugere uolentes deprehendebant, iugulabant: neque ullus urbis erat locus, qui non fame aut seditione peremptos haberet. Tyrãnos una spes reliqua subterraneorũ meatuum fouebat: quò si cõfugissent, se non indagatum iri stulta opinione putabant. Nam cum Romani castra mouerent, progredi atque aufugere ausi, neque Deum neque Romanos latere poterant, & inter se de rapinis bellum gerebant. Cæsar uerò cum urbs superior in præcipiti sita loco, sine aggeribus capi non posset, copijs opus distribuit. Iis diebus Idumæorum principes V legatis ad Titum missis, supplices pacem petierunt: qui etiam tyrãnos, Idumæis auulsis, pertinaciam abiecturos sperans, incolumitatem illis promisit. At Simon eorum consilio cognito, V legatos statim occidit, duces in carcerem compingit, Idumæos obseruari iubet, & mœnia presidijs accuratiorib. muniit propter transfugas. Sed quamuis multi occiderentur, plures erant qui diffugerent, atque à Romanis ob cædium satietatem & lucri spem susciperentur. Nam solis plebeijs retentis, cęteros cum uxoribus et liberis minimo uendebant, ob mãcipiorum multitudinem, & emptorum paucitatem. Eorum qui uenditi sunt, multitudo infinita fuit, é plebeijs ultra XL millia sunt conseruati. Quidam sacerdos nomine Iesus, pacta incolumitate, duo candelabra tradidit, mensam, crateres & phialas, ex solido auro omnia, necnon

Ornamẽta sacra tradita Romanis

aulæa, pontificias ueftes, & multa alia uafa. Sacri thefauri cuftos Phinees comprehenfus, tunicas & cingula pontificia, ac plures alias res preciofas demonftrauit. Aggeribus iam confectis, Romani machinas ad muros adduxerunt. At feditiofi partim in arcem recedebant, partim in fubterraneis meatibus fe abdebant, multi propugnabant. fed muri parte abrupta, etiam tyrannis metus incefsit, ut fugæ confilia agitarent. Cum enim eos quorum fideli opera pridem ufi fuerant, non haberent (nam difperfi erant) & hoftes in propinquo effe nunciarentur: in faciem prolapfi, uæcordiam fuam deplorarunt, atque ultrò è turribus defcenderunt, è quibus ui nunquam, fed fola fame depelli potuiffent: & in uallem Siloam confugerunt, deinde meatus fubierunt. Romani mœnibus citra fanguinem potiti, deprehenfos trucidabant, atque ædes incendebant: fed ante uefperam defierunt.

Seditiosi munitiones deserunt.

Poftridie Titus urbem ingreffus, & munitiones ac turres admiratus: Deo, inquit, iuuante bellum gefsimus: Deus fuit, qui Iudæos munitionibus iftis expulerit. Cum autem urbem alibi deleret, & mœnia eucrteret: eas turres fortunæ fuæ monimentum reliquit, qua adiutrice ijs potitus effet, quæ expugnari nō poffent. Totius belli tempore uirorum capta funt ad nonaginta feptem millia, totius obfidionis tempore undecies centena hominum millia perierunt: quorum maior pars eiufdem gentis, fed non eiufdem nationis fuit. Nam è tota prouincia ad feftum Azymorum congreffos, bellum fubitò oppreſſerat, & uiris plenam urbem circumuallarat. Romani cum ex manifeftis alios fuftuliffent, alios cepiffent, in cauernis delitefcentes indagabant, perrupto'que folo obuios quofque trucidarunt. fed & ibi cadauerū ultra duo millia funt reperta: ac fubeūtibus teter occurrit fœtor, ut multi recederent. fed alij præ auaritia intrabant, mortuorum cumulos calcantes. Nam in ijs cauernis multa ornamenta reperiebantur: multi etiam educebantur & dimittebantur, quos tyranni captiuos tenuerant. Ex ijs patriæ peftibus, Ioannes cum fratribus in cauernis efuriens, pacem à Romanis fupplex petijt. Simon poftea comprehenfus eft, Tito Cæfareæ Philippi degente. Nam cum Hierofolyma obfiderentur, atque urbem Romani intraffent: in fuperiore eius parte degens Simon, affumptis amicorum intimis, una'que lapicidis & ferramentis idoneis, in quandam cauernam fe demifit, & uetere foffa perambulata, terram excauauit, ut cuniculis longè promotis tuto loco emergerent. Sed paulum progrefsis metallicis, commeatu deftitutus, candida indutus tunica, & chlamyde purpurea infibulatus, eo in loco è terra emerfit, ubi templum dudum fuerat. Quem qui uiderunt, primum ftupore correpti funt: deinde propius accefferunt, interrogantes quis effet? Simon cum ducem uocari iufsiffet: Terentius Rufus (hunc enim Titus exer-

Titus Deo uictoriam fert acceptam.

Numerus Iudæorum qui perierunt.

Simonis & Ioannis interitus.

citui

περιστρώματα, καὶ τὰ τῶν ἀρχιερέων ἐνδύματα, καὶ πολλὰ τῶν σκευῶν ἕτερα. ὁ δὲ γαζοφύλαξ τοῦ ἱεροῦ Φινεὲς συλληφθεὶς, τούς τε χιτῶνας καὶ τὰς ζώνας τῶν ἀρχιερέων ὑπέδειξε, καὶ τῶν ἄλλων κειμηλίων πολλά. συντελεσθέντων δὲ ἤδη τῶν χωμάτων, προσῆγον οἱ Ῥωμαῖοι τῷ τείχει τὰς μηχανάς. τῶν δὲ στασιαστῶν οἱ μὲν ἀνεχώρουν εἰς τὴν ἄκραν, οἱ δ' ἐγκατεδύοντο τοῖς ὑπονόμοις, πολλοὶ δὲ καὶ ἠμύνοντο. ὡς δὲ περιερράγη μέρος τοῦ τείχους, δέος καὶ τοὺς τυράννους ἐμπίπτει, καὶ μονονουχὶ πρὸς φυγὴν ἦσαν. ἐπεὶ δὲ οὓς μὲν πάλαι πιστοὺς οὐκ εἶχον (διεσκεδάσθησαν γάρ) οἱ δὲ πολέμιοι πλησίον ἀπηγγέλλοντο, ἐπὶ στόμα πεσόντες ἀνῴμωξαν τὴν ἑαυτῶν φρενοβλάβειαν, καὶ ἐκ τῶν πύργων ἑκόντες κατέβησαν, ἀφ' ὧν βίᾳ μὲν οὐδέποτε ἁλῶναι ἐδύναντο, λιμῷ δὲ μόνῳ, καὶ εἰς τὴν Σιλωὰμ φάραγγα κατέφυγον, εἶτα κατέδυσαν εἰς τοὺς ὑπονόμους. Ῥωμαῖοι δὲ τῶν τειχῶν κρατήσαντες ἀναιμωτὶ, οὓς κατελάμβανον μὲν ἐφόνευον, καὶ τὰς οἰκίας ὑφῆπτον. ἐπαύσαντο δὲ πρὸς ἑσπέραν. τῇ δ' ὑστεραίᾳ εἰσελθὼν ὁ Τίτος ἔσω, τό τε ὀχυρότητος τὴν πόλιν καὶ τῶν πύργων ἐθαύμασε, καὶ, σὺν θεῷ ἐπολεμήσαμεν, ἔφη, καὶ θεὸς ἦν ὁ τῶν ἐρυμάτων τούτων Ἰουδαίους καθελών. τὴν ὅλην τε πόλιν ἀφανίζων, καὶ τὰ τείχη κατασκάπτων, τούτους τοὺς πύργους κατέλιπε μνημεῖον τῆς αὐτοῦ τύχης, ἧ συστρατιώτιδι χρησάμενος, ἐκράτησε τῶν ἁλῶναι μὴ δυναμένων. τῶν μὲν οὖν αἰχμαλώτων πάντων, οἳ δι' ὅλου τοῦ πολέμου ἐλήφθησαν, ὁ ἀριθμὸς ἐς ἐννέα μυριάδας καὶ ἑπτακισχιλίους συνήχθη· τῶν δὲ ἀπολλυμένων κατὰ πᾶσαν τὴν πολιορκίαν, μυριάδες ἑκατὸν καὶ δέκα. τούτων τὸ πλεῖον ὁμόφυλον μὲν, ἀλλ' οὐκ ἐπιχώριον. ἐκ γὰρ τῆς χώρας ὅλης ἐπὶ τὴν τῶν ἀζύμων ἑορτὴν συνεληλυθότας, ἐξαπίνης ὑπὸ πολέμου περιεσχέθησαν, καὶ μεστὴν ὁ πόλεμος τὴν πόλιν ἀνδρῶν ἐκυκλώσατο. ἐπεὶ δὲ τῶν φανερῶν οὓς μὲν ἀνεῖλον, οὓς δ' ᾐχμαλώτισαν Ῥωμαῖοι, τοὺς ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων, καὶ ἀναρρηγνύντες τὸ ἔδαφος, οἷς ἐνετύγχανον, ἔκτεινον. εὑρέθησαν δὲ κἀκεῖ νεκροὶ, δισχιλίων ἐπέκεινα. δεινὴ δὲ ὑπήντα τοῖς εἰσδύουσι τῶν σωμάτων ὀδμὴ, ὡς πολλοὺς εὐθέως ἀναχωρεῖν· ἄλλοι δ' ὑπὸ πλεονεξίας εἰσεδύοντο, σωροὺς ἐμπατοῦντες νεκρῶν· εὑρίσκετο γὰρ πολλὰ τῶν κειμηλίων ἐν ταῖς διώρυξιν. ἀνήγοντο δὲ καὶ πολλοὶ ὑπὸ τῶν τυράννων κατεχόμενοι δεσμοῖ, καὶ ἀπελύοντο. τούτων δὲ τῶν ἀλαστόρων ὁ μὲν Ἰωάννης ἐν τοῖς ὑπονόμοις μετὰ τῶν ἀδελφῶν λιμώττων, δεξιὰν παρὰ Ῥωμαίων λαβεῖν ἱκέτευε. Σίμων δὲ μετέπειτα συνελήφθη, τοῦ Τίτου διάγοντος εἰς τὴν Φιλίππου λεγομένην Καισάρειαν. πολιορκουμένων γὰρ Ἱεροσολύμων, ἐπεὶ ἡ ἄνω πόλις ἦν, τῶν Ῥωμαίων ἐντὸς γενομένων τῆς πόλεως, ὁ Σίμων σὺν πιστοτάτοις παραλαβὼν τῶν φίλων, καὶ σὺν αὐτοῖς λιθοτόμους, καὶ τὰ πρὸς τὴν ἐργασίαν ἐπιτήδεια τούτοις σίδηρον, εἴς τινα τῶν ὑπονόμων σὺν ἐκείνοις καθίησιν ἑαυτὸν, καὶ τὸ παλαιὸν ὄρυγμα διελθὼν, τὴν γῆν ὑπώρυσσεν, ἵνα πόρρωθεν προελθόντες, ἐν ἀσφαλείᾳ ποιήσωνται τὴν ἀνάδυσιν. ὀλίγον μὲν οὖν τῶν μεταλλευόντων προχωρούντων, ἡ τροφὴ αὐτοὺς ἐπιλέλοιπε. τότε δὴ λευκοὺς ἐνδὺς χιτωνίσκους καὶ χλαμύδα πορφυρᾶν ἐμπεπορπημένος, ἀνέδυ τῆς γῆς κατ' ἐκεῖνον τὸν τόπον, ἐν ᾧ πρόσθεν τὸ ἱερὸν ἦν. πρῶτον μὲν οὖν θάμβος τοῖς ἰδοῦσι προσέπεσεν. ἔπειτα δὲ ἐγγυτέρω προσιόντες ἤροντο τίς εἴη. ὁ δὲ Σίμων καλεῖν τὸν ἄρχοντα σφῶν προσέταξε, καὶ ἀχθεὶς Τερέντιος Ῥοῦφος, ὃς ἦρχε τῆς

στρατιᾶς

στρατιᾶς καταλείπεται. ὁ γνωρίσας οὖν τις ἦν ὁ Σίμων, συνελάβετο, καὶ δεσμοῖς ἐφυλάττετο. ἐδήλου δὲ Τίτῳ ἡ σύλληψις αὐτοῦ ἐλθόντι, καὶ ὁ μὲν εἰς τὸν θρίαμβον ἐτηρεῖτο, καθ' ὃν καὶ ἀνῃρέθη βρόχῳ, συρεὶς ἐν τῇ κατὰ τὴν Ῥώμην ἀγορᾷ, ὅπου κτείνειν Ῥωμαίοις ἔθος τοὺς ἐπὶ κακουργίᾳ θανατουμένους. οὗτος μὲν δὴ γέγονε τέλος τῷ τοῦ Γιώρα Σίμωνι. Ἰωάννης δέ, ὁ λοιπὸς τῶν Ἰουδαίων τύραννος, δεσμοῖς κατεκρίθη αἰωνίοις. τὸ δὲ τῶν αἰχμαλώτων πλῆθος τὸ μὲν εἰς τὰ κατ' Αἴγυπτον ἔργα ἐστάλη, τὸ δ' ἐν ταῖς κατὰ πόλεις τελουμέναις θεωρίαις ἐφθείρετο, ἢ θηριομαχίαις ἐκδιδόμενον, ἢ ἀλλήλοις ἀνταγωνιζόμενον. ἡ δὲ τοῦ Σίμωνος γενομένη ἀνάδυσις, πολὺ καὶ τῶν ἄλλων στασιαστῶν πλῆθος εὑρεθῆναι κατὰ τοὺς ὑπονόμους ἐποίησεν, ὡς ἐντεῦθεν καὶ τὰ τοῦ ναοῦ ἀνορυχθῆναι θεμέλια. οὐ μόνον δὲ τοῖς ἐν Ἱεροσολύμοις Ἰουδαίοις ἐπῆκτο κίνδυνος, ἀλλὰ καὶ τοῖς ἐν ταῖς ἄλλαις πόλεσι. πάντα δὲ διηγήσασθαι δύσεργον· τὰ δ' ἐπ' Ἀντιοχείας τοῖς ἐκεῖ νεωστὶ Ἰουδαίοις συμβεβηκότα, διηγητέον. πολὺ μὲν γὰρ ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὸ Ἰουδαίων ἔθνος κατέσπαρται, πολλάκις αἰχμαλωτισθέν, οἱ ὅθεν ἐσκόρπισται, καὶ σκεδασθὲν πανταχοῦ· πλεῖστον δὲ τῇ Συρίᾳ ἐγκαταμέμικται κατὰ τὴν γειτνίασιν, μᾶλλον ἢ τῶν ἄλλων ταύτης πόλεων Ἀντιοχείᾳ κατοίκους Ἰουδαίους ἐκέκτητο, διά τε τὸ τῆς πόλεως μέγεθος, καὶ ὅτι τὴν ἄδειαν τὴν κατοίκησιν ἐν αὐτῇ παρέσχον αὐτοῖς οἱ μετ' Ἀντίοχον βασιλεῖς. ὁ μὲν γὰρ Ἐπιφανὴς Ἀντίοχος τά τε Ἱεροσόλυμα ἐξεπόρθησε, καὶ τὸν ναὸν ἐσύλησεν· οἱ δὲ μετ' αὐτὸν βασιλεύσαντες ἐπ' ἴσης τοῖς Ἕλλησι μετέχειν τῆς πόλεως αὐτοῖς συνεχώρησαν. διὸ καὶ ἐς πλῆθος ἐπέδωκαν πολύ, πλῆθος Ἑλλήνων προσαγόμενοι τῇ θρησκείᾳ. καθ' ὃν δὲ καιρὸν ὁ τῶν Ἱεροσολύμων πόλεμος ἐξερράγη, καὶ εἰς τὴν Συρίαν κατέπλευσεν Οὐεσπασιανός, τὸ δὲ μῖσος κατὰ τοῦ ἔθνους παρὰ πᾶσιν ἤκμαζε, τότε δή τις Ἰουδαῖος Ἀντίοχος, υἱὸς τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων τοῦ πρώτου, εἰς τὸν δῆμον τῶν Ἀντιοχέων παρελθών, κατηγόρει μὲν τοῦ πατρός, κατηγόρει δὲ καὶ τῶν λοιπῶν Ἰουδαίων, ὅτι καταπρῆσαι τὴν πόλιν ἅπασαν ἐβουλεύσαντο, καὶ παρεδίδου ξένους Ἰουδαίους τινὰς ὡς τοῦ βουλεύματος κοινωνούς. τὸ δὲ τῶν Ἀντιοχέων δημοτικὸν τοὺς μὲν παραδοθέντας αὐτίκα κατέκαυσαν, κατὰ δὲ τῶν αὐτόθι Ἰουδαίων ὥρμησαν τιμωρησόμενοι. ὁ δὲ τῶν ὁμοφύλων κατήγορος Ἀντίοχος, ἐκκλίνας τὸ πάτριον λήξειν θρησκείας, ἔθυεν ὡς νόμος τοῖς Ἕλλησι, προσῄει δὲ καὶ τοὺς ἄλλους ποιεῖν ὁμοίως βιάζεσθαι. ἔσεσθαι γὰρ φανεροὺς τοὺς ἐπιβουλεύσαντας, εἰ μὴ τὴν σφετέραν θρησκείαν ἀπόμνυνται. χρωμένων δὲ τῇ πείρᾳ τῶν Ἀντιοχέων, ὀλίγοι μὲν ὑπεῖκον, οἱ δὲ μὴ θελήσαντες ἀναιρούμενοι διεφθάρησαν. ὁ δ' ἡγεμὼν Ἀντίοχος καὶ στρατιώτας παρὰ τοῦ Ῥωμαίων ἡγεμόνος λαβών, χαλεπὸς ἦν τοῖς ὁμοφύλοις, ἀργεῖν τὴν ἑβδόμην οὐκ ἐπιτρέπων, ὥστε τῇ ἀνάγκῃ ἰσχυράν, ὡς μὴ μόνον ἐπ' Ἀντιοχείας τὴν τῶν σαββάτων ἀργίαν καταλυθῆναι, ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἐπί τινα χρόνον ὁμοίως κρατῆσαι. οὐ ταύτῃ δὲ μόνη τοῖς ἐν Ἀντιοχείᾳ συμβέβηκεν Ἰουδαίοις, ἀλλὰ καὶ δευτέρα προσγενομένη συμφορά. συνέβη γὰρ καταπρησθῆναι τῆς τε πόλεως τετράγωνον ἀγοράν, ἀρχεῖά τε καὶ γραμματοφυλάκια. ὁ δ' ὁρμώμενος Ἀντίοχος τοῖς Ἰουδαίοις προσῆπτε τὸν ἐμπρησμόν, καὶ τοὺς Ἀντιοχεῖς ὑπόπτους

citui præfecerat) accersitus, Simonem, audito eius nomine, in uincula coniectum, Titi iussu ad triumphum asseruauit: in quo, laqueo enectus est, per id forum tractus, ubi de maleficis supplicium sumitur. Hic fuit exitus Simonis Gioræ. Ioannes uerò, altera Iudæorum furia, ad perpetuum carcerem est damnatus. captiuorum multitudo partim ad Aegyptia metalla missa est, partim in spectaculis urbium intersecta, seu cum feris, seu inter sese dimicando. Simonis ex terra emersio in causa fuit, ut cæterorum etiam seditiosorum magna turba in meatibus inueniretur. Vnde etiam templi fundamenta sunt suffossa. Neque uerò Hierosolymitani duntaxat Iudæi discrimina subierunt, sed aliarum quoque urbium incolæ: quæ difficile fuerit recensere omnia, unum tamen exponendū est, quomodo cum Antiochenis Iudæis actum fuerit. Nam multum Iudaicæ gentis per totum orbem terrarum est dispersum: sæpè capta est, & ubique dissipata, ut iam exposuimus: maxima tamen pars Syriæ propter uiciniatem est immista: & Antiochia cùm ob urbis amplitudinem, tum propter liberam ibi habitandi facultatem, ab Antiochi successoribus impetratam, plures Iudæos inquilinos habuit, quam aliæ ciuitates. Nam Antiochus Epiphanes Hierosolyma uastauit, & templū spoliauit. Qui autem secuti sunt reges, eis concesserunt, ut ex æquo cum Græcis participes urbis essent. Itaque in magnam multitudinem excreuerunt, multis subinde Græcis ad suam religionē perductis. Cæterùm quo tempore bellum Hierosolymitanū erupit, & Vespasianus in Syria appulit, omnibus Iudæorum odio flagrantibus: tunc Iudæus quidam Antiochus, Iudæorum Antiochenorum principis filius, in concionem Antiochenorum progressus, & patrem & cæteros Iudæos accusauit, eos de incendenda tota urbe deliberasse: & peregrinos quosdam Iudæos, ut eius consilij conscios, tradidit. Plebs Antiochena traditos Iudæos statim exussis, ad indigenas quoque Iudæos puniendos concitata. Sed Antiochus popularium suorum accusator, se patriam religionem reliquisse professus, more Græco immolauit: & populum hortatus est, ut cæteros etiam idem facere cogeret. Nam ita insidiatores deprehensum iri, si religionem suam eierare nollent. Eius rei cum Antiocheni periculum fecissent, pauci cesserunt: qui Græcum ritum repudiarunt, interfecti sunt. Idem Antiochus militibus etiam à Romano præside acceptis, sæuum se popularibus suis præbuit, ocium diei septimi eos agere non passus: eoque necessitatis redegit, ut sabbati ignauia non Antiochiæ duntaxat, sed in alijs quoque urbibus ad tempus abrogaretur. Neque uerò hæc duntaxat Antiochenis Iudæis acciderunt, sed & alia calamitas accessit. Accidit, ut quadratum urbis forum, prætoria & tablina cremarentur: cuius incendij idem Antiochus Iudæos criminabatur: & Antiochenos iam ante malè suspican-

Captiui Iudæi ut tractati sint.

Antiochenorum Iudæorū strages.

Antiochus Iudæus, Iudæorū hostis.

tes, contra eos concitauit, ut furiosorum instar omnes contra accusatos ruerent, & ægre à quibusdam reprimerentur, suadentibus, ut causam eam Tito disceptandam reseruarent. Interea quidam re diligenter inquisita, gentem Iudaicam insontem repererunt: & rius facinoris autores esse homines improbos ob æris alieni necessitatem, ratos, si curias & publica tablina incendissent, fore neminem à quo appellarentur. Interea Titum Antiochiam proficiscentem, populus Antiochenus obuiam egressus, lætis ominibus excipit, missis precibus de Iudæis urbe pellendis. Is uero tum ea uerba placidè dissimulans præteribat. Deinde rursus Antiochenis idem acriter flagitantibus: At, inquit, patria eorum, quò reuertendum illis esset, euersa est, neque ullus locus est quò recipiantur. Hac postulatione frustrati, ad aliam conuertuntur, petentes ut æreæ tabulæ, quibus iura Iudaica inscripta erant, tollerentur. Sed ne id quidem Titus concessit, Iudæos Antiochenos omnia quæ prius habuerant, tenere passus. Inde Alexandriam profecturus, cum Hierosolyma præteriret, miseratus est urbis excidium, & defectionis autores detestatus, ut excidij quoque urbis antiquæ & felicis autores, in cuius ruinis etiam partes ingentis opulentiæ reperiebantur: Romanis multa effodientibus, captiuis plura demonstrantibus, quæ possessores ob incertos belli casus terræ mandarant. Titus ex Aegypto & Alexandria in Italiam nauigaturus, captiuorum duces Ioannem & Simonem, atque alios septingentos uiros proceritate & elegantia corporum præstantes, statim in Italiam duci iussit, ad explendam triumphi pompam. Tito Romam reuerso, Lucius Bassus prætor in Iudæam missus, castello Herodio deditione capto, omnes eius prouinciæ copias contra Machæruntem castellum munitissimum parat. Est enim in petroso tumulo situm, mœnibus obseptū, itaq; à natura paratum, ut nec accessus in id pateat, profundis uallibus tanquam fossis cinctum. Neque uerò munitione duntaxat, sed & ob regiam, magnitudine & elegantia conclauium insignem, admirandum fuit, & multas cisternas idoneis locis ad pluuiam aquam excipiendam habuit. In regia quoq; ruta fuit miræ magnitudinis, nulla ficu uel altitudine uel crassitudine inferior, quæ ab Herodis durasse temporibus ferebatur: & longissimo forsan tempore mansisset, nisi à Iudæis, qui locum illum occuparant, excisa fuisset. In castelli ualle septentrionali Baar locus est, qui radicem gignit eiusdem nominis, colore flammeo q; uesperi iubar quoddam eiaculentem, sed captu difficilimam. Refugit enim: neque prius consistit, quàm urinam mulieris, aut sanguinem menstruum affuderis. ac tum eam attingentibus indubia mors

L. Bassus Iudææ prætor.

Herodij castelli deditio.

Macheruntis expugnatio.

Ruta Macheruntia.

Baar radix.

πόθους ἔχοντας ὅλη αὐτούς, ἀκρίτως κατ' αὐτῶν, καὶ ὥσπερ ἐμμανεῖς πρὸς τοὺς διαβεβλημένους ἅπαντες ὥρμηντο. μόλις δ' αὐτοὺς κατεῖχόν τινες, συμβουλεύσαντες, Τίτῳ τὴν ὑπόθεσιν ἀνενεγκεῖν. ἐν τῷ μέσῳ δέ τινες ποιούμενοι ἐπιμελῆ τοῦ πράγματος ζήτησιν, εὗρον τὸ μὲν τῶν Ἰουδαίων γένος ἀναίτιον, πονηροὺς δ' ἀνθρώπους τὸ ἔργον τολμήσαντας διὰ χρεῶν ἀνάγκας οἰηθέντας, ἂν τὴν ἀγορὰν καὶ τὰ δημόσια γραμματεῖα ἐμπρήσωσιν, ἕξειν ἀπαλλαγὴν τῆς εἰσπράξεως. ἐν τούτοις δὲ καὶ ὁ Τίτος ἀφικνεῖται εἰς Ἀντιόχειαν, καὶ ὁ τῶν Ἀντιοχέων δῆμος προϋπήντα αὐτῷ, καὶ εὐφήμει· ταῖς δ' εὐφημίαις συνῆπτε καὶ δέησιν, ἐκβαλεῖν ἀξιοῦσαι τοὺς Ἰουδαίους τῆς πόλεως. ὁ δὲ τότε τῶν λεγομένων ἡσυχῇ κατακούων, παρῄει. ὕστερον δ' αὖθις σφόδρα λιπαρῶς ἐγκειμένων τῶν Ἀντιοχέων, ἐξελαθῆναι τοὺς Ἰουδαίους τῆς πόλεως, ἀλλ' ἥ γε πατρὶς αὐτῶν, ἔφη, εἰς ἣν ἀναχωρεῖν αὐτοὺς ἐχρῆν, ἀνῄρηται, καὶ δέξαιτ' ἂν αὐτοὺς οὐδεὶς ἔτι τόπος. ἀποτυχόντες οὖν τῆς αἰτήσεως ταύτης, ἐπὶ δευτέραν ἐτράποντο, καὶ τὰς χαλκᾶς ἀξιοῦν δέλτους ἀναιρεθῆναι, αἷς τὰ δίκαια τῶν Ἰουδαίων ἐγγέγραπτο. ἀλλ' οὐδὲ πρὸς τοῦτο Τίτος ἐπένευσε. πάντα δὲ τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ἀφῆκεν, ὡς πρότερον εἶχον αὐτά. αὐτὸς δὲ εἰς Ἀλεξάνδρειαν ἀπιών, καὶ κατὰ τὴν πορείαν τὰ Ἱεροσόλυμα θεασάμενος, ᾤκτειρε τὸν τῆς πόλεως ὄλεθρον, ἐπαρώμενος τοῖς αἰτίοις τῆς ἀποστάσεως, ὡς αἰτίοις τῆς τῆς πόλεως ἁλώσεως, πόλεως ἀρχαίας τε καὶ εὐδαίμονος. εὑρίσκοντο δ' ἔτι κἀν τοῖς ἐρειπίοις αὐτοῖς μέρη τοῦ βαθυτάτου πλούτου αὐτῆς. πολλὰ μὲν γὰρ οἱ Ῥωμαῖοι ἀνέσκαπτον, τὰ πλείω δὲ οἱ αἰχμάλωτοι ὑπεδείκνυον, ἅπερ οἱ κεκτημένοι πρὸς τὰς ἀδήλους τοῦ πολέμου ῥοπὰς κατὰ γῆς ἐθησαύριζον. Τίτος δ' ἐπ' Αἴγυπτον πορευθείς, καὶ καταντήσας εἰς Ἀλεξάνδρειαν, κἀκεῖθεν πλεῖν ἐπὶ τὴν Ἰταλίαν μέλλων, τῶν αἰχμαλώτων τοὺς ἡγεμόνας Ἰωάννην καὶ Σίμωνα, καὶ ἄλλους ἄνδρας ἑπτακοσίους μεγέθει τε καὶ κάλλει σώματος διαπρέποντας, εἰς τὴν Ἰταλίαν αὐτίκα μάλα ἐκέλευσεν ἄγεσθαι, ἵν' ἐν τῷ θριάμβῳ πληρώσωσι τὴν πομπήν. μετὰ δὲ τὴν εἰς Ῥώμην τοῦ Τίτου ἄφιξιν πεμφθεὶς στρατηγὸς εἰς Ἰουδαίαν Λούκιος Βάσσος, τὸ μὲν ἐν Ἡρωδείῳ φρούριον μετὰ τῶν κατεχόντων αὐτὸ παρεστήσατο. ἔπειτα πᾶν ὅσον ἦν ἐκεῖ στρατιωτικὸν συναγαγὼν, ἐπὶ Μαχαιροῦντα ἐστράτευσε. ἦν δὲ τὸ φρούριον τοῦτο λίαν δυσάλωτον, πετρώδης ὢν ὄχθος τετειχισμένος· οὕτω δ' ὑπὸ τῆς φύσεως κατεσκεύαστο, ὡς μηδὲ προσιτὸς εἶναι. φάραγξι γὰρ πάντοθεν βαθείαις ἐπεπέφρακτο· οὕτω δ' ὀχυρότατος ἦν, καὶ βασίλειον εἶχεν ἐν αὐτῷ μεγέθει τε καὶ κάλλει τῶν οἰκήσεων θαυμαστόν, πολλὰς δὲ καὶ δεξαμενὰς εἰς ὑποδοχὴν ὕδατος ἐν τοῖς ἐπιτηδειοτάτοις τῶν τόπων κατεσκεύαστο. πρὸς δὲ τοῖς ἄλλοις, ἐν τοῖς βασιλείοις καὶ πήγανον ἦν, ἄξιον διὰ μέγεθος θαύματος· συκῆς γὰρ οὐδεμιᾶς ὕψους καὶ πάχους ἐλείπετο, λόγος δ' ἦν ἐκ τῶν Ἡρώδου χρόνων αὐτὸ διαρκέσαι, καὶ ἐπὶ πλεῖστον ἴσως ἔμεινεν ἄν, εἰ μὴ ὑπὸ τῶν παραλαβόντων τὸν τόπον Ἰουδαίων ἐξεκόπη. ἐν δὲ τῇ κατὰ τὴν ἄρκτον τοῦ φρουρίου φάραγγι, ὀνομάζεταί τις τόπος Βαάρ, καὶ φύει ῥίζαν ὁμωνύμως καλουμένην αὐτῷ. αὕτη φλογὶ μὲν ἔοικε τὴν χροιάν, περὶ δὲ τὰς ἑσπέρας σέλας ἀπαστράπτει· τοῖς δὲ βουλομένοις λαβεῖν αὐτὴν οὐκ ἔστιν εὐχερὴς, ἀλλ' ὑποφεύγει, καὶ οὐ πρότερον ἵσταται, πρὶν ἄν τις οὖρον γυναικὸς ἢ τὸ αἷμα τὸ ἔμμηνον καταχέῃ αὐτῆς, καὶ τότε δὲ τοῖς ἐφαψαμένοις θάνατος

θάνατος ἐστὶ τοῦ φανῆς, εἰ μὴ τύχῃ τις αὐτὴν ἐκείνην ἐπιφερόμενος τὴν ῥίζαν ἀπηρτημένην ἐκ τῆς χειρός. ἁλίσκεται δὲ καὶ καθ᾽ ἕτερον τρόπον ἀκινδύνως. ἐν κύκλῳ γὰρ αὐτὴν περιορύσσουσιν, ὡς εἶναι τὸ κρυπτόμενον τῆς ῥίζης βραχύτατον, εἶτ᾽ ἐξ αὐτῆς ἀναδοῦσι κύνα, κἀκείνου τῷ δήσαντι συνακολουθεῖν ὁρμήσαντος, ἡ μὲν ἀνασπᾶται ῥᾳδίως· θνήσκει δ᾽ εὐθὺς ὁ κύων, φόβος δ᾽ οὐδεὶς τοῖς μετὰ ταῦτα λαμβάνουσιν. ἔστι δὲ διὰ μίαν ἰσχὺν περισπούδαστος. τὰ γὰρ καλούμενα δαιμόνια ἐκεῖ ποιεῖν ἀσθενούμενα, αὐτὰ ταχέως ἐξελαύνει, κἂν μόνον τοῖς νοσοῦσι προσενεχθῇ. τοῦτο τὸ φρούριον ὁ Βάσσος παραστήσασθαι θέλων, τὴν πρὸς ἀνατολὰς αὐτοῦ φάραγγα χῶσαι ἐπεχείρει. οἱ δ᾽ ἐναπειλημμένοι τῶν ἰουδαίων, χωρὶς ἀπὸ τῶν ξένων διακριθέντες, ἐκείνους μὲν ἠνάγκασαν, ἐν τῇ κάτω πόλει παραμένειν, τὸ δ᾽ ἄνω φρούριον εἶχον αὐτοί. ἐποιοῦντο μέν τε τὰς ἐξόδους προθύμως ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς τυχοῦσι συμπλεκόμενοι, πολλοὶ μὲν ἔθνησκον, πολλοὺς δὲ τῶν ῥωμαίων ἀνῄρουν, πονοῦντας ἐπὶ τοῖς χώμασιν. ἐκ δέ τινος συντυχίας ὁ τοῦ φρουρίου παράδοσις γέγονε, καὶ τῶν χωμάτων χωρίς. νεανίας τις ἦν ἐν τοῖς πολιορκουμένοις, τόλμῃ θρασὺς, καὶ κατὰ χεῖρα δραστήριος, ἐλεάζαρ καλούμενος, ὃς ἐξηγεῖτο καὶ κωλύειν τὴν χῶσιν παρακαλῶν τοὺς πολλούς, ἐν ταῖς μάχαις ὑπερφανέστατος γέγονε, πολλὰ τοὺς ῥωμαίους διαθείς. καί ποτε τῆς μάχης διακριθείσης, αὐτὸς μένας ἔξω τῶν πυλῶν, τοῖς ἐπὶ τοῦ τείχους ὡμίλει. ῥοῦφος δέ τις τοῦ ῥωμαϊκοῦ στρατοπέδου, τὸ γένος αἰγύπτιος, ἐξαίφνης ἐπιδραμὼν, σὺν ὅπλοις αὐτοῖς τὸν ἐλεάζαρ ἀράμενος, φθάνει μετατεθεὶς εἰς τὸ ῥωμαίων στρατόπεδον. τοῦ δὲ στρατηγοῦ γυμνωθῆναι κελεύσαντος αὐτὸν, καὶ μαστίζεσθαι, βλεπόντων τῶν ἐκ τῆς πόλεως, ἀθρόως ἡ πόλις ἀνῴμωξε. ἔπειτα κατὰ τῶν πολεμίων ὁ Βάσσος στρατήγημα ἐποιήσατο, καὶ σταυρὸν προσέταξε καταπήγνυσθαι, ὡς αὐτίκα κρεμάσων τὸν ἐλεάζαρον. οἱ δ᾽ ἐπὶ τοῦ φρουρίου ὁρῶντες, ὠδύροντο μᾶλλον, καὶ ἀνῴμωζον διολύγιον. καὶ ὁ ἐλεάζαρ ἱκέτευε σφᾶς, μήτ᾽ αὐτὸν περιιδεῖν οὕτω θνήσκοντα, καὶ ἑαυτοῖς τὴν σωτηρίαν προμηθεύεσθαι, εἴξασι τῇ ῥωμαίων ἰσχύϊ καὶ τύχῃ. οἱ δὲ καὶ πρὸς τοὺς ἐκείνου κατακλώμενοι λόγους, καὶ πολλῶν ἔνδον ὑπὲρ αὐτοῦ δεομένων (ἦν γὰρ ἐκ μεγάλης καὶ σφόδρα πολυανθρώπου συγγενείας) εἰς οἶκτον ἐνέδωκαν. καὶ στείλαντες, τὴν τοῦ φρουρίου παράδοσιν ἐπηγγέλλοντο, ἵνα ἀδεῶς ἀπαλλάττωνται, τὸν ἐλεάζαρ λαβόντες. δεξαμένου δὲ τοῦ στρατηγοῦ ταῦτα, οἱ ἐν τῇ κάτω πόλει τὴν γενομένην ἰδίᾳ τοῖς ἰουδαίοις πυθόμενοι σύμβασιν, ἐκδρᾶναι νύκτωρ αὐτοὶ ἐβουλεύσαντο. καὶ τὰς πύλας αὐτῶν ἀνοιξάντων, παρὰ τῶν τὴν ὁμολογίαν πεποιημένων πρὸς τὸν Βάσσον ἧκε μήνυσις. οἱ μὲν οὖν τῶν ἐξιόντων ἐρρωμενέστατοι ἔφθασαν διαπεσεῖν, τῶν δ᾽ ἔνδον καταληφθέντων ἀνδρῶν μὲν ἀνῃρέθησαν ὑπὲρ χιλίους ἑπτακοσίους, γύναια δὲ καὶ παῖδας ἠνδραποδίσθησαν. τὰς δὲ πρὸς τοὺς παραδόντας τὸ φρούριον ὁμολογίας φυλάσσων ὁ Βάσσος, αὐτούς τε ἀφῆκε, καὶ τὸν ἐλεάζαρ ἀπέδωκε. ταῦτα διαπραξάμενος, ἠπείγετο ἐπὶ τὸν λεγόμενον ἰαρδὴν δρυμόν, πολλοὶ γὰρ πρὸς αὐτὸν ἦσαν τῶν κατὰ τὰς πολιορκίας πρότερον ἀποδράντων. ἐλθὼν οὖν ἐπὶ τὸν τόπον, κυκλοῦται αὐτὸν τοῖς ἱππεῦσιν ἅπασι, τοὺς δὲ πεζοὺς δενδροτομεῖν τὴν ὕλην ἐκέλευσεν. οἱ δ᾽ ἐκεῖ περιφυγόντες ἰουδαῖοι ἀθρόοι μετὰ βοῆς ἐξᾴξαντες, ἐνέπεσον τοῖς κυκλωσαμένοις αὐτούς. ὡς δὲ καρτερῶς αὐτοὺς ἐκεῖνοι ἐδέχοντο,

mors imminet, nisi quis eam radicem de manu suspensam abstulerit. Capitur etiam alia ratione citra periculum. Nam undique eam circum fodiunt, ut eius quàm minimum terra tegatur. Deinde canem ei alligant: qui eum dominum suum comitari cupit, illa facilimè euulsa, statim moritur: accipientibus uerò eam pòst, nihil est periculi. Expetitur autem ob unam uirtutem. Nam quæ dæmonia uocantur, & quosdam intrans, si modò ægrotantibus admoueatur, facilè expellit. Id castellum Bassus subigere cupiens, uallem orientalem aggesta terra explere instituit. Iudæi obsessi, à peregrinis separati, illos in urbe inferiore manere coegerunt: superius castellum ipsi tenuerũt, ac nihilo secius quotidianas eruptiones fecerunt, & eum obuijs cõgressi sunt. nec ipsorum duntaxat multi perierunt, sed & Romanos multos in aggeribus laborantes occiderunt. Casu tamẽ quodam factum est, ut castellum sine aggeribus dederetur. Inter obsessos adolescens fuit Eleazarus, animo confidens, & manu strenuus, qui populum ad eruptiones & aggerem prohibendum hortari solitus, in prælijs illustrissimus euaserat, Romanisque multas clades intulerat. Aliquãdo autem cum prælio dirempto extra portas cum ijs qui in muro erant colloqueretur: Rufus quidã Romanus miles, genere Aegyptius, subitò accurrit, & Eleazarum cum ipsis armis sublatum, celeriter in castra Romanorum transfert. Quem cum dux nudari, & in cõspectu ciuium flagris cædi iussisset, uniuersa ciuitas ingemuit. Ea se Bassus opportunè contra hostes usus, crucem defigi iussit, quasi Eleazarum statim in eam uellet tollere. Quo conspecto, ij qui in castello erant, magis doluerunt, maximis suspirijs editis. Eleazarus quoque eos rogauit, ne se ita mori finerent, & suæ ipsorum salutis memores, Romanorum uiribus & fortunæ cederent: illi & Eleazari uerbis fracti, & multorum pro eo deprecantium precibus (erat enim ex magna & populosa familia) adducti, ad commiserationẽ deflexerunt: missisque legatis castelli deditionẽ promiserunt, si accepto Eleazaro saluis discedere liceret. Quam conditionem ubi dux acceperat, qui inferiorem urbem tenebant, audita Iudæorum priuata pactione, fugã noctu capessere statuerunt: & cum portas aperuissent, ab ijs qui cum Basso pepigerãt, proditi sunt. ac fortissimi quique euaserunt, intus uerò deprehensi ad mille DCC sunt occisi, mulieres & pueri sub corona uenierũt. Dediticiјs uerò Bassus fidem seruauit, ipsis dimissis, et Eleazaro reddito. His cõfectis, ad Iardiũ saltũ ꝑperauit, quò multi ex priorib. obsidionib. elapsi se cõtulerant. Eum igitur locũ equitib. undique circumdat, pedites arbores succidere iuber. Iudæi uerò qui illo confugerant, conferti cum clamore in Romanos irruerunt: à quibus cum fortiter excepti essent, non

Eleazarus deditionis Macheruntis autor.

Rufus Aegyptius.

Iardij saltus expugnatio.

non parū temporis in pugna tractū est, sed euentus eius aduersis partibus non ex æquo respondit. Nam ex Romanis duodecim ceciderunt, pauci uulnerati sunt, Iudæorū nullus euasit: & cum non infra tria millia capta essent, omnes perierunt. Bassus & Liberius Maximus procurator, á Cæsare omnem Iudæorum terram uendere iussi sunt: octingentis duntaxat emeritis Emmauntem castellum, triginta stadia Hierosolymis dissitum, incolendum tradidit.

Iudæa uendita.

Iudæorum tributum.

Et Iudæos ubicunque degentes, quotannis binas quenque drachmas in Capitolium inferre iussit, quemadmodum prius in templum Hierosolymitanum conferre consueuissent. Basso defuncto, Flauius Sylua prouincia suscepta, Masadam castellum, solum adhuc ex ijs quæ defecerant, reliquum, obsidere instituit.

Masadæ castelli expugnatio.

Tenebatur autem á sicarijs, quibus uir potens præerat Eleazarus, ex Iudæ posteritate, qui sub Cyrenio multis persuaserat, ne descriptionibus parerent: ac regione statim potitus, ipsum castellum muro circundedit, ad fugam intercludendam. Deinde ad oppugnationem conuersus, & quã poterat aggere excitato (castellum enim in alto saxo erat extructum, uallibus infinitæ profunditatis coronatum) machinis adductis muri partem perfregit: sed alium sicarij intus extruxerant, qui ictibus arietum cessurus non esset. constabat enim ex lignis duplici serie inter se connexis, in quorum medium terram ingerebant. Quem cum machinarum ictus non modò non perrumperent, sed ex concussione, illa desidente materia, firmiorem redderent: Sylua milites hortatus est, ut crebras faces ardentes iacularentur. Tum murus ligneus igne concepto, magnam flammam edidit, quam Boreas spirans principio supernè ad Romanos deuoluebat, adeò ut machinas propemodum incenderet. Deinde uehemens Auster contrà exortus, eandem ad murum reiecit. Quo penitus consumpto, cum Romani postridie hostes aggressuri essent, Eleazarus militibus suis persuasit, ut quisque uxoribus & liberis suis interfectis, ipsi quoque sibi manus afferret. Eo consilio probato, simul uxores salutarunt, & liberos amplexi sunt, osculis eorum cum fletu inhærentes, simul charissimos suos suis manibus tanquam alieni peremerunt. Deinde opes uniuersas congestas in ignem coniecerunt, & decem uiris sorte delectis á quibus omnes mactarentur, quisque suis per charissimis suis occubuit. Deinde unus cui id sorte euenerat, nouem socijs interfectis, lustratis quē angulis omnibus, ne quis fortè uiuus relictus esset: ut intellexit omnes occisos esse, regiam incendit: & adacto per totum corpus ense, prope suos occidit. Quamuis autem putaret, neminem uiuentem relictum esse: tamen anus quædam, & meretricula, & quinque pueri in cauernis abditi, eos latuerant. Interfectorum cum mulierib. & pueris fuere CCLX. Ro-

χρόνος μὲν οὐ βραχὺς τῇ μάχῃ ἐτρίβη, τέλος δὲ αὐτῇ οὐχ ὅμοιον τοῖς ἐναντίοις ἀπέβη μέρεσι. ῥωμαίων μὲν γὰρ ἔπεσον δώδεκα, ὀλίγοι δὲ ἐτραύθησαν. τῶν δὲ ἰουδαίων ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν ἁλόντες δὲ καὶ τρισχιλίων οὐχ ἧττους, πάντες ἀπέθανον. βάσσος μέντοι, καὶ λιβέριος μάξιμος, ὃς ἦν ἐπίτροπος, πᾶσαν τὴν γῆν ἀποδόσθαι τῶν ἰουδαίων παρὰ καίσαρος ἐκελεύσθησαν· ὀκτακοσίοις δὲ μόνοις ἀπὸ τῆς στρατείας ἀφειμένοις χωρίον ἔδωκεν εἰς κατοίκησιν, ὃ καλεῖται μὲν ἐμμαοὺς, ἀπέχει δὲ τῶν ἱεροσολύμων σταδίους τριάκοντα. φόρον δὲ τοῖς ὁπουδήποτε οὖσιν ἰουδαίοις ἐπέταξε, δύο δραχμὰς ἕκαστον ἐτησίως εἰσφέρειν εἰς τὸ καπιτώλιον, ὥσπερ πρότερον εἰς τὸν ἐν ἱεροσολύμοις ναὸν συνετέλουν. βάσσου δὲ τελευτήσαντος, φλάβιος σίλβας διαδέχεται τὴν ἡγεμονίαν. ὃς ἐπὶ μασάδαν τὸ φρούριον ἐστράτευσε, μόνον ἔτι τῶν ἀφεστηκότων περιλειφθὲν κατεῖχον δὲ τοῦτο σικάριοι, ὧν προεστήκει δυνατὸς ἀνὴρ ἐλεάζαρ, ἀπόγονος ἰούδα, τοῦ πείσαντος πολλοὺς ἰουδαίων μὴ πείθεσθαι ταῖς ἀπογραφαῖς ἐπὶ κυρηνίου. καὶ τῆς μὲν χώρας εὐθὺς ἐκράτει, τὸ δὲ φρούριον τείχει περιεκύκλωσε, τὴν εἰς φυγὴν ἔξοδον τοῖς ἔνδον ἀποφράγνυς. εἶτα πρὸς πολιορκίαν ἐτράπετο, καὶ χῶμα χώσας ἐνθα δυνατὸν ἦν (ἐπὶ πέτρας γὰρ ὑψηλῆς τὸ φρούριον ᾠκοδόμητο, φάραγξι βάθος ἐχούσαις ἄπειρον ἐστεφανωμένης) ἐπάγαγε τὴν ἑλέπολιν, καὶ διέῤῥηξε μέρος τοῦ τείχους. ᾤφθη δὲ ἕτερον ἔνδοθεν ὑπὸ τῶν σικαρίων ἀντῳκοδομηθὲν τοιοῦτον, οἷον μηδὲ ταῖς ἐμβολαῖς εἴξειν μέλλον τῶν ἑλεπόλεων. ἐκ ξύλων γὰρ ἦν, δύο στίχους παραλλήλους ἐχόντων, ὧν μέσον συνεφόρουν τὸν χοῦν. αἱ γοῦν τῶν μηχανημάτων ἐμβολαὶ οὐ μόνον οὐ διεῤῥήγνυον αὐτὸ, ἀλλὰ καὶ στεῤῥότερον ὑπὸ σάλου συνιζάνον εἰργάζοντο· διὸ τοῖς στρατιώταις ὁ σίλβας λαμπάδας καιομένας ἀκοντίζειν ἀθρόους παρεκελεύσατο. τὸ δὲ πεποιημένον ἐκ ξύλων τοῦ πυρὸς ἀντελάβετο, καὶ φλόγα πολλὴν ἀνῆκε. τὸ μὲν οὖν πρῶτον πνέων βοῤῥᾶς ἄνωθεν, εἰς τοὺς ῥωμαίους τὴν φλόγα ἐπήλαυνε, καὶ μικροῦ τῶν μηχανημάτων ἥψατο ἄν. ἔπειτα νότος ἀντιπνεύσας πολὺς, ἐπὶ τὸ τεῖχος ταύτην προσέβαλε, καὶ ἅπαν ὅλον κατεφλέγετο. ἐπὶ τούτοις οἱ μὲν ῥωμαῖοι κατὰ τὴν ἐπιοῦσαν τοῖς πολεμίοις ἐπιχειρεῖν ἔμελλον· ἐλεάζαρ δὲ τοῖς ἐν τῷ φρουρίῳ διαλεχθεὶς, ἔπεισε πάντας, τάς τε γυναῖκας ἑαυτῶν καὶ τὰ τέκνα ἀνῃρηκότας, ἑκάστους ἐπεξελθεῖν ἕκαστον. καὶ διὰ τοῦτο δόξαντος, ὁμοῦ τε τὰς γυναῖκας ἠσπάζοντο, καὶ τὰ τέκνα προσηγκαλίζοντο, τοῖς φιλήμασιν ἐμφυόμενοι καὶ δακρύοντες, καὶ διεχειρίζοντο τὰ φίλτατα ταῖς χερσὶν, ὡς μή τι σφίσι προσήκοντα. εἶτα τὴν κτῆσιν ἅπασαν συναθροίσαντες, πῦρ ἐνέβαλλον εἰς αὐτήν. κλήρῳ δ᾽ ἑλόμενοι δέκα τοὺς ἐσομένους σφαγεῖς ἁπάντων, ὑπ᾽ αὐτῶν ἕκαστος ἐπὶ τοῖς φιλτάτοις ἐκτείνετο. εἶτ᾽ αὖθις ὁ κλήρῳ λαχὼν τοὺς ἐννέα διαχρησάμενος, καὶ κύκλῳ περιαθρήσας, μή που τις ζωὸς περιλέλειπται, ὡς ἔγνω πάντας ἀνῃρημένους, πῦρ μὲν τοῖς βασιλείοις ἐνίησιν, ὅλον δὲ τὸ ξίφος ἐλάσας δι᾽ ἑαυτοῦ, πλησίον τῶν οἰκείων κατέπεσε. καὶ οἱ μὲν ἐτεθνήκεισαν, ὑπολαβόντες μή τινα ζῶντα καταλελεῖφθαι. ἔλαθον δὲ γυνὴ πρεσβῦτις, καὶ ἑτέρα, καὶ παιδία πέντε ἐν ὑπονόμοις κατακρυφθέντα. ἦν δὲ τὸ τῆς σφαγῆς πλῆθος, σὺν γυναιξὶ καὶ παισὶ, διακόσιοι πρὸς ἑξήκοντα.

οἱ δὲ ῥωμαῖοι πρὸς βολὰς ὄρθριοι ἐπιόντες, λείποντες δ' οὐδένα τῶν πολεμίων, πολλὴν δ' ὁρῶντες ἐρημίαν, καὶ πῦρ ἀνακαιόμενον, διηπόρουν. καὶ τέλος ἀλάλαξαν, εἴ τινα τῶν ἔνδον προσκαλέσαιντο. τῆς δὲ βοῆς αἴσθησις ταῖς γυναίοις ἐγένετο, κἀκ τῶν ὑπονόμων ἀναδῦσαι, τὰ πραχθέντα τοῖς ῥωμαίοις ἐμήνυον. οἱ δ' ἠπίστουν. ὡς δὲ τῶν βασιλείων ἐπῆλθον φόνον, καὶ τοῖς ἀνῃρημένοις ἐνέτυχον, ἐθαύμαζον τὴν γενναιότητα τῶν ἀνδρῶν, καὶ τοῦ θανάτου τὴν καταφρόνησιν. τοιαύτη μὲν οὖν ἡ τῆς μασάδας ἐγένετο ἅλωσις. καὶ κατὰ τὴν ἐν αἰγύπτῳ ἀλεξάνδρειαν πολλοὺς ἀποθανεῖν ἰουδαίους συμβέβηκεν. οἱ γὰρ ἐκ τῆς στάσεως τῶν σικαρίων καταφυγόντες ἐκεῖ, πολλοὺς τῶν ὑποδεξαμένων ἔπειθον, τῆς ἐλευθερίας ἀντιποιεῖσθαι. ἀξιολόγους αὐτοῖς τῶν οὐκ ἀφανῶν ἰουδαίων ἀντιβαίνοντας, τοὺς μὲν ἔκτεινον, τοὺς δ' ἄλλους πρὸς ἀποστασίαν προσεκαλοῦντο. οἱ δὲ τῆς γερουσίας πρωτεύοντες, ἐς ἐκκλησίαν τοὺς ἰουδαίους ἀθροίσαντες, ἤλεγχον τὴν τῶν σικαρίων ἀπόνοιαν, καὶ φυλάξασθαι τὸ πλῆθος παρεκάλουν τὸν ἐξ αὐτῶν ὄλεθρον, παραδοῦναι δὲ ῥωμαίοις ἑαυτοὺς. ἔπεισαν τοίνυν τὸ πλῆθος τοῖς λεγομένοις, καὶ πρὸς τοὺς σικαρίους ᾄξαντες, συνήρπαζον αὐτούς, καὶ ἑάλωσαν μὲν παραχρῆμα ἑξακόσιοι. ὅσοι δὲ τότε διέφυγον, οὐκ εἰς μακρὰν συλληφθέντες ἐπανήχθησαν, καὶ πάσας αὐτοῖς ἐπιφέροντες βασάνους, ὅπως καίσαρα δεσπότην ὁμολογήσωσιν, οὐδεὶς ἐνέδωκεν, ἀλλὰ πάντες τὴν γνώμην ὑπὲρ τὴν ἀνάγκην ἐτήρησαν. μάλιστα δὲ ἡ τῶν παίδων ἡλικία τοὺς θεωμένους ἐξέπληξεν. οὐδὲ γὰρ ἐκείνων τις ἐξενικήθη, καίσαρα δεσπότην ἐξονομάσαι. ἥψατο δὲ καὶ τῶν περὶ κυρήνην πόλεων ἡ τῶν σικαρίων ἀπόνοια. διαπεσὼν γὰρ εἰς αὐτὴν ἰωνάθης, πονηρότατος ἄνθρωπος, τὴν τέχνην ὑφάντης, πείσας τῶν ἀπόρων οὐκ ὀλίγους προσέχειν αὐτῷ, καὶ προήγαγεν εἰς τὴν ἔρημον, σημεῖα δείξειν καὶ φάσματα ὑπισχνούμενος. οἱ δὲ τῶν ἐν κυρήνῃ ἰουδαίων πρωτεύοντες, κατύλλῳ τῷ τῆς κυρήνης ἡγεμόνι ταῦτα ἀγγέλλουσιν. ὁ δὲ στρατιώτας ἀποστείλας, συνέσχε τοὺς μετὰ ἰωνάθου. αὐτὸς δὲ ὁ ἰωνάθης τότε μὲν διέφυγε, ἐπιμελῶς δὲ ζητηθεὶς ἥλω, καὶ ἀναχθεὶς πρὸς τὸν ἡγεμόνα, ἑαυτῷ μὲν ἐμηχανᾶτο τῆς τιμωρίας διάλυσιν· τῷ κατύλλῳ δὲ ἀφορμὰς ἀδίκων κερδῶν παρεσκεύασεν. τοὺς γὰρ πλουσιωτάτους τῶν ἰουδαίων ἔλεγε, καταψευδόμενος αὐτῶν, διδασκάλους αὐτῷ τῶν δρωμένων γενέσθαι. καὶ ὁ ἡγεμὼν προθύμως ἐδέχετο τὰς διαβολάς· πρὸς δὲ τῷ πιστεύειν ῥᾳδίως, καὶ τὴν ψευδῆ κατηγορίαν τοὺς σικαρίους ἐδίδασκε, καὶ πολλοὺς κατῆπτον, ὑπ' ἐκείνου ὑποβαλλόμενοι. γίνεται μὲν οὖν τότε τὰ τῶν ἰουδαίων ἐπὶ τελευταῖον πάθη, ὑπὸ ῥωμαίων τῆς ἱερουσαλὴμ τὴν τελευταίαν ὑποστάσης ἅλωσιν. καὶ αὖθις δὲ αἰλίου τῶν ῥωμαίων κρατοῦντος ἀδριανοῦ ἐπανέστησαν ἰουδαῖοι, καὶ κατὰ ῥωμαίων ὡπλίσθησαν. ἀλλὰ καὶ τότε ἡττήθησάν τε, καὶ διετρίβησαν, πολλῶν φθαρεισῶν μυριάδων, ὡς λίαν περιλειφθῆναι βραχεῖς. περὶ ὧν ἐν τοῖς ἰδίοις τόποις ἱστορηθήσεται.

Romani cum mane impetum in castellum facerent, nec ullum hostem cernerẽt, intus autẽ tranquilla essent omnia, & ignis arderet: animi dubij, tandem clamorẽ sustulerunt, ut aliquem eliceerent. Quo clamore mulierculę é cauernis excitæ, Romanis quid actum esset exposuerunt. Neq; uerò illi crediderunt, donec regiã ingressi, uisis interfectis, generosam uirorũ indolem, & mortis contemptum sunt admirati. Ac ad hunc modum expugnata est Masada. Accidit autem ut Alexandriæ quoq; in Aegypto multi Iudæi cæderentur. Nam factio sicariorũ eò profuga, multis hospitum suorum persuaserat, ut se in libertatem assererent. Si qui uerò ex Iudæis haud ignobilibus refragarẽtur, illis occisis, cæteros ad defectionem hortabantur. Principes uerò senatus, Iudæis ad concionem uocatis, sicariorum desperationem arguebant: & populum hortabant, ut exitium ab illis imminẽs cauerent, seq; Romanis dederent. Paruit multitudo, & in sicarios impetu facto ad DC eorum comprehendit. qui uerò tum effugerãt, nõ multo post capti, reductiq; sunt: & cum omnis generis tormentis excruciarentur, à nullo extorqueri potuit, ut Cæsarem dominum agnoscerent, sed omnes animos necessitate superiores conseruarunt. In primis tamen puerorum ætas spectatores obstupefecit. Nam ne ab illorum quidem ullo exprimi potuit, ut Cæsarem dominum appellarent. Sicariorũ desperationis contagiũ etiã Cyrenẽ inuasit. Nam cum Ionathas, uir improbissimus, arte textor, eò euasisset, aliquot pauperes sibi conciliatos in desertũ eduxit, prodigia et signa editurum pollicitus. Eam rem Cyrenensium Iudæorum proceres, Catyllo præsidi nunciarunt: qui militibus missis, Ionathæ coniuratos comprehendit. ipse Ionathas tum quidem effugit, sed diligenti indagatione captus, & ad præsidem perductus, id confecit, ut ipse supplicium effugeret, & Catyllo iniquorum emolumentorum ansas præberet: ditissimos enim Iudæos eorum facinorum sibi autores extitisse falso asserebat. quas calumnias præses alacriter amplexus, præter eam credulitatẽ sicarios eandem calumniam edocebat: qui ab illo subornati, multos accusarunt. Ac Iudæorum calamitates tum hunc finem habuerunt, Hierosolymis à Romanis extremùm euersis. Post sub Aelio Adriano Imperatore rursus per seditionem arma contra Romanos cæperunt: sed tum quoq; uicti, attritiq; sunt, multis millibus interfectis, perpaucis superstitibus: id quod suo loco referetur.

Alexandrinorum Iudæorum cædes.

Cyrenẽsium Iudæorum cædes.

Iudæorum cædes sub Aelio Adriano.

PRIMI TOMI FINIS.

CASTIGATIONES ET VARIAE LECTIONES IN PRIMUM TOMUM IOANNIS ZONARAE: per Hieronymum Vuolfium

QVinq; codicibus in totius Operis interpretatione sum usus: quorum tres liberalitate magnisq; sumptibus magnifici & generosi uiri D. ANTONII FVGGERI, &c. opera uerò honesti & eruditionis amantissimi uiri Ioannis Dernschuuam, Constantinopoli sunt allati: quartum, D. IOANNIS IACOBI FVGGERI, Mecœnatis mei, Bibliotheca suppeditauit: quintum, ex Viennensi Bibliotheca clarissimus uir D. Gasper à Nydprug, Senator Regius, ultrò liberaliter communicauit, eoq; officio sanè quàm necessario multum conatus nostros iuuit. Nam absque eo si fuisset, multæ lacunæ in Zonara relinquendæ fuissent. Ex his duo duntaxat integri fuere: Constantinopolitanus, ab Antonio Cantacuzeno Byzantij emptus: & Viennensis. reliqui tres, historiam Imperatorum duntaxat habuerunt, nec eam omnes integram. Neq; ullus ex his omnibus fuit, in quo non multa & deprauata & mutilata essent: quæ ex cæteris partim expleui, partim correxi. Etsi autem in integrum omnia restituere non licuit (alicubi enim omnes noti atq; amici, ut ille queritur, me deseruerunt) tamen eam operam nauasse uideor, ut lectores aliquid meis laboribus debituri, & prætermissa boni consulturi sint, nisi iniqui esse uelint. Nam quã tæ molestiæ esse putas (ut conuersionis ærumnas taceam) Cramben non bis, sed quinquies repetitam deuorare? Apparet hoc Opus olim in magno fuisse precio, ac sæpissime descriptũ ab ijs, qui sententias autoris sequi contenti, uerba eius non curiose obseruarint, ac potius cum illo certare uoluerint paraphrasi quadam & copia elocutionis, in primo Tomo præsertim: quæ omnia annotare, & magni laboris, & superuacaneum fuisset. Quorsum enim attinet, perscribere synonyma, ut pro ὁμοθυμὸς ὁμογνώμως, ἀπέδρα pro ἀπέδρασε, & id genus alia: in quibus uel nullum discrimen est, uel adeò tenue, ut & plurimorum animaduersionem effugiat, & ab ijs qui linguarum libertatem Grammaticorũ angustis limitib. præferunt, negligatur? Atq; in hac diuersitate, uetustissimi codicis Cõstantinopolitani fidem secutus sum, nisi ubi manifesti errores ab eo recedere coegerunt. Cætera quæ aliquid momenti habere uidebantur, nec tamen apparebat quid cui præferendum esset: breuiter annotaui, ut lectori suum iudicium in legendo æquè esset integrum, ut mihi in conuertendo meum. In hoc primo tomo duo tantum codices, Constantinopolitanus & Viennensis, usui mihi fuerunt. Nam reliqui tres, historiam Iudaicam non habebant.

INSCRIPTIO CODICIS.

ἘΠΙΤΟΜῊ ἱστοριῶν συλλεγεῖσα καὶ συγγραφεῖσα παρὰ τοῦ σοφωτάτου μοναχοῦ τοῦ Ζωναρᾶ, τοῦ γεγονότος μεγάλου δρουγγαρίου τῆς βίγλας καὶ πρωτοασηκρῆτις.) Hãc inscriptionẽ habet Viennensis codex, quæ in cæteris desideratur. cuius hæc est sententia: Compendiũ historiarũ, collectũ & conscriptum à doctissimo monacho Zonara, qui magnus Biglæ Drungarius, & Protoasecretis fuit. Quod autem munus magni Drungarij Biglæ fuerit, libellus Græcus, qui ὀφφίκια τοῦ παλατίου inscribitur, etsi pollicetur, non tamen explicat, librarij fortasse culpa. est enim mutilus & deprauatus: ut & alter libellus, qui de ædificijs Constantinopolitanis disserit. quos ambos ad illustrandas recentiorum Græcorum historias græcè latineq; edere non recusassem: nisi plus offensionis ex salebris, quam gratiæ ex conuersione expectassem. Illud tantum reperi: ὅτι δροῦγγα, ἢ δροῦγγος, πρόσωπα τοσούτων τινῶν ἐστὶν ἀνθρώπων, ὧν ἄρχει ὁ δρουγγάριος. hoc est: Drungam, siue Drungum, esse certum numerum hominum, cui qui præsit, Drungarius dicatur. quantus autem sit numerus, non explicatur, siue centurio, siue tribunus, siue μυριάρχης. Barbarum est haud dubiè uocabulum. Fuisse autem amplissimæ cuiusdam præfecturæ & dignitatis appellationem, ut & Protoasecretis, nõ est dubium. Βίγλα, utrum loci nomen sit, ut ὀψίκιον, quæ apud ueteres Geographos non reperi, an uerò muneris atq; officij: affirmare non possum. Itaq; in his & alijs id genus, uerba autoris retinere malui, quàm lectorem meis coniecturis in errorem inducere. Cum hæc annotarem, commodum editus est Aelianus græcolatinus, clariss. & de studijs egregiè meriti uiri Conradi Gesneri opera: in cuius fine libellus Leonis Imperatoris est adiunctus, quo affirmatur, ὅτι οἱ νῦν δρουγγάριοι χιλίαρχοι ἐκαλοῦντο οἱ παλαιοί: hoc est, qui nunc Drungarij dicuntur, eos olim tribunos militum fuisse dictos. Item, δρουγγάριος λέγεται, ὁ μιᾶς μοίρας ἄρχων. quod uir eruditiss. Robertellius uertit: Drũgarium siue tribunum dici, qui uni particulæ, siue coborti milliariæ præsit. Illud omittendum non est, multa in hoc autore uocabula esse, ex Græcis & Latinis composita: ut πρωτασηκρῆτις, qui ab Anonymo isto autore primarius fuisse iudex affirmatur, quasi ὁ πρῶτος τῶν κριτῶν: quod mihi uerisimile non fit. quid enim syllabæ αση frustra adiectæ essent, cum πρωτοκρίτης longè melius sonaret? Semilatinum uerò esse uidetur, & pro primario Secretario, seu Cancellario (sic enim nunc appellantur) poni, quemadmodum etiam alia multa Græca ad Latinam formam detorta. ut πωγωνάτος, barbatus, πώγων barba est: sed terminatio ατος, Latinæ formationis est, non græcæ. nam πωγωνίας, ἢ εὐπώγων dicendum esset. Βίγλα uerò si loci nomen non est, neq; græcum neq; latinum uidetur, nisi pro Vigilia ponatur. ut sit δρουγγάριος βίγλας, præfectus uigiliũ: ut clarissimus uir καὶ πολυγλωττότατος D. Ioannes Vuidmestadius conijcit. Autorem porrò nostrum sub Alexio Comneno, & eius filio Caloioanne uixisse, sub annum à natiuitate Domini (ut à Functio annotatum est) circiter 1117, annis abhinc 450, satis apparet. Factum esse monachum ex mœrore amissæ coniugis, & liberorum, ea uerba subindicant, quæ in Procemio ponit, τῶν φιλτάτων στερήσεις μοι. Et in fine Romanæ historiæ quasi de exilio cõqueri uideretur his uerbis, αὐτὸς ὑπερόριος ὤν, καὶ πόῤῥω τοῦ ἄστεως ἐν νησίδι διαιτώμενος, hoc est, Dum ipse extorris & procul ab urbe in parua insula uitam ago: nisi ex codẽ Procemio, dum se εἰς ἀφυγίαν ἑαυτὸν καταψηφίσασθαι ait, clarũ esset, nõ actũ esse in exiliũ, sed ultrò è turbis Reipublicæ, cuius administrandi rationem parum probaret, secessisse. Illud etiam admonendũ, quamuis à plerisq; Zonoras per o, in penultima syllaba scribatur: omnes tamen codices quos ego uiderim, α habere in eadem: ut κυαφαρᾶς, & alia Dorica nomina.

Pag. 1. Vers. 2. ἀλλὰ τυθάζων μοι.) τυθάσαι, σκῶψαι, χλευάσαι, ἐμπαίζειν, ἀπατᾶν, χλευάζειν.

ἔσα

Ibid.16. ἴσα ψυχὴν κατακρίζουσι.) Veteres Græci nominibus pluralibus, neutrius generis, uerba singularia ferè subiungunt: quod contrà fit à Zonara.

Ibid.17. φιτακηκότων.) ab φιτάκομαι ἀορ. β. participium.

Ibid.21. πρὸς τὰ παλαιὰ νωθρείας.) νωθὴς substantiuum gignit νώθεια. νωθρὸς uerò, νωθρία, per simplex ι, ut σοφὸς σοφία. sed pauci sunt: ὀλιγοχρόνιοι.

Ibid.25. καὶ χρῆσαι λέγοντες.) Est imperatiui modi, χρῆσαι χρήσασθαι.

Ibid.48. καὶ χρήσει ἐκχρῆσαι.) Sic in utroque codice scriptum est, sed haud dubie perperàm. quare ego φύσει ἀντ reposui.

Ibid.52. ἀθικτεῖν δεῖ.) Nouum uocabulum, ἀντὶ τοῦ, παρὰ ἄλλων διδάσκεσθαι.

Ibid.54. ἵνα μὴ λέγωμεν πᾶσιν ἴσως.) Viennensis codex, ἢ ἴσως non habet.

2.2. διαφθαρέντων τὴν μνήμην.) Si obliuiosus sis natura, aut morbo, aut ætate. alioqui potius eam excitant αἱ ὑποτυπώσεις, καὶ ὑπογραφαί. Non considerarunt isti monachi, historicos non tantum prodesse, sed etiam delectare uoluisse.

Ibid.4. εἰς τὸ ἀνόνητον.) Minime uerò. nam prudentiam & eloquentiam docent, nisi sis indocilis.

Ibid.3. διηνηγορικῶν καὶ τῶν διαλέξεων.) καὶ διαλέξεων.

Ibid.7. ἢ τί τοῖς πρέσβεσιν.) ἢ τοῖς πρέσβεσι, τί ἔφη αὐτοκράτωρ ἐκεῖνος.

Ibid.10. ἐκ δ' ἐκπνευστικ.) διαμασηκῶν habet alter, utique perperàm. Quod ideo annoto, ne adolescentes codicibus semper fidant, sed in absurdis aut ineptis locis rationem in consilium adhibeant.

Ibid.14. φιλοτιμότερον.) φιλότιμον.

Ibid.19. κρατεῖν ὡς τέρας.) κρατιστέρας.

Ibid.21. μήτ' ἦθος.) μήτε τὸ ἦθος.

Ibid.27. καὶ ἰδιωτικαῖς ἐκφράσεσι.) Ordo uerborum, ut sæpe, absq; sententiæ detrimento immutatus.

Ibid.16. βραχυλογίας συντόμου κεκοσμημένους.) Hæc ipsa in Zonara quoq; non rarò desideres, cum sæpius in superuacaneis sit loquacior.

Ibid.33. ἐκπεφώνηκεν.) Contrarium τοῦ ἐκφωνεῖν. Hoc uerbum apud ueteres me legisse non memini.

Ibid.19. τινὲς ἐκ τῶν πολλῶν λογισμῶν.) Malim φαύλων, si liceret.

3.4. νίκην καὶ συγγνώμην.) A morosis & iniquis, etiã in bona causa ueniam impetrare, difficile est. Negant enim temerè id suscipiendum esse, cuius perficiendi facultatem non habeas. Nec Horatianum illud curant,

Est aliquò prodire tenus, si non datur ultrà.

Nimirum ista seueritas Aristarchorum ex inani siue arrogantia, siue perfectionis imaginatione proficiscitur: quam nullam nec in seipsis, nec in ullis rebus humanis deprehendent.

Ibid.18. εἰ δ' ὁ χαρακτὴρ τοῦ λόγου ποικίλος.) Idem & ipse à candidis lectoribus impetratum uelim. Non sicubi stylus meus asper, ieiunus & dissolutus uidebitur, cogitent, autoris uestigia mihi persequenda fuisse.

Ibid.30. ἡ ὀκτάτευχος.) ut πεντάτευχος, quinq; libros Mosaicos complectitur: sic quum tres proximi libri adduntur, Iosue, Iudicum & Ruthæ ὀκτάτευχος, ab octonario librorum numero appellatur.

Ibid.36. ἡ ὕλη τοῦ ἀσυνειδ.) πηγή.

4.58. εἰ καὶ μὴ πάντα, γοῦν εἰς βίβλον.) Progressus enim usq; ad Carthaginis & Corinthi excidium, abrupta historia, Cn. Pompeij Magni res gestas statim ordinur, historia annorum circiter 60 prætermissa.

Ibid.61. εἰ καὶ μὴ καθαρῶς.) non purè, id est omnino. Res enim ipsa, monarchia fuit: appellatio rei, Dictatura. Paulo post ait, Augustum ἀκριβῆ μοναρχίαν instituisse: hoc est, certam, ac minimè dubiam, appellatione cum re consentiente.

5.1. ἐπὶ βήματος.) pro tribunali. Βῆμα hic autor pro Curia ponere uidetur, κατὰ συνεκδοχὴν, partem pro toto. ut & in uita Michaelis Paphlagonis, & aliàs sæpius.

Ibid.34. καὶ ὡς μονάρχης οὕτως κατέσχε.) οὗτος legendum haud dubiè.

Ibid.44. καὶ ὅσον ἱκρέττει.) Lego, ἐφ' ὅσον.

6.16. εἰς ἔργον τῇ φιλοτιμίᾳ. θεὸς δὲ μὲν.) Constantinopolitanus codex hic mutilus est: & , quantum ex uerbis nonnullis colligi potest, cum Viennensi non omnino consensit. Hæc aũt sunt lacunis interpolata: φιλοτιμίας τὴν ὄντως ὀνομαζομένην θεολόγον χρυσέοιν οὕτω διήγει ... τὴν τε πατέρα καὶ υἱὸν καὶ πνεῦμα τὸ ἅγιον. ἃ ἡ δεσπότης χρυσέοιν οὕτως τὸ θεῖον πρῶτον μὲν, &c. Hinc quisq; suo arbitratu ea quæ desunt, expleat. Mihi uerò Viennensem codicem sequi uisum est, qui etsi ex abrupto ad Dei descriptionem accedere uidetur, tamen planam sententiam declarat.

Ibid.25. χυθῆ δὲ καὶ ὁδελδύσι.) χυθῆ legendum esse, ratio Grammatica docet. Nam à χέομαι fit ἐχύθην, & χυθῶ.

Ibid.39. ἐγκεκερασμένοις.) Viennensis perperàm habet (nam sententia repugnat) ἐγκεκρυμμένοις. Longè autem aliud est ἐγκεράννυσθαι, aliud ἐγκρύπτεσθαι. Ibidem pro φιλοκαπηλεῦσαι, ἐγκαταλειφθῆναι. ει pro η, uitio librarij: qui error frequens est in uerbis λαμβάνομαι & λάπομαι.

6.54. αὐτόθεν καὶ σπέρματα. ἔδει γάρ.) Constantinopolitanus codex habet: αὐτόθεν, ὡς φυτὸν αὐτὴν ἀναφανῆναι πρότερον ἄκοσμον οὖσαν τὴν γῆν, κοσμηθῆναι ταῖς πόαις, &c.

7.4. ἐφθὴ φῶς.) ταραχθῆ. Ibidem pro διατυπώσας, διατυπώματος.

Ibid.8. ταῖς τούτου παρόδοις.) ἀπολαῦσαι καὶ λῦσαι, καὶ συμβαῖνε πρόσχεται διὰ αὐτῶν τοῖς ἀδύνατα.

Ibid.10. μὴ πειρωμένους.) μὴ παρῆλθε πρότερον κατασχεθέμενος αὐτῶν, ἢ, ὡς ἂν ἄποιος. Et rursus, pro τῶν τοιούτων ἀστέρων, τῶν οὐρανίων.

Ibid.14. τῇ ὑπερβολῇ δ' αὖθις τῶν ἀμφοῖν.) Constantinopolitanus mutilus est hoc loco. Sic enim in eo legitur, τὴν δὲ τὴν ὑπερβολὴν ἀμφοῖν τὰ μὲν ὕδατα πᾶν γένος πτηνῶν προάγειν, ἡ γῆ ψυχὴν ζῶσαν, τετράποδα ζῶα τὸ θεῖον ἐξῆκτο σύμπαντα προστάγματι.

Ibid.22. ἡ γραφὴ παρέχει ποικίλας ἐκλελεγμένας.) προσαγορεύει ἐκλελεγμένας.

Ibid.24. ἡ μὲν γὰρ τῶν ἄλλων ζώων.) διὰ τὸ τῶν καὶ ζώων.

Ibid.58. ἡ πρόβατος γῆ.) pro, ἡ καθαρὰ & ἀμιγὴς, ut arbitror.

8.6. τῶν μὲν λοιπῶν μετέχων.) ἐκλαιῶν.

Ibid.10. τοῦ πρώτου.) φησί. Paulo post pro τὴν Ἐδὲμ διὰ ὧν χώραν, Viennensis codex hæc habet: τὴν ἐν Ἐδὲμ δίαιταν, καὶ ἐκλευθεὶς εἰς τὸ τεῖλαγος. γάμῳ ἡ κατὰ λέγεται ὁ δένδρος, συμβαίνει δὲ ἡ κλῆσις τῷ ἀεὶ τὰ ἀνατολὰς ἐκ δενδρῶν, ἅπλαν ὁ ἰσόστασις λέγει προσαγορεύειν σὺν ἐλλωας, ὁ δ' ὑπὸ τούτω πηγὰς δεῖν, ὅρ καὶ

διηλάδ

δηλᾶθ καλᾶθαί φησιν ὁ αὐτὸς, καὶ τὸ μετὰ στενότητος ὀξὺ ἐμφαίνεσθαι τῷ ὀνόματι. ὁ δὲ λοιπὸς εὐφράτης ἰσίν, ἤτοι φορὰ, ἢ ἄνθος, ἢ σκεδασμός. καὶ ἄμφω δὲ ὅτοι εἰς τὴν ἐρυθρὰν ἐκβάλλουσι θάλασσαν. Hoc est: Qui Indiam perfluit, atq; in mare euoluitur. Alter Geon uocatur, quod uocabulum declarat eum qui ab Oriente promanet. cum Iosephus Nilum à Græcis appellari ait. Qui sequitur Tigris est, quem & Diglathum appellari idem author affirmat: quo uocabulo acumen, siue celeritas cum angustijs significetur. Qui restat, Euphrates est. declarat autem ea uox siue impetum, siue florem, siue dissipationem. Hi ambo in Erythræum mare erumpunt.

Ibid. 23. καὶ γυναῖκα.) γύναιον.

Ibid. 28. τῷ νοητῷ δράκοντος.) Fortasse νοητικοῦ. Nam uerbalia in τὸς passionem, in ικὸς actionem significare, notum est. Nisi νοητὸς δράκων accipiatur pro dracone, hoc est diabolo, qui sub appellatione serpentis intelligitur.

Ibid. 41. ἐκφύνας τὸ σπέρμα τῶν ἀπατηθέντων.) τῷ σπέρματι. Vtrunq; rectè legitur, propter mutuum respectum. Nam & serpens semini mulieris, & semen mulieris serpenti inimicum.

Ibid. 40. καὶ τὴν φωνὴν ἀφῃρημένος.) Si nunc eadem pœna in impostores & calumniatores statueretur, quotusquisq; uel rectus incederet, uel articulatè loqueretur?

Ibid. 48. δρμαίνα αὐτοῖς πεδιβείς.) δρμαίνα τινὰ αὐτοῦ ἐν δύματι περιβέμενος. Huiusmodi synonymiæ infinitæ sunt in hoc autore, siue ex negligentia, siue ex æmulatione describentium ortæ: quas si omnes annotare uellem, nouū mihi uolumen nasceretur. Posthac igitur tale nihil annotabo, nisi operæprecium uideatur.

9. 5. ἀπογόνων, καὶ πρῶτος ὄρους ἐπήξατο.) Alter codex hoc loco mutilus, hæc duntaxat habet: ἀπογόνων. τούτῳ γεννᾶται παῖς υἱός. δι' ὃ γαϊδάδ, ἀφ' ὃ μαλελεήλ. τῷ δὲ μαθουσάλα τίκτεται λαμέχ υἱός. οὗτος, &c.

Ibid. 12. περβατέαν ἠγάπησεν.) περβατέαν νόμων ἠγάπησεν. sed aut νόμων omittendum, aut πρόβατα pro περβατέαν legendum.

Ibid. 20. τήν τε θεὸν προσαγορεῦσαι.) τουτέστι, θεὸν προσαγορεῦσαι.

Ibid. 55. διὰ τὴν ἐν τῇ δυνάμει πεποίθησιν.) Malim, ὑπὲρ τῶν.

Ibid. 52. τὴν ἐκείνων πολιτείαν.) τὴν ἐκεῖσε.

10. 8. τῶν μὴ καθαρῶν.) τὰ μὴ καθαρά.

Ibid. 8. ἀμφοῖν γενοῖν.) ἑκάστου γένους. Ibidem, & paulo pòst,

μετὰ χιλιάδα δὶ πλῶ ἔτῶν.) μετὰ χιλίους ἑξακοσίους πεντήκοντα καὶ ἓξ ἐνιαυτοὺς ὁ κατακλυσμὸς τῆς γῆς ἐπεγένετο. ἐφ' ἡμέρας, τεσσαράκοντα, λάβρου καταχεομένου τῆς γῆς ὕετοῦ, ὡς ὑπερβῆναι τὸ ὕδωρ ὑπὲρ πεντεκαίδεκα πήχεις τὰ τῶν ὀρῶν ὑψηλότερα. Hoc est: Post annos mille sexcentos, sex & quinquaginta diluuiū terram oppreßit, ingenti pluuia delata, ut quindecim cubitis aqua montes altißimos excederet. Ita Viennensis codex habet. Apparet autem, quendam in alieno opere fuisse ingeniosum, & annorum numerum suo arbitratu ad dictum illud domus Eliæ (ut uocant) corrigere uoluisse: cum autor noster aliam rationem sequatur, ut in uita Iustiniani Imperatoris apparet, ubi ait, Magnam ecclesiam Byzantinam inchoatam esse ab eo, anno mundi 6040. Nunc igitur nos ea ratione annum mundi haberemus circiter 6500: cum theologi τὴν ἐπιφάνειαν καὶ δικαιοκρισίαν τοῦ θεοῦ ante sextum millenarium expectent.

Ibid. 32. ἐκ δαμασκοῦ.) ἐκ.

Ibid. 45. ἐπὶ διὰ τὸ τῆς τροφῆς.) καὶ διὰ τὸ τῆς τροφῆς ἀπηνέστερας πρὸς πλείονα χρόνον ἔτι.

11. 1. εἰς γενεὰς παρελθόντων.) παρελθόντων.

Ibid. 6.) ἀλλ' ὁ θεὸς τοὺς τούτων βουλάς.) ὅτου δὲ μανέντας αὐτοὺς ὁρῶν ὁ θεὸς, ἑτερογλώσσους εἰργάσατο. Hoc est, Sed Deus cum furorem illorum cerneret, effecit ut diuersis linguis loquerentur. Et paulo pòst: ὁ δὲ τόπος ἐν ᾧ τὸν πύργον ᾠκοδόμουν. Locus uerò in quo turrim extruebant. Et mox pro ἄχρι ποταμοῦ.) μέχρι.

Ibid. 15.) ἐπεὶ γοῦν διεφθ.) ἐπεὶ δὲ.

Ibid. 52. μετέβαλε δὲ ἡ κλῆσις αὐτῶν.) ἡ κλῆσις τῆς χώρας.

Ibid. 55. χαναναίους οὗς ἐξ αὐτοῦ.) ἐξ αὐτοῦ.

Ibid. 61. ἣν μακεδόνες κατώνομασαν.) ἣν μακεδόνες ἀφ' ἑνὸς τῶν πτολεμαίων ἐπιφανοῦς λεγομένου, ἐπιφάνειαν μετωνόμασαν. Hoc est, cuius nomen Macedones à Ptolemæo quodam Epiphane in Epiphaniam mutarunt.

12. 36. πρὸς ἑλλήνας.) εἰς. & pòst, pro αἰχμαλωτισθέντων, αἰχμαλωτισθέντων.

14. 43. θεόκριτον εἶπον.) Hæc latinè satis commodè reddi nō possunt, siue diuinum iudicium aut iudicem, siue diuinitus iudicatum dicas. εὐμηχάνητος passiuæ significationis esse potius uidetur. Quare, arte quæsitum, uertere malui, quàm astutum, aut artificiosum. Ita etiam μακαριστὸς, beatorem (si dicere liceat) quàm beatum, potius significat. prosperum ego uerti.

15. 14. καὶ γίνεται ἡ ἄβυσσα.) καὶ ὡς ἡ ἄβυσσα γίνεται. & paulo pòst, pro ἄν ποτε, ἔμπετε.

16. 10. διὰ τὴν ξανθότητα τῆς φακῆς. σφόδρα γὰρ ἦν τὴν χροίαν τοιαύτη.) ταυτολογίαν hanc reddere non necesse habui. ξανθὸν & ἐρυθρὸν pro eodem ponit hoc loco Zonaras. quàm rectè, ipse uiderit.

16. 27. καὶ ὑπεβλέποντο.) Vel, suspectum habebant: uel odio prosequebantur. Ego, Toruè intuebantur, uerti. quæ odij nota est.

20. 43. βασάν.) Gabau.

21. 47. τῇ ἑλλήνων ἀπρίλιος.) Apud Græcos Aprilis. Falsum hoc est. ego igitur uertere non dubitaui: Latinè Aprilis. nam Græcè θαργηλιὼν appellatur, si Theodoro Gazæ credimus.

Ibid. 61. ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ κατὰ σελήνην.) Aprilis decimoquinto secundum Lunam. Ambiguum est, utrum sub ortum Lunæ, an mense Lunari.

22. 19. ὑπερστήσας.) ἐν' ὑπερστῆναι.

23. 56. εἰ μὲν ἀφίης, ἄφες.) Si remittis, remitte. hoc est, Bene est. tui arbitrij est, utrum uelis remittere, nec ne. Hoc mihi rectius uidetur, quàm quod initiò uerteram, amitte me.

24. 47. ἐν τῷ τῆς σκηνῆς αἰθρίῳ.) αἴθριον τὸ ὑπὸ τὴν αἰθρίαν, sub dio. αἰθριάζειν, ἐν εὐδίᾳ εἶναι, ἢ ἐν ἀσκεπεῖ τόπῳ τιθέναι τι, in serenitate esse, aliquid sub dio collocare. αἰθρία, εὐδία, ὅταν αἴθριος ᾖ ὁ ἀήρ. Est ergo (ut coniicio) ἐν τῷ αἰθρίῳ τῆς σκηνῆς, in ea tabernaculi parte quæ patet. uel, sub dio iuxta tabernaculum. quanquam de ueritate lectionis dubito.

25. 22. ἐπὶ τῆς γῆς τὴν ποιότητα.) qualitatem. Alter codex habet πιότητα, pinguedinem, hoc est fertilitatem.

25. 50. τὴν ἰδουμαίαν.) Hoc nomen aliàs per ου, aliàs per ο scriptum inuenio. Vtrum rectius sit, non pronuncio. nec enim statuere possum, utrum ob ἱδρὸς & ἱδρῶς, an à uerbo passiuo ἱδρῶσαι deriuetur.

28. 44. ἐκτειναθῆναι τῷ πεδίῳ.) ἐκτανθῆναι.

Ibid. 50. φαρφθᾶ.) φαργᾶ.

30.20. περὶ γυναικὸς ἐκοινώνουν.) Legendum videtur, aut γυναικὸς κοινωνεῖν: aut, περὶ γυναῖκα πόθον εἶχον.

31.59. καὶ ὁ τριετηρικὸς ἄρχων ἐξήλασε.) Magistratus ad triennium praeesse solitus. καὶ ὁ ἀρχιστρατηγὸς ἐξήλασε, rectius in Viennensi codice legitur.

32.34. χουαργαθαῖμ.) χουσαρσαθαίμ. & paulo pòst, ἀβιούδ, pro ἀιώδ.

33.6. σισάρας ὁ τοῦ ἰαβεὶμ βασιλέως.) Alter codex, βασιλέως τῶν χαναναίων.

Ibid. 50. ὡς περιφόρους.) περιφόβους, ut formidulosos.

Ibid. 53. εἰς τὸ τῶν φιλισταίων στρατόπεδον.) castra ingreditur. Alter codex, πρὸς τὸ, accedit ad castra.

41.42. μετεμελήθη.) Legendum aut μετεμελήσατο, aut μεταμεμέληται.

44.31. ἀβιμέλεχ.) Biblia ἀχιμέλεχ legunt.

Ibid. 47. πέντε πεντακοσίους.) Postea subinde ἑξακοσίων fit mentio: quare totidem hic etiam legendi videntur. quamuis Regum lib. 1, cap. 22. non plures enumerentur. Fortassis igitur post id tempus alij 200 accesserunt.

Ibid. 41. ἀγχοῦς.) Hic in Biblijs Achis dicitur.

Ibid. 58. περιεστηκὼς τότε αὐτῷ.) Ambiguum, utrum sacerdoti, an Dauidi, an Sauli. Sed ad Saulem si refertur (ut apparet) est περισσολογία Graeca. quod genus in uertendo propter aliam Latini sermonis rationem, quo antecedentia ex ijs quae sequuntur intelligi solent, rectè omittitur. Nam si ipse Doeg regi id factum nunciauit, astitisse aut accessisse illum, nemo dubitat. Sic paulo pòst, τοῖς περιεστῶσιν αὐτῷ ὁπλίταις, uerti, A satellitibus occidi iubet. Quód si quis mihi controuersiam facit, participium Astantibus non esse superuacaneum, sed habere ἐνάργειαν: concedo sané. sed illud contrà dico, à Latinis id ἐναργείας genus ob participiorum aliorum, & minus frequentem usum ferè negligi. id quod ei liquidò apparebit, qui eandem sententiã à Latino & Graeco scriptore tractatam, quae multae passim extant, contulerit. Me exempla persequi, occupationes & instituta breuitas hoc tempore non patiuntur.

46.48. ὅσα περιμεμηνύκει.) ὅσα πρός σε μεμηνύκει.

54.33. τοῦ ἰεβοσθὲ φονευθέντος.) Legendum, μεμφιβοσθὲ, autoritate Bibliorum.

55.19. πεντακοσίων χιλιάδων ἀνδρῶν.) Biblia habent πεντήκοντα. pro 500, tantùm 50.

56.41. καὶ ἄλλος δὲ λίθος ἦν τῶν τιμίων, ἐκόμισεν ἑκαστος, καὶ περιέλαμπεν ὡς οἷα διαυγής.) Haec huiusmodi [ ] notis interclusi. nec enim ad institutum pertinent.

Ibid. 28. τῇ ἀμεσσίᾳ.) ἀβεσσαὶ suprà uocauit.

60.24. τῇ δὲ βασιλείας ζυγὸν.) Rectius alter codex, δουλείας.

61.36. συγκόμισον τοῦ πλείονος.) τὰ ὀστᾶ, aut τὰ λείψανα, deesse uidetur.

63.6. σαβωρὰν.) Fortè, σαμαρὰν. nam β & μ saepe permutantur.

64.50. ἄρτον δὲ καὶ ὀλυρίτην ἀζυμίτην ἐκεῖ.) Castalio uertit panem depsititium. ὀλύρα, à lexicis. ὀλύρας, σπέρμα μέν λέων, μικρότερον τοῦ λεγομένου βίκου, καὶ τοῦ ὀρόβου.

67.40. πεντηκόνταρχον.) eum qui uiris quinquaginta imperat. Centurionem uertere ausus sum, κατ' ἀναγκαστικῶς. Maluissem semicenturionem dicere, nisi criticos timuissem.

69.55. ἀλλασσομένας στολὰς.) Vetus Bibliorum translatio habet, Decem mutatoria uestimentorum. Castalio, lautiores uestes, conuertit. quem ego autorem secutus sum.

71.57. θυγατρὸς ὄνομα τοῦ ἀχαάβ, καὶ τοὺς ἀδελφοὺς αὐτῆς ἀνεῖλε.) Graeca ita sonant, quasi Ioramus fratres suos sustulerit.

74.27. σωτηρίαν εὕρατο καὶ ἀνακωχὴν τῶν δεινῶν.) ἐξ ἀναγκαστικῶς τὸ ἀνακωχὴν adijcitur. Salutem cõsecutus est, & mali inducias: id est, periculum in praesentia euitauit. quanquã quod differebatur, non auferebatur.

79.57. καὶ τῇ ὑπὸ ῥωμαίων αὐτῇ ἁλώσει.) Legendum haud dubiè, ὑπὸ χαλδαίων, aut ἀσσυρίων, aut βαβυλωνίων.

81.56. ὁ ἀρχιμάγειρος τοῦ βαβυλωνίου.) Quid coquo cum belli administratione? Quare ex autoritate Bibliorum, ἀρχιστράτηγος legendum censeo.

82.13. τῷ δὲ προφήτῃ προσετρίβετο.) Malim, τὸν δὲ προφήτην. Etsi enim aliquot insolentiores constructiones & phrases in hoc autore reperiuntur, eae tamen haud scio an librarijs sint imputandae.

85.30. τῷ δὲ ἀμελῆσαι.) hoc est, partim negligentem. Viennensis rectius habet, ἀσθενῆσαι, imbecillem.

89.3. τὸ ἴσον τοῖς ὑπηκόοις γενέσθαι.) Verterã principió, Aequitatis erga subditos obseruationem. nam τὸ ἴσον saepe τὸ δίκαιον καὶ ἐπιεικὲς καὶ ἀδέκαστον significat. Sed quia de euersiõe regni agitur, reposui, Id subditis par fore, nullam potestatis praerogatiuam habiturum.

Ibid. 33. αἱ δὲ τῇ ἀβλαβεῖ καὶ πιπράσκουσαι.) Legendũ haud dubiè, καταπιπράσκουσι. quanquam si pro αἱ δὲ leges καὶ, oratio erit planior, hoc modo: ἐνοχλοῦσαι ἐπὶ τῇ ἀβλαβεῖ καταπιπράσκουσαι.

Ibid. 61. τόδ' ἐν μέρει εἶναι.) ἐν μέρει, aliàs per uices, uicissim, alternis significat. Sed hic aliter esse uertendum, sententia docet.

90.14. καὶ ἐξουσίαν λέγει δοθῆναι αὐτῷ.) λέγει, scilicet ὁ προφήτης αὐτῷ, τῷ θηρίῳ. Nec enim intelligendum, ὅτι τὸ θηρίον λέγει ἑαυτῷ δοθῆναι ἐξουσίαν, potestatem sibi esse datam. Nam in Daniele hoc tantùm legitur: Eiq; datum est imperium.

Ibid. 55. τὰς βίβλους τοῦ ῥωμαίου δίωνος.) Dion προυσαεὺς, & alius Dion Cassius Nicaeus legitur: nisi latinus quoque scriptor aliquis Dion fuit. aut Romanus appellatur, ob scriptam Romanorum historiam. aut fortasse legendum, τὰς βίβλους τοῦ τὴν ῥωμαϊκὴν ἱστορίαν συγγραψαμένου δίωνος: aut aliquid simile.

91.32. ποταμὸς πυρὸς εἷλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ.) εἷλκε poni uidetur ἀντὶ τοῦ εἱλεῖτο, uel ἐκύμαινε, uoluebatur, uel undabat.

92.13. τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτου.) altius surgebat posterius. Propter coactam Zonarae interpretationem uisionis istius, coactus sum uertere, τὰ ἐπ' ἐσχάτου, ad extremum.

95.28. ὄρασιν καὶ προφήτην.) pro προφητείαν.

Ibidem 57. τοῦ ἀποκριθῆναι καὶ οἰκοδομῆσαι.) Sic in LXX interpretibus legitur. sed uetus translatio habet tantùm, Ab exitu sermonis, ut iterum aedificetur Hierusalem. Castalio conuertit, Ab edito mandato de reditu, & de instauranda Hierosolyma. Sed si ἀποκριθῆναι rectè legitur, poni uidetur pro χωρισθῆναι τοὺς ἰουδαίους τῶν ἀλλοφύλων, dum Iudaei à barbaris separentur. quanquam nihil uetat, quo minus accipiatur de responso à regibus Persarum dando.

96.7. εὐθετίστου σώζων.) Malim, σωζόμενος.

97.1. ὡς περιττεύειν ἀφ' ἑκάστου ἐνιαυτοῦ ἡμέρας ἐνδεκα.) Quam rationem anni secutus sit Zonaras, ignoro. ratione nunc usitata redundarent dies amplius 15.

98.16. βδέλυγμα λογισθήσεται, ἢ ὅτι.) Aut ἀνανταπόδοτον est, aut τὸ ἢ redundat, aut alterum membrum deest.

104. 5. ἀνακηρύξαι ἐν δόξῃ.) Alter codex habet, ἐνδόξως. utrunq; commodè legi potest, si ἐνδόξως ad uerbum ἀνακηρύξαι referatur, & καλὸν per zeugma repetatur.

Ibid. 56. τοῖς γυμναστικοῖς.) Legendum, γυμνικοῖς.

107. 37. ἐμοὶ δὲ ἔφη ἄλλα ἑκατὸν.) Viennensis codex addit, δανείζειν: & est in Xenophonte, unde hæc descripta sunt.

Ibidem, 48. συμπεπεγμένοι προσιέναι.) Malim, προϊέναι.

111. 11. ἐν δίζωνοι ὅμιλον.) ἵππων. Et paulo pòst, καὶ ὡς ἄνακτι, &c. τὸ ὡς redundare uidetur.

112. 46. πάντα συμπροθυμήσεσθαι.) Malim, πάντων.

114. 56. γλῶ ὑδρίσασθαι.) αὐτὶ τοῦ ἐνδύσασθαι, aut potius ὑποδῦσαι, κατὰ μεταφοράν.

115. 7. καὶ πρῶιον τὰς τάξεις.) Malim, πρώιον: uel ὄρθιον.

Ibid. 22. τὸν ἐν ταῖς καμήλοις.) ὄρθ.

117. 19. καὶ γεγραμμένα ἔχοντα.) τὸ ἔχοντα refertur ad λεγεῶνα, ut & ἄγοντα.

119. 25. ὅτι ἐρφίνινον, ὅτι καρυκίνινον ἱμάτιον.) ὄρφινον esse colorem nigricantem, qualis sit combustæ purpuræ, doctissimus uir Ioachimus Camerarius ex Platone annotat. Philelphus in Xenophonte ferrugineum uertit. Ego, cum Latinis deesse proprium uocabulum arbitrer, Græcum retinui. Idem & in καρυκίνινοις feci, quæ quid sint, in nullis Lexicis reperire potui, consultis ijs quæ extare noui omnibus. Fieri παρὰ τὰς κάρυκας uidetur, ut φοινικίς παρὰ τὰς φοίνικας, qui colorem illorum fructuum referant, qui alio tempore alius est, εἰς τὰ τοῖς θεοῖς ἐξ αἰχμαλώτων τεμένη ποιήσεσθαι.

118. 24. προπομπήν.) Suprà fol. 118. 14. ἔτι δὲ μάγους καλέσας, ὡς ἀφανισθέντα τῆς πόλεως ἔσεσθαι, ἀκροθίνια τοῖς θεοῖς ἐκέλευσεν ἐξελεῖν. Locus paulo intricatior est. ποιήσεσθαι προπομπὴν εἰς τὰ τεμένη, est ire supplicatum ad puluinaria deorum. Sed τὰ τοῖς θεοῖς ἐξ αἰχμαλώτων τεμένη, uidentur esse fana de manubijs constructa. nisi fortè non ædificia, sed luci dijs consecrati intelligantur.

122. 55. ἐκβαίνει.) Herodotus habet, ἀποβαίνει. & sic ipse Zonaras paulo pòst.

123. 58. Βασιλεύειν καὶ αὖθις αἱρεῖσθαι.) Malim, Βασιλέα καὶ αὖθις αἱρεῖσθαι.

125. 9. μυριάδων τετρακόσιαι.) quater millies mille, sexcenties mille, uicies octies mille. Immensus hic est numerus, & fortasse falsus, ex imperitia scriptoris, atq; oscitantia, qui pro μ 40, posuit υ 400, & pro χιλιάδων, μυριάδων. Apud Iosephum quidem lib. Antiquitatum 11. tantundem legitur. Sed Esdræ lib. 3. cap. 5. ex conuersione Castalionis numerantur 40000 Israelitarum: quibus cum serui, ancillæ, cantores, psaltriæ adduntur, fiunt 49952. Vetus translatio numerat Israelitas 42340. seruos & ancillas 7337. cantores & cantatrices 265. qui faciunt 49942.

Ibid. 15. ἐκκεκρισμένοι ἀρχόντων.) Vncti magistratus. Iosephus habet ἐκκεκριμένοι, delecti.

126. 17. σὺν ἱππάρχαις.) In Iosepho est ἱππάρχους. legendū censeo, ὑπάρχους, præfectos, nō magistros equitum.

Ibid. 33. ὀνομασμένον τῷ θεῷ.) nominatum Deo, pro dedicatum. ἀφιερωμένον, καθωσιωμένον.

127. 14. ἐδάκρυσεν ἐν νεανίας.) Credo legendum, ὁ νεανίας: sicut paulo pòst Viennensis codex pro νεανίαν habet νεανίας.

128. 7. ὅτι γὰρ ἐκείνη δῆλον τὸ ἔθνος.) Legendum nominatiuo casu ἐκεῖνοι, scilicet οἱ ἰουδαῖοι.

Ibid. 29. τέσσαρας ἀργυρίου μυριάδας.) Castalio uertit, decem argenti talentorum millia.

131. 28. μετὰ τὴν περὶ αὐτοῦ ἱστορίαν.) Malim, κατὰ.

Ibid. 39. ἀρίσταρχος.) Legendum ex Plutarcho & alijs, ἀρίστανδρος.

Ibid. 58. Βουκεφάλα.) Βουκεφάλου. Est autem alterum à Βουκεφάλας, alterum à Βουκέφαλος.

133. 1. εἰς τὴν ἐν τῇ ἀσίᾳ στρατείαν.) Malim, ἐπὶ τὴν ἀσίαν. Autor noster non adeò barbarus est: sed est multis in locis deprauatus, ut me collatio codicum docuit.

134. 44. ἑλλήνων φωνῇ.) Malim, ἑλληνιστί.

Ibid. 57. ἐκτὸς εὐφράτου.) Viennensis habet, ἐντὸς: ut referatur ad Macedoniæ situm, & ad Alexandrū. Sequitur nō ita multo pòst: τὴν ἐντὸς εὐφράτου χώραν παραλαβὼν ὁ ἀλέξανδρος. Si ἐκτὸς legitur, referatur ad Darium, & Persiæ situm.

135. 28. περιμένειν καὶ ἄλλοι τινὲς.) καὶ τῶν ἑταίρων τινὲς, quidam ex amicis.

138. 8. δυσθυμήσας ἀπρόοιτος.) Rectius, ἀπρόϊτος. hoc eum qui non prodit in publicum, illud eum qui se à nemine conueniri sinit.

141. 40. τῶν δὲ λοιπῶν οἱ προγεγραμμένοι.) scilicet Seleucus, Ptolemæus, Antigonus, Antipater, Aridæus, Perdiccas. suprà fol. 90. 23.

151. 43. καὶ ὃς ἅμα σὺν δυνάμει πρὸς ἰωνάθην.) pro κατὰ ἰωνάθου.

161. 12 ἰδουμαῖος, παρ᾽ οἷς ἄγεται γυναῖκα ἐξ ἀραβίας.) Iosephus lib. 14. παρ᾽ ὧν.

162. 42. ἀνῃρέθη δὲ αὖ ὑπὸ κασσίου ὁ μάλιχος.) Iosephus lib. 14. τὰ δὲ μαλίχῳ κατηγόρους πρὸς αὐτὸν διαταξάμενον, τὰ δὲ ἄλλοις προσέταξεν εἰσπράξασθαι. Pecuniam partim Malicho, à quo insidiæ ei struebantur, partim alijs exigendam mandauit. Noster autor (si nihil deest) ex abrupto hanc clausulam nescio quo pacto inseruit, ut non intelligatur, cur Malicho iratus fuerit Cassius. Sed ex Iosepho apparet, pecuniam segnius exactam, causam fuisse iracundiæ.

Ibid. 49. μάρκος δὲ ἐν τῇ συρίᾳ στρατηγῶν.) Quis Marcus? Antonius, an Brutus, an alius? Iosephus etiam tantum prænomen hoc ponit.

163. 27. ἐν αὐτῇ γόνον ἄρτι τῶν ἄκρων.) ἄντικρυ τῶν ἄκρων.

164. 13. ὁ δὲ τῶν πάρθων βασιλεύς.) Iosephus æquè obscurus est in hac Parthica expeditione, ut uideatur λέξεις potius miscuisse, quàm rem explicasse.

Ibid. 20. Βαρζαφαρμάνης.) Iosephus, Βαρζαφάρνης.

163. 27. τῶν ἄκρων ἐπιβαίνει τῆς ἰουδαίων γῆς.) ἄκρα siue montana, siue extremos fines & limites significant.

165. 32. πεμφθεὶς ἐκ συρίας πάρθους ἀνέστρεψεν.) Ambiguum, utrum τὸ ἐκ συρίας ad τὸ πεμφθεὶς, an ad τὸ ἀνέστρεψεν referatur.

166. 61. μήτε τῆς τότε τύχης, μήτε τῆς πάλαι μεμνημένος.) Iosephus pro μεμνημένος ponit, ἔννοιαν λαβών: quod tantundem est. Sed uidetur Antigonus præsentis fortunæ rationem habuisse. Quid enim uicto relinquitur, nisi ut deditionem faciat, aut (idq; fortassis eum decuisse Iosephus censet) necem sibi consciscat?

171. 58. τὰς ἐν τολὰς ἐξεφαύλισεν.) Fortassis ἐξεφαύλισεν. Iosephus, οὐκ ἂν καταπροδοῦναι τὰς ἐντολάς.

177. 33. ἐκέλευσεν ἔφη ταῦτα συμπέσαι.) Iosephus habet, συνθῦσαι. Legendum aut συμπέσαι, aut συνθῦσαι.

179. 33. ἐν παρέπλῳ τῆς κιλικίας προσχόντες.) Iosephus ἐν παρέπλῳ μὲν ἐλαίους τῆς κιλικίας προσχόντες. Vbi τὸ, μὲν ἐλαίους deprauatum esse apparet, Gelenius uertit, Vt iter

ter nauigandum appellerent ad Eleusam oppidum Ciliciæ.

183.31. ὡς πάντων ὑπὸ πατρὶ πίστιν ἡγουμένων.) Iosephus, ὡς πάντων ὑπὸ πατρὶ ἰκόντων εἰς πίστιν. Sed apud Iosephum puto legendum πύστιν per υ, à πυνθάνομαι: ut Zonaras, ἐκπύστων γενομένων.

185.12. οὐδὲ ἀπηγορευμένοις λειχῆναι ἀπαναινόμενος.) Iosephus habet, ἀπόλεσ ἀφωγὰ κατηγορῆσαι τῶν χρῆσθαι μὴ ἀπηγορευμένος: Quæ medici profutura dicerent, ab eorum usu non abhorrebat. Zonaræ uerba mendosa uidentur. ἀπηγορευμένος & ἀπαναινόμενος idem ferè significant. sed si lectio non fallit, ἀπηγορευμένοις posuit pro ἀπειρημένοις, remedijs interdictis.

185.1. Ἰώζαρον ἀδελφὸν τῆς αὐτοῦ γυναικός.) Iosephus, ἀδελφὸν γυναικὸς τῆς αὐτοῦ. Ambiguum est, utrum Iozari sororem in matrimonio habuerit Herodes, an Matthias.

188.15. συγχέαι δυνάμενον.) Turbulentum uerti. quòd si quis τὸ συγχέαι pro ἀπατῆσαι intelligere mauult, reponat, uafrum uel callidum.

189.18. τοῦ ἀρχιερέως Ἰώας.) Suprà etiam pro Ἰώζαρος in altero codice legebatur Ἰώας, fol. 402. sed Iosephus ibi Ἰώζαρος habebat. & postremus Archelai pontifex nō Ἰώας, sed Ἰησοῦς τοῦ σιὲ suprà dicitur. Iosephus uerò iterum Ioazarum appellat his uerbis: παύσαντος αὐτοῦ τοῦ ἀρχιερέως Ἰωαζάρου, Βαιθοῦ δὲ ὄντος υἱὸς ἦν.

189.43. καὶ ἐν τῶν νόμων αὐτοῖς οὐ πατροπαράδοτα φυλάσσεις.) Fortasse, νομίμων παράδοσις, Rituum traditiones nō obseruāt. Iosephus habet: φυλακῆς δὲ οὐδαμῶν τινῶν μεταποίησις αὐτοῖς ἢ τῶν νόμων. quem in uertendo secutus sum.

190.16. ἀμφιβοῦχος.) Haud scio an rectè ita legatur.

Ibid. 23. τῆς τοῦ καίσαρος γυναικὸς ἰουλίας υἱόν.) Legendum & apud Zonaram & apud Iosephum, λιβίας. Nam Iuliam Cæsaris filiam, Liuiam uxorem fuisse, uel pueris notum est.

191.16. ὃς τὰ Πλάτωνος ὑπογέγραπται.) Quid si τὰ πλάτωνα? more Platonis.

Ibid. 26. ὄντος τὴν πατρὸς ἑκάστῳ διακονεῖσθαι πεπίστευκε.) Mendosus uidetur hic locus.

Ibid. 45. εἴκοσι μυριάδας δραχμῶν ἀττικῶν.) Latinè dici queat, octies sestertiûm, uel 800 sestertia. Denas drachmas Budæus pro coronato Gallico, qui 35 solidos tunc ualebat, non ut nunc 45 aut amplius, computat: qua ratione constarent 20000 coronatorum. Scio Latinis usitatiora esse nomina, Nummûm, Sestertiûm, præsertim cum aduerbijs numeralibus, decies, centies, millies, & similibus, quàm drachmarum aut talentûm. Sed cum hæc quoq; apud bonos autores reperiantur, nolui me fatigare reducendis ijs ad Millia nummûm & sestertiûm.

207.48. ἰωσοῦ ὑπὸ τοῦ γαβριήλ.) Ex Iosepho reposui, γαμαλιήλ.

218.38. τοῖς ὑπορρύπτουσι τῶν σωμάτων ὀσμήν.) Puto legendum, ὑπεγγίζουσι, ijs qui propius accederent.

Atq; hæc in primo tomo, pauca è multis, annotanda esse censui: in cæteris, quæ aut manifestè falsa erant, aut sententiæ & constructionis nullum incommodum habebant, utro modo legerentur: meo iudicio sum usus. quod me candidis & doctis facilius probaturum confido, quàm curiosam inutilium annotationum prolixitatem.

ANNOTATIONVM TOMI PRIMI FINIS.

IN IOANNIS ZONARAE ANNALIVM TOMVM PRIMVM, RERVM ET VERBOrum memorabilium Index.

affini-

Antiochus

B

Barbari

caro

D

despe-

Eutychus

F

Iose-

msgi-

N

O

ostenta

Q

R

Teron

V

uicino-